39 Ἅμ᾽ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν εὐεργετουμένων καὶ παραχρῆμα τῆς χάριτος ἐπιλαθομένων.

40 Ἂν μὴ παρῇ κρέας, τάριχος στέργεται: ὑποθετική· παρεγγυᾷ ἡ παροιμία, ὅτι χρὴ τοῖς παροῦσιν ἀρκεῖσθαι.

41 Ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον: ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

42 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ᾽ αὐτὸς ἐξελθὼν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων, παρόσον Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον.

43 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν αἱρουμένων τὰ χείρω τῶν βελτιόνων.

44 Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία: ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

45 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι: ἐπὶ τῶν ἀφίλων.

---

1. *λέγεται κτλ.*] desunt Diogeniano. *ἀμουσόπαπον* d. 5. *ἐπιλανθανομένων* Zenob. I, 81. 6. *κρέα, ταρίχει στερκτέον*, Suidas: v. Bernhardius ad Suid. I, 452: *ταρίχῳ στερκτέον* Diogen. I, 5. 7. *παρεγγυᾷ ἡ*] *παρεγγυῶσα* d. 9. *ἀνὴρ ὁ φεύγων* Gregorius Cyprius, quam lectionem commendat Boissonadus ad Philostr. Epist. p. 85. 15. *ἀντὶ βελτιόνων* Diogenianus.

Zenob. I, 79, ubi monui, nomen *Θουκυδίδης* cum Schaefero in *Θουγενίδης* esse mutandum. Consentit A. Meinekius Comm. Grr. Fragm. IV, p. 594.

38. Diogen. II, 27: v. sup. 15. Macar. I, 96. Apost. II, 71. Usurpat Ammian. Marcell. XIV, 11 fin.: *Quae omnia si scire quisquam velit quam varia sint et assidua, a r e n a r u m n u m e r u m idem iam desipiens et m o n t i u m p o n d e r a scrutari putabit.* Cf. nott. ad Macar. IV, 64.

39. Diogen. II, 29: Greg. Cypr. M I, 43. Apostol. II, 166. Duobus versibus additis legitur nostrum in Stobaei Append. Flor. IV, p. 31, 11 Gaisf., unde inter Menandrea recepit Meinekius Comicc. Grr. Fragm. IV, p. 325.

40. Zenob. I, 84: Greg. Cypr. M I, 44. Arsen. IV, 9.

41. Diogen. I, 74: Greg. Cypr. L I, 18. Apostol. III, 11. In usum suum convertit Publius Syrus 921: *Vir fugiens haud moratur concentum lyrae.*

42. Diogen. I, 75: Greg. Cypr. M I, 48. Apost. II, 98. Macar. II, 12. Usurpat Dio Chrysost. Or. XLIII init.: *Λυδῷ, φασί, πράγματα οὐκ ἦν, ὁ δὲ ἐξελθὼν ἐπρίατο. οὐκοῦν ὁ μὲν Λυδὸς δικαίως πράγματα εἶχεν αὐτὸς ἐπιθυμήσας· ἐγὼ δὲ οὐκ ἐπιθυμῶν πράγματα ἔχω δι᾽ οὐδὲν κτλ.*

43. Diogen. I, 76. Greg. Cypr. M I, 51. Apost. III, 7. Simile v. in Macar. VII, 52.

44. Diogen. I, 78: Greg. Cypr. M I, 56. Macar. II, 5. Apost. III, 9.

45. Diogen. I, 79: Greg. Cypr. M

46 *Ἄνθρωπος ἀνθρώπου δαιμόνιον:* ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπων σωζομένων· καὶ ἐπὶ τῶν διά τινος εὐδαιμονούντων, ὡσανεὶ ἔλεγεν· ἄνθρωπος τῷ ἀνθρώπῳ θέσει θεὸς γίνεται.

47 *Ἀνέμου παιδίον:* ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

48 *Ἀντιπελαργεῖν:* ἐπὶ τῶν τὰς χάριτας ἀνταποδιδόντων. οἱ γὰρ πελαργοὶ γεγηρακότας τοὺς ἑαυτῶν γονεῖς γηροτροφοῦσι, τὰ τροφεῖα ἀπονέμοντες.

49 *Ἀνίπτοις ποσὶν ἀναβαίνων ἐπὶ τὸ στέγος:* ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἀφικομένων.

50 *Ἀμφοτέραις ἀντλεῖν:* ἐπὶ τῶν σπουδαίως τι ποιούντων.

---

2. ὑπὸ ἀνθρώπων] ὑφ' ἑτέρων Diogenianus, ὑπὸ ἀνθρώπου Suidas. σωζομένων καὶ δι' αὐτοῦ εὐδοκιμούντων Suidas, σωζ. ἢ καὶ διά τινα εὐδαιμ. reliquis om. Zenob. I, 91. 5. πεδίον d, vitium antiquum, quod saepe in codicibus invenitur: v. ann. ad Diogen. l. c., ubi lectionem ἀνέμου πεδίον plane damnare debebam: germanam enim scripturam servaverunt K I, 94 et Suidas. Idem valet de Libanii Epist. MCXLII: ἐμὲ δὲ μήτε Κόθορνον [v. Greg. Cypr. L II, 12.] μήτε Εὔριπον [Macar. IV, 18] μήτε ἀνέμου πεδίον ἡγήσῃ ταῖς γενομέναις διαλλαγαῖς: ubi παιδίῳ recte reponi iussit Toupius Ann. in Suid. III, 29. 6. τὰς d om. ἀποδιδόντων d. 7. τοὺς d om. 9. τὸ d om. τέγος Suidas. 10. ἔργα καὶ πράξεις ἀφ. Zenobius. 11. ἀντλεῖν ἀμφοτέραις Diogenianus.

I, 57. Macar. II, 6. Apostol. III, 82. . . . De versus auctore Scholl. ad Aristid. Oratt. p. 37 haec habet: Σοφοκλέους ὃν ἐν Οἰδίποδι τοῦτο εἰς παροιμίαν ἐκράτησε τό· φίλου κακῶς κτλ.: ibid. p. 262 Fromm.: καὶ τό· φίλου κακῶς κτλ. Σοφοκλέους ὃν παροιμιῶδες γέγονε καὶ ἕτερα μυρία: sed Σοφοκλέους in Εὐριπίδου mutandum esse intellexit R. Ungerus Parad. Theb. I, 374, unde quae de versus auctore in ann. ad Zenob. I, 90 dixi, corrigenda sunt. Idem Ungerus l. c. eodem Scholiasta auctore recte contendisse videtur, ex Euripidis fabula Oedipo versum petitum esse: C. F. Hermannus quidem Quaest. Oedip. I, 8 cum ad quamcunque aliam fabulam ex Euripidis deperditis, quae περιπέτειαν et insignis fortunae commutationem haberet, referri posse censuit. De sententia comparari potest Eur. Alcest. 210 sqq., Menand. Sent. Monost. 165: ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.

46. Diogen. I, 80: Greg. Cypr. L I, 50. Apost. III, 10: Suidas. De sententia cf. Liban. Oratt. T. IV, 360, 28 Reisk.: ἄνθρωπον δ' ἀνθρώπου συνεργάτην μὲν εἶναι καὶ βίου κοινωνὸν ἀπέδειξε.

47. Diogen. I, 82: Greg. Cypr. L I, 54. Macar. II, 11. Apost. III, 14. Suidas. *Ἀνέμου παῖς* de celeri equo dictum annotavit Pollux I, 196: ἄνεμος de levi atque inquieto homine idem VI, 121. 129: accuratius Anon. in Bekk. Anecdd. I, 401, 8: ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος: πάνυ κοινῶς εἴρηται καὶ ἐναργῶς. ἔστι δὲ Εὐπόλιδος. τὸ μὲν γὰρ ἄνεμος δηλοῖ τὸ πανταχοῦ φερόμενον ἀνέμου δίκην καὶ ἀλώμενον καὶ ἀβέβαιον, τὸ δὲ ὄλεθρος καὶ ὀλέθρου ἄξιον καὶ ἀπωλείας.

48. Diogen. I, 84: Greg. Cypr. L I, 49. Macar. II, 12. VII, 10. Apost. II, 100. XIV, 59.

49. Zenob. I, 95: Greg. Cypr. L I, 55. Apost. III, 20.

50. Diogen. I, 87: Greg. Cypr. M

51 *Ἀνέμους γεωργεῖν*: ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μεταλαμβανόντων.

52 *Ἄνθρακες ὁ θησαυρός*: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων καὶ ἐν ἄλλοις ἐντυχόντων· μέμνηται ταύτης Λουκιανός.

53 *Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος*: ἐπὶ τῶν αἰδημόνων καὶ εὐγενῶν· παρόσον οἱ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατά τι νόμιμον καὶ παλαιὸν γέρας ἀσπίδας φοροῦντες πομπεύουσιν.

54 *Ἄξιος τριχός*:

55 [*Ἀπὸ ὄνων ἐφ' ἵππους*]: ἐπὶ τῶν ἀπὸ μικρῶν πρὸς μείζω χωρούντων.

56 *Ἀφ' ἵππων ἐπ' ὄνους*: ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς ἄσεμνα χωρούντων.

57 *Ἀπήντησε κεραυνοῦ βολὴ πρὸς ὑπερτάτην ἄτης*: ἐπὶ τῶν ἄξια πασχόντων ὧν ἔδρασαν.

---

2. *μεταλαγχανόντων* Diogenianus: v. Suidam. 6. *αἰδημόνων*] d *εὐδαιμόνων*. 8. *καὶ παλαιὸν*] *καὶ* d om. 10. *ἄξιοι* Zenobius: scribe *ἄξιος*. 11. *Ἀπὸ . . ἵππους* d om.: *ἄξιος τριχὸς* vero quum *ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων* dicatur: v. Zenob. II, 4: proverbium excidisse apparet. Confer etiam sequens proverbium et infr. III, 100. 16. *ἄτην* d: v. nott. critt. ad Zenob. II, 8. Finckhius in annott. ad Zenobii Provv. Heilbronnae 1843 editis p. 6 de hoc proverbio haec disputat: »integrum versum exhibet Gregorius Cyprius: *ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην ἄτην*: quod verum puto: quippe totum proverbium Zenobianis assutum esse videtur, quod neque Diogenianus neque alius quisquam antiquiorum habeat, et versu politico cum homoeoteleuto conceptum sit, quod genus versuum Zenobii aetate recentius esse vulgo constat.» Quae hoc Diogeniani loco refutantur.

II, 27. Macar. II, 15. Apostol. II, 99. Mant. Provv. s. *ἀντλεῖν*.

51. Diogen. I, 88: Greg. Cypr. M I, 49. Apost. III, 3.

52. Diogen. I, 90: Greg. Cypr. M I, 61. Macar. II, 16. Apost. II, 86.

53. Diogen. I, 92: Greg. Cypr. L I, 53. Macar. VIII, 23. Apost. III, 27. De proverbio pluribus egit Naekius Opusc. II, 274 sq.: de re v. Boeckhius ad Pind. Expll. Olymp. VII, 80, ad Corp. Inscr. T. I, p. 356. 703. T. II, 526.

54. Diogen. I, 93: Macar. II, 17. Apost. III, 25: cf. infr. III, 99. Anonym. Comae Encom. 49, 1 Miller.: *οὗτος μὲν ὁ λόγος τριχὸς ἄξιος τρόπον ὃν ἡ παροιμία βεβούληται.*

55. Macar. II, 19. Ars. IV, 96: v. infr. 56 et III, 100. Adhibet Plaut. Aulul. II, 2, 58: *hoc magnum st periculum, ab asinis ad boves transcendere.*

56. Diogen. I, 96: Greg. Cypr. M II, 34. Apostol. IV, 52: cf. sup. 55. Append. I, 38. Usurpavit Liban. Oratt. T. III, 457 R.: *ἐν Λυκείῳ τῆς νεότητος παρούσης τὸ τῆς παροιμίας ἔφη πεπονθέναι, καὶ ἀτεχνῶς ἀφ' ἵππων εἰς ὄνους*: poetice exornavit Babrius fabb. 76, 18: *σύ γάρ μ' ἀφ' ἵππων εἰς ὄνους μεταστήσας Πῶς αὖθις ἵππον ἐξ ὄνου με ποιήσεις;*

57. Zenob. II, 8: Greg. Cypr. M I, 69. Apost. III, 64.

58 *Ἄπερ τὴν γλαῦκα θηρᾶν:* ἐπὶ τῶν εὐτελές τι ζητούντων· παρόσον ἡ γλαὺξ μικρὰ θηρᾷ.

59 *Ἀλώνητον ἀνδράποδον:* οἷον βαρβαρικὸν καὶ εὐτελές· εἰς τὴν μεσόγειαν γὰρ ἀναβαίνοντες οἱ ἔμποροι ἐκόμιζον ἅλας, ἀνθ' ὧν τοὺς οἰκέτας ἐλάμβανον· ὅθεν ὁ Κωμικός· *Θρᾷξ εὐγενὴς εἶ πρὸς ἅλας ἠγορασμένος.*

60 *Αἱ Χάρητος ὑποσχέσεις:* ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων. Χάρης γὰρ στρατηγὸς Ἀθηναῖος προχείρως πολλὰ καὶ τῷ τυχόντι ἐπαγγελλόμενος.

61 *Ἁλιεὺς πληγεὶς νοῦν οἴσει:* ὡς τό· *Παθὼν δέ τε νήπιος ἔγνω.* Ἁλιεὺς γάρ, ὥς φασι, τοὺς ἁλισκομένους τῷ λίνῳ ἰχθῦς μετεχειρίζετο καί ποτε πληγεὶς ὑπὸ σκορπίου ἔφη, *Νοῦν οἴσω.* Ἡ παροιμία ἐπὶ τοῖς σφαλεῖσι καὶ τότε διορθουμένοις.

62 *Αἶξ Σκυρία:* Χρύσιππός φησιν ἐπὶ τῶν τὰς χάριτας ἀνατρεπόντων τετάχθαι τὴν παροιμίαν, ἐπειδὴ πολλάκις τὰ ἀγγεῖα ἀνατρέπει ἡ αἴξ. ἄλλοι δέ φασιν ἐπὶ τῶν ὀνησιφόρων λέγεσθαι διὰ τὸ πολὺ γάλα φέρειν τὰς Σκυρίας αἶγας· ἄμεινον δὲ τὸ πρῶτον.

63 *Ἀθηνᾷ τὸν αἴλουρον:* ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττω τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα· ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλοι.

---

4. *μεσόγειον* Zenobius. 5. *ἀφ' ὧν* d. 6. *Θρᾷξ* idem. *ἠγορασμένος*] *ὠνημένος* Apostolius. 7. *ὑπόσχεσις* Fr. Marcianum. 10. *οἴσειν* d. 12. *ἐν τῷ λίνῳ* Zenob. II, 14. 14. *διορθωμένοις* d. 15. *χάριτας*] *εὐεργεσίας* Diogenianus. 21. *ἥττωσι* d. 22. *συμβάλει* idem: *συμβάλλοι* Diogenianus, *συμβάλλει* Suidas.

58. Append. Provv. I, 36.

59. Diogen. I, 100: Apost. II, 28. Ars. XXX, 12. *Κωμικὸς*] v. Menand. fr. inc. fabb. 214 Meinek.

60. Diogen. II, 1: Macar. VIII, 80. Apost. XVIII, 55: Fragm. Marc. I, 10. App. Provv. V, 24.

61. Diogen. II, 31: Greg. Cypr. L I, 20. Macar. III, 44. Apost. II, 23. Ars. XXXVIII, 49: Scholl. ad Plat. Sympos. 378 Bekk.: *ῥεχθὲν δέ τε νήπιος ἔγνω* [Apost. XV, 67.]· *ἐπὶ τῶν μετὰ τὸ παθεῖν συνιέντων τὸ ἁμάρτημα. Ἐπὶ τὸ αὐτὸ ἑτέρα παροιμία „ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει“* (B *οἴσει*). *φασὶ γὰρ ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθύν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα ὑπὸ σκορπίου πληγῆναι· καὶ εἰπε „πληγεὶς νοῦν φύσεις“* (*οἴσεις* B), *καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ λέγων ἔτ' αὖ ὥσπερ ἁλιεὺς πληγεὶς ενων διδάσκαλος. Ἔστι καὶ τρίτη ὁμοία· „ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς“* de qua v. Macar. III, 44. *Παθὼν—ἔγνω*] v. Greg. Cypr. L II, 98.

62. Diogen. II, 33: Macar. I, 58. Apost. I, 62.

63. Diogen. II, 37: Greg. Cypr. M II, 28. Macar. I, 47. Apostol. I, 55.

64 *Ἀφύας εἰς πῦρ: ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων· παρόσον ἀφύαι τάχιστα ἕψονται.*

65 *Ἀετὸν κάνθαρος μαιεύεται: τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν οἱ κάνθαροι, ἐπεὶ οἱ ἀετοὶ τοὺς κανθάρους ἀναλέγουσι. Εἴληπται ἡ παροιμία ἐπὶ τῶν περιπιπτόντων τοῖς παρ' αὐτῶν ἀδικηθεῖσι καὶ κατ' ἀξίαν τιμωρουμένων.*

66 *Ἀγρὸς ἡ πόλις: ἐπὶ τῶν παρανομούντων. Ἐπίχαρμος· Ἀγρὸν τὴν πόλιν ποιοῦσιν.*

67 *Αἱ Οἰδίποδος ἀραί: ἐπὶ τῶν δυστυχῶν.*

68 *Αἱ λαχάνων προσθῆκαι: ἐπὶ τῶν μηδὲν συντελούντων ἢ ὠφελησάντων.*

69 *Αἰδὼς ἐν ὀφθαλμοῖς: ἢ ὅτι οἱ τοὺς ὀφθαλμοὺς κεκακωμένοι οὐκ αἰδοῦνται, ἢ ὅτι τοὺς παρόντας αἰδοῦνται μᾶλλον οἱ ἄνθρωποι ἢ τοὺς ἀπόντας.*

70 *Ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται· θρέψασα γὰρ τέθνηκε πρὸς τοῦ φιλτάτου: ἐπὶ τῶν ἀπὸ τῶν ἰδίων τέκνων κινδυνευόντων ἡ παροιμία.*

71 *Ἀκαρπότερος ἀγρίππου: ἐπὶ τῶν μάτην πενομένων· Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσι λεπτόφυλλον οὖσαν καὶ [μὴ] πλέον αὐξανομένην πηγάνου.*

72 *Ἄρτι Μῦς πίσσης γεύεται: Μῦς ὄνομά [ἐστιν]*

---

1. *ἀφύας*] *ἀφύα* Diogenianus. 4. *κάνθαροι*] *κυλίοντες* addit Zenob. I, 20. *ἔπειτα* d. 8. *ποιεῖ* Diogenianus. 13. *κεκακωμένοι*] *κεκομμένοι* Bodleianus. *παρόντας* *ὁρῶντες* Suidas. 15. *παῖδα ἕως* d. 16. *τῶν φιλτάτων* Suidas. 17. *ἀπὸ τῶν*] articulum d om. 18. *μάτην*] *πάνυ* Macarius, Zenob. I, 60. 20. *μή*, quod in codice deest, e K inserui: v. nott. critt. ad Zenob. et Diogen. ll. cc. 21. *ὄνομα*

64. Diogen. II, 41: Apostol. IV, 56: v. Macar. IV, 71.

65. Diogen. II, 44: Greg. Cypr. M I, 55. Macar. I, 36. Apost. I, 50. Fabula ex qua adagium ortum, etiam in Vita Aesopi 54, 32. Westerm. exstat.

66. Diogen. II, 47: Macar. I, 22. Apost. I, 16.

67. Diogen. II, 51: Greg. Cypr. M II, 31. Macar. I, 59. VI, 24. Apost. I, 63: Suidas. Disputat de proverbio Lassaulx de diris Graecorum dissert. 9.

68. Diogen. II, 52: Apost. I, 87.

69. Append. Provv. I, 10.

70. Append. Provv. I, 1: Macar. I, 14. Phavor. 10, 3. »Aristoteles Hist. Anim. V, 22 et Plin. N. H. XI, 24 nos docent, phalangia vel phalangios genus aranearum ita vocatum matres suas post partum necare: de quibus locus hic poetae anonymi intelligendus est:« Kusterus ad Suid. s. *ἀγνοεῖ*.

71. Diogen. II, 63: Macar. I, 71. Apostol. I, 23. Ruta silvestris intelligi debet, de qua v. Theophr. Hist. Plant. VII, 6.

72. Diogen. II, 64: Apost. III, 81.

Ταραντίνου τοῦ πύκτου, ὃς κατὰ τὴν ἑνδεκάτην ἐπὶ ταῖς ἑκατὸν [Ὀλυμπιάδα] Ὀλυμπιάσιν ἐνίκησε πολλὰς πληγὰς λαβὼν ὑπὸ τῶν ἀνταγωνιστῶν. καί τις διηγούμενος περὶ αὐτοῦ ἔλεγεν· Ὅσα ἔπαθεν ὁ Μῦς ἐν τῇ Πίσσῃ. Οἱ δέ φασιν ὅτι μῦς τὸ ζῷον ἐμπεσὼν εἰς τὴν πίσσαν καὶ ἀνελθεῖν μὴ δυνάμενος δεινά τε πάθη ἔχει καὶ τέλος ἀποθνήσκει.

73 *Ἀρκαδίην μ' αἰτεῖς: αὕτη τάττεται ἐπὶ τῶν μεγάλα, οὐ μὴν συμφέροντα αἰτούντων.*

74 *Ἀπὸ κώπης ἐπὶ βῆμα: ἐπὶ τῶν ἀθρόως τοῖς μεγίστοις ἐπιχειρούντων.*

75 *Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων.*

76 *Ἀπὸ τῶν οἰκείων ἄρχεσθαι: ἐπὶ τῶν ἐπιχειρούντων ἀπὸ τῶν οἰκείων βλάπτειν καὶ τοὺς ἑτέρους.*

77 *Ἀντ' ἀγαθῶν ἀγαθίδες: ἐπὶ τῶν εὖ πασχόντων ἀνθ' ὧν προευηργέτησαν.*

78 *Ἀπὸ μηχανῆς θεὸς ἀναφανείς: ἐπὶ τῶν φαινομένων ἀπροσδοκήτως εἰς σωτηρίαν.*

Ταραντῖνος ὁ πύκτης d: v. B in nott. critt. ad Zenob. V, 46: Phot. Lex. s. *μῦς: ..· ὅσα Μῦς ἐν Πίσσῃ· ἀπὸ Μυὸς τοῦ Ταραντίνου πύκτου κακῶς Ὀλυμπιᾶσιν ἀπαλλάξαντος.* 1. *κατὰ* d om. *ἐπὶ ταῖς*] *ἐπὶ τοῖς* d. 2. *ἑκατὸν Ὀλυμπιάσιν* d: possis etiam *ἑκατὸν Ὀλυμπιάδα ἐν Πίσῃ*: cf. Zenob. l. c.: sed vide Photium. 7. *μεγάλων* d. *οὐ μὴν*] *καὶ μὴ* Suidas. 9. *ἀπὸ τῆς κ. ἐ. τὸ βῆμα* B in nott. critt. ad Diogen. l. c. 11. *τὸν* e Diogeniano et Suida adjeci. 16. *ἀνθ' ὧν εὖ προευηργ.* d: *ἀνθ' ὧν εὐεργέτησαν πρότερον* Suidas cum Macario, nisi quod hic *εὐηργέτησαν* praebet. 17. *ἐπιφανεὶς* Diogenianus.

XII, 43. Ars. XIV, 60. Macar. II, 35. VI, 6. Usurpat Phot. Epist. 171 Mont.: *εἰ δέ σοι καὶ ληρεῖν δόξαιμι, ἔσται σοι οὐκ εἰς μακρὰν τὸ παροιμιῶδες συνεχῶς ἐπ' ἔργοις ᾀδόμενον, Ἄρτι μῦς πίττης γεύεται.*

73. Diogen. II, 69: Apostol. III, 83. Usurpant Alexander Rhetor in Walzii Rhet. Gr. VIII, 446, qui epanalepsis exemplum ponit: *ὡς καὶ νῦν ἐν τῷ χρησμῷ· Ἀρκαδίην μ' αἰτεῖς· οὔτοι δώσω, δώσω τοι Τεγέην*: Phot. Epist. 175: *Ἀρκαδίαν με αἰτεῖς, εἴποι ἄν τις, καὶ μάλα εἰκότως, παροιμιαστὴς ἀνήρ. ἐγὼ δέ σοι δώσω, οὐ τὰ ἐξ ἁμάξης, .. ἀλλ' ἅπερ ἂν φιλεῖ ἡ ἀλήθεια*: Auctor incert. de figuris vs. 5: *Arcadiam petis; immensum petis; haud tribuam istud.*

74. Diogen. I, 98: Greg. Cypr. M I, 74. Apostol. III, 65.

75. Diogen. II, 73: v. Suidas: Greg. Cypr. L I, 21. Apost. II, 22.

76. Similiter *ἀφ' Ἑστίας ἄρχεσθαι* dicebatur et *ἀπὸ γραμμῆς αὐτῆς*: Scholl. ad Aristid. 194. nott. ad Zenob. I, 40.

77. Macar. II, 10. Suidas. Cf. Macar. I, 5.

78. Diogen. II, 84: Apost. III, 41. Alludit Alexis Athen. VI, 226 B. vs. 19: *ἀπὸ μηχανῆς πωλοῦντες ὥσπερ οἱ θεοί*: Anonym. in Crameri Anecdd. Oxon. III, 206, 18: *ἃ δέ μοι μειρακίῳ γε ὄντι καὶ οὐδέπω τῷ ἰούλῳ γεωμετρηθέντι τὴν γένυν, ἐκ μηχανῆς, ὅ φασι, θεὸς ἐντυχὼν διελέξατο, κτλ.*: alia collegit Wyttenbachius ad Iuliani Orat. I, p. 41 Schaef.

79 *Ἀπόλογος Ἀλκίνου:* ἐπὶ τῶν φλυάρων καὶ μακρὸν ἀποτεινόντων λόγον.

80 *Ἀπὸ πέντε ἅλλεσθαι πετρῶν εἰς σκυτάλην:* ἐπὶ τῶν δι' ἃ πάσχουσιν αἱρουμένων μᾶλλον ἑαυτοὺς ἐμβαλεῖν εἴς τινα χείρονα ἢ δύσκολα.

81 *Ἄπας ἐχῖνος τραχύς:* ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων.

82 *Ἀργύρου κρῆναι λαλοῦσιν:* ἐπὶ τῶν ἀπαιδεύτων μὲν, διὰ πλοῦτον δὲ παῤῥησιαζομένων.

83 *Ἀρχὴ δέ τοι ἥμισυ παντός:* τινὲς μὲν τὴν παροιμίαν ἔταξαν ἐπὶ τῶν εἴς τι προκοπτόντων. Κλέαρχος δὲ αὐτὴν ἐντεῦθέν φησιν εἰρῆσθαι· παρὰ Λακεδαιμονίοις τῶν παίδων ὁ πρεσβύτερος τὴν βασιλείαν διεδέχετο τοῦ πατρὸς τελευτήσαντος. Ἀργείᾳ οὖν τῇ Ἀριστοδήμου γυναικὶ γεγόνασι δίδυμοι καὶ τοῦ ἀνδρὸς τελευτήσαντος βουλομένη ἄμφω τοὺς παῖδας βασιλεύειν, Προκλέα καὶ Εὐρυσθέα, οὐκ εἰδέναι ἔφασκεν, ὁπότερος αὐτῶν πρεσβύτερος εἴη· εἶτα ἐρωτηθεὶς ὁ θεὸς εἶπεν· ἀρχὴ παντὸς ἥμισυ· δηλῶν ὅτι ἄμφω δεῖ βασιλεύειν, μετέχειν δὲ ἑκάτερον τῆς ἀρχῆς.

---

1. Ἀλκινόου Diogenianus: male. φλυάρων] φλαῦρον d.: φλυαρούντων Suidas. 3. Obscurum est τὴν σκυτάλην: Suidas ἐς κῦμα in ejus locum affert. 5. εἴς τινα κτλ.] εἴς τινα δυςκολίαν idem. 8. μὲν ex Diogeniano inserui. 9. δέ τι d: v. Philonem in ann. ad h. l.: δέ τοι Diogenianus cum reliquis om. 11. αὐτὴν] αὐτὸν d. 12. βασίλειαν d. 13. Ἀριστοδήμῳ d. 16. πρεσβύτερος εἴη] πρεσβυτερεῖ d.

79. Diogen. II, 86: Macar. II, 26. Apostol. III, 39: accuratius explicant Scholl. Plat. 422 Bekk.: καὶ τούτῳ τὸν Ἀλκίνου ἀπόλογον ἐνταῦθα παρειλῆφθαί φαμεν, ἥ ἐστι τοῦ Ὀδυσσέως νέκυια, καὶ τὰ ἐν Ἅιδου θεάματα, τῷ ψυχούλκῳ τῶν σφαγίων χρησαμένου αἵματι· ὅθεν καὶ εἰς παροιμίαν παρελήφθη τὸ τὸν περὶ τῶν ἐν Ἅιδου τι λέγοντα λέγεσθαι Ἀλκίνου λέγειν ἀπόλογον· ἀντιπαρατείνεται οὖν τῷ τοῦ Ἀλκίνου λόγῳ ὑπὸ τοῦ Ὀδυσσέως ῥηθέντι ὁ ὑπὸ τοῦ Ἠρός· πλὴν ἐκεῖ μὲν ὁ Ἀλκίνοος πρὸς εἰρήνην ὑπόκειται βλέπων καὶ τρυφήν· ἐνταῦθα δὲ γεννάδας τις ὁ Ἠρ ἱστόρηται καὶ πολεμικὸς καὶ κτλ.: cf. Aristot. Rhet. III, 16, 7. Nitzschius Ann. ad Hom. Odyss. T. III, p. XII.

80. Suidas. Comparat Erasmus III, 2, 63 Vergilii Eclog. VIII, 59: *Praeceps aerii specula de montis in undas Deferar; extremum hoc munus morientis habeto*, ubi v. interpp., et Plin. N. H. praef. §. 29: *ceu vero nesciam, adversus Theophrastum, hominem in eloquentia tantum, ut nomen divinum inde invenerit, scripsisse etiam feminam, et proverbium inde natum, suspendio arborem eligendi:* dicit Leontium meretriculam: Cicer. Nat. Deor. I, 33, 93.

81. Diogen. II, 87: Greg. Cypr. L I, 22. Apost. III, 63.

82. Diogen. II, 93: Greg. Cypr. M I, 29. Apost. III, 93.

83. Diogen. II, 97: Macar. II, 46. Apost. III, 94. Quis fuerit proverbii auctor, ne inter veteres quidem constat: ad Pythagoram rettulit Iamblichus de V. Pythag. c. 29, p. 342 Kiessl., ad Hesiodum Lu-

84 *'Ασκὸν δαίρειν: ἐπὶ τῶν ἀνοήτως σφόδρα τι ποιούντων· ἢ ἐπὶ τῶν ὑπερβολικῶς αἰκιζομένων τινάς.*

85 *"Ατης λόφος: ἐπὶ τῶν σφόδρα συμφοραῖς ἐνεσχημένων καὶ καθ' ὑπερβολήν.*

---

1. *δαίρεις* Diogenianus, *δέρεις* Macarius, alii. 3. *"Αργους λόφος* cum eadem fere explicatione Diogen. III, 10 profert.

cianus Hermot. §. 3: uterque male, ut in nott. ad Diogen. l. c. indicatum est. Hinc laudamus Polybium V, 32, 1, de auctore nihil certi decernentem: dicit enim: *οἱ μὲν γὰρ ἀρχαῖοι τὴν ἀρχὴν ἥμισυ τοῦ παντὸς εἶναι φάσκοντες, μεγίστην παρῄνουν ποιεῖσθαι σπουδὴν ἐν ἑκάστοις ὑπὲρ τοῦ καλῶς ἄρξασθαι.* Clearchi denique sententia, sine dubio ex eius libro *περὶ παροιμιῶν* huc translata, sapit scriptorem nova et lectu iucunda, licet certa fide careant, in vulgus spargere non detrectantem. Saepissime adagio utuntur scriptores: Philo de Agricult. p. 319, 30. T. I Mang.: *ἀρχὴ δ', ὡς ὁ τῶν παλαιῶν λόγος, ἥμισυ τοῦ παντός· ὡς ἂν ἡμίσει πρὸς τὸ τέλος ἀφέστηκεν, οὗ μὴ προσγενομένου καὶ τὸ ἄρξασθαι πολλάκις μεγάλα πολλοὺς ἔβλαψεν;* id. quis rerum divin. haeres p. 489, 25, T. I Mang.: *τέχναις δὲ καὶ ἐπιστήμαις, οὐ πηγὴ καὶ ῥίζα καὶ θεμέλιος καὶ εἴ τι ἄλλο πρεσβυτέρας ὄνομα ἀρχῆς ὑπόκειται ἡ φύσις, ᾗ πάντ' ἐποικοδομεῖται τὰ θεωρήματα, φύσεως δὲ μὴ προϋποκειμένης, ἀτελῆ πάντα. Ἐντεῦθέν μοι δοκεῖ τις εὐστόχως εἰπεῖν· Ἀρχὴ δέ τοι ἥμισυ παντός. Εἰκότως οὖν τὸ λόγιον ἀνέθηκεν πρὸς ἀπαρχὰς τῷ ἡγεμόνι θεῷ:* Theodor. Metoch. Philos. et Hist. Miscell. c. 11, p. 84 sq. Kiessl.: *καὶ μὴν ἅπαντες, ὅσοι καὶ ἤρξαντό τινος εὑρέσεως ἢ τέχνης ἢ ἐπιστήμης, οὐκ ἔσχον ἀμέλει καὶ εἰς τέλος ἱκανώσασθαι, ὅτι μὴ δὲ πέφυκε τοῦτ' ἐξεῖναι σχεδὸν, ὡς ἐπὶ πάντων ἔστι πραγμάτων ὁρᾷν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος εἰς νῦν εὑρημένων εἰς τὸ κοινὸν ἀνθρώποις. Καὶ ἀρχή φησιν ἡ παροιμία παντὸς ἥμισυ:* Hierocles in Medicinae Veterin. Libb. 11, p. 172 Gryn.: *Ἡσίοδος μὲν ἥμισυ τοῦ παντός φησιν εἶναι τὴν ἀρχήν, προτρέπων οἶμαι καὶ διὰ τούτου τῶν ἀρίστων ἐπιτηδευμάτων ἅπτεσθαι, ὡς τοῖς γε ἀρξαμένοις ἐξ ἡμισείας ἤδη προηνυσμένου τοῦ σπουδάσματος. οὐ πολλοῦ δὲ ὄντος τοῦ τῆς ἡμισείας μοίρας πλείονος ὅμως δεῖ τοῦ λειπομένου πρὸς τὴν τοῦ παντὸς συμπλήρωσιν:* alia collegerunt et dicteria similia contulerunt Boissonadus ad Marini V. Procli 137. Obbarius ad Horat. Epist. I, 2, 40. *Κλέαρχος κτλ.*] haec Clearchi disputatio aliunde non nota: in rem cf. Herod. VI, 52. C. O. Muellerus Dor. I, 90.

84. Diogen. III, 3: Greg. Cypr. M I, 66. Macar. II, 50. Apost. IV, 9. Ad explicationem, secundo loco a Diogeniano propositam, accedit Solo apud Plut. Solon. 14: *ἤθελον γὰρ ... Ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος,* i. e. *δεδάρθαι ὥστε γενέσθαι ἀσκός,* ut explicat Coraes ad h. l.: alia eodem modo explicanda adscripserunt Schaeferus ad Gregor. Corinth. 533 et Nitzschius Annott. ad Hom. Od. *X*, 19, T. III, p. 92. Ceterum eodem sensu Aristophanes *μολγὸν αἴνειν* dixit: v. Scholl. ad Arist. Equitt. 959 et Bergkius in Meinekii Com. Gr. II, 2, 989. 1067.

85. Macar. II, 50. Ars. VI, 5: Eustath. ad Hom. Il. *T*, 128, p. 1175, 60: *φασὶ δὲ εἰς Ἴλιον κατενηνέχθαι ῥιφεῖσαν τὴν Ἄτην, διὸ καὶ Ἄτης λόφος ἐκεῖ, οὗ ὁ Λυκόφρων μέμνηται. τοῦτο δὲ ἀστείως πέπλασται διὰ τὰς μεγάλας ἄτας, ἃς ἐκ Διὸς οἱ Τρῶες ἔπαθον, ὧν ἕνεκα καὶ Ἰλιὰς κακῶν* [v. infr. II, 93.] *πεπαροιμίασται:* id. ibid. *Α*, 591, p. 157, 7: *ὅθεν καὶ Λόφος Ἄτης ἐν Τροίᾳ παρὰ Λυκόφρονι, ἔνθα ὑπὸ Διὸς ἐκείνη ἐρρίφη, ὡς καὶ ἐν τοῖς Ἀππίωνος καὶ Ἡροδώρου δηλοῦται.* Et fuit

86 *Ἀττικὸς μάρτυς:* ἐπὶ τοῦ πιστοτάτου καὶ ἀληθεστάτου· παρόσον οἱ Ἀθηναῖοι ἀληθεῖς.

87 *Ἀτενὲς ὁρᾷ ὥσπερ ἡ αἶξ τὴν θάλασσαν:* ἐπὶ τῶν φιληδόνων· ὥςπερ ἡ αἶξ τὴν θάλασσαν.

88 *Ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν:* ἐπὶ τῶν τὰ ἀναγκαῖα παραλειπόντων, τὰ περιττὰ δὲ προτιμώντων.

89 *Ἀφροδίτῃ ὗν τέθυκεν:* ἐπὶ τῶν ἀχαρίστων καὶ ἀνεπαφροδίτων, παρόσον Ἀφροδίτῃ ὗς οὐ θύεται.

---

3. *ὁρᾷς* Diogenianus cum reliquis: *ἄτ' ἐνορᾷ* d. *ὥσπερ — θάλασσαν* Diogenianus et Apostolius om. 4. *φιληδούντων τισὶν* Diogenianus cum reliquis. *ὥςπερ*] *ὡς* Macarius. *ἡ* Diogenianus et Apostolius om. *εἰς θάλασσαν* iidem, *τῇ θαλάσσῃ* Macarius. 5. *ἀφέντ'* d: *ἀφεὶς*, antiqua lectio, exstat apud Apost. IV, 51. *ὑπερῴαν* d, qui etiam articulum *τὴν* male omittit. 6. *παραλιμπανόντων* Suidas. *προτιμόντων* d, *προτιμωμένων* Suidas: v. Eustathium. *παρὰ Ὑπερίδῃ* addit Suidas: v. annott. ad Apostolium.

Ἄτης λόφος nomen antiquissimum Troiae: Hesych. s. *Ἀτιώλοφος* — scribe *Ἄτης λόφος* — *οὕτως τὸ Ἴλιον ἐκαλεῖτο πρῶτον*: hinc Lycoph. Cassand. 28: *ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα, Ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων, τοιῶνδ' ἀπ' ἀρχῆς ἦρχ' Ἀλεξάνδρα λόγων*, ubi Scholl. Bachmanni: *ἀπὸ τῶν τῆς Τροίας κορυφῶν· ἔστι δὲ ὄρος Τροίας, ὅπου ἔπεσεν ἡ Ἄτη*: uberius explicat rem Tzetzes ad Lycoph. l. c.: add. Apollod. III, 12, 3. Stephan. Byz. s. *Ἴλιον* et cf. Heynium ad Apoll. l. c. C. O. Muellerum in Erschii et Gruberi Lex. univers. s. v. Pallas p. 106 et nott. ad Diogen. III, 10. Simili modo Empedocles apud Synes. de provid. 89 D *ἄτης λειμῶνα* terrestrem daemonum exsulantium sedem vocavit.

86. Diogen. III, 11: Macar. II, 61: Apost. IV, 26.

87. Diogen. III, 8: Macar. II, 56. Apost. IV, 18. Diphilus Athen. VI, 236 B: *ἀτενὲς δὲ τηρῶ τοῦ μαγείρου τὸν καπνόν*: Plutarch. de recta rat. audiendi c. 13, 44 A: *βαρὺς μὲν γὰρ ὁ ἀκροατὴς καὶ φορτικὸς ὁ πρὸς πᾶν ἄτεγκτος καὶ ἀτενὴς τὸ λεγόμενον*: Lucian. Revivisc. §. 30: *ἀτενὲς ἀποβλέπων*: ibid. §. 46: *ἀτενὲς ἔβλεπεν* Aesop. fab. 114 Schn.: Cicer. pro Flacc. 11, 26: *iudices vos oro et obtestor, ut totam causam quam maxime intentis oculis ut aiunt, acerrime contemplemini.*

88. Apost. IV, 51. Suid. s. *ἀφέντες*. Eustath. ad Hom. Odyss. *E*, 260, p. 1534, 5: *οἱ δὲ παλαιοὶ τὴν ὑπέραν σχοινίον ἑρμηνεύσαντες κέρατος τοῦ κατὰ τὸν ἱστὸν ᾧ ἀνίεται καὶ διατείνεται, προφέρουσι καὶ παροιμίαν ἐπὶ τῶν ἃ μὲν δεῖ ἔχειν ἀφιέντων, ἃ δὲ μὴ δεῖ κρατούντων, τὸ ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν· ἤγουν ἀφιᾶσι, μὲν τὰ ἀναγκαῖα, προτιμῶνται δὲ τὰ μὴ προὔργου· οἱ δὲ αὐτοὶ καὶ ἄλλως, ὑπέρας φασίν, ἢ τὰ ἐκ τοῦ ἄκρου τῆς ὀθόνης ἐξημμένα σχοινία ἢ τοὺς τροχίλους*: cf. Apost. VI, 76 ibiq. nott.: Scholl. ad Lucian. Dial. Mortt. IV, 1: *γέγονε δὲ καὶ ἀπὸ τούτου [ὑπέρα] παροιμία ἐπὶ τῶν ἃ δεῖ ἔχειν ἀφέντων, ἃ δὲ μὴ δεῖ κρατούντων*, ubi ante v. *ἐπὶ* ipsum proverbium excidit.

89. Apost. IV, 58. Quamquam Veneri sues non immolari Diogenianus post Aristophanem et alios contendit, v. Aristoph. Acharn. 793: *ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται*, ubi v. Scholl., eiusque sententia verbis Cornuti de Nat. Deor, c. 24: *ὗς διὰ τὴν ἀκαθαρσίαν ἀλλοτρία αὐτῆς εἶναι δοκεῖ*, defenditur: tamen

90 *Ἀχαρνικοὶ ὄνοι:* ἐπὶ τῶν νωθρῶν καὶ μεγάλων.

91* *Ἀδελφὸς ἀνδρὶ παρείη:* ὅτι προτιμητέον τοὺς οἰκείους ἐπὶ βοήθειαν.

92 *Αὐλητοῦ βίον ζῇς:* ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων· παρόσον ἐπιτηροῦντες οἱ αὐληταὶ τοὺς θύοντας ἐξ εὐτελείας ἔζων· ἐντεῦθεν εἴληπται ἡ παροιμία ἐπὶ τῶν παρασίτων.

93 *Αὐτὸς αὑτὸν οὐ τρέφων κύνας τρέφει:* ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν ἐπαγγελλομένων.

94 *Αὐτὸς ἔφα:* ἐπὶ τῶν ἀναφερόντων ἐπί τινα πίστεως ἄξιον.

95 *Ἀποτίσεις χοῖρε 'γίγαρτα:* οἷον ὧν κατέφαγες, ἀποδώσεις πλείονα. Ἐπὶ τῶν σὺν τοῖς ἀλλοτρίοις οἷς ἥρπασαν καὶ τὰ ἴδια προσζημιουμένων καὶ ἀκουσίως αὐτὰ καταβαλλομένων.

96 *Ἀτταγᾶς Νουμηνίῳ συνῆλθε:* μέμνηται ταύτης

---

3. *εἰς* βοήθειαν ἐν καιρῷ περιστάσεως Suidas. 4. Diogenianus desinit in v. βιούντων: reliqua habet Suidas, omissis tamen vv. ἐντεῦθεν κτλ. 7. αὑτὸν οὐ — τρέφει Suidas: Diogeniani verba ex nostro loco restituenda sunt. Antiqua lectio esse videtur: αὐτὸς σεαυτὸν οὐ τρέφων κύνας τρέφεις. 8. κατεπαγγελλομένων Diogenianus. 9. ἔφη d. *ἃ λέγουσιν* post ἀναφερόντων inserit Diogenianus. 11. ὧν d om. 12. πλέον d. Suidas explicat: ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων. 15. ἀτταγὰς d: et sic etiam infra.

ab Argivis sues Veneri mactatos Callimachus, de quo v. Heckerum Commentt. Callim. 39, testificatur apud Athen. III, 95 F: ὅτι δ' *ὄντως* Ἀφροδίτῃ ὗς θύεται μαρτυρεῖ Καλλίμαχος ἢ Ζηνόδοτος ἐν ἱστορικοῖς ὑπομνήμασι γράφων ὧδε: »Ἀργεῖοι Ἀφροδίτῃ ὗν θύουσι καὶ ἡ ἑορτὴ καλεῖται Ὑστήρια«: idem ex Antiphane de Cypriis docet Athen. l. c. et omnino hoc animal ad sacrificium praebitum Deae gratum acceptumque fuisse, ex Strab. IX, 5, 17 p. 438, aliis, v. nott. ad Macar. II, 70, certum videtur. Aliis vero Diis porcos immolatos esse notum est: v. Athen. IX, 396 C. XIV, 657 A. Varron. L. L. V, 97. Adagio fabula ansam dedisse videtur: v. Heusinger ad Aesopi fab. 230 Fur., 220 Schneid.

90. Diogen. I, 26: Hesych.: Ἀχαρνικοὶ ὄνοι: ἐπὶ τῶν μεγάλων οὕτως ἔλεγον: cf. nott. ad Apost. II, 90.

91. Diogen. III, 29: Macar. I, 29. Apostol. I, 36. Usurpat Firmus Epist. IV in Muratori Anecdd. Graec. 287: ἀδελφὸς ἀ. π., φησὶ τοῦτο δὴ τὸ τοῦ λόγου, ὡς τῆς φύσεως συντρόφου καὶ γνησίας φιλίας παρεχομένης ἀπόλαυσιν.

92. Diogen. III, 14: Greg. Cypr. M I, 67. Apost. IV, 33.

93. Diogen. III, 17: Greg. Cypr. M I, 72. Apost. VI, 44. Mant. Provv. s. αὐτόν.

94. Diogen. III, 19: Apost. IV, 39. Usurpat Michael Acuminat. Monod. in Eustath. 93 Elliss.: καὶ ὅ τι ἂν φθέγξοιτο (Eustathius) φωνή τίς ἐστι θεία . . . καὶ ὡς τοῖς Πυθαγορικοῖς τὸ *Αὐτὸς ἔφατο* προβαλλόμενος.

95. Diogen. III, 32: Greg. Cypr. M I, 68. Apost. III, 69.

96. Suidas: Ἀτταγᾶς νουμηνίῳ: παροιμία ἐπὶ τῶν **: cf. nott. ad Diogen. VIII, 18. Macar. VII, 90. ὁ λογοθέτης] »citatur Simeon Meta-

τῆς παροιμίας ὁ λογοθέτης ἐν ταῖς αὐτοῦ μεταφράσεσιν εἰς τὸν βίον τοῦ ἁγίου Στεφάνου τοῦ νέου. Ἐξ ἱστορίας τοιαύτης. Ἀτταγᾶς τις Θετταλὸς καὶ Νουμήνιος Κορίνθιος διαβόητοι ἐπὶ κακίᾳ γενόμενοι φιλίαν πρὸς ἀλλήλους ἐσπείσαντο· εἴληπται οὖν ἡ παροιμία ἐπὶ δύο πονηρῶν συνελεύσει.

97 *Αἴδου πρωκτῷ περιπέσοις*: ἐπὶ τῶν καταρωμένων τινί.

ΑΡΧΗ ΤΟΥ Β.

98 *Βάτραχος Σερίφιος*: ἐπὶ τῶν ἀφώνων· παρόσον οἱ ἐν Σερίφῳ τῇ νήσῳ βάτραχοι κομισθέντες εἰς Σκῦρον οὐ φθέγγονται.

99 *Βυζίνη παῤῥησία*: ἐπὶ τῶν σφόδρα πεπαῤῥησιασμένων· ἀπὸ Βυζίνου τοῦ Ποσειδῶνος μετὰ παῤῥησίας ἀεὶ διαλεγομένου.

100 *Βίος ἐξηυλημένος*: ἐπὶ τῶν ἀχρήστων· ἀπὸ μεταφορᾶς τῶν αὐλῶν, οἳ ὅταν συντριβῶσιν, ἐξηυλῆσθαι λέγεται· ἔνθεν καί· *Νοῦς παρεξηυλημένος*.

---

1. παροιμίας] μαρτυρίας d. Ex hoc loco lacuna in Suida s. ἀτταγᾶς explenda est. 6. ἐπὶ — τινί] δῆλον Diogenianus. 10. τῇ νήσῳ et κομισθέντες — Σκῦρον Diogenianus om.: v. ibi nott. critt. Σκύρον d. 12. Βυζηνή d. 13. Βυζηνοῦ d: v. nott. critt. ad Zenob. l. c.

phrasta. Est autem interpungendum uti feci, non quemadmodum in codice sententia continuatur, ut crederes Metaphrasten non tantum proverbii sed et fabulae cui originem debet meminisse. Non est ita. Quoniam Graece quantum scio Stephani junioris Vita nondum edita est, illam in praestantissimo et antiquissimo Vindobonensi codice evolvi. Hic habes locum. Sermo est de Constantino Copronymo deque Anastasio patriarcha Constantinopolitano ab ipso creato: *Οὕτως οὖν συνδραμούσης τῆς ῥυπαρᾶς ταύτης δυάδος καὶ τοῦτο δὴ τὸ ᾀδόμενον, συνελθόντος Ἀτταγᾶ Νουμηνίῳ, γράμματα κατὰ πᾶσαν πόλιν ἐφοίτα καὶ ἐπαρχίαν κτλ.* (Codex Ms. Vindob. XX, f. 170).» Bakhuizen van den Brink. Respexit proverbium etiam Eustathius in A. Maii Spicil. Roman. T. V, 313: *Καὶ εἰσὶν ἀληθῶς καθὰ συνελεύσεις ἀπευκταῖαι καὶ φευκταῖαι, ὁποία καὶ ἡ τῶν πονηρευομένων συναγωγή, ὡς ψάλλει Δαβίδ, καὶ καθ' ἣν συνελθεῖν Ἀτταγᾶς Νουμηνίῳ πεπαροιμίασται, οὕτω καὶ συμφωνίαι δαιμονιώδεις.* Ad sententiam cf. infr. II, 26. Macar. VI, 20.

97. Diogen. II, 43: Ars. I, 46.

98. Diogen. III, 44: Macar. II, 77. Greg. Cypr. L I, 66. Apost. IV, 77.

99. Zenob. II, 63.

100. Zenob. II, 64. Diogen. VII, 44: cf. annott. ad Apost. XIV, 36b. Adhibet Leo Diacon. V, 51 C Haas.: *ἵνα τί πάντα μέτρῳ καὶ σταθμῷ ῥυθμίζων τὰ σά, βασιλεῦ, ὡς ἀκριβῆ στάθμην εἶναί σε καὶ κανόνα σωφροσύνης εὐθύτατον, παρορᾷς ἄνδρα γενναῖον οὕτω καὶ νεανικόν, ἀριπρεπῆ τε κατὰ τὰς μάχας τυγχάνοντα καὶ ἀκαταγώνιστον, ἐγκυλινδεῖσθαι τῷ βορβόρῳ τῶν ἡδονῶν καὶ βίον μεταδιώκειν παρεξηυλημένον καὶ ἄνετον, σφριγῶντα καὶ αὐτὴν τῆς ἡλικίας ἄγοντα τὴν ἀκμήν, καὶ ταῦτα αὐτανεψιὸν τοῦ σοῦ πεφηνότα κράτους, λαμπράν τε τοῦ γένους ἕλκοντα τὴν σειράν;*

1 *Βοιώτιον οὖς:* ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἐσκώπτοντο οἱ Βοιωτοί.

2 *Βοῦν ἐπὶ γλώσσης:* ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι· εἴληπται δὲ καὶ ἐπὶ τῶν διὰ δωροδοκίας ἡσυχαζόντων.

3 *Βαλὼν φεύξεσθαι οἴει;* ἐπὶ τῶν κακόν τι δρασάντων καὶ οἰομένων ἐκφυγεῖν.

4 *Βάλλ' ἐς ὕδωρ:* ἐπὶ τῶν ὀλέθρου ἀξίων· οἷον καταπόντισον· τοιοῦτον καὶ τό· *βάλλ' ἐς κόρακας, βάλλ' ἐς φθόρον·* τὸ δὲ *βάλλ' ἐς μακαρίαν* ἐπὶ καλῷ.

5 *Βοῦς ἐπὶ σωρῷ:* ἐπὶ τῶν ἡδυπαθούντων τασσομένη.

6 *Βοῦς ὑπὸ ζυγόν:* ἐπὶ τῶν ἀεὶ μοχθούντων.

7 *Βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν:* ἡ παροιμία ἐπὶ τῶν τὰ κάλλιστα τοῖς αἰσχίστοις μιγνύντων.

8 *Βατράχοις οἰνοχοεῖς:* πρὸς τοὺς παρέχοντας ταῦτα, ὧν οὐ χρήζουσιν οἱ λαμβάνοντες.

---

1. *βοιότοιον* d: v. nott. critt. ad Diogenianum. 2. *Βοιωτοί*] *βιωτοί* d. 4. *δωροδοκίου* d. 5. *βάλλων* d, Apostolius. 7. *εἰς ὕδωρ* Zenob. II, 72; cf. nott. ad Apost. VI, 56. 8. *τοιοῦτον κτλ.*] Diogenianus om. 9. *εἰς Μακαρίαν* Suidas, quem vide. *καλῷ*] excidisse nonnulla verba videntur: v. Zenobium. 10. Addit Suidas: *ἢ ἐπὶ τῶν ἀλοούντων, καὶ διὰ φιμοῦ ἐσθίειν κωλυομένων.* 11. *ὑπὸ*] *ἐπὶ* d. 12. *οὔ ποθεν ῥήσεις* d. 16. *χρήζουσι* d.

1. Diogen. III, 46: Apost. V, 16[a].

2. Diogen. III, 48: Greg. Cypr. M II, 49. Mac. II, 88. Thom. Magist. 55, 7 Ritschl.: *ἡ βοῦς, οὐχ ὁ βοῦς. ἀρσενικῶς δὲ μόνον τὸν τῆς παροιμίας ἐκφέρομεν βοῦν, οἷον τὸν βοῦν ἐπὶ γλώττης φέρει:* cf. Apost. V, 7 ibiq. v. notas.

3. Zenob. II, 71: Apost. IV, 83.

4. Diogen. III, 51: Greg. Cypr. L I, 67. Macar. II, 72. Apost. IV, 84. *βάλλ' — κόρακας*] Zenob. II, 77. *βάλλ' — φθόρον*] Macar. II, 71. Apost. VI, 65. VII, 95. Ars. XII, 75. *βάλλ' — μακαρίαν*] Apost. IV, 72. Vulgo idem quod *εἰς ᾅδου* exprimere hanc formulam grammatici statuunt: v. Apostol. l. c.: add. Photius v. *ἐς ὀλβίαν: ὡς εἰς μακαρίαν· τὸ εἰς Ἅιδου:* sed bono sensu olim usurpatum hoc dictum esse, annotavit Zenob. II, 61 fin. Usurpat Iulian. Caesar. 333 A: *βάλλ' εἰς μακαρίαν εἶπεν ὁ Διόνυσος· ἐπισκώπτεις σὺ πάντας αὐτοὺς καὶ ποιεῖς οὐδὲν ὑπὲρ ἑαυτῶν λέγειν.*

5. Diogen. III, 53: Ars. XIII, 19.

6. Diogen. III, 54: Apost. V, 6. Ad sententiam cf. Macar. V, 6: Cic. de N. Deor. II, 63, 159: *boum ... cervices natae ad iugum.*

7. Diogen. III, 55: Greg. Cypr. L I, 68. Macar. II, 84. Apost. V, 14. «Verba haec Aeschyli Eum. 680 ad immutationes in Areopago constituendo ab Ephialte intentatas apte relata a Doederlino (Progr. Erlang. 1820) colorem referre videntur Pythagoreum, collata Lysidis epistola ap. Iambl. V. Pyth. p. 75: *ἐγκίρναντι γὰρ ἤθεσι τεταραγμένοις καὶ θολεροῖς θεωρήματα καὶ λόγους θείους· καθάπερ εἴ τις εἰς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέοι καθαρὸν καὶ διειδὲς ὕδωρ· τόν τε γὰρ βόρβορον ἀνετάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν»:* Walzius ad Arsen. 146.

8. Diogen. III, 57: Macar. II, 75. Apost. IV, 78.

9 *Βατράχῳ ὕδωρ, καί, Γαλῇ στέαρ: ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.*

ΑΡΧΗ ΤΟΥ Γ.

10 *Γνῶθι σαυτόν: ἀπόφθεγμά ἐστι Σόλωνος· τάττεται δὲ ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων.*

11 *Γραῦς βακχεύει: ἐπὶ τῶν παρὰ καιρόν τι ποιούντων· νέαις γὰρ πρέπει τὸ βακχεύειν, ἤγουν τὸ χορεύειν.*

12 *Γέλως συγκρούσιος: ἐπὶ τῶν ἀκόσμως καὶ ἀτάκτως βιούντων· τινὲς γὰρ ἀτάκτως γελῶντες τὰς χεῖρας συγκρούουσι.*

---

5. *ἐπὶ τῶν ὑπὲρ ὅ εἰσιν.* Suidas. Addit idem: *Γνῶθι σαυτόν, καί, Τὸ νόμισμα παραχάραξον: παραγγέλματα Πυθικά. τουτέστι, τῆς τῶν πολλῶν δόξης ὑπερόρα καὶ παραχάραττε μὴ τὴν ἀλήθειαν, ἀλλὰ τὸ νόμισμα*: eadem e V edita sunt in Append. Provv. I, 81. 6. *χορεύει* Suidas, ex interpolatione, ut videtur. *παρ' ὥραν* Diogenianus et Suidas: *παρὰ καιρὸν* etiam Zenobius. 7. *νέαις κτλ.* Diogenianus om. *πρέπει τὸ χορεύειν* Zenobius II, 96. 8. *γέλως συρακούσιος* d, *γ. συγκροτούσιος* Suidas: *γ. συγκρούσιος* Apostolius. 9. *βιούντων*] *γελώντων* Apostolius. *τὰς χεῖρας ἢ τοὺς πόδας* Zenobius.

9. Diogen. III, 58: Greg. Cypr L. I, 71. Macar. II, 76. Apost. IV, 86.

10. Greg. Cypr. L II, 76. Macar. III, 3. Apost. V, 55. De auctore sententiae disputat Schol. ad Plat. p. 383 Bekk.: *λέγουσι δὲ οἱ μὲν Χίλωνος εἶναι τὸ ἀπόφθεγμα, οἱ δὲ Λάβυος* (*Λώβιος* Sieb.) *εὐνούχου τινὸς νεωκόρου· οἱ δέ φασιν ὅτι Χίλωνος ἐρομένου τὸν θεὸν τί εἴη ἄριστον, εἶπεν ἡ Πυθία τὸ γνῶθι σαυτόν*: aliter iudicant Scholl. Ven. ad Hom. Il. *Γ*, 53: *οἷος ὤν, φησί, τίνα τίνος ἐστέρησας. οὐκ ἄρα Χίλωνος, ὡς ὑποφαίνεται, δόγμα τὸ γνῶθι σαυτόν, ἀλλ' Ὁμήρου*: Chiloni tamen a Suida v. *γνῶθι* adscribitur dictum, eidem et Thaleti ab Maximo Sermon. c. LVI Combef., Thaleti ab Arsenio Ion. XXX, 99 [p. 292 Walz.], Soloni ab Ausonio in Ludo Sept. Sapient.: alii aliter: v. nott. ad Append. Provv. I, 80. Usurpant Menander Thrasyleonte Stob. Flor. XXI, 5: *κατὰ πόλλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον Τὸ γνῶθι σαυτόν· χρησιμώτερον γὰρ ἦν Τὸ γνῶθι τοὺς ἄλλους*: idem apud Diog. Laert. VI, 83: Dio Chrysost. Oratt. IV, 160 R.: *οὐ γὰρ ἂν τοῦτο πρῶτον προσέταττεν ὁ Ἀπόλλων ὡς χαλεπώτατον ἑκάστῳ, γνῶναι ἑαυτόν*: Philo de Virtutt. 555, 42 T. II Mang.: *πλέον ἐφυσήθη τοῦ μετρίου· τὸ Δελφικὸν γράμμα οὐ διέγνω, τὸ γνῶθι σαυτόν*: Arrian. apud Stob. Flor. LXXX, 14: *μή τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα παρέλκον ἐστί, τὸ γνῶθι σαυτόν; τοῦτο δὲ μὲν οὔ φησι. Τίς οὖν ἡ δύναμις αὐτοῦ; εἰ χορευτῇ τις παρήγγελλε τὸ γνῶναι ἑαυτόν, οὐκ ἂν ἐν τῇ προστάξει προσεῖχε τῷ ἐπιστραφῆναι;* locos Christianorum v. in Ioann. Damasc. Sacris Parall. *γ*, 2, p. 400 sqq. T. II. Opp. et cf. Karstenii prolusionem de effatis delphicis *μηδὲν ἄγαν* et *γνῶθι σεαυτόν*, insertam Symbolis literr. Batavorum T. II, 57 sqq.

11. Diogen. III, 74: Greg. Cypr. M II, 53. Macar. III, 1. Apost. V, 59. Huic cognata proverbia Meinekius Com. Gr. Fr. II, 1, p. 268 composuit.

12. Diogen. III, 76: Macar. II, 96. Apost. V, 28.

13 *Γλαῦξ εἰς Ἀθήνας: ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόντων· ἐπειδὴ τὸ ζῷον πάνυ ἐγχωριάζει Ἀθήναις.*

14 *Γῆ οὐρανὸν συνάπτειν, καί, Γῆ θάλασσαν ἀναμιγνύναι: ἐπὶ τῶν σφόδρα ὀργιζομένων ἀμφότερα.*

15 *Γάλα ὀρνίθων: ἡ παροιμία παρ' Ἀριστοφάνει καὶ Εὐπόλιδι· ἐπὶ τῶν σπανίων καὶ βιαζομένων ἐκ κενῶν ἔχειν τι καὶ ἐξ ἐνδεῶν αἱρεῖν.*

16 *Γλυκὺς ἀπείρῳ πόλεμος: ἐπὶ τῶν ὑπὸ ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους.*

17 *Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος: ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.*

18 *Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει: ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.*

19 *Γυμνότερος παττάλου: ἐπὶ τῶν σφόδρα ἀπόρων.*

20 *Γύγου δακτύλιος: ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Γύγης γὰρ βουκόλος ὢν γῆς ὑπὸ σεισμοῦ ῥαγεί-*

---

2. *τοῦτο τὸ ζ. ἐκεῖ ἐγχωριάζον τυγχάνει* Diogenianus, *ταῖς Ἀθήναις* Suidas, *τοῖς Ἀθηναίοις* Zenob. III, 6 ibique v. C in notis. 3. *γῆ — καὶ* B Suidas om. *γῆ θάλασσαν*] *γῆ* d om. *θάλατταν* B Suidas. 4. *συναναμίγνυσιν* eidem. *ἀμφότερα* Suidas cum reliquis om. Ceterum v. nott. critt. ad Apostolium. 5. Diogenianus nihil nisi *ἐπὶ τῶν σπανίων* explicationis causa addidit. 6. *βιαζόντων* d. 7. *αἴρειν* d. 9. *κίνδυνον* Diogenianus. 10. *γλυκεῖα* d. 11. *μόχθου καὶ ἀφόβως* Diogenianus. 12. *ἀνακορτήσασα* recte Meinekius ad Comicc. Graec. Fragm. III, 188. Etiam vox *ἐμπειρίαν* corrupta videtur. 14. *σφόδρα ἀπορωτάτων* Suidas. 16. *ὑπὸ σεισμοῦ* in Diogeniano om.

13. Diogen. III, 81: Greg. Cypr. M II, 64. Apostol. V, 46.

14. Append. Provv. I, 74: Ars. XIV, 80: Suidas s. *γῆ*. Similiter Plutarchus dixit V. Romul. 28: *ἀπογνῶναι μὲν οὖν παντάπασι τὴν θειότητα τῆς ἀρετῆς ἀνόσιον καὶ ἀγεννές· οὐρανῷ δὲ μιγνύειν γῆν ἀβέλτερον*: Lucian. Prometh. §. 9: *τί οὖν διὰ τούτου ἐχρῆν τὸ τοῦ λόγου, τῇ γῇ τὸν οὐρανὸν ἀναμεμῖχθαι, καὶ δεσμὰ καὶ σταυροὺς καὶ Καύκασον ὅλον ἐπινοεῖν;* Vergil. Aen. V, 790: *maria omnia coelo miscuit:* ib. I, 133: Iuven. Sat. II, 25: *quis coelum terris non misceat et mare coelo, si fur displiceat Verri?:* ei. Sat. VI, 283: Liv. IV, 3, 6: *quid tandem est, cur coelum ac terras misceant?*

15. Diogen. III, 92: Greg. Gypr. M IV, 71. Macar. VI, 49. idem apud Tittmannum in praef. Zonar. I, XCIII: *γάλα ὀρνίθων: ἐπὶ τῶν λίαν εὐδαιμονούντων, ἢ ἐπὶ τῶν σπανίως* (sic): Apost. V, 19: add. Ars. LII, 20. Usurpat Petron. Satyr. 38: *omnia domi nascuntur: ... lacte gallinaceum, si quaesieris, invenies:* v. Sinnerus in Delect. PP. 478: eodem fere sensu ab Alexide Athen. XIV. 654 F *γάλα λαγῶ, γάλα ταῶς* ponuntur.

16. Diogen. III, 94: Greg. Cypr. L I, 74. Macar. III, 1. Apost. V, 51.

17. Diogen. III, 95: Greg. Cypr. M II, 17. Apostol. V, 52.

18. Diogen. III, 97: Greg. Cypr. M II, 57. Macar. III, 6. Apost. V, 64.

19. Diogen. III, 98: Greg. Cypr. M II, 59. Macar. III, 8. Apost. V, 72.

20. Diogen. III, 99: Greg. Cypr.

σης νεκρὸν εὑρὼν φοροῦντα δακτύλιον καὶ τοῦτον περιελόμενος φύσιν ἔχοντα ὥστε κατὰ τὰς στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι καὶ μὴ ὅταν βούληται, εἶχε παρ' ἑαυτῷ· μεθ' οὗ καὶ κτείνας τὸν πρὸ αὐτοῦ ἐβασίλευεν Ἰνδῶν.

21 Γύργαθον φυσᾷς: ἐπὶ τῶν μάτην πονούντων.

22 Γενναῖος εἶ ἐκ βαλαντίου: ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

23 Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται: ἐπὶ τῶν διὰ πλῆθους χρόνου μὴ περιπιπτόντων ἢ νικωμένων ἀπάτῃ.

24 Γλῶσσα ποῦ πορεύῃ, πόλιν ἀνορθώσουσα καὶ πόλιν ἀναστρέψουσα: ἐπὶ τῶν διὰ λόγου ἢ ὠφελούντων ἢ βλαπτόντων.

25 Γέρων βοῦς ἀπένθητος δόμοισιν: ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.

26 Γὺψ κόρακα ἐγγυᾶται: ἐπὶ τῶν ὁμονοούντων ἐπὶ κακίᾳ.

27 Γέλως βάραθρον καὶ γέρουσι καὶ νέοις.

---

1. εὗρε Diogenianus. καὶ — ὥστε] τοῦτον περιεῖλε· ὁ δὲ εἶχε φύσιν, ὥστε Suidas. 2. τὰς Diogenianus om. 3. ὅταν βούληται in Suida om., ὅταν βούληται καὶ μὴ Diogenianus. εἶχε κτλ.] δι' αὐτοῦ ἀπέκτεινε τὸν βασιλέα καὶ ἦρξε Diogenianus, δι' αὐτοῦ κτείνας τὸν πρὸ αὐτοῦ ἐβασίλευσεν Suidas: cf. Apostolius. 4. Ἰνδῶν] debebat Λυδῶν. 6. διὰ τὸν πλοῦτον Zenob. II, 88. 8. ἁλίσκεται πάγῃ Suidas, VB in nott. critt. ad Zenob. II, 7. διὰ πλῆθος Zenobius, Suidas. 9. χρόνου οὐχ ἁμαρτανόντων Diogenianus. 10. ποῖ Zenobius: v. nott. ad Diogen. l. c. 11. ἢ π. ἀναστρέψουσα coniecit Bernhardius ad Suid. s. v.: v. Greg. Cyprium. 14. τελευτώντων Diogenianus. 15. ἐπὶ κακίᾳ] ἐπὶ VB om.

M II, 58. Macar. III, 9. Apost. V, 70. Usurpaverunt plurimi: v. sup. I, 16: Liban. Epist. 1031: σὺ δ' οἴου μετὰ τοῦ δακτυλίου τοῦ Γύγου πάντα δρῶν λανθάνειν: adiungo e Steinhelii Collectaneis Gregor. Nazianz. Oratt. IV, 94, p. 91 Bill.: ἀλλ' οὐκ ἔστιν ὅπως ἑαυτὸν ἀποκρύψει οὐδ' ἂν πολλὰ στραφῇ καὶ παντοῖος γένηται ταῖς ἐπινοίαις, οὐδ' εἰ τὴν Ἄϊδος κυνέην, ὃ δὴ λέγεται, περιθέμενος, ἢ τῷ δακτυλίῳ Γύγου καὶ τῇ στροφῇ τῆς σφενδόνης χρησάμενος, ἑαυτὸν ἀποκλέψειε: ei. Oratt. XLIII, 21, p. 331 Bill.: ᾧ πλέον ἐφρονοῦμεν ἢ τῇ στροφῇ τῆς σφενδόνης ὁ Γύγης, εἴπερ μὴ μῦθος ἦν, ἐξ ἧς Λυδῶν ἐτυράννησεν: ei. Carm. X [155 Bill.], 31: κἂν σοι τὰ Γύγου τοῦ πολυχρύσου παρῇ, Στρέφῃς τε πάντα τῇ στροφῇ τῆς σφενδόνης, Σιγῶν δυνάστης.

21. Greg. Cypr. M II, 77. Apost. V, 69 ibiq. v. nott.: cf. Append. Provv. I, 89.

22. Diogen. IV, 6: Macar. II, 95. Apost. V, 33. VIII, 14: cf. simile adagium apud Greg. Cypr. M III, 24.

23. Diogen. IV, 7: Greg. Cypr. M II, 63. Apost. V, 31.

24. Diogen. IV, 9: Greg. Cypr. L I, 84. Apost. V, 53.

25. Diogen. IV, 11: Greg. Cypr. M II, 6: Apost. V, 36.

26. Append. Provv. I, 90. Simile est sup. I, 96.

27. Veterum sententias, quae ri-

ΑΡΧΗ ΤΟΥ Δ.

28 *Δαφνίνην φορῶ βακτηρίαν: τοῦτο λέγειν εἰώθασιν οἱ ὑπό τινος ἐπιβουλευόμενοι καὶ τοῦ ἐπιβούλου περιγινόμενοι· παρόσον ἀλεξιφάρμακον ἡ δάφνη.*

29 *Δι' ὀξείας δραμεῖν: ἐπὶ τῶν κινδυνευόντων· ὀξεῖαν γὰρ λέγουσι τὴν λόγχην.*

30 *Δίκην ὑφέξει, κἂν ὄκος δάκῃ κύνα: ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.*

31 *Δὶς παῖδες οἱ γέροντες: ἐπὶ τῶν ὑπὸ γήρως εὐηθεστέρων.*

32 *Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν ἐγκρούειν λίθον: ἐπὶ τῶν δευτέρως τοῖς αὐτοῖς περιπιπτόντων.*

---

5. *διακινδυνευόντων* Diogenianus. 7. *δάκνῃ* d, ut CK. *ἐπὶ μικροῖς*] *ἐπὶ* d om. 11. Quum in Zenobio et reliquis *προσκρούειν* inveniret Kusterus, ad Suid. s. *δίς* coniecit legendum versus causa *εἰςκρούειν*: aliam vero eiusdem proverbii formam idem sibi visus est invenisse in nott. ad Suid. s. *μὴ πολλάκις* et quidem hanc: *μὴ πρὸς τὸν αὐτὸν πολλάκις πταίειν λίθον*, quod duxit e Suida s. *πταίειν: πταίειν, προσκρούειν. Καὶ παροιμία· Μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον πταίειν, ἔχοντα καιρὸν ὁμολογούμενον*, ubi verba *μὴ πολλάκις κτλ.* e Polyb. XXXI, 19, 5 sumpta sunt: eadem iterum in Suida s. *μὴ πολλάκις*, a librariis tamen ibi temere inserta, reperiuntur. E Suidae locis, si eos cum nostro contuleris, apparet, duas olim proverbii formas exsum improbant, collegit Maxim. Serm. LXIV.

28. Diogen. IV, 14: Macar. III, 14. Apost. V, 88. VIII, 16. Laurum esse *ἀλεξιφάρμακον* ostendit Niclas ad Geopon. T. II, 794: add. nott. ad Zenob. III, 12.

29. Diogen. IV, 16: Apost. VI, 25.

30. Diogen. IV, 17: Greg. Cypr. M II, 78. Apost. VI, 12. In mente habuisse videtur Michael Acumin. 98 Elliss.: *εἴ τις δὲ ἀναιδέστερον ἀντιβλέπειν αὐτῇ τῇ πηγαίᾳ τῶν ἀκτίνων σφαίρᾳ φιλονεικήσειε, θᾶττον ἂν ὑφέξει δίκην τῆς ἀσυμμέτρου ταῖς κόραις ἀντοφθαλμήσεως.*

31. Diogen. IV, 18. App. Provv. IV, 68: Greg. Cypr. L I, 89. Macar. III, 31. Apost. VI, 28. Schol. ad Axioch. in Boettigeri Scriptt. Minorr. III, 179: *μέμνηται αὐτῆς Κρατῖνος ἐν Δηλιάσι λέγων· Ἦν ἄρ' ἀληθὴς ὁ λόγος ὡς δὶς παῖς γέρων. καὶ Πλάτων ἐν Νόμων α'· οὐ μόνον ἄρα, ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίγνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς. καὶ Μένανδρος Χήρᾳ καὶ Ἀριστοφάνης Νεφέλαις α'*: Schol. ad Iuven. Sat. XIII, 33: *hoc ex proverbio Graeco* *παῖδες δὶς γέροντες*, ad quem locum v. Schopenium e codd. recte *δὶς παῖδες οἱ γέροντες* restituentem. Iuncus ap. Stob. Flor. CXVI, 49: *τῇ τε ψυχῇ [ὁ γέρων], κατὰ τὴν παροιμίαν, παῖς πάλιν γεγονώς*: Incerti Encom. Comae 32, 24 Mill.: ... *καὶ τούτων [τριχῶν] ψιλὴν καταλιπουσῶν τὴν κεφαλήν, συμψιλοῦται καὶ ψυχὴ γνώσεως, ὥστε μὴ μάτην φέρεσθαι τὴν παροιμίαν τὴν δὶς παῖδας τοὺς γέροντας λέγουσαν, οὓς καὶ κρονολήρους καὶ κριομύξας καὶ βεκκεσελήνους καὶ πάντα τὰ τοιαῦτα καλεῖσθαι ἔθος ἐκράτησε*: Auson. Protrept. ad Nepotem praefat. sive Idyll. XXXII: *namque ego haec annis illius magis quam meis scripsi: aut fortasse et meis. Δὶς παῖδες οἱ γέροντες.*

32. Diogen. IV, 19: Greg. Cypr. M II, 32. Apost. VI, 30. Re-

33 *Δειλὸν ὁ πλοῦτος*: ἐπειδὴ οἱ πλούσιοι τὰς οἰκίας ἀσφαλίζονται.

34 *Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρον*: ἐπὶ τῶν ἁρμοδίως κεχρημένων τοῖς πράγμασι.

35 *Δίκης δικαιότερος*: ἐπὶ τῶν ἄγαν δικαίων.

36 *Δαιδάλου ποιήματα*: ἐπὶ τῶν παραδόξων ἔργων· οἱ δὲ ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας.

37 *Δαιδάλου πτερά*: ἐπὶ τῶν δι' ἀπορίαν προςθήκῃ παρελκούσῃ χρωμένων.

38 *Δέχεται καὶ βῶλον Ἀλήτης*: ἐπὶ τῶν μηδὲν ἀποσειομένων. Ἀλήτην γάρ φασι φεύγοντα ἐκ Κορίνθου βουκόλου τινὸς ἀπαντήσαντος αἰτῆσαι τροφὴν κἀκεῖνον φάσκειν

---

stitisse, unam, quae hoc loco a Diogeniano refertur, alteram, *μὴ πολλάκις πρὸς τὸν αὐτὸν πταίειν λίθον. Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὰ προςκρούειν λίθον* Meinekius Com. Gr. Fr. IV, 364 et Nauckius in Schneidewini Philol. II, 158 coniectant. 12. *τοῖς αὐτοῖς*] *ἀποπήμασι* addit Suidas s. *δὶς πρὸς*, quod Bernhardius recte mutat in *ἀτυχήμασι*. Id in paroemiographos reducendum est.

1. Uberius Zenobius proverbium explicat. 3. *ὑποδήματ'* Bergkius in Meinek. Com. Gr. II, 2, p. 1188. Meinekius Com. Gr. T. I, p. 336 ed. min.: at unum calceum uni pedi induimus. *ποδόνιπρον* Zenobius: *ποδονίπτραν* Suidas. Addit Suidas: *Ἀριστοφάνης*, quo nomine Aristophanem grammaticum significari probabiliter iudicat G. Dindorfius ad Aristoph. Com. frr. n. 291. Adstipulantur Bernhardius ad Suid. s. v. et Nauckius Arist. Byz. Fr. p. 236. 6. *οἱ μὲν ἐπὶ* Zenobius, qui in fine *εἰρῆσθαί φασι τὴν παροιμίαν* adiungit. 8. *προςθήκης χρ. παρελκούσῃ* Suidas: Diogeniani verba probat et defendit Bernhardius ad Suidam s. *Δαιδάλου*. 10. *ἐπὶ τῶν πάντα δεχομένων* Diogenianus.

spexit Polybius: v. nott. critt.: item Iulianus, ut videtur, Epist. LIX: *ἀλλὰ καὶ πρὸς τῶν Χαρίτων καὶ τῆς Ἀφροδίτης, εἰ τολμηρὸς οὑτωσὶ καὶ γενναῖος, τί καὶ τρίτον εὐλαβήθης, ἂν δέῃ προςκρούειν*; unde intelligitur, lectionem *προςκρούειν* satis antiquam esse. Ceterum v. Heylerus ad h. l. p. 440.

33. Macar. III, 27. Ars. XVIII, 8: cf. Zenob. III, 35. Eustath. ad Hom. Il. *E*, 12, p. 515, 24: *ἔστι δ' ἐν τούτοις ἰδέσθαι ὑπεμφαινόμενον καὶ ὡς δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν*: v. nott. ad Apost. l. c. et Macar. VIII, 60.

34. Zenob. III, 36.

35. Diogen. IV, 22: Apostol. VI, 14.

36. Greg. Cypr. L I, 90. Macar. III, 14 Apost. V, 79: cf. nott. ad Zenob. III, 7. Proverbii originem exponit Schol. Plat. 367 Bekk.: *τῶν πάλαι δημιουργῶν πλαττόντων τὰ ζῶα συμμεμυκότας ἔχοντα τοὺς ὀφθαλμοὺς καὶ οὐ διεστηκότας τοὺς πόδας, ἀλλ' ἑστῶτα σύμποδα, Δαίδαλος ἄριστος ἀγαλματοποιὸς ἐπιγεγονὼς πρῶτος ἀναπετάννυσί τε τὰ τούτων βλέφαρα, ὡς δόξαι βλέπειν αὐτὰ, καὶ τοὺς πόδας, ὡς νομίσαι βαδίζειν, διΐστησι· καὶ διὰ τοῦτο δεδέσθαι, ἵνα μὴ φύγοιεν, ὡς δῆθεν ἐμψύχων ἤδη γεγονότων αὐτῶν*. Usurpavit Cratinus, de quo v. Meinekius Com. Gr. II, 1, 62: Dio Chrysost. Or. 37, p. 105 R.: *ὁ δ' ἀνδριὰς τῶν Δαιδάλου ποιημάτων ἔτυχεν ὢν καὶ λαθὼν ἡμᾶς ἀπέδρα*.

37. Diogen. IV, 25: Macar. III, 12. Apost. V, 83.

38. Diogen. IV, 27: Macar. III, 19. Apost. V, 91.

ὡς οὐκ ἔχει, ἄραντα δὲ βῶλον δοῦναι αὐτῷ ὡς τοῦ Διὸς ὄντα, τὸν δὲ εἰπεῖν· *δέχεται καὶ βῶλον Ἀλήτης.*

39 *Δικαιότερος σταχάνης:* σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν· ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων.

40 *Δικτύῳ ἄνεμον θηρᾶν:* ἐπὶ τῶν μάτην πονούντων.

41 *Διὰ δακτυλίου δεῖ σε ἑλκυσθῆναι:* ἐπὶ τῶν διὰ νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γενομένων.

42 *Δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην:* ἐπὶ τῶν φιλονεικούντων καὶ συμπλεκόντων μάχας καὶ κρίσεις.

43 *Δελφῖνα νήχεσθαι διδάσκεις:* ἐπὶ τῶν παιδοτριβούντων τινὰς ἐν ἐκείνοις οἷς ἤσκηνται ἤγουν ἐδιδάχθησαν.

44 *Δελφῖνα πρὸς οὐραῖον δεῖς:* ἐπὶ τοῦ ἀδυνάτου, διὰ τοῦ εὐκίνητον εἶναι· λέγεται δὲ πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ παρ' ἄλλου διδόμενα ἢ ἃ ἔχουσι.

45 *Δεύτερος πλοῦς:* ταύτην τὴν παροιμίαν σαφῆ ποιεῖ *Φιλήμων*· πλοῦς + δεύτερός ἐστι δήπου λεγόμενος, Ἂν ἀποτύχῃ** τοῦ οὐρίου καὶ κώπαις πλεῖ· οἷον *δευτέρα γνώμη* καὶ *πρᾶξις*. Ἡ μεταφορὰ ἀπὸ τῶν ναυτιλλομένων.

---

3. δικαιότερον Suidas. σταγάνες d et mox σταγάνην. 4. τριτάνην d. ἀγαπόντων d. 5. θηρᾷς Diogenianus. μάτην] ἀνοήτως τε idem: v. Zenob. III, 17. 6. δακτύλου d. 8. βλάβην βλάβη Zenobius. 10. Aliis verbis utitur in explicatione Diogenianus. 11. ἐν οἷς ἤσκηνται Suidas. 12. τοὐραῖον Diogenianus. 13. λέγεται κτλ. in Diogeniano desunt. 16. Stobaeus l. c. recte ὁ δεύτερος πλοῦς. ἂν — πλεῖ] ἂν ἀποτύχῃ τις πρῶτον, ἐν κώπαισι πλεῖν Stobaeus, quod recte defendit Meinekius ad Menand. et Philem. Rell. p. 83 sq.; alii voluerunt: ἂν ἀποτύχῃ τις οὐρίου, κώπαισι πλεῖν: v. Meinekius. Nostro autem loco rectius correxeris: ἂν ἀποτύχῃ τις πρῶτον, ἐν κώπαισι πλεῖν. Λέγεται δέ, ὅτε ἀπέτυχέ τις οὐρίου καὶ κώπαις πλεῖ· οἷον κτλ.: v. Eustath. in adnott. ad Greg. Cypr. P l. c. propositum. Unde signa lacunae posui.

39. Diogen. IV, 28: Greg. Cypr. L I, 91. Macar. III, 30. Apost. VI, 8.
40. Diogen. IV, 29: Apost. VI, 13.
41. Diogen. IV, 30: Greg. Cypr. M II, 82. Apostol. VI, 22.
42. Greg. Cypr. L I, 87. Apostol. VI, 10: cf. Zenob. III, 28. Cum similibus composuit Lobeckius ad Soph. Aiac. 522: latine expressit Publ. Syr. Sent. 2: *ab altero exspecta, alteri quod feceris.*
43. Diogen. IV, 33: Macar. III, 22. Apost. V, 97. Similiter ἰχθὺν ν. δ. dicitur: Greg. Cypr. L II, 31.
44. Diogen. IV, 37: Apost. V, 92.
45. Greg. Cypr. M II, 86. Macar. III, 20. Apostol. V, 99: cf. ann. ad Greg. Cypr. P II, 21. Usurpat Polyb. VIII, 2, 6: ἐπεὶ δὲ σπάνιον εὑρεῖν ἐστι τὸ τοιοῦτον, δεύτερος ἂν εἴη πλοῦς τὸ τῶν κατὰ λόγον φροντίζειν. De usu vocis δεύτερος addo Euripidis versum αἱ δεύτεραί πως φροντίδες σοφώτεραι et proverbium δευτέρων ἀμεινόνων: v. Apost. V, 89. Similiter δεύτερος λιμήν, δευτέρα εὐχή dixerunt Patres: v. Cotellerus ad PP. Apost. T. II, p. 98. Philemonis versus a Stob. Flor. LIX, 9 Menandri Thrasyleonti

ΑΡΧΗ ΤΟΥ Ε.

46 Ἐν νυκτὶ βουλήν: ἐπὶ τῶν ἀσφαλῶς βουλευομένων. παρόσον ἡ νὺξ ἡσυχίαν ἄγει.

47 Ἔσχατος Μυσῶν: ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων.

48 Ἐνδυμίωνος ὕπνον καθεύδεις: ἐπὶ τῶν ὑπνηλῶν· ἐπειδὴ ἔν τινι πόλει τῆς Καρίας ὁ Ὕπνος ἐρασθεὶς παιδός τινος Ἐνδυμίωνος καλουμένου ἔτι καὶ νῦν αὐτὸν λέγεται κατέχειν κοιμώμενον.

49 Ἐπιμενίδου ὕπνον: παρόσον αὐτὸς πεντήκοντα ἔτη ἐκάθευδεν ἢ ἑπτά.

50 Ἐς Τροφωνίου μεμάντευται: ἐπὶ τῶν σκυθρώπων καὶ ἀγελάστων.

---

2. βουλή Zenobius cum reliquis. 4. Μουσῶν d. πλεῖν proverbio addunt Suidas, alii. 5. Ἐνδημίωνος d. 6. Καρύας d: v. VB in nott. critt. ad Zenob. III, 76. 7. Ἐνδημίωνος καλουμένω d. 10. ἐκάθευσεν d. Nonnulla verba in explicatione excidisse videntur: v. Apost. VII, 72: οὗτος γὰρ ὁ Ἐπιμενίδης ἔζησεν ἑκατὸν πεντήκοντα ἔτη· τὰ δὲ ἓξ ἐκάθευδε. 11. εἰς Zenobius.

adscriptos inter Menandrea Meinekius Comm. Grr. Rell. IV, p. 139 recepit: sed Stobaeus ni fallor fidem non meretur, quum Scholiasta Platon. 381 Bekk., quem v. in nott. ad Macar. III, 20, omnes ut videtur Menandri fabulas, in quibus proverbii facta est mentio, enumerans, Thrasyleontem non nominet.

46. Greg. Cypr. L II, 4. Apost. VII, 46: cf. Zenob. III, 97: add. Etym. Magn. 399, 50: Εὐφρόνη, ἡ νύξ. παρὰ τὸ εὖ φρονεῖν ἡμᾶς ἐν αὐτῇ· καὶ ὁ χρησμὸς, καὶ ἡ βουλή· καὶ γὰρ ὁ λογισμὸς, ὅτε ἀσχολεῖ, κριτὴς γίνεται τῶν πραγμάτων. Plutarch. Themistocl. 26: εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς Ὄλβιος ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγὸς ἔκφρων γενόμενος καὶ θεοφόρητος ἀνεφώνησε μέτρῳ ταυτί, Νυκτὶ φωνήν, νυκτὶ βουλήν, νυκτὶ τὴν νίκην δίδου: Cornut. de Natura Deor. 14, p. 161 Gal.: εὐφρόνην γὰρ οἱ ποιηταὶ οὐ δι' ἄλλο τι τὴν νύκτα ἐκάλεσαν· καὶ Ἐπίχαρμος αὐτίκα φησίν· Αἴτε τι ζητεῖ σοφόν τις, νυκτὸς ἐνθυμητέον· καὶ· Πάντα τὰ σπουδαῖα νυκτὸς μᾶλλον ἐξευρίσκεται: addit Bernhardius ad Suid. s. v. Herodotum VII, 12: νυκτὶ δὲ βουλὴν διδοὺς [Xerxes], πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα.

47. Greg. Cypr. L II, 77. Macar. VI, 3. Apost. VII, 100: cf. Append. Provv. II, 85.

48. Diogen. IV, 40: Greg. Cypr. M III, 11. Macar. III, 89. VIII, 51: Apost. VII, 41.

49. Greg. Cypr. M II, 96.

50. Gregr. Cypr. M II, 97. Macar. III, 63. Apost. VI, 82. XVII, 74: cf. Zenob. III, 61: add. Scholl. ad Greg. Nazianz. Oratt. p. 128 Mont. sive Cosmas ad eiusd. Carm. LXIV in A. Maii Spicil. Rom. II, p. 184: Τροφώνιος δὲ καὶ Ἐμπεδότιμος ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας πόλεως Λεβαδίας, μάντεις δὲ τὰς τέχνας· καὶ οὗτοι δὲ βουλόμενοι κενοδοξῆσαι καὶ δεῖξαι ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ἔν τισιν ὑποβρυχίοις ἔβαλον τόποις ἐπὶ τῷ τεθνάναι καὶ μηδὲν εὑρεθῆναι αὐτῶν τὰ λείψανα· ἐγνώσθησαν δὲ ὅτι ἐν σπηλαίοις ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι τὸν τόπον· ἔστι δέ τις παροιμία, ἡ λέγουσα· εἰς Τροφωνίου μεμάντευσαι· εἴρηται δὲ ἐπὶ τῶν ἀγελάστων καὶ ὠχριώντων· πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνήει καὶ

51 *Ἐγκιλικίζεται: κακοηθεύεται, κακοποιεῖ· διαβεβόηνται γὰρ ἐπὶ πονηρίᾳ οἱ Κίλικες· ἐντεῦθεν λέγεται καὶ ἐγκεκιλικισμένος αἰσχρῶς.*

52 *Εἷς ἀνὴρ οὐδεὶς ἀνήρ: παρόσον ὑφ' ἑνὸς ἀνδρὸς οὐδὲν κατορθοῦται.*

53 *Εἰς ἀρχαίας φάτνας: ἐπὶ τῶν ἀπολαύσεώς τινος ἐκπεσόντων, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν παλινδρομησάντων δίαιταν.*

54 *Εἰς μελίττας ἐκώμασας: ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόως.*

55 *Εἰς πάγας ὁ λύκος: ἐπὶ τῶν εἰς προῦπτον κίνδυνον ἡκόντων.*

---

2. *ἐντεῦθεν λέγεται καὶ Κιλίκιος ὄλεθρος* Suidas cum Append. Provv. l. c. 6. *ἀπολαύσεως*] *ἀπολαβόντων* d. 9. *γ' ἐκώμασας* Suidas. 12. *ἱκόντων* d. Melius explicat Suidas: *ἐπὶ τῶν πονηρῶν, ὅταν εἰς προῦπτον ἐμπέσωσι κίνδυνον.*

ὠχριῶν διηνεκῶς. ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριεύσαντες καὶ μηδέποτε ἐν τῷ ὑποβρυχίῳ γελάσαντες τεθνήκασιν· ἠξιώθησαν δὲ Τροφώνιος καὶ Γανυμήδης — sic — *ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι διὰ τὸ κτίσαι αὐτοὺς τὸ ἐν Δελφοῖς ἱερὸν τοῦ Ἀπόλλωνος ἀπὸ οἰκείων χρημάτων, μέμνηται δὲ τούτων καὶ ἀλλαχοῦ Γρηγόριος ὁ θεῖος ὧδε φάσκων· Καὶ Τροφωνίου κατὰ γῆς παίγνια καὶ μαντεύματα* [Oratt. 39, 5, p. 626 Bill.]. *ἐποίουν δὲ τελετάς τινας οἱ κατιόντες ἐν τῷ Τροφωνίου σπηλαίῳ μαντεύεσθαι καὶ ὡς χρησμῳδηθέντες ἀνῄεσαν ὠχροὶ καὶ ἀγέλαστοι*: eadem fere leguntur in Scholl. ad Greg. Nazianz. a Th. Gaisfordo in Catal. Codd. Clark. editis p. 52.

51. Append. Provv. II, 7. *Ἐγκιλικίζειν* restituit Aristophani Bergkius in Meinekii Com. Gr. Fr. II, 2, 990. Ceterum vide de *κιλικίζειν, αἰγυπτιάζεσθαι* et similibus quae dixi in annott. ad App. Provv. IV, 73: add. nunc ann. ad Macar. III, 18, ad Apost. I, 67, verbum *καυνιάζειν*, de quo v. Scholl. ad Aristoph. Pac. 1081 coll. Apost. IX, 35, et Nauckius ad Aristoph. Byz. Fragm. 179.

52. Greg. Cypr. L II, 3. Macar. III, 52. Ars. XXII, 8: cf. Zenob. III, 51. Utitur Dio Chrysost. Or. XLVIII, 241 Reisk.: *ἣν [πόλιν] ἐγὼ πολλὰ δύναμαι σὺν τοῖς θεοῖς ἀγαθὰ ποιῆσαι, τούτους ἔχων συναγωνιζομένους, λέγων τὸ τῆς παροιμίας, εἷς ἀνὴρ οὐδεὶς ἀνήρ*: Heliod. Aethiop. I, c. 32, p. 50 Cor.: *τοῦ δὲ ἀμυνομένου, ... θαύματος ἦν ἐπέκεινα τὸ γιγνόμενον· εἷς γὰρ οὐδεὶς ξίφος οὔτε ἔβαλεν, οὔτε ἔφερεν, ἀλλ' ἅπασαν ἕκαστος εἰςεφέρετο σπουδὴν ζῶντα λαβεῖν*: cf. Apostol. VI, 55. Simile huic proverbio, ut notat Meinekius Comm. Graecc. Fr. IV, 698, est quod servavit Hesychius: *ἓν οὐδέν: ἐπὶ τοῦ ὀλίγου λέγεται*: contrarium *εἷς ἐμοὶ μύριοι* apud Cicer. Epist. ad Attic. XVI, 11, 1. legitur, ubi v. Victorius.

53. Greg. Cypr. M III, 1. Macar. III, 51. Apost. VI, 60: cf. Zenob. III, 50.

54. Greg. Cypr. L II, 6. Apost. VI, 70: cf. Zenob. III, 53. App. Provv. II, 27.

55. Greg. Cypr. L II, 5. Macar. III, 53. Ars. XXII, 46: cf. Zenob. III, 52.

56 *Ἐκ δυοῖν τρία βλέπεις:* τοῦτο λέγεται ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων οὐδὲ εἰλικρινεῖς ἐχόντων τὰς αἰσθήσεις.

57 *Ἐκπερδικίσαι:* τὸ διολισθῆσαι καὶ ἀποδρᾶναι· ἀπὸ μεταφορᾶς τῶν περδίκων, ὅτι πανοῦργον τὸ ζῷον καὶ διαδιδράσκον τοὺς θηρευτάς.

58 *Εἰ μὴ δύναιο βοῦν, ἔλαυνε ὄνον:* ἐπὶ τῶν καταραττόντων † ὃ κατὰ δύναμιν ἔχουσιν.

59 *Εἰς ὕδωρ σπείρεις:* ἐπὶ τῶν μάτην πονούντων. Ἴσον τό· *Καθ' ὕδατος γράφεις.*

60 *Εἴη μοι τὰ μεταξὺ Κορίνθου καὶ Σικυῶνος:* ἐπὶ τῶν τὰ κάλλιστα καὶ λυσιτελέστατα ἑαυτοῖς εὐχομένων. Ἐπειδὴ μεταξὺ τῶν εἰρημένων πόλεων εὐφορώταται χῶραι εἰσίν.

61 *Εἰς πῦρ ξαίνεις:* ἐπὶ τῶν μάτην πονούντων κακοπαθείᾳ, ὁμοία τῇ λεγούσῃ· *Κατὰ πετρῶν σπείρεις·* καὶ *Εἰς οὐρανὸν τοξεύεις·* καὶ *Νεφέλας ξαίνεις·* καὶ *Τὸν λέοντα ξυρᾷς.*

---

1. *ἐν δυοῖν* in quibusdam antiquis exemplaribus scriptum inveniri adnotavit Erasmus III, 1, 6: v. nott. critt. ad Greg. Cypr. P II, 29. *δυεῖν* Suidas. 2. *ὀξυδερκούντων* Hesychius. *εἰλικρινεῖς* d. 3. *αἰσθήσεις*] *ὁράσεις* Suidas. 4. *ἐκπερδικῆσαι* d, Suidas, Antiatticista Bekkeri, KB in nott. ad Greg. Cypr. P l. c. *ἀποδιδράναι* d: v. vv. ll. ad Suid. s. *διαδιδράσκει*, s. *διαδρᾶναι* et Emperius ad Dion. Chrysost. Oratt. T. I, 52 Reisk. 5. *διαδιδράκον* d. 6. *θηρῶντας* B, Hesychius. 7. *ἔλαυνε δ' οὖν ὄνον* Bernhardio ad Suid. s. v. pristina scriptura fuisse videtur: melius Meinekius Comm. Rell. IV, 698: *εἰ μὴ δύναιο βοῦν ἐλᾶν, ἔλαυν' ὄνον.* *καταραττόντων*] scribendum videtur: *πράττειν παραινούντων*: Suidas: *ἐπὶ τῶν ὃ κατὰ δύναμιν ἔχουσι πράττειν παραινούντων*: v. Zenobium. 9. *σπείρειν* Zenobius. 11. *εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος*, Suidas, adiecta hac explicatione: *Αἰσώπῳ τῷ μυθογράφῳ χρωμένῳ περὶ πλούτου ὁ θεὸς ἀνεῖλε τὸ λόγιον τοῦτο· εὔφορος γὰρ αὕτη ἡ χώρα.* 15. Plenius explicat Schol. ad Plat. Legg. VI fin. p. 452 Bekk.: *παροιμία ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων μάτην ἢ λεγόντων ἢ κακοπαθούντων λεγομένη.*

56. Greg. Cypr. M III, 2. Apost. VI, 88: cf. nott. ad Greg. Cypr. P II, 29.

57. Greg. Cypr. M III, 3. Apost. VI, 96: cf. Greg. Cypr. P II, 30.

58. Apost. VI, 51: v. Zenob. III, 54.

59. Macar. III, 55: Zenob. III, 55. *Καθ' κτλ.*] Diogen. V, 83: Macar. IV, 95. V, 50. Mant. Provv. s. *καθ' ὕδατος.*

60. Macar. III, 58: cf. Zenob. III, 57. De nobilissimae fertilitatis agro Sicyonem inter et Corinthum sito veterum testimonia diligenter composuit Gompfius Sicyon. I, 14 sq. Profecit ex hoc proverbio Libanius Epist. 374: *πῶς ἔχαιρον, οἴει, καὶ μετὰ πόσου τοῦ γέλωτος ἔλεγον, τῷ νυμφίῳ μὲν δεδόσθαι παρὰ τῆς μητρὸς γῆν ἀτεχνῶς τὸ μέσον Κορίνθου καὶ Σικυῶνος*: ibid. 754.

61. Macar. III, 60, Apost. VI, 72.

62 *Ἐκτὸς πηλοῦ τοὺς πόδας ἔχεις: ἐπὶ τῶν ἔξω κινδύνου καθεστώτων· ἴσον τῷ· Ἔξω βελῶν** ἑαυτὸν ποιεῖς.*

63 *Ἐκ τριχὸς κρέμαται: ἐπὶ τῶν σφόδρα κινδυνευόντων· ὡς· Ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς.*

64 *Ἐλέφαντος διαφέρεις οὐδέν: ἐπὶ τῶν ἀναισθήτων· παρόσον καὶ τὸ ζῶον τοιοῦτον.*

65 *Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν: ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ εὐθέως τῶν μειζόνων· ὡς εἴ τις μανθάνει κεραμεύειν πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν πράττειν, πίθον*

---

1. *ἐκ τοῦ πηλοῦ* d. 2. *βελῶν*] in d nullum lacunae vestigium exstat. Scribe: *Ἔξω βελῶν καθῆσθαι: παροιμία παραινοῦσα μακρὰν τῶν βελῶν τῶν ἐναντίων ἑαυτὸν ποιεῖν.* 4. *ἵσταται καὶ ἐπ' ἀκμῆς* d. *ταὐτὸ δέ ἐστι τῷ· Ἐπὶ ξυροῦ βαίνειν* Diogenianus. 7. *κεραμίαν* d. 9. *μειζόνων*] addit Suidas: *τουτέστι τῶν παριέντων τὰς πρώτας μαθήσεις καὶ ἐφιεμένων τῶν τελευταίων.*

IX, 100: Zenob. V, 27. *Κατὰ π. σπ.*] Suid. s. *εἰς πῦρ.* Apost. IX, 100: v. nott. ad Append. Provv. III, 67. *Εἰς οὐρ. τ.*] Macar. III, 60. Apost. VI, 71: cf. Zenob. III, 46: explicationem adagii ex C in nott. ad Zenob. l. c. propositam illustrat Herod. IV, 94 coll. Iacobo Grimmio Mythol. I, 19. *Νεφ. ξ.*] Diogen. VI, 83: infr. III, 35. Greg. Cypr. M IV, 48. Apost. XII, 59. *Τὸν λ. ξυρ.*] Diogen. VI, 25: Macar. V, 50. Apost. XI, 8: Thom. Magist. 251 Ritschl.: .. *Ἀριστείδης ἐν Περικλεῖ* (III, 238 Jebb., II, 192 Dind.]· *μὴ λέοντα ξυρεῖν δόξωμεν:* Lucian. Cynic. §. 14: *καὶ οὐκ ἂν ὑπέμεινεν οὐδὲ εἷς αὐτῶν οὐδὲν μᾶλλον, ἢ τῶν λεόντων τις ξυρώμενος.*

62. Greg. Cypr. M III, 22. coll. II, 32. Macar. III, 67. Arsen XXII, 94: cf. Zenob. III, 62. *Ἔξω β.*] Diogen. IV, 71: Greg. Cypr. M III, 48. Apost. VII, 53.

63. Diogen. IV, 41: Greg. Cypr. M III, 23. Apostol. VI, 100. *Ἐπὶ — ἀκμῆς*] Macar. IV, 7: Diogen. l. c.: Mant. Provv. s. *ἐπὶ ξυροῦ* ibiq. nott. Proverbium ex Homero fluxit: v. Append. l. c.: usurpaverunt multi: Lucian. Iov. tragoed. §. 3: *ἐν ἐσχάτοις, ὦ Ἥρα, τὰ θεῶν πράγματα, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, ἐπὶ ξυροῦ νῦν ἕστηκεν, εἴτε χρὴ τιμᾶσθαι ἡμᾶς ἔτι κτλ.*: Aelian. apud Suid. v. *ἀκμή: καὶ αὐτὸ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν*: Damascius in Photii Biblioth. 1065 R.: *ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξυροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς:* Procop. Bell. Gothic. IV, 9: *ὁ δὲ τοῦ καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκ ἔτι ἀντιλαβέσθαι οἷός τε ἐγεγόνει:* Greg. Nazianz. Oratt. XV, 11, p. 408, Bill.: *καὶ ὡς ἐπὶ ξυροῦ τὰ πράγματα εἱστήκει τότε παντὶ τῷ τῶν Ἑβραίων γένει, τὰ τῆς ἐκείνων ἀθλήσεως:* Manuel Palaeol. in Combefisii Auctar. Patt. T. II, 1085: *ἀλλ' ἐν τούτοις ἱσταμένων τῶν πραγμάτων, ὡς ἐπὶ ξυροῦ, φασίν, ἡ καλῶς ἰθύνουσα σοφία τόδε τὸ πᾶν, ... οὐκ εἴασε πράττειν τὰ κατὰ νοῦν:* cf. Boissonadus ad Theognid. 557.

64. Diogen. IV, 43: Greg. Cypr. L II, 9. Apost. VII, 4. Epinicus apud Athen. XI, 497 B, vs. 7: *οὐδὲν ἐλέφαντος γὰρ διαφέρεις οὐδὲ σύ.*

65. Diogen. IV, 44: Greg. Cypr. M III, 28. Macar. III, 90. Apost. VII, 31. Usurpat Michael Acum. Monod. in Eustath. p. 81 Elliss.: *ἀμαθὲς γὰρ καὶ σφαλερὸν οἶδεν ἡ παροιμία τὸ ἐν πίθῳ τὴν κεραμείαν διδάσκεσθαι.*

ἐγχειροίη ποιεῖν. Δικαίαρχος δὲ ἕτερόν τι φησὶ τὴν παροιμίαν δηλοῦν· οἱονεὶ τὴν μελέτην ἐν τῷ ὁμοίῳ ποιεῖσθαι, ὡς κυβερνήτης ἐπὶ νηὸς καὶ ἡνίοχος ἐφ' ἵππων.

66 **Ἐλέφας μῦν οὐχ ἁλίσκει**: ἐπὶ τῶν τὰ μικρὰ καὶ φαῦλα ὑπερορώντων.

67 **Ἐλέφαντα ἐκ μυίας**: ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων.

68 **Ἐλεύθεραι αἶγες ἀρότρων**: ἐπὶ τῶν βάρους τινὸς ἢ κακοῦ λυτρουμένων.

69 **Ἐν σκότῳ ὀρχεῖσθαι**: ἐπὶ τῶν ἀμάρτυρα μοχθούντων, ὧν τὸ ἔργον ἀφανές.

70 **Ἐν θέρει τὴν χλαῖναν τρίβεις**: ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

71 **Ἐν μέλιτι σαυτὸν καταπλάττεις**: ἐπὶ τῶν ἡδυπάθειαν μεταδιωκόντων.

72 **Ἐνδύεταί μοι τὴν λεοντῆν**: ἐπὶ τῶν μεγάλοις ἐπιχειρούντων πράγμασιν· ἐκ μεταφορᾶς τοῦ Ἡρακλέους.

73 **Ἐρήμην ἁλῶναι**: αὕτη ἡ παροιμία λέγεται ὅταν μὴ ἀπαντήσας ὁ ἀντίδικος ἐπὶ τὴν κρίσιν καταδικασθῇ.

---

1. ἐγχειρίῃ d. 3. ἐπὶ τῆς νηὸς et ἐπὶ τῶν ἵππων Zenobius. 4. De proverbii scriptura v. nott. ad Apostolium. καὶ] ἢ Diogenianus. 5. παρορώντων idem. 6. ἐλέφαντας Diogenianus. μύας d. μυίας ποιεῖς Diogenianus: verbum etiam Suidas omittit. 7. μεγαλοποιούντων Zenobius III, 68. 8. βάρους — λυτρουμένων] βάρους ἀπηλλαγμένων Diogenianus. 11. ὧν κτλ. om. Diogenianus. 12. κατατρίβεις Diogenianus cum reliquis. 14. καταπάττεις Diogenianus male cum reliquis: depravatio orta videtur e proverbio, quod infr. III, 30 affertur. καταχρύπτεις Gregorius Cyprius. ἡδυπαθεῖν Diogenianus. 15. διωκόντων idem. 16. ἐνδύετε με corrupte Diogenianus. 17. Ἡρακλέος d. πράγμασιν κτλ. in Diogeniano desunt. 18. Apud Zenobium III, 84 et Diogenianum explicationi praefigitur dictio: ἐρήμη δίκη: Suidas cum Photio exhibet: ἐρήμη δίκη: ὅταν μὴ ἀπ. ὁ διωκόμενος ἐπὶ τὴν δίκην καταδικασθῇ· ὅμοιον καὶ τὸ ἐρήμην ἁλῶναι. Hinc verosimile fit, a Diogeniano in explicationis fine verba adiecta esse: ὅμοιον καὶ τὸ ἐρήμη δίκη.

66. Diogen. IV, 45: Greg. Cypr. M III, 21. Macar. III, 75. Apost. VII, 8.
67. Diogen. IV, 46: Greg. Cypr. M III, 4. Apostol. VII, 5.
68. Diogen. IV, 47: Greg. Cypr. M III, 26. Macar. III, 76. Apost. VII, 1.
69. Diogen. IV, 50: Greg. Cypr. M III, 29. Apost. VII, 45. Erasmo indice I, 9, 40 proverbium Plato respexit Reip. VIII, 558 D: βούλει οὖν, ἦν δ' ἐγώ, ἵνα μὴ σκοτεινῶς διαλεγώμεθα, πρῶτον ὁρισώμεθα τάς τε ἀναγκαίους ἐπιθυμίας καὶ τὰς μή;
70. Diogen. IV, 51: Greg. Cypr. L II, 1. Apost. VII, 18 et nott. critt. ad eiusd. XI, 50.
71. Diogen. IV, 53: Greg. Cypr. M III, 10. Apost. VII, 44.
72. Diogen. IV, 54. Greg. Cypr. M. III, 12. Apost. VII, 47.
73. Diogen. IV, 67: Apost. VII,

74 *Ἔκκλητοι δίκαι: αἱ περὶ ξένης λεγόμεναι [καὶ] οὐκ ἐν τῇ πόλει.*

75 *Ἑτερομόλιος δίκη λέγεται εἰς ἣν ἀντίδικοι οὐκ ἦλθον.*

76 *Ἐξετρίβη δίκην πίτυος: ἐπὶ τῶν παντελῶς ἀφανισθέντων.*

77 *Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν: ἀποτρεπτικὴ τοῦ θαλαττοπλεῖν.*

---

1. *ἔγκλητοι* male Appendix. *περὶ*] *ἐπὶ* VB Hesychius. *καὶ* inserui ex eisdem. 2. *ἐντὸς πόλεως* VB. 3. *οἱ ἀντίδικοι* Diogenianus. 4. *εἰςῆλθον* Diogenianus. 7. *κρεῖσσον πένεσθαι ἐν γῇ ἢ* Etym. M., *κρεῖσσον ἐν γῇ πένεσθαι ἢ* Anecdd. Oxon., Suidas. *μᾶλλον*] *κρεῖττον* Stobaeus. 8. *θαλαττοπλεῖν* verbum aliunde ut videtur non notum. Ceterum apud Diogenianum explicatio deest: a nostra diversam praebet C in nott. critt. ad Diog. l. c.

90: Scholl. ad Plat. Apol. init. p. 330 Bekk.: *ἐρήμη δίκη ἐστίν, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ* [convenit Hesych. s. v.]. 𝔄: *ἀντὶ τοῦ εἰς ἐρήμην δίκην κατηγοροῦντες. λέγεται καὶ ἐρήμην ἁλῶναι ἀντὶ τοῦ εἰς ἐρήμην δίκην ἐμπεσεῖν. ἐρήμη δὲ δίκη λέγεται ἡ μὴ ἔχουσα τὸν ἀπολογούμενον*: alio modo explicat Lex. Rhetor. Bekkeri: v. Anecdd, I, 245, 14: cf. Zenob. III, 84. Usus est Lucian. Toxar. 11: *Ἕλληνας δὲ πάντας, τοσαῦτα ἔθνη καὶ τοσαύτας πόλεις ἐρήμην ὑπὸ σοῦ ἁλῶναι*: eiusd. Piscat. §. 32: *ἐξ ἐρήμης ἁλίσκεσθαι* dixit idem Abdicat. §. 8: alia collegerunt intt. Hesychii s. v., Wesselingius ad Diod. XIII, 5: add. Plutarch. Alcib. 22: *ἐρήμην αὐτοῦ καταγνόντες καὶ τὰ χρήματα δημεύσαντες.*

74. Hesych. Append. Provv. II, 8 ibiq. nott.: add. interpp. Hesychii et L. Dindorfius in Stephani Thes. L. Gr. s. v. *ἔκκλητος.*

75. Diogen. IV, 69: Apost. VIII, 3.

76. Usurpat Aelianus apud Suid. s. *δίκην: τρόπον. Καὶ ὁ μὲν ἐξετρίβη πίτυος δίκην, ῥιφεὶς εἰς θάλασσαν καὶ δίδωσι δίκας αὐτῷ γένει*: ubi Kusterus haec disputat: »videtur fragmentum hoc depromptum esse ex libro Aeliani de providentia, ex quo non pauca loca Suidam in lexicon suum transtulisse constat. Certe idem Aelianus phrasi hac usus est, Var. Hist. VI, 13, ubi sic inquit: *καλῶς τὸ δαιμόνιον ἐπὶ τριγονίαν τυραννίδας μὴ ἄγον, ἀλλὰ ἢ παραχρῆμα ἐκτρίβον τοὺς τυράννους πίτυος δίκην κτλ.* Vide in eum locum interpretes. Eleganter autem illi, qui funditus intereunt, piceae instar exstirpari dicuntur, quod arbor illa semel excisa nunquam renasci et repullulare credatur. Eustath. in Il. *Λ*, 42: *Τινὲς δὲ ἐχεπευκὲς εἶπον τὸ θανάσιμον καὶ ἐκτέμνον τοῦ βίου τὸν βληθέντα δίκην πεύκης· παρόσον ἡ πεύκη κοπεῖσα οὐκέτι ἀναβλαστάνει.* Lege ibi et sequentia.« Quibus adiicit Bernhardius: »Infirmo valde argumento usum Kusterum, quo fragmentum hoc Aeliano vindicaret, censet Lennepius in Phalar. p. 48. Valckenarius dubitabat, utrum Aeliani habendum esset an Eunapii. Sed quoniam dictionis fundus est Herodotus VI, 37, a cuius formulis et sententiis totus pendet Aelianus, Kuesterum probare placet.« Addo Tzetz. Chiliad. I, 740: *Πίτυος δίκην ἔσπευδον τοὺς Σικελοὺς ἐκτρίψαι*: cf. nott. ad Zenob. V, 76 et infr. III, 60 et Creuzerum apud Baehrium ad Herod. l. c.

77. Greg. Cypr. L II, 14. Macar.

78 *Ἐπὶ ἐσπαρμένοις σπείρεις: ἐπὶ τοῖς ὑπὸ ἄλλων πονηθεῖσιν αὐτὸς σεμνύνῃ.*

ΑΡΧΗ ΤΟΥ Ζ.

79 *Ζῇ χύτρα ζῇ φιλία: ἐπὶ τῶν διὰ τοῦ δείπνου συνιόντων εἰς φιλίαν.*

80 *Ζωὸς γενήσῃ κρομμύου μόνον λαβών: πρὸς τοὺς ἀπὸ μικρᾶς αἰτίας μεγάλην δόξαν καρπουμένους.*

81 *Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα: ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων.*

ΑΡΧΗ ΤΟΥ Η.

82 *Ἢ δεῖ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν: τῆς χελώνης ὀλίγα μὲν κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν ἡ παροιμία ὑποτίθησιν ἢ μηδόλως ἀπάρξασθαι πρᾶγμά τι, ἢ ἀπαρξαμένου τούτου μὴ ἀτελὲς ἐᾶν, ἀλλὰ καὶ τέλος ἐπιτιθέναι. Ἕτεροι δέ φασιν εἰρῆσθαι ἐπὶ*

---

4. *ζεῖ — ζῇ* Diogenianus, Suidas recte: v. Eustathium in annotatione appositum. *τὸ δεῖπνον* Diogenianus. 6. *Ζωὸς*] *ζωμὸς* Emperius. 8. *ἐθέλομεν* d. *ὡς μὴ* d. 13. *ὑποτίθησιν — ἐπιτιθέναι* desunt apud Zenobium et reliquos, sed fuerunt olim et in Zenobio et in Suida, unde in illo post v. *παροιμία*, in hoc post v. *εἰρῆσθαι* signa lacunae ponenda sunt. Neque noster locus integer est: nam, ut e Suida

III, 79. Apost. VII, 26: v. nott. ad Diogen. IV, 83, quibus adde Etym. M. 415, 29. Crameri Anecdd. Oxon. I, 189, 4. Suid. s. *ἤ*. Antiphani tribuit Stob. Flor. LIX, 15. quem locum addas Meinekio ad fabulam Ephesiam hunc versum referenti Comm. Gr. Rell. T. III, 53: v. nott. ad Apost. l. c.

78. Similiter *ἀλλότριον ἀμᾷς θέρος* dicitur: Diogen. II, 75. Apostol. II, 38 ibiq. nott.: add. Vergil. Eclog. I, 73: *en, quis consevimus agros!*

79. Diogen. IV, 97: Greg. Cypr. L II, 21. Macar. IV, 30. Apost. VIII, 29: add. Eustath. ad Hom. Il. *Α*, 274, p. 125, 19: *καὶ παροιμιῶδες τὸ ζεῖ χύτρα, ζῇ φιλία· καὶ τοῦτο μὲν τοιοῦτον παρηχήσεως εἶδος ταυτοφωνίαν ἔχον παντελῆ, διαφορὰν δὲ φέρον κατὰ μόνην γραφήν· ὅπερ ἐστὶ διάφορον πρὸς τὴν ῥητορικὴν παρήχησιν, ἥτις ταυτογραφουμένη διαφορὰν ἔχει κατὰ τὴν ἐκφώνησιν.*

80. Diogen. IV, 99: Greg. Cypr. M III, 56. Apost. VIII, 35: add. Georgides in Boisson. Anecdd. Gr. I, 36. »Oratio comici poetae, qui quas praedictiones tragici poetae solebant epilogis suis intexere (v. Eurip. Hecub. 1265. Bacch. 1328) Aristophanis more perstrinxit.« Bernhardius ad Suidam. Similia saepe a viris doctis affirmantur, quum placeant hodie neque certis argumentis refelli possint: ego quo accuratius in proverbiorum indolem inquiro eorumque examino historiam, eo magis ab eiusmodi coniecturis, nisi firmis ac perspicuis argumentis defendantur, abstinendum esse censeo.

81. Diogen. IV, 100: Greg. Cypr. M III, 57. Macar. IV, 31. Apost. VIII, 36. Adhibuit Plato: v. Apostolium: Demosthenem adv. Eubul. 1308 R. attulit Bernhardius ad Suid.: *ἡμεῖς δ' ὁμολογοῦμεν καὶ ταινίας πωλεῖν καὶ ζῆν οὐχ ὅντινα τρόπον βουλόμεθα.*

82. Diogen. V, 1: Apost. VIII, 40: cf. Zenob. III, 19.

τῶν ἀποδύντων μὲν πράγματα, συστρατευομένων δέ. Μέμνηται δὲ ταύτης Τερψίων.

83 Ἡ κύων ἐν τῇ φάτνῃ: πρὸς τοὺς μήτε αὐτοὺς χρωμένους, μήτε ἄλλους ἐῶντας· παρόσον ἡ κύων οὔτε αὐτὴ κριθὰς ἐσθίει, καὶ τὸν ἵππον κωλύει.

84 Ἡ Φανίου θύρα: ὁ Φάνιος, ὥς φασίν, ἐγένετο ὀβολοστάτης, ἄλλως δὲ τυφλός· ὑπανοίγοντος δὲ τοῦ παιδὸς αὐτοῦ τὰ ταμιεῖα καὶ τὴν θύραν, ἣν ἐκεῖνος ἰσχυρὰν ἐνόμιζεν εἶναι, οὕτως ἀπώλλυε τὰ φυλαττόμενα χρήματα· ἐντεῦθεν τὴν παροιμίαν εἰρῆσθαι ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν, ἀλλ' εἰκῇ καὶ μάτην τὴν θύραν θαρρούντων. Καὶ ἄλλως· Ἡ Φάνου θύρα· τὸν Φάνον φασὶν ὡς μοιχευομένης τῆς αὐτοῦ γυναικὸς, ἐπειδὴ ᾔσθετο, θύραν ἐργάσασθαι τοιαύτην, ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι, τῆς δὲ ἀπὸ τῆς στέγης δεχομένης τὸν μοιχὸν, χλευάζοντας τοὺς γείτονας λέγειν, Ἡ Φάνου θύρα· ἐπὶ τῶν μάτην τῇ φυλακῇ πεποιθότων.

---

patet, post v. ἐπιτιθέναι inserendum: ὥς φησι Δήμων: dicit enim Suidas: ὅθεν τὴν παροιμίαν εἰρῆσθαι Δήμων: de Demone v. nott. critt. infr. 84, ad Zenob. I, 6. 13, Schneidewinum in praef. T. I, VIII. ad Zenob. IV, 19. μηδ' ὅλως d. 14. πρᾶγμά τι] πράγματα d.

1. πράγματα] τὸ πρᾶγμα Suidas: πρὸς τὸ πρᾶγμα e coniectura scripserat Kusterus, ἐπὶ πρᾶγμα Meinekius Com. Gr. Fr. IV, 610: sed codicum lectionem servavit Bernhardius, laudato Boissonado ad Philost. Heroic. 408, a quo exempla rarioris constructionis ἀποδῦναί τι pro πρός τι collecta sunt. συστρατευομένων] στρατευομένων Zenobius, Suidas, Apostolius: στρατευσαμένων Photius: στραγγευομένων coniecit Casaubonus, probante Kustero, quem vide, στραγγευσαμένων Meinekius. 3. αὐτοὺς] ἑαυτοῖς d, Gregorius Cyprius: verum servavit Hesychius, quem secutus sum. Orationem variavit Suidas, ad quem v. Bernhardium. 4. ἐῶντας] ἔοντας d. παρόσον κτλ. Hesychius om. 5. ἐσθίει] μένουσα ἐν φάτνῃ addit Gregorius. κωλύει] οὐκ ἐᾷ Gregorius. 6. Φάνιος d: Φάνου Suidas: v. infra. ὥς φησι Δήμων Diogenianus scripserat: v. Suidan et sup. 82. 7. ἄλλοι d, Suidas: v. nott. critt. ad Zenob. IV, 24. 8. αὐτοῦ ταμεῖα Zenobius. 9. ἀπώλλυε d. 13. ὡς μοιχευομένης αὐτῷ τῆς γυναικός Suidas. αὔλειον θύραν Suidas. 15. κατὰ τοῦ στέγους δεχομένης Suidas, τῆς στέγους Coislinianus in nott. critt. ad Diogen. Ex hoc loco apparet, in Suida s. ἡ Φάνου θύρα duas explicationes male in unam conflatas esse.

83. Greg. Cypr. L II, 22. Macar. IV, 43. V, 34. Apost. VIII, 42: cf. nott. ad Greg. Cypr. P II, 61: add. Etym. in Crameri Anecdd. Pariss. IV, 139, 33.

84. Diogen. V, 5: Macar. IV, 60. Apost. VIII, 71. Ὀβολοστάτης] Harpocr. 134, 17 Bekk.: ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστὰς, ὡς παρά τε Ὑπερίδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ.

85 *Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι: ἡ παροιμία παρὰ Φερεκράτει· κεῖται δὲ ἐπὶ τῶν κινδυνευόντων· τὸ μὲν γὰρ τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν. Πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις, καὶ οὐχ, ὡς νῦν, δύο.*

86 *Ἡ συκάμινος συκαμίνῳ ῥύπτεται: πρὸς τοὺς ἑαυτοῖς τὰ ὠφέλιμα λαμβάνοντας **.*

87 *Ἡ κέρκος τῇ ἀλώπεκι μαρτυρεῖ: ἐπὶ τῶν δεικνύντων ἀπὸ μικρῶν πράξεων τὸ ἦθος.*

88 *Ἧλιξ ἥλικα τέρπει, γέροντα δὲ γέρων: καί· Ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ἐς τὸν ὅμοιον: αὕτη ἐπὶ τῶν παραπλησίων τίθεται.*

89 *Ἢ μύρμηξ ἢ κάμηλος: ἐπὶ τῶν ἀνίσων καὶ ἀνομοίων, ὥς φησι **. Λουκιανὸς ἐν νεκυικοῖς † διαλόγοις.*

---

2. κεῖται] distinxi ut factum in Zenobio IV, 23. Fortasse praestat κεῖται· λέγεται δὲ ἐπὶ κτλ. 3. πεντελῆ d. 4. κύβοις] κύβεις d. 6. ῥίπτεται d. 7. ἐξ ἑαυτῶν recte Suidas et VB adiiciunt. 8. δεικνυόντων Diogenianus. 10. ἧλιξ — γέρων] quomodo restituenda sint, elucet e Scholl. Platon. 314 Bekk.: τὸ δὲ τέλειον ἔχει· Ἧλιξ ἥλικα τέρπε, γέρων δέ τε τέρπε γέροντα, ubi libri bis τέρπει: v. nott. critt. ad Diogenianum. 11. θεὸς ἐς] θεὸς ὡς Diogenianus. Aliter explicat Diogenianus: vid. Scholl. Platon. in annott. ad h. l. 14. ὥς φησι Λυκιανῶις d: post φησι excidisse videtur nomen auctoris, ut hunc fere in modum oratio redintegranda sit: ὥς φησι Δήμων. Μέμνηται αὐτῆς Λουκιανὸς κτλ. νεκυικοῖς d[e] sine dubio voluit χρονικοῖς.

85. Diogen. V, 4: Apost. VIII, 69: Eustath. ad Hom. Od. *Α*, 107, p. 1397, 15: *καὶ ὅτι ἐχρῶντο οἱ παλαιοὶ τρισὶ κύβοις, καὶ οὐχ ὥσπερ οἱ νῦν, δυσί· ὅθεν καὶ παροιμία ἐπὶ τῶν μηδὲν διὰ μέσου κινδυνευόντων, τὸ ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους· ἀπὸ τοῦ μεγίστου καὶ ἐλαχίστου ἀριθμοῦ. ἧς μέμνηται Πλάτων ἐν Νόμοις* [XII, 968 E] *εἰπών· ἢ τρεῖς κύβους βάλλοντες· τουτέστι τρεῖς μονάδας*: Suid. s. *τρεῖς*. Adhibuit Epicharmus Stobaei Flor. LXIX, 17: *τὸ δὲ γαμεῖν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς κύβους Ἀπὸ τῆς τύχης βαλεῖν.*

86. Mant. Provv. s. *ἡ συκάμινος*: cf. Append. Provv. III, 13.

87. Diogen. V, 15: Macar. IV, 41. Apost. VIII, 44 ibiq. v. nott. Erasm. I, 9, 35: »est autem vulpi cauda pro corpore maior ac pilosior, ut non sit facile celare. Alioqui canis videri possit.«

88. Diogen. V, 16: Greg. Cypr. M III, 59. Macar. IV, 48. Apost. VIII, 48: cf. Macar. VIII, 10. *Ὡς ἀεὶ κτλ.*] Diogen. l. c.: Greg. Cypr. L I, 7. Macar. VIII, 7. Apost. XIII, 13: Scholl. Plat. 375 Bekk.: *ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων, ἐξ Ὁμήρου λαβοῦσα* [Od. *Ρ*, 218] *τὴν ἀρχήν· μέμνηται αὐτῆς Πλάτων καὶ ἐν Λύσιδι* [p. 214 B] *καὶ ἐν Συμποσίῳ* [p. 195 B] *καὶ Μένανδρος Συκυωνίῳ*: cf. nott. ad Greg. Cypr. P I, 15.

89. Lucian. Saturn. Epist. §. 19: *ὡς δὲ νῦν ἔχομεν, μύρμηξ ἢ κάμηλος, ὡς ἡ παροιμία φησί*: ubi Scholl.: *ἐπὶ τῶν μικροῖς μεγαλαυχουμένων ἡ παροιμία.*

ΑΡΧΗ ΤΟΥ Θ.

90 *Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων.*

91 *Θεὸς ἡ Ἀναίδεια: ἐπὶ τῶν δι' ἀναισχυντίαν τινὰ ὠφελουμένων.*

ΑΡΧΗ ΤΟΥ Ι.

92 *Ἱερὰ συμβουλή ἐστιν: ἡ παροιμία ἐπὶ τοῦ δεῖν συμβουλεύειν καθαρῶς.*

93 *Ἰλιὰς κακῶν: ἐπὶ πλήθους μεγάλων κακῶν.*

---

2. *λαμπρῶν* d. 5. *ὠφελούντων* Suidas. 7. *ἱερὸν ἡ συμβουλὴ* Zenobius cum reliquis: v. Xenophontem in annotatione laudatum. *τοῦ*] d *τῷ*: Hesychius: *παροιμία ἐπὶ τοῦ ὅτι δεῖ καθαρῶς συμβουλεύειν: ἐπὶ τῶν δεινῶν κτλ.* Zenobius, Suidas, male: recte Albertius ad Hesychium s. v.: »non de iis, qui consiliis pollent (i. e. *τῶν δεινῶν συμβουλεύειν*) dicitur: sed quid *oporteat* in consilio dando, quid observandum in primis sit, nempe ut *καθαρῶς*, *pure*, *sancte*, *integre*, *vero animo*, detur: et hinc *res sacra*, *ἱερὸν*, dicitur consilium, ex vero animo profectum, absque ullo privati commodi respectu«: Probant Bernhardius ad Suidam et Finckhius annott. ad Zenob. 17. 9. *πλήθους* Diogenianus om.

90. Greg. Cypr. L II, 25. Apost. VIII, 78: cf. Zenob. IV, 34.

91. Diogen. V, 24: Greg. Cypr. L II, 28. Macar. IV, 62. Apost. VIII, 83. Suidas et Photius addunt: *ἐτιμᾶτο δὲ καὶ Ἀθήνησιν ἡ Ἀναίδεια, καὶ ἱερὸν ἦν αὐτῆς, ὡς Ἴστρος ἐν ιδ'*: v. Zenob. IV, 36 ibiq. nott. et adde secundum Clem. Alexand. Cohort. ad gent. 2, 26 p. 7 Sylb. Epimenidem Cretensem istam Impudentiae aram Athenis constituisse, quod cur fecerit coniectura explanare studet Hoeckius Cret. III, 259. Nihil novi affert Scholiasta ad Clem. Alex. l. c. a Klotzio in Clem. Al. T. IV, p. 103 editus.

92. Macar. IV, 72. Ars. XXXI, 65: cf. Zenob. IV, 40. Adhibuit Xenoph. Anab. V, 6, 4: *εἰ μὲν ξυμβουλεύοιμι, ἃ βέλτιστά μοι δοκεῖ εἶναι, πολλά μοι ἀγαθὰ γένοιτο· εἰ δὲ μή, τἀναντία· αὕτη γὰρ ἡ ἱερὰ ξυμβουλὴ λεγομένη εἶναι, δοκεῖ μοι παρεῖναι*, ibiq. v. Scheiderus: in versum inclusit Menand. Sent. Monost. 256: *ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.*

93. Diogen. V, 26: Greg. Cypr. L. II, 29. Macar. IV, 75. Apost. VIII, 100: Etymol. in Crameri Anecdd. Paris. IV, 170, 3 et Lexicon in Bachmanni Anecdd. I, 261: *Ἰλιὰς κακῶν: ἀπὸ παροιμίας τοῦτο ἐλέγετο ἐπὶ τῶν μεγάλων κακῶν.* »Eodem spectare *Ἰλιόθεν με φέρεις* Heliod. II, 21 notat Coray p. 82. Nostrum usurpat Syrianus Comm. ad Hermog. T. V, p. 518: *ἐκεῖνοι μὲν γὰρ τὴν παρανομίαν ἐκκόψαντες καὶ κακῶν Ἰλιάδος τὴν πόλιν ἐλευθερώσαντες, εἰκότως σοβαροὶ παρίασιν ἐπὶ τὸ βῆμα, τῷ μεγέθει κτλ.*: Lucian. Conviv. 35: *ἐδόκει μοι — οὐ μείω Ἰλιάδος κακὰ ἐργάσασθαι*: Theophylact. Simocatta Hist. VIII in *μονῳδίᾳ τοῦ συγγραφέως ἐπὶ τοῖς τῷ Μαυρικίῳ συγκεκυρηκόσιν: ἀλλ' εἴτε μὴ τηλικούτων κακῶν γεγόνειτε μάρτυρες· Ἰλιὰς κακῶν ἡ ὑπόθεσις*: Boisson. Anecdd. Gr. I, 254: *τοσαύτης δὲ κακῶν Ἰλιάδος περισχούσης τὰ Ῥωμαίων*«: Walzius ad Arsen. 303: add. Iuncus Stobaei Flor. CXVI, 49: *θέαμα ἀλγεινόν τε καὶ λυπηρὸν καὶ πολυχρόνιον· τὰ δὲ ἄλλα εἰπεῖν, Ἰλιὰς κακῶν*: Aristid. *Συμμαχ.* A. 480: *ἐπειδὴ πρὸς τὸν εὐεργέτην ἐκινδύνευον καὶ περιειστήκει κακῶν*

94 *Ἰσότης φιλότης:* ἡ παροιμία γνωμική, δηλοῦσα ὡς ἰσότης τὴν φιλίαν συνέχει.

95 *Ἱστίᾳ θύει:* ἐπὶ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων.

96 *Ἱππέας εἰς πεδίον προκαλεῖ:* ἐπὶ τῶν ἐρεθιζόντων τοὺς περί τι εὐδοκιμοῦντας καὶ τῶν ἐριζόντων περί τι αὐτοῖς.

ΑΡΧΗ ΤΟΥ Κ.

97 *Κανθάρου σοφώτερος:* ἡ παροιμία ἐπὶ τῶν σφόδρα πανούργων καὶ πονηρῶν· ἐπειδή τις Ἀθήνησι Κάνθαρος καλούμενος ἐπὶ πονηρίᾳ καὶ προδοσίᾳ θάνατον κατεδικάσθη.

98 *Καρικὸν θῦμα:* ἐπὶ τῶν ἄσαρκα μέλη θυόντων· οἱ γὰρ Κᾶρες κύνα ἱερουργοῦσι.

99 *Καπνίας ποιητής:* ὁ μηδὲν λαμπρὸν γράφων.. Λέγεται δὲ καί· *Οἶνος καπνίας*, ὁ κεκαπνισμένος· καί· *Κάπνιος ἄμπελος*, ἡ μέλαινα.

---

1. *αὕτη γνωμικὴ δηλοῦσα* Suidas, ubi v. interpretes. 2. *συνέχει*] *ἐχείσιν* d. Hesychius explicat: *διὰ τὸ ἰσότητι τὴν φιλίαν ἕπεσθαι.* 3. *θύειν ἱστίᾳ* Suidas. 4. Explicatio plane singularis. 9. *πανούργων*] *κακούργων* Zenobius. *Ἀθήνησι κάπηλος* idem. 10. *θανάτου ἐζημιώθη* idem. 11. *ἄσαρκα*] *ἢ ἄβρωτα* Suidas addit. 12. *κύνας* Plutarchus. 13. *καπνίας: ποιητής, ὃς κτλ.* Bernhardius ad Suid.: meliora Photius praebet: *Καπνίας: Ἐκφαντίδης, διὰ τὸ μηδὲν λαμπρὸν γράφειν.* 15. *καπνία ἄμπελος* Suidas: recte *κάπνιος* d, quod in *καπνὸς* corruptum est in Hesychio.

αὐτοὺς Ἰλιάς: Photii Epist. 13, p. 74 Mont.: *πόθεν οὖν ἡ τοιαύτη τῶν κακῶν Ἰλιάς;* Georg. in Rhett. Gr. I, 572 Walz.: *ἡ γὰρ ἐκείνων ἑκάστου κακία ἴσχε μὲν δρᾶσαι καὶ αὐτὴ τὰ προσήκοντα, οὐχ οἷα δὲ, ὡς καὶ Ἰλιάδα ποιῆσαι κακῶν*: v. Boissonadus Anecdd. Gr. T. III, 177: vetustissimus auctor, ut adnotavit Bernhardius ad Suidam, est Demosth. F. Leg. p. 387.

94. Macar. IV, 79. Greg. Cypr. P II, 70, ubi v. notas, M III, 82. Apost. IX, 13. Adhibent Procl. ad Plat. Alcib. T. II, p. 31 Creuz.: *εἰ γὰρ κατὰ τοὺς Πυθαγορείους φιλότας ἰσότας· καὶ κατὰ Ἀριστοτέλην* [Magn. Moral. II, 15] *φίλος ἄλλος ἐγώ· τί μᾶλλον ἡμῖν ὑπηρετήσουσιν ἐκεῖνοι, ἤπερ ἡμεῖς αὐτοῖς;* ib. p. 36: Publ. Syr. Sent. 26: *Amicitia pares aut accipit aut facit:* ib. 827: *minime amicus sum, fortunae particeps nisi sim tuae.* Inter Pythagorae dicta celeberrima retulit Iamblich. V. Pyth. 39, p. 342 Kiessl.: etiam alii, quos nominant Ritterhusius ad Porphyr. V. Pythag. n. 33 et Valckenarius ad Eurip. Phoen. 539.

95. Apost. VII, 99: cf. Zenob. IV, 44: add. Suid. s. *ἱστίον.*

96. Diogen. V, 28: Greg. Cypr. L II, 33. Apost. IX, 10. Usurpant Arrian. Epict. Diss. p. 239 Upton.: *Ἱππεὺς οὖν εἰς πεδίον ἐληλυθὼς πρὸς πεζὸν ἀγωνιᾷς, ὅπου σὺ μεμελέτηκας, ἐκεῖνος δ' ἀμελέτητός ἐστι:* Hierocles in Veterin. Medic. LL. p. 3 Gryn.: *σοὶ μὲν οὖν ἵππον φασὶν ἐς πεδίον παρακαλεῖν* [sic], *εἴ τι δεῖ τὴν παροιμίαν ἀφ' ἑστίας λαβεῖν* [cf. Greg. Cypr. L I, 63.] *πρὸς τοῦδε τοῦ λόγου τὴν γραφήν.*

97. Diogen. V, 40: Greg. Cypr. L II, 41. Macar. IV, 90. Apost. IX, 22.

98. Plut. Provv. I, 73.

99. Append. Provv. III, 43.

100 *Κερκωπίζειν:* ἐπὶ τῶν κολακευόντων· ἀπὸ μεταφορᾶς τῶν σαινόντων τῇ κέρκῳ ζώων· ἄμεινον δὲ ἀπὸ τῶν Κερκώπων, οὓς περὶ Λυδίαν ἱστοροῦσι ἀηδεῖς σφόδρα καὶ ἀπατηλοὺς γενέσθαι· παρ' ὃ καὶ ἀπολιθωθῆναι αὐτούς.

1 *Κεστρεὺς νηστεύει:* ἐπὶ τῶν πάνυ λαιμάργων· λέγεται δὲ καὶ ἐπὶ τῶν δικαιοπραγούντων μὲν, οὐδὲν δὲ πλέον ἐκ τῆς δικαιοσύνης ἀποφερομένων. Ὁ γὰρ κεστρεὺς τῶν ἄλλων ἰχθύων ἀλληλοφαγούντων μόνος τῆς σαρκοφαγίας ἀπέχεται, νέμεται δὲ τὴν ἰλύν.

2 *Κιλίκιοι τράγοι:* οἱ δασεῖς· τοιοῦτοι γὰρ οἱ ἐν Κιλικίᾳ γίνονται τράγοι· ὅθεν καὶ τὰ ἐκ τῶν τριχῶν συντιθέμενα παρ' ἡμῖν Κιλίκια λέγονται.

3 *Κύων ἐπὶ δεσμά:* ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων, ἴση τῇ· *Βοῦς ἐπὶ δεσμά.*

4 *Κέρδων γαμεῖ:* παρὰ τὸ ὄνομα εἴρηται ἐπὶ τῶν διὰ κέρδος αἱρουμένων τὸν γάμον.

5 *Κνίδιον κόκκον ψύχειν:* ἐπὶ τῶν μηδὲν ἀνυόντων·

---

3. *Κερκόπων* d. *περὶ τὴν* Zenob. IV, 50. 4. *παρὸ* d. 5. *κ. νηστεύσεις* Photius. 9. *ἰλύν*] addit Zenob. IV, 52: *ταλαιπωρῶν, ὥς φησιν Ἀριστοτέλης περὶ ζώων.* 10. *Κιλίκιος τράγος* Suidas. Ex hoc loco patet, quomodo Diogenianus redintegrandus sit. 13. *εἰς — δεσμά*] *εἰς δεσμὰ ἐμβαλλόντων* Diogenianus. 15. De corruptelis in Diogeniano et Apostolio v. nott. critt. ad Apostolium. 17. *κνίδιον* littera maiuscula scriptum est in d: rectius minuscula scribi post Schweighaeuserum docuit Meinekius ad Com. Gr. Rell. III, p. 269. Ex grammaticorum praeceptis *κνίδειον* scribendum esset: Suid. v. *κνίδη.* Zonar. Lex. 1223.

100. Diogen. V, 51: Greg. Cypr. L II, 47. Apost. X, 17. Cf. sup. I, 3. De proverbio monet Eustath. ad Hom. Odyss. *K*, 552, p. 1669, 59: *ὁμοίως δὲ καὶ οἱ Κέρκωπες, ἀφ' ὧν καὶ ἀγορὰ καλουμένη Κερκώπων Ἀθήνησιν ἐν Ἡλιαίᾳ, καὶ παροιμία κερκωπίζειν, καὶ μὴν αὐτὸ εἰρῆσθαί φασί τινες ἀπὸ ζώων προςσαινόντων τῇ κέρκῳ.*

1. Diogen. V, 53: Georg. Cypr. M III, 95. Apost. X, 29. Ex comicorum locis, quos Athen. VII, 307 D sq. composuit, huc potissimum pertinet Eubulus Nausic. fr. 1: *ὃς νῦν τετάρτην ἡμέραν βαπτίζεται, Νῆστιν πονηροῦ κεστρέως τρίβων βίον,* ubi cf. Schweighaeuseri annotationem. Add. Hesych. s. *κεστρεῖς: .. καὶ τοὺς Ἀθηναίους οὕτως ἔλεγον καὶ προςηγόρευον.*

2. Diogen. V, 54: Greg. Cypr. M III, 86. Macar. V, 15. Apost. X, 31. Suid. s. *κιλίκια: τὰ ἐκ τριχῶν συντιθέμενα ὑφάσματα.* »*Setosos Cilicum apros* memorat Colum. R. R. praef. I, 26. Cfr. Varro R. R. II, 11. Atque hinc explicandum quod Cratinus itidem de homine villoso et prolixam barbam alente dixit *Κορσάτης κάπρος* fr. inc. fab. 61 [Hesych. s. *κόρσατις*], a Corsis, Ciliciae oppido, si Hesychio fides:« Meinekius Com. Grr. T. IV, 657.

3. Diogen. V, 68: Apost. X, 79.

4. Diogen. VI, 22: Apost. XI, 6. Nomen proprium *Κέρδων* exstat in inscriptione Paria, quam vide sis in Boeckhii Corp. Inscriptt. Gr. T. II, p. 1078.

5. De grano Cnidio v. Schneiderus in ind. Theophr., Opp. T. V et Stephani Thes. L. Gr. s. *κόκκος.*

ὁ γὰρ κνίδιος κόκκος φύσει θερμαντικὸς ὢν ἐκ τοῦ ψύχεσθαι οὐδὲν τῆς θερμότητος μεταβάλλεται.

ΑΡΧΗ ΤΟΥ Λ.

6 *Λαγωὸς καθεύδει*: ἡ παροιμία ἐπὶ τῶν προςποιουμένων τι δρᾶν καὶ οὐκ ἐξ ἀληθείας πραττόντων.

7 *Λύκου πτερά*: ἐπὶ τῶν ἀδυνάτων λέγεται, ὅταν μέχρι τῶν λόγων ὁ φόβος ᾖ. Πῶς γὰρ ἂν πτηνὸν γένοιτο λύκος;

8 *Λαγὼς περὶ τῶν κρεῶν*; ἐπὶ τῶν κινδυνευόντων ταῖς ψυχαῖς καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων.

9 *Λευκὴ στάθμη*: ἐπὶ τῶν μηδὲν συνιέντων· ἐν γὰρ τοῖς λευκοῖς λίθοις αἱ λευκαὶ στάθμαι, ἤγουν τὰ τεκτονικὰ σπαρτία, οὐδὲν δύνανται δεικνύναι, καθάπερ [αἱ διὰ] τῆς μίλτου.

10 *Λημᾶν χύτραις ἢ κολοκύνταις*: ἐπὶ τῶν ἄγαν ἀμβλυωπούντων.

11 *Λύκος πρὸ βοῆς σπεύδει*: ἐπὶ τῶν ὑπερσπευδόντων λέγεται, ἐπεὶ καὶ ὁ λύκος πρὸ βοῆς φεύγει ἁρπάσας.

12 *Λύχνον ἐν μεσημβρίᾳ ἅπτειν*: ἐπὶ τῶν ἀκαίρως τι ποιούντων.

---

4. *Λαγὼς* Diogenianus cum reliquis. *καθεύδων* iidem. 6. *λέγεται — ἢ* Diogenianus om. 7. *ᾖ*] *στῇ* Macarius. *πτηνὸν*] *πτηνός τις* Diogenianus. 9. Contractius Diogenianus. 11. *ἐν γὰρ κτλ.* in Diogeniano desunt. 12. *λευκοῖς*] *λεπτοῖς* d. 13. *αἱ διὰ* ex Zenobio IV, 89 aliisque adieci. 15. *λημμᾷν* d. 18. *ἐπεὶ κτλ.*] *καὶ γὰρ τὸ θηρίον ἁρπάξαν φεύγει* Diogenianus. 19. *ἅπτεις* Suidas.

6. Diogen. VI, 1: Greg. Cypr. M IV, 21. Macar. V, 46. Apost. X, 74.

7. Diogen. VI, 4: Greg. Cypr. L II, 64. Macar. V, 65. Apost. XI, 35. Adhibetur ab Manuele Palaeol. in Combefisii Auctar. PP. Graec. II, 1143: *καὶ διὰ τοῦτο τὴν ἀναβολὴν ἠσμενίσαντο, καὶ τὸ μὴ ταύτοις ἀκηκοέναι παρ' αὐτοῦ, λύκου πτερὰ ζητεῖς.* Confert cum nostro proverbio Meinekius Com. Gr. II, 1, 245 Cratetis dictionem ab Athen. III, 117 B traditam: *τανύπτεροι λύκοι.*

8. Diogen. VI, 5: Greg. Cypr. M IV, 14. Apostol. X, 95 ibiq. v. nott.

9. Diogen. VI, 8: Greg. Cypr. L II, 67. Apost. XI, 18. Cf. Davisius ad Maxim. Tyr. Diss. 388.

10. Greg. Cypr. M V, 18. Apost. XVIII, 84: cf. Diogen. V, 63. Usurpat Incert. Auctor Encom. Comae 45, 16 Miller.: *ἄντικρυς ταύτῃ τὴν σεβασμίαν σοι φαλάκραν ἀφομοιῶ, καὶ σύγε αὐτὸς ὡς ἐν κατόπτρῳ ταύτῃ θεάσῃ σου τὸ φαλάκρωμα, εἰ μὴ κατὰ τὸν εἰπόντα κολοκύνταις λημᾷς.*

11. Diogen. VI, 26: Apost. XI, 49.

12. Diogen. VI, 27: Greg. Cypr. L II, 65. Apost. XI, 50.

13 *Λύδιον ἅρμα:* ἐπὶ τῶν ἐρίζειν ἐθελόντων καὶ μὴ δυναμένων τοῦ ἀνταγωνιστοῦ ἀφικέσθαι· παρῆκται δὲ ἡ παροιμία ἀπὸ τῶν Λυδίων ἁρμάτων ὡς ταχυτάτων ὄντων καὶ μὴ δυναμένων φθασθῆναι. Ἄλλοι δὲ ὅτι ἀπὸ τοῦ Πελοπίου ἅρματος ἠκούσθη ἡ παροιμία· τινὲς γάρ λέγουσι, ὅτι ὁ Πέλοψ Λύδιος ἦν καὶ οὐχὶ Φρύξ· τῷ γοῦν ἰδίῳ ἅρματι ἐνίκησε τὸν Οἰνόμαον, καὶ ἔκτοτε ἡ παροιμία· *Θέειν παρὰ Λύδιον ἅρμα.*

ΑΡΧΗ ΤΟΥ Μ.

14 *Μηδικὴ τράπεζα:* ἐπὶ τῶν εὐπόρων.

15 *Μία λόγχμη οὐ τρέφει δύο ἐριθάκους:* ἐπὶ τῶν ἐκ μικροῦ τινος κερδαίνειν σπουδαζόντων. Ἐρίθακός ἐστι μονῆρες ὄρνεον καὶ μονότροπον.

16 *Μυσῶν λεία:* ἐπὶ τῶν κακῶς διαρπαζομένων· οἱ γὰρ περίοικοι κατ' ἐκεῖνον τὸν χρόνον τοὺς Μυσοὺς ἐλῄζοντο, ἕως ἦσαν ἄναρχοι. Καὶ ἐκεῖθεν ἡ παροιμία.

17 *Μῦς λευκός:* ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια· ἐπειδὴ οἱ κατοικίδιοι μύες καὶ μάλιστα οἱ λευκοὶ περὶ τὰς ὀχείας κεκίνηνται.

---

2. *τοῦ ἀνταγωνιστοῦ* Schol. ad Greg. om. *ἀφικέσθαι*] post hoc verbum Scholiasta inseruit: *ἔστι δὲ ἡ παροιμία· παρὰ Λύδιον ἅρμα θέει.* 5. *ἠκούσθη*] *ἤκουσεν* Scholiasta. 6. *Λυδὸς* Scholiasta Creuzeri. *οὖν* Scholiasta. 7. *παροιμία*] *παρῆλθεν* addit Scholiasta, *παρῆχθαι* Schol. Creuzeri. *παρὰ Λύδιον ἅρμα θέει* Scholiasta. 10. *ἐπὶ τῶν πολυτελῶν καὶ ἁβρῶν* explicat Diogenianus. 12. *μικροῦ — μονότροπον*] *μικροῦ τινος πολλὰ κερδαίνειν βουλομένων* idem: v. Zenob. V, 11. 14. *λείαν* Diogenianus. 15. *περίοικοι* excidit in Diogeniano, item *ἕως κτλ.*: v. Zenob. V, 15. 18. *μῦες* d.

13. Greg. Cypr. L II, 58. Apost. XI, 56: cf. nott. ad Greg. Cypr. P II, 99 et L l. c. Haec sine dubio sunt ab Diogeniano profecta: v. Diogen. VI, 28 ibiq. K., unde transcripsit Nonnus in commentarium ad Gregor. Nazianz., ex quo ediderunt Creuzerus Melet. I, 81 et A. Maius Spicil. Rom. II, 308.

14. Diogen. VI, 37: Greg. Cypr. M IV, 32. Apost. XI, 98. Medi cum aliis populis luxuriae perditis componuntur a Dione Chrysostomo Oratt. XXXIII, 402 Mor.

15. Diogen. VI, 39: Greg. Cypr. L II, 68. Apost. XII, 22.

16. Diogen. VI, 42: Greg. Cypr. M IV, 40. Macar. VI, 5. Apost. XII, 37. Usurpant Liban. Oratt. T. I, 310 R.: *ὃς ἐπειδὴ λῃστικὸν ἐν τῷ Ταύρῳ συνειστήκει καὶ Μυσῶν λείαν ἐποίει Κίλιξι τὰ πράγματα*: id. ibid. T. IV, 351 R.: *τοιγαροῦν ἐπὶ πολλῆς ἐρημίας καὶ σχολῆς, μικροῦ πᾶσαν τὴν Ἑλλάδα καὶ ὥσπερ τὴν Μυσῶν λείαν ἔχουσι*: Theodorus Prodrom. de Rhod. et Dosiclis Amor. I, p. 5 Gaulm.: *λείαν Μυσῶν ἔθεντο ταύτην ὡς λόγος*: alia suppeditant Coraes ad Isocr. Oratt. II, p. 53. Hasius ad Leon. Diacon. 193 B, 257 A. Schoemannus ad Plutarch. Cleom. 10, 7, p. 207.

17. Diogen. VI, 45: Apost. XII, 41 ibiq. v. notas.

18 *Μήτε νεῖν μήτε γράμματα:* ἡ παροιμία ἐπὶ τῶν τὰ πάντα ἀμαθῶν· οἱ γὰρ Ἀθηναῖοι εὐθὺς ἐκ παίδων κολυμβᾶν καὶ γράμματα ἐδιδάσκοντο.

19 *Μέχρι τῶν ἀμφωτίδων:* ἐπὶ τῶν ἄγαν πεπληρωμένων, [ἀντὶ τοῦ] μέχρι τῶν ὤτων.

20 *Μέλιτος μυελός:* ἐπὶ τῶν ἄγαν ἡδέων.

21 *Μεμαγμένη μᾶζα:* ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.

22 *Μείζονα βοᾷ χλωρᾶς δάφνης καιομένης:* ἐπὶ τοῦ μεγάλα βοῶντος.

23 *Μὴ κινεῖν κακὸν εὖ κείμενον:* ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων.

24 *Μηδὲν κατὰ βοὸς εὔξῃ:* παραινεῖ μὴ πάντα ἐπ' εὐχαῖς ποιεῖσθαι καὶ ταῖς παρὰ θεοῦ ἐλπίσιν, ἀλλὰ πράττειν δεῖ καὶ δι' ἑαυτῶν.

25 *Μηδὲ μέλι μηδὲ μέλισσα:* ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φαῦλον μετὰ ἀγαθῶν.

26 *Μὴ πρὸς λέοντα δορκὰς ἄπτεται† μάχης:* ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.

27 *Μήλῳ βάλλειν:* ἐπὶ τῶν εἰς ἔρωτα ἐπαγομένων τινάς.

---

1. *ἐπίστασθαι* proverbio Suidas adiicit, quod fluxit e Platone: v. annott. ad Diogenianum. 2. *τὰ πάντα*] *παντάπασιν* Suidas. *παιδὸς* Suidas. 3. *ἐδιδάσκετο* VB: eadem varia lectio in Suidae codicibus deprehenditur. 5. *ἀντὶ τοῦ* e Suida s. *ἀμφοῦες* et VB adieci. 6. *τοῦ — ἡδέος* Diogenianus. 7. *μάζα* d. 8. *δάφνης χλωρᾶς* Diogenianus. 9. *τῶν — βοώντων* idem. 10. *ἐξ ἀγνοίας* Diogenianus om. 11. *πράγματα*] *κακὰ* idem. 12. *μηδὲν*] *μὴ πάντα* Suidas. *ἐπευχαῖς* d. 14. *δεῖ* Suidas om. In Diogeniano explicatio corrupta exstat. 15. *μελίσσας* Diogenianus cum reliquis: v. Sappho. 16. *φαῦλον κτλ.*] *ἀγαθὸν μετὰ ἀπευκτοῦ* Diogenianus: v. nott. critt. ad Diog. l. c. 17. *ἅψωμαι* Diogenianus recte: *ἅπτεται* ex altera proverbii forma, quam infra 57 legimus, in hanc temere illatum est. 19. *βληθῆναι* Suidas.

18. Diogen. VI, 56: Apost. XII, 8.
19. Append. Provv. III, 89.
20. Diogen. VI, 51: Greg. Cypr. L II, 69. Macar. V, 84. Apost. XI, 87.
21. Append. Provv. III, 86.
22. Diogen VI, 52: Apost. XI, 71.
23. Diogen. VI, 54: Greg. Cypr. L II, 78. Macar. V, 91. Apost. XI, 99 ibiq. v. nott. Cf. nott. ad Apost. XI, 96. II, 3.
24. Diogen. VI, 55: cf. Apostol. IX, 34 et Greg. Cypr. L II, 48. De genere dicendi cf. nott. ad Diogen. V, 90.
25. Diogen. VI, 58: Greg. Cypr. M IV, 38. Macar. V, 95. Apost. XI, 100. Sapphus versum, de quo v. annot. ad Apost. praef. §. 7. Bergkius in Commentt. Criticc. Specim. Marburg. 1844 edito p. 23 scribit: *μήτ' ἔμοι μέλι μήτε μέλισσα*, simul de allitteratione quae dicitur in hoc versu conspicua disserens v. infr. 97.
26. Diogen. VI, 59: Greg. Cypr. M IV, 39. Apost. XII, 1: cf. infr. III, 57.
27. Diogen. VI, 63: Mant. Provv. s. *μήλῳ*. De usu malorum in rebus amatoriis post alios dixit Gerhardus in Dissertatt. Societ. Berol. a. 1836 pag. 319.

28 *Μὴ μάχαιραν αἶρε θῆλυ:* ἐπὶ τῶν ἀδυνατούντων ἐπικουρεῖν.

29 *Μίδας ὄνου ὦτα ἔχει:* ὅτι ὁ Μίδας ὠτακουστὰς εἶχε πολλούς, ὡς μηδὲν αὐτὸν λανθάνειν. Εὔανδρος δὲ Φρυγίας χωρίον ὄνου ὦτα καλούμενον λέγει ὑπὸ Μίδου ληφθῆναι.

30 *Μέλιτι καταπάττων ἑαυτόν:* ἐπὶ τοῦ μαλακίᾳ καλλωπιζομένου.

ΑΡΧΗ ΤΟΥ Ν.

31 *Νῷ πείθου:* τοῦτο ὅμοιον εἶναί φασι τῷ· Ἕπου θεῷ.

---

1. *αἶρει* d. *ἀδυνάτων* Diogenianus, quem corrigas e nostro loco. 3. *ἔχει* Diogenianus om. *ὠτακοστὰς* d. 4. *πολλοὺς — λανθάνειν* Diogenianus om. *Εὔανδρος κτλ.*] *οἱ δὲ — φασιν κτλ.* idem. Citat Euandrum Diogen. VII, 28. 6. *ληφθῆναι*] *ἀνάλωτον* addit Diogenianus. 7. Scribe *καταπάττει*. 10. *ἕπου*] *πείθου* Diogenianus, *πείθου ἢ ἕπου* C in nott. ad Diogen. l. c. et codd. Suidae plurimi.

28. Diogen. VI, 72: Apost. XII, 3.

29. Diogen. VI, 73: Apost. XII, 19. Varios veterum conatus ad originem proverbii expediendam Schol. ad Aristoph. Plut. 287, quem Suidas v. *Μίδας* descripsit, docte composuit: *Μίδας, βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος, ὦτα ὄνου ἔσχε. τοῦτο οὖν παροιμιωδῶς ἐλέγετο ἐπὶ τούτου, ἤτοι ὅτι πολλοὺς ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγίας κατέσχεν, ἥτις Ὦτα ὄνου ἐλέγετο· . . . ἢ ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζῴων πλὴν μυός* [v. vv. lectt. a G. Dindorfio ex Ravennate enotatas]· *καὶ Μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχεν· οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον. ἢ ὅτι ὄνους τοῦ Διονύσου παρόντας ἠδίκησε· διὸ ὀργισθεὶς ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν· οἱ δέ, ὅτι ὦτα μεγάλα φύσει εἶχεν*: addit Suidas l. c.: *λέγεται οὖν ἡ παροιμία ἐπὶ τῶν μηδὲν λανθανόντων.*

30. Cf. sup. II, 71. Verborum causa appono Menand. fragm. inc. fabb. CLX Mein.: *ἐὰν τροφὴν δοὺς τὸν λαβόντ' ὀνειδίσῃς, Ἀψινθίῳ κατέπασας ἀττικὸν μέλι*: Manuel. Palaeol. in Combefisii Auct. Patt. II, 1188 A: *ῥήμασιν ἡδίοσι ῥόδων αὐτοὺς ἔπαττες.*

31. Diogen. VI, 75: Greg. Cypr. L II, 80. Macar. VI, 14. Apost. XII, 75. Θ. *ἕπου*] refertur inter septem sapientum dicta: v. Sosiades in Stob. Flor. III, 80: reconditiora praebet Stobaeus Eclog. II, 7, T. II, 1, p. 66 Heer.: *ἐν μὲν γὰρ θεῷ τὸ κοσμοποιὸν καὶ κοσμοδιοικητικόν· ἐν δὲ τῷ σοφῷ βίου κατάστασις καὶ ζωῆς διαγωγή· ὅπερ αἰνίξασθαι μὲν Ὅμηρον, εἰπόντα* [Od. E, 193]· *Κατ' ἴχνια βαῖνε θεοῖο· Πυθαγόραν δὲ ἐπ' αὐτὸ εἰπεῖν· Ἕπου θεῷ· δῆλον ὡς οὐχ ὁρατῷ καὶ προηγουμένῳ, νοητῷ δὲ καὶ τῇ κοσμικῇ εὐταξίᾳ ἁρμονικῶς*: quem locum Wyttenbachius ad Plut. de sera numinis vind. 550 D egregie illustravit nec habeo quod addam nisi Ciceronis locum de Fin. Bon. et Mal. III, 22, 73: *quaeque sunt vetera praecepta sapientium, qui iubent tempori parere et sequi Deum et se noscere et nihil nimis haec sine physicis quam vim habeant [et habent maxumam] videre nemo potest*; et Senecam de vita beata c. 15: *habebit in animo illud vetus praeceptum: Deum sequere.* Adhibent Plutarch. de recta audiendi rat. 1, p. 37 D: *σὺ δὲ πολλάκις ἀκηκοὼς ὅτι ταὐτόν ἐστι τῷ ἕπεσθαι θεῷ καὶ τὸ πείθεσθαι λόγῳ,*

32 *Νύκτα δασεῖαν:* τὴν χειμερινὴν καλεῖ ** παρόσον πλείοσι ✝ σκέπονται.

33 *Νεβρῷ ἱππεύειν:* ἡ παροιμία ἐπὶ τῶν βραδέως τι ἐργαζομένων.

34 *Νεκρῷ πρὸς οὓς διαλέγεσθαι:* ἐπὶ τοῦ ἀναισθήτου καὶ μὴ ἐπαΐοντος.

35 *Νεφέλας ξαίνειν:* ἐπὶ ματαίου καὶ ἀδυνάτου.

36 *Νοῶ τὸν ξένον:* ἐπὶ τῶν ὑφορωμένων τινά.

37 *Νικᾷ τὸν ὀνηλάτην:* πρὸς τὸν μὴ βουλόμενον ἀποστῆναί τινος, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν.

38 *Νῦν ὀσπρίων ἄμητος:* ἐπὶ τῶν καθ' ὥραν ἕκαστα πράττειν φιλούντων.

39 *Νῦν εἰς χώραν ἦλθες:* ἐπὶ τῶν πρότερον μὴ ἀνεχομένων ἐλθεῖν ὅπου δεῖ, ὕστερον δὲ αὐτοματούντων.

ΑΡΧΗ ΤΟΥ Ξ.

40 *Ξύλῳ ἐφέλκειν, κώνειον πιεῖν ἢ προδόντα τὴν*

---

1. δασείαν d, δασείην Suidas: quod dedi, tuetur Diogenianus. καλεῖ κτλ. Diogenianus om.: post v. καλεῖ videtur scriptoris nomen excidisse, alia in sequentibus. 2. σκέπονται] fortasse σκεπάζονται voluit: Xenoph. Cyrop. VIII, 8, 17: ἀλλὰ μὴν ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας ἀρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ [περὶ] ἄκραις ταῖς χερσὶ χειρίδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. 3. ἱππεύεις Diogenianus. τι ἐργαζομένων] γινομένων idem. 5. Ν. λέγων [λέγουσα Suidas] μύθους εἰς οὓς Diogenianus: ἔλεγεν Gregorius. τοῦ ἀναισθήτου om. Diogenianus. 7. καὶ] ἢ Diogenianus. 8. νοῶ] νοῦν Diogenianus, Suidas: fuit fortasse νοῶ νοῦν τὸν ξένον: cf. Hom. Odyss. Υ, 367: τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν Ἐρχόμενον. 10. τινὸς] τοῦ κτήνους C. προϊέμενον] περιέμενος d. 14. ὅποι Suidas. Rectius esset αὐτοματιζόντων: VB αὐτομάτως παραγεγονότων: Suidas: αὐτομάτως παραγενομένων: cf. Suidas s. αὐτοματίζουσιν: αὐτόματοι παραγίνονται. 16. Phot. et Suid. s. τῶν τριῶν κακῶν ἕν: λεγόμενόν τι ἐστί. καὶ Μέναν-νόμιζε τὴν κτλ.: Plat. Criton. fin.: πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται: similia suppeditant Gatakerus ad Anton. Adv. VII, 31. Sinnerus ad PP. Graecor. Delect. 217. Erasmo II, 2, 38 sumptum videtur ex Hom. Il. Α, 218: ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ aut ei. Od. Κ, 141: καί τις θεὸς ἡγεμόνευεν.

32. Diogen. VI, 89: Apost. V, 80 ibiq. v. notata.

33. Diogen. VI, 81: Mant. Provv. s. νεβρῷ.

34. Diogen. VI, 82: Greg. Cypr. M IV, 47. Macar. VI, 10. Apost. XII, 54. Locutionem εἰς οὓς λέγειν et similia Heckerus Comm. Callimach. I, 63 illustrat.

35. Diogen. VI, 83. Greg. Cypr. M IV, 48. Apost. XII, 59: cf. sup. II, 61.

36. Diogen. VI, 85: Apost. XII, 68.

37. Append. Provv. IV, 8.

38. Diogen. VI, 87: Apost. XII, 71.

39. Diogen. VI, 86. Apost. XII, 70.

40. Versus Polyzeli comici: v. nott. critt. Rem explicant Hesych. s. τῶν τριῶν ἕν: Θηραμένης ἐψηφίσατο τρεῖς τιμωρίας κατὰ τῶν παρα-

ναῦν ὅτι τάχιστα τῶν κακῶν ἀπαλλαγῆναι: ἐπὶ ζημίας κεῖνται καὶ προςτιμήματος.

ΑΡΧΗ ΤΟΥ Ο.

41 *Ὁ Κρὴς τὴν θάλασσαν: ἐπὶ τῶν ἐν οἷς διαφέρουσι ταῦτα φεύγειν προςποιουμένων.*

42 *Ὁ νεβρὸς τὸν λέοντα: ἐπὶ τῶν ἀδυνάτων εἴληπται.*

43 *Ὄνου σκιά: ἐπὶ τῶν εὐτελῶν καὶ οὐδενὸς λόγου ἀξίων, ἐξ αἰτίας τοιαύτης· ἐμισθώσατό τις ὄνον ἀπιὼν εἰς Δελ-*

δρος [fr. inc. fabb. 213 M.] *δύο προθεὶς ὡς παροιμιῶδες ἐπιλέγει παίζων τό· Ἓν γάρ τι τούτων τῶν τριῶν ἔχοι κακόν. ταῦτα δὲ εἶναι λέγουσιν, ἃ Θηραμένης ὥρισε προςτιμήματα. Πολύζηλος Δημοτυνδάρεῳ* [II, 2, 867 Mein.]· *Τριῶν κακῶν γοῦν ἦν ἑλέσθ' αὐτῷ τι πᾶσ' ἀνάγκη, Ἢ ξύλον ἐφέλκειν ἢ πιεῖν κώνειον ἢ προδόντα Τὴν ναῦν ὅπως τάχιστα τῶν κακῶν ἀπαλλαγῆναι. Ταῦτ' ἐστὶ τρία Θηραμένους, ἅ σοι φυλακτέ' ἐστιν*: in primo versu Meinekius *κακῶν ἓν ἦν* malit, in ultimo *ταυτὶ τὰ τρία*, Bernhardius vero *ταῦτ' ἦν τὰ τρία*. 16. *κώνιον* d.

4. Suidas in fine explicationis adiicit: *ἐπειδὴ ναυτικώτατοι οἱ Κρῆτες ἐγένοντο.* 6. Schol. ad Lucian. explicat: *ἐπὶ τῶν παρὰ φύσιν ἀνεστραμμένων τὴν τάξιν.* 7. Aliter explicat Diogenianus. 8. *ἐμισθώσατο κτλ.*] in narratiuncula Diogenianus misere compendifactus est.

νομόν τι δρώντων: Scholl. ad Arist. Ran. 546: *δοκεῖ δὲ οὗτος* [Theramenes] *καὶ τὰ τρία ψηφίσασθαι ἐπιζήμια, ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ ἢ πιεῖν κώνειον ἢ ἐκφυγεῖν*: hinc ortum est proverbium *τρία Θηραμένους*: v. Hesych. s. *τρία* et Polyzelum, formatum illud ad antiquioris proverbii similitudinem, *τὰ τρία παρὰ τῇ αὐλῇ*, de quo cf. Zenob. III, 100. VI, 11 ibiq. annot., quibus add. Sophocles apud Scholl. ad Pind. Ol. I, 97: *ἔνιοι δὲ, ὅτι τρία λέγεται κοινῶς καὶ τὰ πρὸς τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς· Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι*: et Aelian. V. H. XIII, 36: hinc suppleri possunt, quae de tribus malis proverbio celebratis disputavit Lobeckius Aglaoph. 740. *Ξύλῳ ἐφέλκειν*, quamquam falsa lectio, significat aliquem ad collaria lignea aut aliud quoddam tormentum adducere in eoque retinere. *Κώνεια πιεῖν* Plato dixit Lysid. 219 E, *φάρμακον* Phaedon. 116 E: *πιεῖσθαι τὸ κώνειον* Synesius Encom. Calvit. 9, p. 72 D, ubi v. Krabinger. *Προδόντα κτλ.*] Lysias in Philon. §. 26, p. 886: *ἄξιον δὲ καὶ τόδε ἐνθυμηθῆναι, ὅτι, εἰ μέν τις φρούριόν τι προὔδωκεν ἢ ναῦν ἢ στρατόπεδόν τι, ἐν ᾧ μέρος τι ἐτύγχανε τῶν πολιτῶν ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο*: v. Meierus de bonis damnat. 11 de litibb. Attic. p. 341.

41. Apost. XIII, 3: cf. Zenob. V, 30.

42. Apost. XIII, 28ᵃ: Bachmanni Anecdd. II, 338 sive Scholl. ad Luc. Dial. Mortt. VIII, 1, cuius verba in annott. ad Diogen. III, 30 repetenda curavi. Hinnuli indoles atque natura ex Hom. Il. Θ, 247 nota, ubi Eustathius [p. 711, 12 dicit: *ὁ δὲ κρατούμενος νεβρὸς* [sc. *ἐδήλου*] *ὁ τῆς φυζακινῆς καὶ δειλῆς ἐλάφου γόνος τοὺς τεθηπότας καὶ κατεπτηχότας καὶ κρατουμένους Ἕλληνας*: cf. nott. ad Greg. Cypr. L II, 11. Respexit Mosch. Id. IV, 4: *ἦ ῥ' ὅτι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱὸς Ἀνδρὸς ὑπ' οὐτιδανοῖο, λέων ὡσεί θ' ὑπὸ νεβροῦ*; Lucian. l. c.: cf. infr. III, 57 et Babrii fab. 90.

43. Diogen. VII, 1: Macar. VI, 37. VII, 8. Greg. Cypr. L III, 23. Apost. XIII, 37 ibiq. cf. nott., XVIII, 12.

φούς. καὶ ὡς καῦμα κατέλαβεν, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου ὑπέδυ ὁ μισθωσάμενος· ὁ δὲ μισθώσας αὐτῷ διεμάχετο λέγων ὅτι, τὸν ὄνον σοι ἐμίσθωσα, οὐχὶ τὴν σκιὰν αὐτοῦ. Ἐντεῦθεν εἴ τις περὶ εὐτελῶν ἐφιλονείκει πρός τινα, ἔλεγε περὶ τῆς ἐν Δελφοῖς σκιᾶς.

44 *Οὐδὲν Ἡρακλῆς πρὸς δύο*: ἐπὶ τοῦ πάνυ μὲν δυνατοῦ, ὥστε καὶ πλείστοις συμπλέκεσθαι, μετὰ δὲ τὴν συμβολὴν ὑπὸ δύο ἡττωμένου. φασὶ γὰρ τὸν Ἡρακλέα θέντα τὸν Ὀλυμπιακὸν ἀγῶνα πιστεύσαντά τε τῇ ἑαυτοῦ δυνάμει τῇ δευτέρᾳ πενταετηρίᾳ πρὸς δύο πυκτεύσαντα ἡττηθῆναι, τῇ προτέρᾳ δύο ἀποκτείναντα, Κτέατον καὶ Εὔρυτον.

45 *Οὔθ' ὕεται οὔθ' ἡλιοῦται*: ἐπὶ τῶν ἔξω πάσης φροντίδος καθεστώτων.

46 *Οὐδ' ἴκταρ βάλλειν*: σημαίνει τὸ ἐγγύς· τουτέστιν, οὐδὲ ἐγγύς ἐστιν.

47 *Ὁ παῖς τὸν κρύσταλλον*: ἐπὶ τῶν μήτε κατέχειν δυναμένων, μήτε μεθεῖναι βουλομένων.

48 *Ὅπου αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν*: ἐν

---

6. *Οὐδὲ* Zenobius, Diogenianus, alii: *οὐδὲν* in Suida s. *οὐδὲν Ἡρακλῆς* e Mediceo Bernhardius reduxit. Diogenianus in explicatione corruptissimus. *ἐπὶ — ἡττωμένου* Suidas om. Fortasse *ἡττημένου*. 9. *τὸν Ὀλυμπιακὸν*] e Suida articulum adieci. Idem in sequentibus elegantiorem verborum ordinem repraesentat: *δυνάμει, τῇ προτεραίᾳ πενταετηρίδι πυκτεῦσαι πρὸς δύο, Κτέατον καὶ Εὔρυτον, τοὺς Ποσειδῶνος καὶ Μολιόνης παῖδας καὶ ἀνελεῖν αὐτούς· τῇ δευτέρᾳ δὲ πάλιν ὁμοίως πρός τινας δύο πυκτεύσαντα ἡττηθῆναι.* *δυνάμει καὶ τῇ* d: *καὶ* etiam in Zenobio deest. 14. *ἴκταρ* d. 16. *κρύσταλον* d. 17. *μεθεῖναι*] *λαθεῖν* d: v. vv. lectt. ad Zenob. V, 58. 18. *αἱ* Diogenianus om. *ἐν*] *ἐπὶ* d.

44. Diogen. VII, 2: Macar. VII, 42. Apost. XIII, 74: cf. Zenob. V, 49. Manuel. Palaeol. in Combef. Auct. Patt. II, 1175 E: *οἷον δὲ ἑνὸς ἀνδρὸς ἀρετὴν πρὸς πολλῶν καὶ διαφόρων καὶ τοιούτων παραβάλλεσθαι· ὅταν γὰρ καὶ τῷ Ἀλκμήνης ὡς ὁ λόγος, οὐ σμικρὸν τὸ πρὸς δύο μάχεσθαι.*

45. Diogen. VII, 8: Gregr. Cypr. L II, 84. Apostol. XIV, 19. Similem dictionem usurpat Polyb. XVI, 12, 3: *καταπεφήμισται δὲ καὶ πεπίστευται παρὰ μὲν τοῖς Βαργυλιήταις, διότι τὸ τῆς Κινδυάδος Ἀρτέμιδος ἄγαλμα, καίπερ ὂν ὑπαίθριον, οὔτε νίφεται τὸ παράπαν οὔτε βρέχεται*: v. Zenob. V, 53 et Macar. VI, 64 c. annott.

46. Greg. Cypr. M IV, 75. Apost. XIII, 77 ibiq. v. annott.: cf. nott. ad Zenob. V, 55, quibus add. Etymol. Leidense apud Gaisfordum ad Scholl. Hes. Theogon. 691: *ἴκταρ ἰκτικῶς παρὰ τὸ ἰκνοῦμαι· Πλάτων δὲ ἀντὶ τοῦ ἐγγὺς τίθησιν, οἷον τὸ λεγόμενον· Οὐδ' ἴκταρ* [sic] *βάλλει.* Adhibuit, si fidem testimonio Aeliani Nat. Anim. XV, 29 habere volumus, Gerana Pygmaeorum regina: *μάλιστα δὲ τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν καὶ τὴν Ἄρτεμιν καὶ τὴν Ἀφροδίτην οὐδὲ ἴκταρ ἔλεγε βάλλειν πρὸς τὸ αὐτῆς κάλλος.*

47. Diogen, VII, 11: Apost. XIII, 38.

48. Diogen. VII, 7: Greg. Cypr.

τοῖς τραχέσι καὶ δυςβάτοις τόποις οἱ ἔλαφοι παρατρίβοντες τὰ κέρατα πρὸς τοὺς θάμνους ἀποβάλλουσιν αὐτά. Ὅθεν ἡ παροιμία ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιουμένων.

49 *Ὄρτυξ ἔσωσε Ἡρακλῆ τὸν καρτερόν: αὕτη παρ' οὐδενὶ τῶν ἀρχαίων ἐστί· λέγεται δὲ ἐπὶ τῶν σωζομένων παρ' ὧν οὐκ ἤλπισαν. φησὶ γὰρ Εὔδοξος, Ἡρακλέα τὸν Τύριον ὑπὸ Τυφῶνος διαφθαρῆναι, τὸν δὲ Ἰόλαον ἅπαντα πράττοντα ὑπὲρ τοῦ ἀναστῆναι τὸν ἥρωα, ὄρτυγα ᾧ ἔχαιρεν Ἡρακλῆς ζῶντα καῦσαι· ἐκ ταύτης δὲ τῆς κνίσσης ἀναβιῶναι τὸν Ἡρακλέα.*

50 *Οὐδὲ πυρφόρος ἐλείφθη: ἡ παροιμία ἐπὶ τῶν μεγάλων κινδύνων τάττεται, ἐπειδὴ πάσης πολεμικῆς παρασκευῆς ἔδει τὸν μάντιν ἡγεῖσθαι, δάφνης ἔχοντα κλάδον καὶ στέμματα· ἦν δὲ νόμος τούτου μόνου φείδεσθαι τοὺς πολεμίους· ἐπὶ τοίνυν τῶν πανωλεθρίᾳ διεφθαρμένων καιρὸν ἔσχεν ἡ παροιμία.*

51 *Οἵαπερ ἡ δέσποινα, τοία χὴ κύων: παροιμία λέγουσα ὅτι ὁποία δέσποινα, τοιαύτη καὶ ἡ θεραπαινίς· τοῦτο δ' ἂν εἴπῃς καὶ ἐπ' ἀνδρῶν.*

---

1. *οἱ*] *αἱ* d. 2. *ἀποβάλλουσι ταῦτα* d. In Diogeniani explicatione plurima intercepta sunt. 4. *Ἡρακλῆ τὸν καρτερόν* scripsi e Zenobio, Diogeniano, aliis: *τὸν καρτερὸν Ἡρακλέα* d. 5. *ἐστί· λέγεται*] *ἐπιλέγεται* d. 6. *παρ' ὧν*] *ἀφ' ὧν* Zenobius. Diogenianus nihil nisi haec habet: *ἐπὶ τῶν σ. παρ' ὧν οὐκ ἤλπισαν.* 7. *τὸν δὲ λαὸν* d. *ὑπὲρ τοῦ*] *διὰ τὸ* Zenobius. 8. *ἀναστῆσαι* idem. *ἥρωα*] *Ἡρακλέα* idem. *τὸν ὄρτυγα* idem. 9. *ἐκ δὲ τῆς κνίσσης* idem. 11. *ἡ — ἐπειδὴ*] haec Diogenianus om. 12. *παρασκευῆς*] *παρατάξεως* idem. 14. *στέμματα*] post hoc vocabulum Suidas ponit: *καὶ λαμπάδα*: v. nott. critt. ad Zenob. V, 34. 17. *οἵαπερ ἂν ἡ* tentat Backhuizenius: *οἵα γ' ἡ* Cicero. *χά* Scholiasta. Totum in Ascensiana secunda sic legitur: *ὁποία ἡ δέσποινα, τοῖαι καὶ θεραπαινίδες.*

M IV, 57. Macar. VI, 44. Apost. XIII, 41.

49. Diogen. VII. 10: Macar. VI, 46. Apost. XIII, 46: cf. Zenob. V, 56. Iolaus non solum fratris filius sed etiam socius Herculi atque adiutor consiliorum periculorumque fere omnium: hinc Manuel Palaeol. in Combefisii Auctar. Patr. II, 1178 B dixit: *καὶ τὸ πολλῷ δεινότερον, ὅτι περ πολλοὺς Ἰόλεως ἔχων ὁ τοιοῦτοι τῷ Ἡρακλεῖ παραβαλλόμενος νῦν οὐδένα τέως ἔσχε τὸν συναθλήσαντα.*

50. Diogen. VII, 15: Macar. VI, 61. Apost. XIII, 47 ibiq. cf. notata. Usurpat Greg. Nazianz. Orat. V, 15, p. 118 A Bill.: *εἰ μὲν οὖν μὴ Πέρσαι τῇ νίκῃ μετριάζοντες, ... εἰς συμβάσεις ἐτράποντο, ... οὐδὲν ἐκώλυε, μηδὲ πυρφόρον, ὃ δὴ φασιν, ὑπολειφθῆναι τῷ στρατῷ.*

51. Scholl. ad Plat. Reip. VIII, 563 C, p. 416 Bekk.: v. nott. ad Diogen. V, 93. Inclusit orationi hoc proverbium Cicero Epist. ad Attic. V, 11, 5: *plane serviunt existimationi meae. Quod superest, si verum est illud: οἵα γ' ἡ δέσποινα, certe permanebunt. Nihil enim a me fieri ita videbunt, ut sibi sit delinquendi locus.*

52 *Ὁ ἐν Σίδῃ μοι λιμὴν γέγονεν:* ἐπὶ τῶν δεινῶν καὶ ἀνηνύτων λέγεται, ὁμοία τῇ λεγούσῃ· *Πλίνθον πλύνεις.* διότι ὁ ἐν Σίδῃ λιμὴν καθαιρόμενος ὑπὸ πνευμάτων τε καὶ κυμάτων πάλιν πληροῦται, καὶ ἄλλως ἐνορμισθῆναι χαλεπός.

53 *Ὁμοιότερος σύκου:* τοῦτο παραπαίζεται διὰ τὴν ἐμφέρειαν τῶν σύκων πρὸς ἄλληλα.

54 *Ὀστράκου μεταπεσόντος:* ἐπὶ τῶν ἀπροφασίστως μεταβαλλομένων ἀπὸ τῶν πρώην αὐτοῖς πρεσβευομένων.

55 *Οὐμάλα σικίων † εἰς ἀγοράν:* ἐπὶ τῶν διὰ γῆρας ὀκνηρῶν.

ΑΡΧΗ ΤΟΥ Π.

56 *Πρεσβύτερος Κόδρου:* ἐπὶ τῶν παλαιῶν καὶ πολυχρονίων· ἀπὸ βασιλέως Ἀθηναίου Κόδρου, ὃς δοκεῖ πρεσβύτατος καὶ εὐγενέστατος γεγενῆσθαι.

---

6. *παραπαίζει* male Diogenianus. 7. *πρὸς ἄλληλα* idem om. 8. *ὀστράκων περιστροφή* Diogenianus, simul plane diversam explicationem subiungens: cum nostro facit Scholiasta Lucianeus. *παροιμία Πλατωνική* praemittit Scholiasta. 9. *πρώην*] *πρώτων* idem: sed *πρώην* ibi codices nonnulli. 10. Non dubito quin haec verba ad Diogeniani l. c. referenda sint, quamvis in explicatione a nostro recedat. Varias lectiones v. in nota ad Diogen. l. c.: apponam Hesychium: *οὐμαλακικκάς: παροιμία τὸ μηδὲν σημαίνουσα. ὠνήτης δὲ κοκκὰς οὐ μάλα φαίνεται· καὶ Στράττις ἐν Ζωπύρῳ περικαιομένῳ Τῶν οὐ μάλα τέθηκα κεκυκκᾶν ἐπικρατῆ:* quo in loco vel emendando vel explicando nihil se videre etiam Meinekius Comic. Rell. II, 2, 767 fatetur.

52. Sida oppidum Pamphyliae, cuius incolas deterrimos omnium totius orbis gentium dixit Stratonicus citharista, ut memoriae prodidit Athen. VIII, 350 A. Ceterum de urbe v. Strab. XIV, 3, 2, p. 667 et interpp. Stephani Byz. s. v. *Πλίνθον πλύνεις*] v. Greg. Cypr. M IV, 80.

53. Diogen. VII, 37: Apost. XIII, 18.

54. Diogen. VI, 95: Greg. Cypr. M IV, 70. Apost. XIII, 48: cum nostro faciunt Scholl. ad Lucian. Apol. pro Merc. Conduct. §. 1. Orationem hoc adagio illuminaverunt Dio Chrysost. Oratt. IV, 176 R.: *ὁ δὲ ἰταμὸς καὶ ἄτρεπτος, πολλὰς ὕβρεις τε καὶ αἰσχύνας ὑπομείνας, ὀστράκου φασὶ μεταπεσόντος, στρατηγὸς ἢ δημαγωγὸς πέφηνεν ὀξὺ καὶ διάτορον βοῶν:* Liban. Oratt. T. II. 120, 14: *ἐβουλεύου δὲ ὅπως αὐτὸν ἐκβάλῃς τὸν πάρεδρον, ὡς πλειόνων, ἢ προσῆκε, γραμμάτων εἰσιόντων τε καὶ ἐξιόντων· τῶν μὲν παρ' ἐκείνου, τῶν δὲ παρὰ τούτου· καὶ ἦν σοι κλέος, ἔκ τε ὧν ἐποίεις, ἔκ τε ὧν διενόου. ἔπειτα ὀστράκου, φησί, μεταπεσόντος, ἀμφότεροι φίλτατοι:* ubi ad v. *φησι* suppleas *ἡ παροιμία*: Niceph. Greg. Hist. Byz. VII, 3, p. 133 Ven.: *ὁπόσας Σικελικὰς πόλεις ὁ Κάρουλος εἷλέ τε καὶ ἐδεδούλωτο, πᾶσαι καθάπερ ὀστράκου μεταπεσόντος εἰς Θευδέριχον ἐπανῆκον.*

55. Diogen. VII, 14: Apostol. XIII, 83.

56. Diogen. VII, 45: Macar. VII, 41 ibiq. v. nott. Apost. XV, 19: cf. nott. ad Macar. II, 48. *Εὐγενέστατος*] hinc dicebatur etiam de nobilissimis: cf. Macar. IV, 20 ibiq. v. nott.

57 *Πρὸς λέοντα δορκὰς ἅπτεται μάχης*: ἐπὶ τῶν κρείττοσιν ἐριζόντων.

58 *Πρωκτὸς λουτροῦ περιγίνεται*: ὅταν τις μὴ δύνηται ἀπονίψασθαι, ἀλλ' ἡ κοιλία αὐτῷ ἐπιφέρηται. λέγεται ἡ παροιμία ἐπὶ τῶν ἀνωφελῶς πραττομένων.

59 *Πενία δὲ σοφίαν ἔλαχε*: παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσιν.

60 *Πεύκης τρόπον*: ἐπὶ τῶν πανωλεθρίᾳ ἀπολλυμένων. παρόσον ἡ πεύκη κοπεῖσα οὐκέτι φύεται.

61 *Πτωχοῦ πήρα οὐ πίμπλαται*: ἐπὶ τῶν ἀπλήστων· πτωχῶν γὰρ οἶκοι ἀεὶ κενοί.

---

1. *δορκάδες συνάπτουσι μάχας* Gregorius cum Apostolio, *δορκὰς ἅπτεται μάχης* Macarius, *δορκάδες ἅπτουσι μάχην* Suidas, *δορκάδες συνάπτουσι μάχην* Photius: cf. sup. III, 26: »si quid mutandum esset, *ἅπτονται μάχης* ex superiore gl. Gaisfordus probabat. Nihil equidem in structura reprehendo, sed acumen in verborum compositione desidero. Malim igitur: *πρὸς λέοντα δορκὰς ἅπτουσα μάχην*«: Bernhardius ad Suid. s. *πρὸς λέοντα*. 2. *πρὸς κρείττονας* Suidas. 3. *περιγίνῃ* Suidas. *δύναται* d. 4. *κἂν ἀπονίψασθαι* Suidas: *κἂν* Photius et Hesychius om. *αὐτῷ* Suidas om. 5. *ἐπὶ τῶν ἀνωφελῶν οὖν καὶ εἰκῇ πραττομένων ἐλέγετο* Suidas. 6. *πενίῃ* et *σοφίην* Arsenius, Gregorius Cyprius, alii. 8. *ἀπολουμένων* d. 11. *Πτωχῶν γὰρ κτλ.*] Suidas: *Καί, Πτωχῶν αὖλαι ἀεὶ κεναί*. VB: *πτωχοῦ αὖλαι ἀεὶ κεναί*: haec pro proverbio Bernhardius habet, cuius formam germanam fuisse opinatur: *αἰεὶ γὰρ πτωχῶν θυλάδες εἰσὶ κεναί*: Heckerus contra Comment. Callimach. p. 84, *πτωχῶν αὐλὰς ἀεὶ κενεὴ* scribenda putat et Callimacho tribuenda. Nostro nunc loco probatur, haec verba, ut iam in annotatione ad Appendicis l. c. aliis quidem tunc causis motus contendi, ab Callimacho plane aliena esse et Suidam codicumque VB scriptores partem explicationis corruptam male pro proverbio habuisse. *αἰεὶ* d.

57. Greg. Cypr. M V, 6. Macar. VII, 40. Apost. XV, 47: cf. sup. III, 26 et nott. ad Greg. Cypr. P III, 56. »Proverbium ex ea fabulae compositione petitum esse videtur, cui similem Coraes edidit inter Aesop. 348: *Δορκὰς καὶ λέων θυμωθείς*. Neque multum recedit Cydiae praeceptum apud Plat. Charmid. 155 D: *εὐλαβεῖσθαι, μὴ κατέναντα λέοντος ἐλθόντα μοῖραν αἱρεῖσθαι κρεῶν.*« Bernhardius ad Suid. s. *μὴ πρὸς λέοντα*. Loci Platonici sensum reddens Athenaeus V, 187 E scribit: *ποιεῖ γὰρ αὐτὸν ἀσυμφώνως ποτὲ μὲν σκοτοδινιῶντα καὶ μεθυσκόμενον τῷ τοῦ παιδὸς ἔρωτι καὶ γιγόμενον ἔξεδρον, καὶ καθάπερ νεβρὸν ὑποπεπτωκότα λέοντος ἀλκῇ, ἅμα δὲ καταφρονεῖν φησι τῆς ὥρας αὐτοῦ*: cf. sup. III, 42.

58. Apost. XV, 24: cf. Append. Provv. IV, 61 ibiq. nott.

59. Greg. Cypr. L II, 100. Apost. XIV, 69 ibiq. v. nott.: cf. Zenob. V, 72. Usurpavit Choricius in Villoisoni Anecdd. II, 50: *πενία μὲν εἰς ἔργα κινεῖ*: uberius autem de proverbio disseruit Theodorus Prodromus in dissertatione, quae legitur in libro, cuius titulus est: *Notices et Extraits de la Bibliothèque du Roi* T. VIII, 100 sqq.: alia collegit nunc Boissonadus ad Theoph. Simocatt. Epist. 10, p. 234: add. Macar. VII, 21.

60. Diogen. VII, 49: Macar. VII, 7. Apost. XIV, 68. Cf. sup. II, 76.

61. Diogen. VII, 51. Suidas: Greg.

62 *Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις: ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα.*

63 *Πρότερον χελώνη παραδραμεῖται δασύποδα: ἐπὶ τῶν ἄγαν ἀδυνάτων.*

64 *Πρᾶγμαι' ἐξ ἀπραξίας: ἐπὶ τῶν παρὰ δόξαν καὶ ἐλπίδα συμβαινόντων.*

65 *Πρὸς σῆμα μητρυιᾶς κλαίει: ἐπὶ τοῦ ἀφροντίστου ἢ προσποιουμένου.*

66 *Πράσου φύλλῳ τὸ τῶν ἐρώντων βαλάντιον δέδεται: ἐπὶ τῶν δι' ἔρωτα πολλὰ ἀναλισκόντων καὶ ἀσωτευομένων, παρόσον ἀσθενές ἐστι τὸ τοῦ πράσου φύλλον καὶ οὐδὲ μικρὸν ἀντέχει.*

67 *Πολλαὶ κυνὸς ἄῤῥενος εὐναί: ἐπὶ τῶν κατωφερῶν πρὸς τὰ ἀφροδίσια.*

68 *Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπε: ἡ διάνοια φανερά.*

69 *Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα: ἐπὶ τῶν περιφρονούντων.*

70 *Πρὸς κώρυκον γυμνάζεσθαι: ἐπὶ τῶν διακενῆς μοχθούντων.*

---

3. Suidas s. *πρότερον* in fine habet *τὸν δασύπουν*, s. *δασύπους* cum nostro consentit. 4. *ἄγαν* Diogenianus om. 5. *καὶ παρ' ἐλπίδα* Suidas. 7. *κλαίεις* Diogenianus. In explicatione Suidas cum nostro concordat: Diogenianus aliam explicationem proponit. 9. *δέδεται βαλάντιον* B Macarius, Suidas. 13. *ἄρσενος* Diogenianus. *κατωφερῶς* d. 15. *πολλάκις καὶ* d. 17. *πολλὴ δ' ἀλώπηξ* Etymologicum Gudianum. In explicatione aliam viam instituit Diogenianus. 19. *κώρυκον*] *κόρακας* d.

Cypr. M IV, 95. Macar. VII, 45. Apost. XV, 54: hoc proverbium a Callimacho usurpatum esse Zenob. V, 66 narrat. *Πτωχῶν κτλ.*] App. Provv. IV, 62.

62. Diogen. VII, 56: Greg. Cypr. L II, 97. Apost. XV, 33.

63. Diogen. VII, 57: Apost. V, 81. XV, 34.

64. Diogen. VII, 59: Mant. Provv. s. *πράγματα.* Simile in Macar. VI, 67 legitur.

65. Diogen. VII, 66: Greg. Cypr. M IV, 90. Macar. VII, 38. Apost. XV, 45. XI, 65.

66. Macar. VII, 34. Arsen. XII, 87: cf. Append. Provv. IV, 60.

67. Diogen. VII, 79: Greg. Cypr. M IV, 93. Apost. XIV, 88.

68. Diogen. VII, 81: Greg. Cypr. M IV, 94. Macar. VII, 29. Apost. XV, 15.

69. Diogen. VII, 83b: Greg. Cypr. M IV, 98. Macar. VII, 22. Apost. XV, 6: Etym. Gudian. 226, 35: cf. Zenob. V, 68.

70. Diogen. VII, 54: Apost. XV, 32. »Exercitationis modum luculente demonstrat Oribasius ab Maio vulgatus p. 66 eumque Gesnerus illustrat in Lucian. T. V, p. 498.« Bernhardius ad Suid. s. v.: alia v. in annotatione mea ad Diogen. l. c. allata.

71 *Πέτρας σπείρειν:* ἐπὶ τῶν πολλὰ καμνόντων καὶ μηδὲν ἀνύσαι δυναμένων.

ΑΡΧΗ ΤΟΥ Ρ.

72 *Ῥόδιοι τὴν θυσίαν:* ἐπὶ τῶν ἐν τοῖς ἱεροῖς βλασφημούντων.

73 *Ῥιγοῖ κακῶς ἀριστήσας:* ἐπὶ τῶν προφασιζομένων καὶ μετὰ τὴν ἀνάπαυσιν βραδέως ἐρχομένων ἐπὶ τὸ ἔργον.

74 *Ῥαδαμάνθυος κρίσις:* ἐπὶ τῶν ἐπὶ δικαιοσύνῃ μαρτυρουμένων.

ΑΡΧΗ ΤΟΥ Σ.

75 *Σαρδώνιος γέλως:* ἐπὶ τῶν κακῶς γελώντων.

ΑΡΧΗ ΤΟΥ Τ.

76 *Τὸ Μηλιακὸν πλοῖον:* ἐπὶ τῶν ἄγαν ῥυέντων.

77 *Τὸ Αἰσώπειον αἷμα:* αὕτη λέγεται κατὰ τῶν δυςαπονίπτοις ὀνείδεσι περιπεπτωκότων· τοῖς γὰρ Δελφοῖς ἀνελοῦσι τὸν Αἴσωπον συνέβη τὸ δαιμόνιον χαλεπῆναι.

---

6. Confirmantur hoc loco emendationes a me in Diogeniano factae. 7. *βραδέως*] *οὐχ ἡδέως* Diogenianus. *τὰ ἔργα* idem. 8. *Ῥαδαμάνθιος* d. *ἐπὶ δικαίοις* Diogenianus. 11. *κακῶς*] *μὴ ἐκ χαιρούσης ψυχῆς* idem. *γελόντων* d. 13. *ῥεόντων* Diogenianus. 16. *ἐνελοῦσι* d.

71. Macar. VII, 6. Apost. XIV, 64. Usurpant Aristid. Oratt. XLVI, p. 378: *ἐλελήθεις δὲ ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων* [cf. sup. II, 61] *καὶ λίθον ἕψων* [Apost. XI, 22.] *καὶ σπείρων τὰς πέτρας*: Manuel Palaeol. in Combefisii Auct. Patt. II, 1154 A: *εἰ δὲ δὴ ποιήσας καὶ εἰπὼν τὰ εἰς ἐκεῖνον ἥκοντα, γνοίη τηνάλλως ἀγωνιζόμενος εἰς πῦρ τε ξαίνων καὶ πέτρας σπείρων, τότε δὴ δοῦναι συγγνώμην αὐτοῖς*, ubi sine causa editor *εἰς πέτρας* aut *κατὰ πετρῶν* scribere vult: similiter *πέτρας γεωργεῖν* dixit Theophylactus Simoc. Epist. 5. Ceterum eodem sensu dicitur *εἰς πέτρας σπείρειν* apud Plat. Legg. VIII, 839 E: *τοῦ μὲν ἄῤῥενος ἀπεχομένους μὴ κτείνοντάς τε ἐκ προνοίας τὸ τῶν ἀνθρώπων γένος μηδ᾽ εἰς πέτρας τε καὶ λίθους σπείροντας*: Phot. Epist. 27, p. 86 Mont.: et *ἐπὶ* aut *κατὰ πετρῶν σπείρειν*: Plut. Boisson. 1: cf. nott. ad Append. Provv. III, 67: et *κατὰ λίθων σπείρειν*: v. nott. ad Diogen. V, 83.

72. Diogen. VII, 96: Apost. XV, 74.

73. Diogen. VII, 97[a].

74. Diogen. VII, 98: Greg. Cypr. L III, 5. Macar. VII, 50. Apost. XV, 62. Alludit Liban. Oratt. T. I, 517, 1 R.: *οἷς δὲ πρὸς ἀλλήλους διαφοραὶ ψήφου δικαίας δεόμεναι, τὸν ἀμείνω τοῦ Ῥαδαμάνθυος δικαστήν.*

75. Diogen. VIII, 5: Macar. VII, 59. Apostol. XV, 80 ibique v. nott.

76. Diogen. VIII, 31: Apost. XVII, 23.

77. Diogen. I, 46 ibiq. VB: Macar. VIII, 47: Suid. s. *Αἰσώπειον αἷμα*: cf. Zenob. I, 47. sup. I, 20.

78 *Τήνια κακά: ἐπὶ τῶν ἄγαν δυσχερῶν. ὅτι ἐν Τήνῳ τῇ νήσῳ ὄφεις πικροί.*

79 *Τυφλότερος ἀσπάλακος: ὅτι τὸ ζῷον οὐκ ἔχει ὀφθαλμούς· φασὶ δὲ αὐτὸ ὑπὸ τῆς γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς· ἔχει γὰρ ὀδόντας μιαρωτάτους καὶ ῥύγχος ὡς γαλῆς καὶ πόδας ὡς ἄρκτου.*

80 *Τὰ Φρυνίχου παλαίσματα: ἐπὶ τῶν φρονίμως καὶ συνετῶς σοφιζομένων.*

ΑΡΧΗ ΤΟΥ Υ.

81 *Ὑπέρου περιτροπή: ἐπὶ τῶν τὰ πάντα κινούντων καὶ μηδὲν περαινόντων. ἴση τῇ Χύτραν ποικίλλεις.*

82 *Ὑπερδεᾶ δῆμον: τὸν ὑπερβαλλόντως ἐνδεᾶ, ἐλλιπῆ ὄχλον.*

83 *Ὑπερπαίειν: τὸ ὑπερβαίνειν.*

---

1. *κακὰ* excidit in Photio. *ἐπὶ — δυσχερῶν* Photius om., qui in fine addit *γίνονται.* 3. Diogenianus misere est corruptus. 4. *φασὶ δὲ*] *φησὶ δὲ Στησίμβροτος* Apostolius cum Suida. 5. *μιαρωτάτας* d. 7. *Τὸ* d. *πάλαισμα* Diogenianus: Suidas s. *Φρύνιχος*; *Φρυνίχου παλαίσμασιν.* *φρονίμως*] *πανούργως* Diogenianus. 11. *ἴση κτλ.* Suidas cum reliquis om. *ποικίλεις* d. 12. *ὑπερδέα* Suidas, alii: cum nostro facit Etym. M.: v. Spitznerus ad Hom. l. c. *ὑπερβάλλοντα* d.

78. Photius s. *Τήνια.* Tenum insulam anguibus abundasse testantur poetae a Scholl. ad Aristoph. Plut. 718 allegati: *ὅτι ἐν τῇ Τήνῳ μιᾷ τῶν Κυκλάδων νήσῳ ὄφεις καὶ σκορπίοι δεινοὶ ἐγίνοντο· ... Εὔπολις Πόλεσιν* [fr. I Mein.]· *Τῆνος αὕτη, πολλοὺς ἔχουσα σκορπίους ἔχεις τε συκοφάντας· καὶ Ἀντίμαχος* [fr. 70 Schellenb.]· *Τήνου τ' ὀφιοέσσης*, quo alludit ad nomen insulae *Ὀφιοῦσσα*: v. Steph. Byz. s. *Τῆνος*. testatur item Hesych. s. *Τηνία· ἔχιδνα*: add. Stollius ad Antim. Rell. p. 93. Cf. Macar. IV, 89.

79. Diogen. VIII, 25: Greg. Cypr. L III, 11. Apost. XVII, 78[a].

80. Diogen. VIII, 29: Macar. VIII, 75. Apost. XVII, 60.

81. Greg. Cypr. L III, 19. Apost. XVIII, 7: cf. Zenob. VI, 25. App. Provv. V, 5. Usurpat Plato Comicus apud Arsenium XXII, 28. *Χύτρ. π.*] cf. nott. ad Apost. XVIII, 85.

82. Suidas: *ὑ. δ.*, *ὑπερβαλλόντως ἐνδεᾶ, οἷον πάνυ ἐλάσσονα, κατὰ δύναμιν, τὸν ἄγαν ἐνδεᾶ*: Hesych. Phot. Etym. Magn. 778, 38. Apollon. Lex. Hom. 159, 10 Bekk.: Poll. IV, 170: *ὑπερδεῆ δὲ, τὰ λίαν ἐνδεῆ*: Scholl. Ven. ad Hom. Il. *P*, 330: differt ab his Eustath. ad Hom. l. c. p. 1108 fin.: *δῆμον δὲ ὑπερδέα λέγει τὸν ἀπτόητον καὶ ὑπερκείμενον δέους ἐκ τοῦ ὑπερδεέα κατὰ συγκοπήν. ἄλλως γὰρ περισπᾶσθαι ὤφειλε κατὰ συναίρεσιν ὡς τὸ εὐφυέα εὐφυᾶ, ὑγιέα ὑγιᾶ*: varias virorum doctorum de hac re sententias interpp. ad Hesych. et Spitznerus ad Hom. l. c. composuerunt. Ceterum pertinet glossa ad Hom. Il. *P*, 330.

83. Suidas: *ὑπερπαίειν: ὑπερβαίνειν, πλεονάζειν. Διὸ τὸ γεγονὸς οὐδὲ καθ' ὑπερβολὴν εἰκάσαι δυνατὸν οὐδενὶ τῶν ὄντων ἐστίν· οὕτως ὑπερπέπαικε πάσας τῇ δεινότητι τὰς προειρημένας πράξεις*: exemplum e Polyb. XIV, 5, 14 desumptum. Addit Gaisfordus Demosthenem contra Polycl. p. 1217: *τοσοῦτον ὑπερπέπαικας πλούτῳ τοὺς ἄλλους.*

84 *Ὑπερεκπίπτειν:* ἤγουν ὑπερβάλλειν.

85 *Ὕδωρ παραῤῥεῖ:* ἐπὶ τῶν ἐκ παντὸς ἔργου ἐπαγγελλομένων καταπράξασθαι τὸ ἐπικείμενον· μετενήνεκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς εἰς πλοῖα ῥέοντα ἐμβαινόντων καὶ παραβαλλομένων τῷ κινδύνῳ.

ΑΡΧΗ ΤΟΥ Φ.

86 *Φόνου πτερόν:* [τὸν] διὰ τῶν οἰστῶν πτερόεντα φόνον λέγει· ἢ τὸν ταχύν. βέλτιον δὲ ἀκούειν περιφραστικῶς τὸν θάνατον.

87 *Φαλάριδος ἀρχή:* ἐπὶ τῶν ὠμῶς τῇ ἀδικίᾳ χρωμένων.

88 *Φαλακρὸς κτένα:* ἐπὶ τῶν εἰς μηδέν τι συντελούντων· ὅμοιον ταύτης τῆς παροιμίας καὶ τὸ λέγειν· *Εὐνοῦχος παλλακίδα, ὁ κωφὸς αὐλητήν, κάτοπτρον ὁ τυφλός, ὁ ἠπειρώτης κώπην, ὁ κυβερνήτης ἄροτρον·* πάντα γὰρ ταῦτα ὅμοια.

89 *Φώκου ἔρανος:* ἡ παροιμία ἐπὶ τῶν ἀλυσιτελῶς ἐράνους ποριζόντων. Φῶκος γὰρ ἐσφάγη ἔχων θυγατέρα ὡραίαν παρὰ τῶν μνηστευομένων· συναγαγὼν [γὰρ] ἔρανον ἐκδώσειν ἔλεγε τὴν θυγατέρα, ᾧ ἂν ὁ θεὸς συμβουλεύῃ· οἱ δὲ ὑπὸ ὀργῆς κινηθέντες ἀναιροῦσι τὸν Φῶκον.

---

2. *παραῤῥέει* Zenobius. 3. *προκείμενον* Zenobius. 4. *εἰςβαινόντων* idem. Suidas explicat: *ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει ὑποδύσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.* 7. [*τὸν*] d om. *τὸν οἰστὸν* d. 8. *δὲ ἀκούειν*] *πέμπειν* d. 9. *θάνατον*] *φόνον* Zenobius et Suidas. 10. *ἀρχαὶ* Diogenianus. *τῇ ἀδικίᾳ*] *τῇ ἐξουσίᾳ* idem. 11. *ἐπὶ — λέγειν* VB om. 13. *παλλακήν* VB. *ὁ κωφὸς*] articulum VB om. 16. Aliis verbis Zenobius et Diogenianus proverbium explicant. 18. [*γὰρ*] ego addidi. 20. *ὀργῇ* L.

Utitur verbo etiam Aristoph. Eccles. 1118, saepius Lucianus; v. Navig. §. 45. Imagg. §. 9. Abdic. §. 15.

84. Suid. s. *ὑπερεκπίπτω: αἰτιατικῇ.* Lucian. Hermot. §. 67: *εἶτα λογιζόμενος ἐτῶν ἀριθμὸν, ὁπόσος ἑκάστῃ ἱκανός ἐστιν, ὑπερεξέπιπτες, ἀπομηκύνων τὸ πρᾶγμα ἐς γενεὰς ἄλλας.*

85. Apost. XVII, 96: Zenob. VI, 24.

86. Apost. XVIII, 31: Zenob. VI, 31. Append. Provv. V, 18.

87. Diogen. VIII, 65: Apost. XVIII, 21 ibiq. v. notas. Sopater ad Hermog. T. IV Rhett. p. 79 Walz.: *Ἀθήνησι δ' οἱ ἄρχοντες ἐξ εὐπατριδῶν, κἂν Ἴρου μὲν πενέστεροι, Φαλάριδος δὲ ἀδικώτεροι καὶ ὠμότεροι:* Gregor. Nazianz. Epist. 32, p. 28 D: *εἶναι τὸν σπουδαῖον μακάριον, κἂν ὁ Φαλάριδος ταῦρος ἔχῃ καιόμενον.*

88. Append. Provv. V. 12.

89. Diogen. VIII, 66: Apostol. XVIII, 47.

ΑΡΧΗ ΤΟΥ Χ.

90 *Χάραξ τὴν ἄμπελον:* ὅταν ὑπὸ σώζοντος τὸ σωζόμενον παθῇ. Ἀριστοφάνης· Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

91 *Χαρώνειος θύρα:* μία τοῦ νομοφυλακείου θύρα, δι' ἧς οἱ καταδίκοι τὴν ἐπὶ θάνατον ἐξάγονται.

92 *Χθόνια λουτρά:* τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ ἐπὶ τὰς ταφὰς λουτρά.

93 *Χαλκιδίζειν:* ἐπὶ τῶν γλισχρευομένων· οἱ γὰρ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο.

94 *Χαλεπὸν χορίου κύνα γεύειν:* τὸ ἔλυτρον τοῦ ἐμβρύου χόριον καλεῖται, οἱ δὲ κύνες γευσάμενοι τούτου καὶ τοῖς ἐμβρύοις ἐπιβουλεύουσι διὰ τὸ λίχνον. Ἐπὶ τῶν παρ' ἀξίαν τινὸς ἀπολαυόντων καὶ χωρούντων εἰς μείζονα.

---

3. πάθῃ] ἀπατηθῇ Kusterus ad Suid. s. χάραξ ex Schol. ad Arist. l. c. scribendum esse censet: Secutus est Nauckius ad Aristoph. Byz. fr. p. 237. ἐξηπάτηκεν d. 5. Χάρωνος Diogenianus. τοῦ] τῶν d. 6. ἐξάγονται d: ἐξήρχοντο Diogenianus, qui praeterea ἐπὶ τὸ θανεῖν exhibet et vv. μία — θύρα ignorat. 7. Diogenianus explicat: τὰ τῶν νεκρῶν. 8. τοὺς τάφους Zenobius VI, 45. 9. χαλκίζειν d. Suidas: χαλκιδίζειν καὶ χαλκιδεύεσθαι: ἐπὶ τῶν γλισχρευομένων. Καὶ φιδικίζειν, ἐπὶ τοῦ παιδεραστεῖν· ἐπεὶ παρ' αὐτοῖς οἱ ἀῤῥένων ἔρωτες ἤσκηντο. Ἄλλοι δὲ ἐπὶ τῷ ῥωτακίζειν· ἐπεὶ αὐτοί τε καὶ Ἐρετριεῖς δοκοῦσι τῷ ρ' κατακορεστέρως χρῆσθαι καὶ ἀντὶ τοῦ σ' τιθέντες: cf. nott. ad Apost. VII, 88. 13. τοῖς ἐμβρύοις] τὸ ἔμβρυον d. ἐπὶ τῶν κτλ. Suidas om.

90. Fragm. Marc. I, 7: Zenob. VI, 40: Macar. III, 96. Aristophanis locus est Vesp. 1282, ubi Scholia haec habent: παροιμία, ὅταν ὑπὸ τοῦ σωζομένου τὸ σῶζον ἀπατηθῇ, ἢ ὅταν ἐξαπατηθῇ τις πιστεύσας. ἔστιν οὖν παροιμία ἀπὸ τῶν καλάμων τῶν προσδεσμουμένων ταῖς ἀμπέλοις, οἳ ἐνίοτε ῥιζοβολήσαντες ὑπεραίξονται τῶν ἀμπέλων. Attigit Nauckius ad Aristoph. Byz. Fr. 237.

91. Diogen. VIII, 68: Fragm. Marc. I, 13. Apost. XVIII, 58.

92. Diogen. VIII, 69: Greg. Cypr. L III, 35. Macar. VIII, 82. Fragm. Marc. I, 23. Apost. XVIII, 67.

93. Plutarch. Provv. I, 84. Attigit Meinekius Com. Gr. T. IV, 648.

94. Greg. Cypr. M V, 14. Macar. VIII, 79. Fragm. Marc. I, 2. Apost. XVIII, 53: cf. annott. ad Greg. Cypr. Pant. III, 97. Proverbium quod contrarium fere de canum natura praedicat refertur a Macario V, 39. Χόριον quid sit accurate definit Galenus de Semine I, 7, T. IV, 538 Kuehn.: ὀνομάζεται δὲ χόριον ὑμὴν οὗτος ὁ ἔξωθεν, ὃν διοδεύουσιν αἵ τ' ἀρτηρίαι τε καὶ αἱ φλέβες, ὕλας ἐκ τῆς μήτρας εἰς τὸ κυούμενον ἄγουσαι. θατέρῳ δ' ὑμένι, τῷ πρὸς τὰς κεραίας ἀνήκοντι, τὴν μὲν προσηγορίαν διὰ τοῦ σχήματος ἔθεντο· παραπλήσιος γὰρ ὢν ἀλλᾶντι καὶ τοὔνομα παρηγμένον ἀπ' ἐκείνου κέκτηται· ἡ χρεία δὲ αὐτοῦ τοῖς ἐμβρύοις ἐν μὲν ταῖς πρώταις ἡμέραις, ἣν ἀρτίως εἶπον, αὐξανομένων δὲ τῶν ὑγρῶν περιττωμάτων, ὑποδέξασθαι τὸ ἕτερον: vulgaria afferunt Suid. v. χόριον et Scholl. ad Theocr. Id. IX, 19, de quibus v. Reiffius ad Artemid. Oneirocr. V, 12: hinc bene coniungit χόρια et πῦος Aristoph. apud Athen. III, 104 F, IX, 372 C.

ΑΡΧΗ ΤΟΥ Ψ.

95 Ψιττακὸς † Ἰνδέστιος: ἐπὶ τῶν μιμουμένων τινάς· τοιοῦτον γὰρ τὸ ὄρνεον ὥστε ἀνθρωπίνην προΐεσθαι φωνήν.

96 Ψεδνὴ λάχνη: ἐπὶ τῶν ἀνοήτων· ἢ ἐπὶ τῶν λείων καὶ μαδαρῶν.

ΑΡΧΗ ΤΟΥ Ω.

97 Ὠσὶν ἐσθίουσιν: ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαί τι τὰ ὦτα ηὐτρεπισμένα ἐχόντων, μὴ θελόντων δὲ δέχεσθαι δι' αὐτῶν †, ἃ μὴ προσῆκον.

98 Ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡ γυνή: ἐπὶ τῶν πολλὰς θυγατέρας τικτουσῶν γυναικῶν.

---

99 Ἄξιος τριχός: ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων.

100 Ἀπὸ βραδυσκελῶν ὄνων ἵππος ὤρουσεν: ἐπὶ τῶν ἀπὸ μικρῶν εἰς μείζω χωρούντων.

---

2. Ἰνδέστιος] vox corrupta: nomen Ἰνδικὸς aut Ἰνδιστὶ cum alia quadam voce male videtur in unum conflatum. 7. τὶ Diogenianus om. 8. ηὐτρεπισμένα ἐχόντων] εὐτρεπιζομένων idem om. reliquis. 10. χαλκίδη d. ἡ μὲν ἡ γυνὴ Zenobius VI, 50. 12—14. Haec adiecta sunt ad explendam lacunam, quam sup. I, 54 indicavimus: quod prius proverbium attinet, recte: de altero dubitari potest, quum hoc Diogenianus et reliqui aliter explicent. 13. Ὤρουσεν ἵππος vel ὤρουσ' ἐς ἵππους ἀπὸ βραδυσκελῶν ὄνων tentavit Nauckius in Schneidewini Philol. II, 158.

95. Psittacum quum sola India mitteret: Paus. II, 28, 1: παρὰ δὲ Ἰνδῶν μόνων ἄλλα τε κομίζεται καὶ ὄρνιθες οἱ ψιττακοί: Plin. N. Hist. X, 42, 117: *India hanc avem mittit, sittacen vocat, viridem toto corpore, torque tantum miniato in cervice distinctam. Imperatores salutat et quae accipit verba, pronuntiat, in vino praecipue lasciva:* Indicum veteres nominare solebant; Aristot. Hist. Anim. VIII, 14 fin.: καὶ γὰρ τὸ Ἰνδικὸν ὄρνεον, ἡ ψιττάκη, τὸ λεγόμενον ἀνθρωπόγλωττον, τοιοῦτόν ἐστι: Ovid. Amor. II, 6, 1: *Psittacus, Eois imitatrix ales ab Indis, Occidit:* add. Aelian. N. Anim. XIII, 18 et v. Camus ad Aristot. l. c. T. II, 625. Baehrius ad Ctesiae Cnidii Rell. p. 269. O. Jahnius ad Pers. Prolog. 8.

96. Est glossa Homerica, quae ad Hom. Il. *B*, 219 pertinet, ubi de Thersite poeta dicit: ψεδνὴ δ' ἐπενήνοθε λάχνη: ad quem locum v. Eustathius, Etym. Magn. 817, 51. Hesych. Suid. s. ψεδνός ibiq. intpp.

97. Diogen. VIII, 74: Greg. Cypr. L. III, 42. Macar. VIII, 95. Mant. Provv. s. ὠσίν. Herod. IV, 129: οἱ ἵπποι ... ἐν θωύματι ἔσκον, ὀρθὰ ἱστάντες τὰ ὦτα, ubi Valckenarius haec annotavit: »sumsit forsan a Sophocle, cuius ista nobilis est imago Elect. 25: ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων, Ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν, Ἀλλ' ὀρθὸν οὖς ἵστησιν: *sed potius aures arrigit:* .... Hinc ad homines illud transfertur, qui *aures* ad audiendum *arrigebant.* Philostr. p. 687, 2: ἐγώ σου ἀκούων τὰ ὦτα ἵστημι: et p. 750, 2 ὦτα habet ἑστηκότα πρὸς τοὺς λόγους. Horat. II, Od. XIX: *aures capripedum Satyrorum acutas:* ut Latinum *acuo*, sic Graecum ἀκούω peperit vetus Ἄκω:« add. nott. ad Diogen. l. c. et v. sup. III, 25.

98. Zenob. VI, 50.

99. Cf. sup. I, 54.

100. Diogen. I. 94: ἐπὶ τῶν ἀπὸ εὐτελῶν μέν, ἐνδόξων δὲ γενομένων ἐκείνων: Greg. Cypr. M I, 62. Apost. III, 57: Zenob. II, 5: ἐπὶ τῶν ἀπὸ εὐτελῶν ἐπὶ τὰ μείζω μεταπηδώντων, quocum fere consentiunt K in nott. ad Diog. l. c. et Suidas.

ΠΑΡΟΙΜΙΑΙ

ΣΥΛΛΕΓΕΙΣΑΙ ΠΑΡΑ ΤΟΥ ʽΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ.

Α.

1 *Ἀφροδίσιος ὅρκος: οὐκ ἐμποίνιμος. ἐπὶ γὰρ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται.*

2 *Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γηράσκων ἀετὸς κρείττων ἢ νεάζοντος ὄρνιθος.*

3 *Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: ὅτι οὐδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.*

Titulum petii e P: num eundem L exhibeat, certo dicere nequeo. Aliter MF.

1. *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος* Diogenianus pro proverbio affert: Hesych.: *Ἀφροδίσιος ὅρκος: παροιμία ἣν καὶ ἀναγράφουσιν· Ἀφροδίσιος ὅρκος οὐ δάκνει· πρῶτος δὲ Ἡσίοδος ἔπλασε τοὺς περὶ τὸν Δία καὶ τὴν Ἰὼ ὀμόσαι*: quartam denique proverbii formam legimus apud Macar. VI, 44. De Hesiodo cf. Marckscheffelius ad Hes. Fr. p. 349 sq. Explicationem P om. 3. Explicationem P om. 4. ἢ] ἐστὶ Apostolius. *παντὸς νεάζοντος* Zenobius. 5. Explicatio in P deest.

1. P I, 2. M I, 2: Macar. II, 69. Apost. IV, 56: Diogen. III, 37: v. etiam Macar. VI, 47. Apost. XVI, 66. nott. ad Apost. VI, 56. Imitatur Publ. Syr. Sent. 22: *Amantis iusiurandum poenam non habet.* Sententia nota: Timotheus App. Florent. Stobaei p. 23, 7 Gsf.: *Ἔρως . . Ὁ μὴ τίνων θεοῖσιν ὁρκίων δίκας*: Menander Stobaei Flor. LXIII, 15: *Ἔρως δὲ τῶν θεῶν Ἰσχὺν ἔχων πλείστην ἐπὶ τούτου δείκνυται· Διὰ τοῦτον ἐπιορκοῦσι τοὺς ἄλλους θεούς*: Callimachus Stob. l. c. XXVIII, 3: *Ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι Ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων*: Ovid. A. A. I, 635: *Iupiter ex alto periuria ridet amantum Et iubet Aeolios irrita ferre notos*: Tibull. El. I, 5, 20.

2. P I, 4. M I, 4: Macar. I, 30. Apost. I, 46: Zenob. II, 38.

3. P I, 6. F I, 14: M I, 6: DV I, 11.

4 *Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι:* ὅτι προςήκει τινὰ ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων, ἐν οἷς ἂν γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων.

5 *Ἄλλην δρῦν βαλάνιζε:* ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τὴν αἴτησιν εἰώθασι λαμβάνειν.

6 *Αἴρειν μασχάλην:* ἀντὶ τοῦ εὐωχεῖσθαι. εἴρηται ἀπὸ τῶν ἀγροίκως ὀρχουμένων.

7 *Ἀεὶ κολοιὸς πρὸς κολοιόν*· καὶ· *Ἀεὶ τὸν ὅμοιον ἄγει θεὸς εἰς τὸν ὅμοιον.*

8 *Ἀμαλθείας κέρας:* ὅτι τῇ τρόφῳ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας, δι' οὗ ἐπέβλυσεν αὐτῇ πᾶν ὃ ἂν ᾐτήσατο.

---

2. τινὰ] Apostolius om., ἕκαστον Zenobius. 6. τὴν αἴτησιν] τοῖς αἰτοῦσιν M. εἰωθόοι (sic) M L: εἰώθασι P. 8. ἀγροικικῶς M. 9. αἰεὶ bis M. 10. εἰς τὸν] πρὸς τὸν M, πρὸς P: ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον Homerus. 12. κέρας αἰγός M. 13. ἐπέβλυζεν PM. πᾶν ὅ τι ἂν M. αἰτήσηται Macarius.

4. P I, 8. M I, 8: Apost. II, 39: Zenob. I, 24. Macar. VII, 21.

5. P I, 9. M. I, 9: Macar. I, 87. Apost. II, 16: Zenob. II, 41. nott. ad Macar. III, 40.

6. P I, 12. M I, 12: Apost. I, 74: Zenob. V, 7: cf. infr. II, 72. Utitur Aelian. Epist. Rust. p. 420 Cuiac.: οὐ χεῖρον δὲ ἂν εἴη καὶ οἰνωμένον σε καὶ μασχάλην ἆραι.

7. P I, 15 M I, 15. DV II, 88. Macar. I, 35: cf. nott. ad Apost. I, 38. XIII, 13: cf. Zenob. II, 47.

8. P I, 16. M I, 16: Macar. I, 99. Apost. II, 53. Mant. Provv. s. τό τ' Ἀμαλθείας: Zenob. II, 48, ubi add. Schol. ad Lucian. Rhett. Praec. §. 6. T. III, 220 Iacob.: τὸν Δία αἶγά φασι θρέψαι Ἀμάλθειαν λεγομένην, ταύτης δὲ τὸ δεξιὸν κέρας βρύειν τῆς παγκαρπίας ἤτοι πᾶν αἰσθητὸν ἀγαθὸν ἀφθόνως ἔχειν· ἀπὸ τούτου πάντας τοὺς εὐδαιμόνως διάγοντας τὸ τῆς Ἀμαλθείας ἔχειν κέρας φασίν: Etym. Magn. 76, 32: Ἀμάλθεια, ἡ τροφὸς τοῦ Διός· Καλλίμαχος [hymn. in Iov. 48, ubi v. interpp.]· — σὺ δὲ θήσαο μαζὸν αἰγὸς Ἀμαλθείης· ... ζήτει εἰς τὴν παροιμίαν, Ἀμαλθείας κέρας, εὐσθενείας καὶ ὑγιείας: eadem fere ex Commentario in Regum II. affert Gaisfordus in Catal. codd. Clarkianorum I, p. 8: Zonar. I, 148: Suidas: Ἀμαλθείας κέρας: ἐπὶ τῶν ἀφθόνως ζώντων καὶ εὐθυνούντων καὶ εὐπραγούντων. ἐν Μύθῳ. Ἔνθ' ἵνα μοι βίος ἐστὶν Ἀμαλθείης κέρας αἰγός. Ἀμάλθεια γὰρ ἡ τροφὸς τοῦ Διός, παρὰ τὸ μὴ μαλάσσεσθαι: ad quem locum v. Bernhardium. Sensum proverbii explicat Socrates Stobaei Flor. LVI, 16, de quo v. nott. critt. ad Apost. II, 53: uberius autem varias veterum de proverbii origine sententias exsequitur Eustath. ad Dionys. Perieg. 431: Ἀχελῷος δὲ οὗτός ἐστιν ὃς κλασθεὶς τὸ ἀριστερὸν κέρας ὑφ' Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἀντέδωκε, δι' οὗ πᾶν ἀγαθὸν ἐχορηγεῖτο τῷ χρῄζοντι. τοῦτο δὲ οἱ τῶν μύθων θεραπευταὶ πρὸς ἀλήθειαν συμβιβάζοντες τοιοῦτόν τί φασιν αἰνίττεσθαι· Ἡρακλῆς εὐεργετεῖν εἰωθὼς τοὺς ὁποιποτε γῆς, εἶτα καὶ τὸν ποταμὸν τοῦτον μαθὼν πλημμελῶς ῥέοντα καὶ ταῖς καμπαῖς πολλὴν τῆς

9 *Ἀετὸν ἵπτασθαι διδάσκεις: ἐπὶ τῶν βουλομένων διδάσκειν τοὺς σοφωτέρους αὐτῶν.*

---

1. ἵπτασθαι L. Explicationem PM om.

Αἰτωλικῆς παρατεμνόμενον, καὶ οὕτως ἀδικοῦντα, παραχώμασί τισι καὶ διώρυξι καὶ διοχετείαις αὐτὸν ἐβιάσατο· καὶ παρατρέψας καὶ ῥέειν σωφρόνως ποιήσας ἀνέψυξε τὴν γῆν καὶ εἰς ἀγαθοποιὸν εὐχρηστίαν μετήγαγε, καὶ τὸ τοῖς ἐγχωρίοις ἐπαριστερὸν κέρας τοῦ ποταμοῦ, τὴν ἄτακτον καμπὴν δηλαδὴ τὴν ὡς εἰπεῖν ἀτέραμνον καὶ σκληρὰν τοῖς ἐκεῖ, εἰς μαλθακὴν οἷον ἀντιπεριέστησε δεξιότητα. καὶ ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελῴου, τό τε βίαιον, τὸ καταπονηθὲν καὶ τὸ πλουτοποιόν, τὸ ἀντιδοθὲν, δι' οὗ καὶ Ἡρακλῆς εὐεργέτης ἔγνωσται· τὰς γάρ τοι τῶν ποταμίων ῥεέθρων καμπὰς κέρατα ἐκάλουν οἱ παλαιοί, καὶ διὰ τοῦτο ταυροκράνους καὶ κερασφόρους ἐτύπουν αὐτούς. καὶ οὕτω μέν τινες περὶ τῶν κατὰ τὸν Ἀχελῷον. ἕτεροι δὲ αὐτὸν μὲν ἀφῆκαν ὅποι βούλοιτο ῥέειν, τὸ δὲ τῆς Ἀμαλθείας μόνον κέρας τὸ εὔδαιμον ἐν λόγῳ ἔθεντο, καὶ τὸ αὐτόθι τοῦ μύθου νοσοῦν ἐκθεραπεύοντες ἱστοροῦσι γραῦν τὴν Ἀμάλθειαν γενέσθαι κερδαλέαν, ἐμπορικήν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλουτοποιὸν καὶ βιωφελές. ἐπεὶ δὲ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ ἐγκειμένου κέρματος καὶ χρησάμενος ἔζησε πρὸς τρυφήν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθόν· οὐ τὸ τῆς μυθικῆς αἰγὸς τῆς θρεψαμένης τὸν Αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, δι' οὗπερ εὖ ἔχει τὰ κατὰ τὸν Ἡρακλέα, τὸ σκληρόν φασι τῆς διαίτης ἐκείνου καὶ τόν ποτε κατ' ἀρετὴν βίον αἰνίττεσθαι, ὁπηνίκα ἡμίγυμνος περιιὼν καὶ ἐκκαθαίρων κακίας τὴν γῆν οὐ μαλθακῶς εἶχεν, ἀλλὰ σκληρότερον τοῖς φαύλοις προσεφέρετο. καὶ τοῦτο ἦν τὸ τῆς Ἀμαλθείας κέρας, ἡ ἀμάλθακτος πρὸς πόνους ἀντιτυπία τοῦ ἥρωος. ὅτε μέντοι ἐμελέτησεν οἰκουρεῖν, ἀναπεισθεὶς ὑπὸ γυναικός, καὶ σκιατραφούμενος ἱμάτια περιεβάλλετο θάλποντα, καὶ οὐκέτι πρὸς ψῦχος ἐγυμνάζετο, ἀλλ' ἐθάλφθη καὶ ὑπεμαλάχθη πρὸς τρυφὴν ἀποκλίνας, κατακαίει ὁ λόγος τὸν ἥρωα, τὴν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πυρὰν αὐτῷ ὑπανάψας. ἄλλος δέ τις λόγος Λιβυκόν τι χωρίον πάμφορον, ἐοικὸς βοὸς κέρατι κατὰ τὸ σχῆμα, ἐκτίθεται, καὶ εἰς κτῆμα γυναικί τινι Ἀμαλθείᾳ δίδωσιν, ὅπερ διὰ τὸ καρποῦ παντὸς εἰς πολλαπλάσιον δοτικὸν εἶναι ὁ μῦθος εἰς βόειον κέρας μεταλαβὼν τὰ θρυλούμενα περὶ αὐτοῦ δίδωσιν· εἰ δέ τι παραπήλαυσεν ἀγαθὸν τοῦ τοιούτου κέρατος καὶ ὁ Ἡρακλῆς, ὅτε εἰς Λιβύην ἀπεδήμησε, λέγοιτο ἂν οὕτω μετεῖναι τῷ Ἡρακλεῖ τοῦ τοιούτου τῆς Ἀμαλθείας κέρατος. Adhibuerunt Antiphanes Athen. XI, 503 B: τί βούλει; πάντ', Ἀμαλθείας κέρας; Philemon Stob. Flor. XCI, 13: Lucian. Rhetor. Praec. §. 6: ἡ μὲν .. καθήσθω, .. τὸ τῆς Ἀμαλθείας κέρας ἔχουσα ἐν τῇ δεξιᾷ παντοίοις καρποῖς ὑπερβρύον: ei. de Merc. Conduct. dial. §. 13. Philostr. Heroic. p. 667 Olear.: Ἀμαλθείας κέρας ἐμπλήσεις: id. Vit. Sophist. I, 7, 1, p. 487: Himer. Oratt. V, 15: εἰ γάρ τις ἢ μακάρων νήσους [v. Macar. III, 64], ἢ Αἰθιόπων λειμῶνα πάμφορον ἢ Ἀμαλθείας κέρας ζήτει [ἐζήτει emendat Walzius ad Arsen. 49], πᾶσαν ἂν ἡ πόλις τὴν ἐπιθυμίαν πληρώσειε: Synes. Epist. CLIII, p. 290 D Pet.: ᾧ ταὐτόν ἐστι καὶ τὸ κέρας τῆς Ἀμαλθείας, ᾧ οὗτοί γε δεῖν οἴονται χρῆσθαι: Phot. Epist. 209, p. 306 Mont.: τὸ μὲν γὰρ Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελῴῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιρρέων χώραν παμφόρον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔθνος ἑτοίμως χαρίζονται: alia collegit Boissonadus ad Babr. fabb. p. 212.

9. P I, 17. M I, 17: Macar. I, 39. IV, 83. Apost. I, 41: cf. Zenob.

10 *Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία.*

11 *Ἀγὼν πρόφασιν οὐκ ἀναμένει:* ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς Πλάτων· *οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι·* καὶ ἐν Νόμων ἕκτῳ· *ἀλλὰ γὰρ ἀγῶνα προφάσεις φασὶν οὐ πάνυ δέχεσθαι.* Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ· *Ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους.* καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'.

12 *Ἄϊδος κυνῆ:* ἐπὶ τῶν ἐπικρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων· τοιαῦτα γὰρ τὰ τοῦ Ἄϊδος.

13 *Ἄκρῳ ἅψασθαι δακτύλῳ:* ἐπὶ τῶν βλαβερῶν.

14 *Αἵμασι κλαίειν:* καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δακρυόντων.

---

3. *Πλάτων ἐνταῦθα οὕτως* Scholiasta. 9. *β'*] *βίῳ* L. 11. *τὰ τοῦ*] *τὰ* LF om.: addidi e MK: v. nott. ad Diogen. I, 39: rectius Zenobius: *τοιαύτη γάρ ἡ τοῦ Ἄιδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν.* Ceterum in P explicatio deest, M cum nostro consentit, nisi quod in fine habet *ᾅδου.* 12. PM explicationem om., de cuius veritate omnino dubitari potest. Nisi proverbium, ad quod pertinet, scribae incuria excidit. 13. *αἵματι* P.

II, 49. Greg. Nazianz. Epist. LXVII Bill., p. 30 B: *τοὺς μὲν οὖν πολλοὺς ἔα χαίρειν καὶ εἶναι κολοιοὺς πτῆσιν ἀετῶν δοκιμάζοντας.*

10. P I, 19. M I, 19: Zenob. II, 45.

11. Schol. ad Plat. Cratyl. p. 370 Bekk., Suid. s. *ἀγωνάρχαι.* Phavor. p. 14, 3: similia apud Macar. I, 16. 21. Apost. I, 25 leguntur: cf. sup. 10. *Πλάτων*] Cratyl. 421 D, ubi v. Heindorfium docte de proverbio disserentem. *Νόμων*] VI, 751 D. *Αἰσχύλος*] fr. 36 Dind.: add. G. Hermannus Opusc. II, 62. *Θεσμοφοριαζούσαις*] fr. XIX Bergk.: v. Fritzschius ad Aristoph. Thesmoph. p. 617.

12. P I, 33. M II, 23. F I, 20: cf. DV I, 16.

13. P I, 34. M II, 35: cf. DV I, 29.

14. P I, 35. M I, 32: Macar. I, 49. Apost. I, 63: Zenob. I, 34: Schol. ad Eurip. Hecub. 238: *τὰ γὰρ δάκρυα, ἃ τότε ὁ Ὀδυσσεὺς ἐδάκρυε φωραθείς, φόνου δάκρυα ἦν· ἔκλαιε γάρ, ἐπειδὴ τὸν περὶ ψυχῆς ἔτρεχεν. ὅθεν καὶ ἐν τῇ συνηθείᾳ αἱμάτινα δάκρυα φαμέν, ἤγουν φονικά:* quamquam haec vera sunt, tamen non videntur satis accommodate ad Euripidis locum dicta esse, ut contra Boissonadum accurate G. Hermannus ad Eurip. l. c. ostendit: Suid. s. *αἵματι κλαίειν: καθ' ὑπερβολήν, οὐ δάκρυσιν. ἐφ' ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι· Οὐδ' ἂν πείσῃ αὐτὸν οὐδ' αἵματι κλαίων. λέγουσι δὲ καί· Οὐδ' ἂν αἵματι στένων πείσειν:* pluribus exponit Dionys. Alexandr. de martyrio c. 9, p. 39 Rom.: *παροιμία λέγεται ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων αἵματος ἵδρωσις· ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, αἵματα κλαίει·* [eadem habet Photius in Epistolis: v. nott. ad Zenob. l. c.] *ὅτι ὡσεὶ θρόμβοι αἵματος εἰπών, οὐ θρόμβους ἱδρῶτος ἀπεφήνατο αἵματος· οὐ γὰρ ἂν καθ' ὁμοιότητα τούτων εἴρηκε γενέσθαι τοὺς ἱδρῶτας· τοῦτο γὰρ ὡσεὶ θρόμβοι παρίστησιν, θέλων δὲ μᾶλλον δηλῶσαι, ὡς οὐχὶ λεπταῖς τισι νοτίσι καὶ*

15 *Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπειςρέει.*

16 *Ἄμμες ποτ' ἦμεν.*

17 *Ἀεὶ τὰ πέρυσι βελτίω.*

18 *Ἀνὴρ ὁ φεύγων οὐ μένει κτύπον λύρας:* ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

19 *Ἄπληστος πίθος:* ἐπὶ τῶν γαστριμάργων.

20 *Ἁλιεὺς πληγεὶς νοῦν οἴσει:* ἁλιέα φασί ποτε τοὺς ἁλισκομένους ἰχθύας χειρὶ λαβόντα, ὑπ' αὐτῶν πληγέντα τοῦτο τὸ παροιμιῶδες εἰπεῖν.

21 *Ἀλώπηξ τὸν βοῦν ἐλαύνει:* ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων ἄφρονας.

22 *Ἅπας ἐχῖνος τραχύς:* ἐπὶ τῶν δυσκόλων καὶ δυςτρόπων. ἐξαιρέτως χρειῶδες ἐπὶ τῶν κακωτικῶν ἢ εὐνούχων.

23 *Ἁλῶν μέδιμνον ἀποφαγών:* ἐπὶ τῶν ἀχαρίστων. ἥδε ἡ παροιμία τῶν ἠθικῶν.

24 *Ἀνεφγμέναι Μουσῶν θύραι:* ἐπὶ τῶν ἐξ ἑτοίμου τὰ τῶν τεχνῶν κάλλιστα ἀποδιδόντων γνώμη.

25 *Ἀρχαϊκὰ φρονεῖς:* ἤτοι εὐήθη.

---

1. ἐξαντλοῦμεν PLM. 2. ἦμες recte Zenobius: v. Ahrens de Dial. Dor. 326. 3. Diogenianus explicat: ἐπὶ τῶν κατόπιν ἐν τοῖς χείροσι γινομένων: hunc enim in modum lectio vulgata emendanda est. 4. ὁ] δὲ M. λύρας κτύπον Zenobius. 5. καὶ ὀξέως PM. om. 15. ἥδε κτλ. PM ignorant. 17. γνώμη Zenobius, alii om.

οἷον ἐνδείξεως χάριν ἐπιφαινομέναις, τὸ δεσποτικὸν ἐνοτίζετο σῶμα, ἀλλ' ὡς ἀληθῶς ἀδρῶν σταγόνων δίκην ὅλον τοῖς ἱδρῶσι περιεστάζετο, τοὺς τῶν αἱμάτων θρόμβους εἰς εἰκόνα τοῦ γεγενημένου παρειλήφει. Respexit Libanius Monod. in Iulian. T. I, 519 R.: *ἀκούσας ἀνέβλεπον εἰς οὐρανὸν ψεκάδας αἵματι συμμιγεῖς ἀναμένων, οἵας ἀφῆκεν ἐπὶ Σαρπηδόνι Ζεύς*: Hom. Il. *Π*, 459, ubi v. Eustathium.

15. P I, 44. M I, 41: DV I, 34.

16. P I, 48. M I, 45: Macar. I, 100. Apost. II, 72: Zenob. I, 82. Diogen. II, 30.

17. P I, 48. M I, 46: Macar. I, 31. Apost. II, 73. XVI, 57: Diogen. II, 54.

18. P I, 49. M I, 47. F I, 30: DV I, 41.

19. P I, 50. M II, 12. F I, 32: Macar. II, 20. Apost. III, 55: Zenob. II, 6.

20. P I, 54. M I, 52: DV I, 61.

21. P I, 61. M I, 58: DV I, 75.

22. P I, 68. M I, 65. F I, 42: DV I, 81.

23. P I, 76. M I, 73: Macar. I, 82. Apost. II, 28: v. annott. ad P l. c. et add. Cic. Lael. 19, 67: *verumque illud est, quod dicitur, multos modios salis simul edendos esse, ut amicitiae munus expletum sit.*

24. P I, 82. M I, 79: Apost. III, 23: Zenob. I, 89. Respexit fortasse Ennius initio Annalium: v. Hesselius ad Ennii frr. p. 9: add. Antiphanes Athenaei I, 3 B: *ἀεὶ δὲ πρὸς Μούσαισι καὶ λόγοις πάρει, Ὅπου τι σοφίας ἔργον ἐξετάζεται. Μουσῶν θύραι*] eadem metaphora recurrit Macar. II, 65: de ea exposuit Boissonadius ad Babrii fabb. p. 209.

25. M I, 87. F I, 1. Apost. III, 87: Diogen. III, 40. Manavit ex Aristoph. Nub. 821; *παιδάριον εἶ καὶ φρονεῖς ἀρχαϊκά*: ubi Scho-

26 *Ἀβυδηνὸν ἐπιφόρημα:* τὸ ἀηδές, διὰ τὸ τοὺς Ἀβυδηνοὺς μετὰ δεῖπνον προςάγειν τοὺς ἑαυτῶν παῖδας τοῖς εὐωχουμένοις κεκραγότας καὶ θορυβοῦντας καὶ ἀηδίαν ἐμποιοῦντας τοῖς δαιτυμόσι.

27 *Ἄβρωνος βίος:* ὁ πολυτελής. Ἄβρων γάρ τις ἐγένετο πλούσιος· ὅθεν καὶ ἁβροδίαιτος.

28 *Ἀεὶ γεωμόρος εἰς νέωτα πλούσιος.*

29 *Ἀδεὲς δέος:* ἐπὶ τῶν μάτην δεδοικότων.

30 *Ἀγαμεμνόνεια φρέατα:* Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν.

31 *Ἀγαμέμνονος θυσία:* ἐπὶ τῶν δυςπειθῶν καὶ σκληρῶν. θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη.

32 *Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον:* ἐπὶ τῶν τὰ δεύτερα τισὶ διδόντων.

33 *Ἀγαθώνειος αὔλησις:* ἡ ἡδίστη καὶ εὐφραντή.

34 *Ἀνδριὰς σφυρήλατος:* ἐπὶ τῶν ἀναισθήτων.

35 *Ἀγέλαστος πέτρα:* ἐπὶ τῶν λύπης προξένων. ἐφ' ᾗ ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει, ἐκάθισεν.

36 *Ἀγαθῶν θάλασσα· καί· Ἀγαθῶν θησαυρός·*

---

7. γεωκόρος LMF, *γεωργὸς* Macarius. ἐς M. 9. παρὰ] *περὶ* Zenobius. 10. καὶ — Ἑλλάδα] καὶ πολλαχοῦ τῆς Ἑλλάδος idem. 12. γὰρ *ἐν Τροίᾳ* Diogenianus. 14. ἄρτου LF.

lia: *ἀρχαϊκά: ἀντὶ τοῦ μωρά, εὐήθη, λῆρα.* Eodem sensu ἀρχαῖος ponitur: Arist. Nub. 1469: *ὡς ἀρχαῖος εἶ:* Plat. Euthydem. 295 C: *φλυαρεῖς καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος:* Alciphr. Epist. III, 64: *ὁ μὲν Κρίτων ὑπ' ἀνοίας καὶ ἀρχαιότητος τρόπου τὸν υἱὸν εἰς φιλοσόφου φοιτᾶν ἐπέτρεψε:* hinc Scholl. Plat. p. 334 Bekk.: *ἀρχαῖον] εὐήθη ἢ ἁπλοῦν:* Suid. s. *ἀρχαῖος.* Bekk. Anecdd. I, 449, 1: plura huius usus exempla collegerunt Spanhemius ad Arist. Plut. 323. Winckelmannus ad Plat. Euthyd. 287 A: add. Apost. III, 84 et Plaut. Pseud. I, 3, 128: *vetera vaticinamini.*

26. M I, 88. F I, 2: DV I, 1.

27. M I, 89. F I, 3: DV I, 2.

28. M I, 90. F I, 4: Append. Provv. I, 6: cf. Macar. I, 34. Apost. I, 39.

29. M I, 91. F I, 5: DV I, 13.

30. M I, 92. F I, 6: Apost. I, 27: cf. Zenob. I, 6.

31. M I, 93. F I, 7: DV I, 5.

32. M I, 94. F I, 8: DV I, 4.

33. M I, 95. F I, 9: DV I, 6.

34. M I, 96. F I, 10: Append. Provv. I, 27. Suid. v. *σφυρήλατος: σφύραις ἐληλαμένος:* exempla vocis composuit Wyttenbachius ad Plut. de discern. adul. ab amico 65 B, non recte, ut noster locus demonstrat, contendens, vocem semper in laude poni: v. etiam Astium ad Plat. Phaedr. 226 B. Lobeckium ad Phrynich. 206.

35. M I, 97. F I, 11: DV I, 7.

36. M I, 98. F I, 12: DV I, 8. *Ἀγαθῶν ἀγαθ.*] Macar. I, 5. II, 10. Apost. I, 14: cf. nott. ad Diogen. I, 10. Append. Provv. IV, 1. Similiter Alexis apud Athen. X, 380 C:

καὶ· Ἀγαθῶν ἀγαθίδες· καὶ· Ἀγαθῶν μυρμηκιά: ἐπὶ πλήθους ἀγαθῶν λέγεται.

37 Ἀγνότερος πηδαλίου: παρόσον ἐν θαλάττῃ τὸ πηδάλιον ἄττον, † καθαρὸν ἐστίν.

38 Ἄλλος οὗτος Ἡρακλῆς: ἐπὶ τῶν ἰσχυρῶν.

39 Ἅλις δρυός: ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα μεταβαλλομένων. παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοὶ μετεῖχον σίτου καὶ οἴνου.

40 Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει: ταύτην Ἱππόλυτος πρὸς Φαίδραν εἶπε, φάσκουσαν φιλεῖν αὐτὸν σφόδρα.

41 Αὐτοὶ χελώνας ἐσθίετε, εἴπερ εἴχετε: ἁλιεῖς ἡλίευσαν μεγάλην χελώνην καὶ ἀνασπάσαντες αὐτήν, ἐμέριζον τὴν παροῦσαν. τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν ἐκάλουν· ὁ δὲ τὸ προκείμενον εἶπε.

---

4. ἄττον] eadem corruptela laborant K in nott. ad Diogen. I, 11 et MF: scribendum videtur: ἀεὶ ὄν: v. Diogenianum. 9. εὔνοια L. 12. ἔσθεθ' οὕπερ εἵλετε Zenobius, εἴπερ ἔχετε F.

παρέθηκε τὴν τράπεζαν, εἶτα παραφέρων Ἀγαθῶν ἁμάξας. Ἀγ. μυρμηκιά] usurpat Eustath. Opusc. 194, 47 Taf.: ἕτεροι μυρμηκιὰν ἀγαθῶν προειπόντες τὸν στύλον τοῦτον: ibid. 326, 16: ἔπεισέ μοι τὸ τῆς Συρακουσίου Μούσης εἰπεῖν [Theocr. XV, 45.], ὅσος ὄχλος, μύρμηκες ἀνάριθμοι, εἴποιμ' ἂν μυρμηκιὰ λόγων σοφῶν: Eumathius in Ismene X fin. p. 402 Gaulm.: μυρμηκιὰν τῶν τραγῳδημάτων ἀναστομοῖς. Ceterum Ἀγαθῶν non solum sensu ethico accipiendum est in his formulis, sed etiam ad coenarum lautitias et similia referendum: eodem modo Latini v. *bonae res* adhibuerunt. Appono quae ad hunc usum probandum Mitscherlichius in Catal. Praelectt. univ. Gotting. 18$^{33}_{34}$ collegit p. 3: »Lucret. III, 1016: *animi ingratam naturam pascere semper atque explere bonis rebus satiareque nunquam.* Varro apud Non. v. tapete p. 542 Lips.: *In omnibus rebus bonis quotidianis cubo in Sardinianis tapetibus* cet. Alios locos excitaverunt Burmannus ad Phaedr. IV, 23. et Staveren ad Nep. Agesil. c. 8. Neque aliter Graeci. Theognis 978 Br.: δείπνου δὴ μνησαίμεθ' — παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι. Anacreon apud Athen. I, 12 A: τράπεζαι κατηρεφέες παντοίων ἀγαθῶν. Arist. Eccles. 838: ὡς αἱ τράπεζαί γ' εἰσιν ἐπινενησμέναι ἀγαθῶν ἁπάντων: adde ei. Vesp. 1304. Eaedem *bonae res* vulgo de felici rerum statu, ut Liv. XXX, 30. Cic. Ep. ad Attic. XII, 21. et de rebus communiter utilibus, ut Sallust. Iug. 1 et passim.«

37. M I, 99. F I, 13. DV I, 10.

38. M I, 100. F I, 16: Macar. I, 85. Apost. II, 40.

39. M II, 1. F I, 17: Macar. I, 88. Apost. II, 42. Diogen. I, 62: add. nott. ad Macar. III, 40.

40. M II, 2. F I, 19: Macar. I, 64. Apost. I, 91: Zenob. I, 50.

41. M II, 3. F. I, 21: Apost. IV, 45: Zenob. II, 29.

42 *Ἂν οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου:* ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων.

43 *Αἱροῦντες ᾑρήμεθα:* ἐπὶ τῶν ἐλπισάντων νικᾶν [τινάς], εἶθ' ὑπ' ἐκείνων ἁλόντων.

44 *Αἰάντειος γέλως:* ἐπὶ τῶν παραφρόνως γελώντων.

45 *Ἀνίπτοις χερσίν:* ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων.

46 *Ἀκέφαλος μῦθος:* ἐπὶ τῶν ἀτελῆ λεγόντων.

47 *Ἄλλως ᾄδεις:* ἐπὶ τῶν μάτην πονούντων.

48 *Ἅμ' ἔπος, ἅμ' ἔργον:* ἐπὶ τῶν ὀξέως ἀνυομένων.

49 *Ἀντιπελαργεῖν:* ἀντιδιδόναι χάριτας. λέγεται τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν.

50 *Ἄνθρωπος ἀνθρώπου δαιμόνιον:* ἐπὶ τῶν ἀπροσδοκήτως σωζομένων.

51 *Ἄξιος τοῦ παντός:* ἐπὶ τῶν σφόδρα τιμίων.

52 *Αἰεὶ γέροντι νέαν ποτιβάλλειν κούρην:* ἐπὶ τῶν πρεσβυτέρων βουλομένων νέαις συνευνάζεσθαι.

53 *Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος:* ἐπὶ τῶν εὐγενῶν.

54 *Ἀνέμου παιδίον:* ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

---

1. *κόνδυλον* Zenobius, *κόνδυν* F. 3. *ἠρούμεθα* L. 4. *τινὰς* inserui: *κρατεῖν τινων* Zenobius. 10. *ἀρνυομένων* L. 14. *σωσομένων* L. 16. *αἰεὶ δὲ* Macarius. *ποτὶ βάλλει* F, *ποτίβαλλε* Macarius. *κόρην* Macarius. Ut metrum versus fulciretur, Kusterus ad Suid. s. *αἰεὶ* coniecit: *αἰεὶ δ' ἀνδρὶ γέροντι νέαν ποτιβάλλεο κ.*: mihi scribendum videri: *αἰεὶ δ' ἀνδρὶ γέροντι νέην ποτίβαλλε κορώνην* in nott. critt. ad Diogen. l. c. significavi. 17. *νέαις*] *νέῃ* L. Diogenianus explicat: *τοῖς πρεσβυτέροις νέαν συνευνάζειν.* 19. *πεδίον* L: veram lectionem M praebuit: cf. vv. ll. in ann. ad DV l. c.

42. M II, 4. F I, 22: Apost. III, 2: Zenob. II, 92.
43. M II, 5. F I, 23: Apost. I, 69: Zenob. I, 35.
44. M II, 6. F I, 24: DV I, 17.
45. M II, 7. F I, 25: DV I, 18.
46. M II, 8. F I, 27: Macar. I, 70. Apost. II, 2: Zenob. I, 59.
47. M II, 9. F I, 28: Macar. I, 92. Apost. II, 11. 31: Zenob. I, 72. Monuit de proverbio Dissenius ad Tibull. I, 5, 67.
48. M II, 10. F I, 29: DV I, 36.
49. M II, 11. F I, 31: Apost. II, 100. XIV, 59: DV I, 48.
50. M II, 13. F I, 34: DV I, 46.
51. M II, 14. F I, 35: Macar. II, 17. Apost. III, 26. Zenob. II, 2. Plutarch. de discern. adul. ab amico p. 65 F: *ἂν δὲ πειθόμενοι τῷ θεῷ, καὶ τῷ Γνῶθι σαυτὸν* [cf. DV II, 10], *ὡς ἑκάστῳ τοῦ παντὸς ἄξιόν ἐστι μαθόντες, ἅμα καὶ φύσιν καὶ τροφὴν καὶ παίδευσιν ἑαυτῶν ἀναθεωρῶμεν*: ubi Wyttenbachius: »*ἄξιος τοῦ παντὸς* a Zenobio aliis in proverbiis censetur: est tamen et simplex et vulgare: v. c. apud Xenophontem Oeconom. 7, 41: Dionem Chrysost. Or. I, p. 2 C: *τοῦ παντὸς ἂν ἦν ἄξιον Ἀλεξάνδρῳ παρεῖναι.*«
52. M II, 15. F I, 36: Macar. II, 52. Apost. I, 89: Diogen. II, 72.
53. M II, 16. F I, 37: DV I, 53.
54. M II, 17. F I, 38: DV I, 47.

55 *Ἀνίπτοις ποσὶν ἀναβαίνειν ἐπὶ τὸ στέγος*: ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.

56 *Ἀπὸ βαλβῖδος*: ἤτοι ἀπ' ἀρχῆς δεῖ καλὸν εἶναι.

57 *Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς*: ἐπὶ τῶν κακὰ ἀντὶ κακῶν ἐπιδιδόντων.

58 *Ἀρχαιότερα τῆς διφθέρας λέγεις*: ἐπὶ τῶν μωρὰ διηγουμένων· ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ἐπεγράφετο τὰ γιγνόμενα, παμπάλαιος.

59 *Ἀφ' ὑψηλοῦ μου καταγελᾷς*: ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων. ὡσανεὶ, πάνυ μου καταφρονεῖς.

60 *Ἀργούντων χορός*: ἐπὶ τῶν κακὰ ποιούντων.

61 *Ἄνω κάτω πάντα*: ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων. Μένανδρος Ἐγχειριδίῳ· καὶ ἐν Χήρᾳ· Τὸ λεγόμενον τοῦτ' ἐστὶ νῦν, Τἄνω κάτω, φασί, τὰ κάτω δὲ ἄνω.

---

1. *τέγος* Suidas. 2. *ἔργα καὶ πράξεις ἀφικνουμένων* idem. 3. *ἀπ'* L om. 4. *κακὰ*] *καλὰ* Zenobius, alii. 5. *ἐπιδιδόντων*] *ἀποδιδόντων* Apostolius, *ἀνταποδιδόντων* Diogenianus, *ἀπαιτούντων* Zenobius cum Suida. 9. Rectius explicat Suidas: *οἱανεὶ, πάνυ μου καταφρονεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν ἀφ' ὕψους διαλεγομένων.* Gregorii explanatio e Diogeniano fluxit. 13. *χήρῳ* L. 14. Post *ἐστὶ* scriba codicis L duobus punctis distinxit. Meinekius versus sic restituendos esse putat: *τὸ λεγόμενον Τοῦτ' ἐστὶ νῦν τἄνω κάτω, τὰ κάτω δ' ἄνω.*

55. F I, 39: DV I, 49.

56. M II, 18. F I, 40: Macar. II, 21: cf. Apost. III, 48. Zenob. II, 7. nott. ad Diogen. III, 38. Respicere videtur Arist. Equitt. 1159: *ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί*: id. Vesp. 548, ubi Scholl.: *ἀπ' ἀρχῆς εὐθέως. ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων· βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία.* Addit Kusterus ad Suidam s. v. haec: »Cyrillus Homil. I ἑορταστικῇ de Ieiunio: *προχέτω τοίνυν ἐντεῦθεν ἡμῖν ὥσπερ ἀπὸ βαλβῖδος ὁ λόγος*: Philo περὶ φυτουργίας [T. I, p. 341 Mang.]: *ἀρχόμενος γὰρ ὥσπερ ἀπὸ βαλβῖδος φέρεσθαι μονάδος, παρὰ μυριάδος τὸ τέλος ἵσταται.*« *Ἐκ βαλβίδων* Eustath. ad Hom. Il. K, 253, p. 802, 7 dixit: *ἐκ πρώτης ἀφετηρίας* Synes. Epist. 4, p. 161 D, de qua formula v. Macar. II, 18.

57. M II, 19. F I, 41: Apost. III, 22: Zenob. I, 100.

58. M II, 20. F I, 43: Macar. II, 48. Apost. III, 98: Diog. III, 2.

59. M II, 21. F I, 44: Macar. II, 66. Apost. IV, 62: Diogen. III, 24.

60. M II, 22. F I, 45: Fragm. Marc. I, 26. Apost. IV, 4. XVIII, 71: Diogen. III, 6.

61. Scholl. ad Plat. Theaet. 359 Bekk.: breviter Suid., *Συναγ. λέξ.* in Bekk. Anecdd. I, 412, 4 proverbium recensent. *Χήρᾳ*] v. Meinekius Comm. Gr. IV, 221. Usurpant Herod. III, 3: *ἐπεὰν ἐγὼ* — Cambyses loquitur — *γένωμαι ἀνὴρ, Αἰγύπτου τὰ μὲν ἄνω κάτω θήσω, τὰ δὲ κάτω ἄνω*: Eurip. Bacch. 349: *ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ*: Critias in Stob. Flor. XXXVII, 15, 3: *τὸν δ'* [sc. *νόμον*] *ἄνω τε καὶ κάτω λόγοις ταράσσων, πολλάκις λυμαίνεται*: saepissime Plato: Theaet. 153 D: *καὶ γένοιτ' ἂν τὸ λεγόμενον ἄνω κάτω πάντα*: ex eius dialogis locos collegerunt Boeckhius

62 *Ἀκίνητα κινεῖν:* παροιμία καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ κινεῖν μηδὲ βωμοὺς ἢ τάφους ἢ ὅρους.

63 *Ἀφ' Ἑστίας ἄρχεσθαι:* ἐπὶ τῶν ἐν δυνάμει γενομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους, ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. φέρεται δέ τις περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχήν φασι τὸν Δία τὴν βασιλείαν διαδεξάμενον ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅτι ἂν βούλοιτο· τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων.

B.

64 *Βάσανος λίθος:* ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

---

2. *δεῖ ἔθη μηδὲ βωμοὺς κινεῖν ἢ* Scholiasta. 3. *ἄρχεσθαι* Scholiasta om. *γινομένων* Scholiasta. 7. *διαδεξάμενον*] *παραλαβόντα* idem: v. Ruhnkenium. 9. *παρθένον* L. 12. *ἐξεταζόντων* Suidas. *λόγοις ἢ ἔργοις* idem.

ad Simon. Socrat. Dial. praef. XIX et Heindorfius ad Plat. Phaedon. 96 B: addo ex novae comoediae poetis Xenarchum Athenaei VI, 225 C: *μεταφέρει Ἕκαστος αὐτῶν [τῶν ποιητῶν] ταῦτ' ἄνω τε καὶ κάτω*, et Menandrum, cui proverbialem hanc locutionem prae ceteris placuisse recte post Valckenarium ad Ammon. 102 adnotavit Meinekius ad Men. frr. p. 178. Alia composuerunt Gatackerus in Marc. Anton. IX, 28. Wesselingius ad Herod. l. c., Bakius ad Cleomed. 881. C. F. Hermannus ad Lucian. quomodo hist. conscr. oport. p. 21. Neque neglegendi sunt loci Aristophanei: Equitt. 873. Nub. 616. Av. 4. Thesmoph. 646: omnibus vero facem praetulit Pindarus Olymp. XII, 5: *αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες.*

62. Schol. ad Plat. 364 Bekk.: DV I, 25.

63. Schol. ad Plat. Euthyph. 326 Bekk.: Macar. II, 67: Zenob. I, 40 App. Provv. I, 43: v. etiam Apost. IV, 61. Adhibuere Crates comicus: v. Meinekius Com. Gr. II, 1, 251: Hierocles, de quo v. nott. ad DV II, 96: frequenter Philo: cf. Mangeium ad Phil. T. II, p. 549: peculiari modo Gregor. Nazianz. Epist. 17 Bill. p. 7 C: *πῶς δ' ἂν τοῖς ἄλλο τι πλημμελοῦσιν ἐπιτιμήσειεν, αὐτὸς ἀφ' ἑστίας τὴν παῤῥησίαν οὐκ ἔχων*, ubi Billius haec annotavit: »is a Lare fiduciam non habere dicitur, qui delictum aliquod idcirco reprehendere ac vindicare non audet, quia semetipsum vel domesticos suos eo obstrictos esse sentit.«

64. P I, 93. M II, 48: Apost. IV, 82: similia leguntur in Schol. ad Plat. Georg. 350 Bekk. De lapide exponit Plin. N. H. XXXIII, 8, 43, 126: *auri argentique mentionem comitatur lapis, quem coticulam appellant, quondam non solitus inveniri nisi in flumine Tmolo, ut auctor est Theophrastus* [cf. Theophr. de Lapid. §. 4. 45], *nunc vero passim; quem alii Heraclium* [cf. nott. ad Diogen. V, 2. Macar. IV, 54.], *alii Lydium* [Macar. V, 75] *vocant. Sunt autem modici, quaternas uncias longitudinis binasque latitudinis non excedentes. Quod a*

65 *Βασίλειος ὀφθαλμός: τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν.*

66 *Βάτραχος Σερίφιος: ἐπὶ τῶν ἀφώνων.*

67 *Βάλλ' ἐς ὕδωρ: ἀντὶ τοῦ καταπόντισον. ἐπὶ τῶν ὀλέθρου ἀξίων.*

68 *Βορβόρῳ ὕδωρ λαμπρὸν οὔποθ' εὑρήσεις: ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.*

69 *Βὴξ ἀντὶ πορδῆς: ἐπὶ περδόντων καὶ προσποιουμένων βήχειν ἢ γελᾶν. ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων.*

70 *Βοῦς ἐν πόλει: ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν.*

---

6. *λαμπρὸν μιαίνων* Diogenianus. *εὑρήσεις ποτόν* idem. 8. *ἐπὶ τῶν* Apostolius. 9. *βήττειν* idem. 10. *ἕτερόν τι πράττειν* Diogenianus. Rectius Suidas: *ἐπὶ τῶν ἐν ἀπορίᾳ προσποιουμένων τι πράττειν. παρόσον οἱ πέρδοντες, λανθάνειν πειρώμενοι, προσποιοῦνται βήττειν.* 11. *Λυσίας*] *Λυσανίας* C, uti ad Diog. l. c. annotavi. Dixit de hac diversitate lectionis Meinekius in Exercitt. Philoll. Spec. I. c.; sed nihil attulit, in quo acquiescere possis. Bergkius coniecturis locum sanari posse ratus aut *Πανσανίας δὲ εἶπε· βοῦς ἐν ἀκροπόλει*, aut *Λυσανίας* (*Πανσανίας*) *γὰρ εἶπεν· ἀνέθηκεν ἡ βουλὴ βοῦν ἐν ἀκροπόλει*, scribendum esse suspicatus

sole fuit in his melius quam quod a terra. His coticulis periti, cum e vena ut lima rapuerint experimentum, protinus dicunt, quantum auri sit in ea, quantum argenti vel aeris, scripulari differentia, mirabili ratione, non fallente: partem horum afferunt Schol. ad Theocr. XII, 36. Hesych. s. *Λυδεία λίθος*, s. *βάσανος*, s. *χρυσῖτις*: de quibus Salmasius Exercitt. Plin. 775. et Schneiderus Eclog. Phys. Ann. 93 subtiliter atque erudite quaesiverunt. Saepe ab hoc lapide scriptores duxerunt formulas dicendi, quibus et splendidam et iucundam fecerunt orationem: Theogn. 417: *ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ χρυσός*: ibid. 449 sq.: Pind. Scol. fr. I, 16: *διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ*, Plat. Gorg. 486 D: Epictet. Stobaei Flor. IX, 46: *καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος οὐκέτι καὶ αὐτὴ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται· οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων*: Maxim. Tyr. Diss. XX, 3: *τὸν μὲν γὰρ χρυσὸν βασανίζει λίθος προστριβόμενον αὐτῇ, φιλίας δὲ δὴ καὶ κολακείας τίς ἔσται βάσανος*; Clem. Alex. Stromm. I, 9, 44, p. 125 Sylb.: *ὁ δὲ πρὸς τὸν βίον ἀναφέρων ἕκαστα τὸν ὀρθὸν ... οὗτος τῆς ἀληθείας ἰχνευτὴς καὶ τῷ ὄντι πολύμητις δίκην τῆς βασάνου λίθου. ἡ δ' ἐστι Λυδὴ διακρίνειν πεπιστευμένη τὸ νόθον ἀπὸ τοῦ ἰθαγενοῦς χρυσίου*: cf. Macar. V, 75. Apost. I, 3. XI, 52[b] ibiq. nott. et Apost. VIII, 64.

65. M II, 36. F I, 46: Apost. IV, 81: Append. Provv. I, 49. Philostr. Vit. Apoll. I, 15: *σατράπης δὲ τῇ φρουρᾷ ταύτῃ ἐπέτακτο, βασιλέως τις οἶμαι ὀφθαλμός*: Heliod. Aethiop. VIII, 17 ibiq. v. Coraes T. II, 278: add. Petavius ad Themist. Oratt. 255 D.

66. M II, 37. F I, 47: DV I, 90.

67. M II, 38. F I, 48: DV II, 4.

68. M II, 39. F I, 49: DV II, 7.

69. M II, 40. F I, 50: Apost. IV, 91: Diogen. III, 62.

70. M II, 41. F I, 51: Apost. V, 15: Diogen. III, 67: adde He-

71 *Βατράχῳ ὕδωρ· καὶ Στέαρ γαλῇ:* ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.

72 *Βάλλεις μήλοις:* ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων.

73 *Βαλανεύς:* ἐπὶ τοῦ πολυπράγμονος. οὗτοι γὰρ σχολὴν ἄγοντες πολυπράγμονές εἰσιν.

Γ.

74 *Γλυκὺς ἀπείρων πόλεμος:* ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους.

75 *Γέλως Ἰωνικός:* ἐπὶ τῶν ἐκλελυμένων. εἰς τοῦτο γὰρ οἱ Ἴωνες διεβάλλοντο.

76 *Γνῶθι σαυτόν:* ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων.

77 *Γυμνότερος λεβηρίδος:* λεβηρὶς τὸ δέρμα τοῦ ὄφεως ἢ τοῦ ἐμβρύου.

---

est: incaute: fundamentum enim deest, cui probabilem emendationem superstruas: tam incerta omnia, quae de re prodita sunt. Unum addam. De Pausania h. l. restituendo ne cogitari quidem potest, quum hominis hic nominati memoriam ex Diogeniano ductam esse, ex Gregorio iure colligatur. 12. ἔθηκε] B cum aliis ἀνέθηκε· recte: indicat autem haec depravatio originem lectionis Λυσανίας: quum Λυσίας — ἂν ἔθηκε scriptum esset, ἂν suo loco motum et male cum Λυσίας conglutinatum est. Ceterum C quod habet εἶπε, id in ἐποίει Meinekius mutat, ut scilicet ignoto paene statuario incertaeque aetatis opus celeberrimum vindicetur.

1. γαλῇ στέαρ Diogenianus. 3. βάλλειν Diogenianus. 4. βαλανεῦσιν ἔοικας Arsenius. 7. ἀπείρων etiam codd. Diogeniani: ἀπείρῳ recte alii. ὑπ'] ἐπ' L. 9. Γέλως] γένος L. 10. οἱ ex M apposui.

sychium s. κριός, quem in nott. ad Apost. X, 62 apponam. Respicit proverbium Heniochus comicus apud Athen. X, 396 D: ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἐφθὸς δεκάπαλαι. Ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών. De bovis istius simulacro, in arce Athenarum posito et senatus auctoritate dedicato post Meinekium Exercitt. Philol. in Athen. Deipnos. Sp. I, 29 docte et sagaciter, ut solet, disputavit Bergkius in Ephemer. Antiq. Stud. a. 1845, p. 979: locis a me et Meinekio monstratis adiecit Pausan. I, 24, 2 et bovem a Strongylione fabricatum esse non sine quadam verisimilitudinis specie efficere studuit.

71. M II, 42. F I, 52: DV II, 9.

72. M. II, 43: Apost. IV, 87: Diogen. III, 68. Michael Acumin. 59 Ellissen: οὔτε μὴν ἐπιστολὰς οἷον μηλοβολεῖν: alia v. apud Boissonadum ad Nicet. Eugen. VI, 467. ad Philostr. Epist. 66, p. 171.

73. M II, 44. F I, 53: Apost. IV, 71[a]: Diogen. III, 64.

74. P II, 3. M II, 56. F I, 62: DV II, 16.

75. P II, 9. M II, 62: Macar. II, 94. Apost. V, 38: Diogen. III, 87.

76. M II, 66. F I, 54: DV II, 10.

77. M II, 67. Macar. III, 7. F I, 56: Apost. V, 67[a]. XI, 3: Diog. III, 73.

78 *Γυμνῷ φυλακὴν ἐπιτάττεις: ἐπὶ τῶν μὴ δυναμένων τὰ προστεταγμένα πληροῦν.*

79 *Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος: ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.*

80 *Γηρᾷ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ.*

81 *Γυμνῇ τῇ κεφαλῇ: ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν.*

82 *Γυμνὸς [ὡς] ἐκ μήτρας: ἐπὶ τῶν ἀπόρων.*

83 *Γυναικὸς φρένας: ἐπὶ τῶν ἀνοήτων.*

---

1. *ἐπιτάττειν* Hesychius. 2. *πληροῦν*] pergit Zenobius: *διὰ τὸ ἀναγκαῖον αὐτὸ γίνεσθαι*: quae corrupta esse iure Finckhius in Zenob. Provv. Annott. 13 contendit. Duae enim in Zenobio eiusdem proverbii explanationes confusae sunt: altera est, quam Suidas exhibet: *ἐπὶ τῶν ἀδυνάτως ἐχόντων τὰ προστεταγμένα πληροῦν διὰ τὰ ἀναγκαῖα*: alteram Hesychius secutus est: *ἐπὶ τῶν μὴ δεομένων προστάξεως διὰ τὸ ἀναγκαίως καὶ χωρὶς ἐπικελεύσεως τοῦτο πράττειν.* 3. *δ' αἰεὶ* Zenobius. *διὰ τὸ γῆρας* idem. 8. *ὡς* L om. 9. *φρένες* Diogenianus.

78. M II, 68. F I, 57: Apost. V, 69a: Zenob. II, 98. Accurate de proverbio egit Meinekius ad Men. et Philem. Fr. p. 361.

79. M II, 69. F I, 58: Apost. V, 40: Zenob. III, 4.

80. M II, 70. F I, 59: Macar. II, 93. Apost. V, 43: Diog. III, 86.

81. P II, 71. F I, 60: Apost. V, 69: Append. Provv. I, 85. Fluxit e Plat. Phaedr. 243 B, loco multorum imitatione celebrato: *πειράσομαι αὐτῷ ἀποδοῦναι τὴν παλινῳδίαν γυμνῇ τῇ κεφαλῇ καὶ οὐχ, ὥσπερ τότε, ὑπ' αἰσχύνης ἐγκεκαλυμμένος*: ad quem locum v. Astium: addo Maxim. Tyr. Diss. XL, 6 fin.: *λέγε γυμνῇ τῇ κεφαλῇ τὰς τῆς φωνῆς φωνάς*: Liban. Oratt. 57, p. 212. T. III R.: *ὁ δὲ ὥσπερ Ὀλύμπια νενικηκὼς οὐ μόνον γυμνῇ τῇ κεφαλῇ καὶ πανταχοῖ βλέπων ἤλαυνεν, ἀλλ' ἦν ὑβριστὴς καὶ ἰδιώτης*: Phot. Epist. 186, p. 274 Mont.: *μή μοι νῦν ἀθύμει ταύτην* [sc. *τὴν κακίαν*] *ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην καὶ ἀπηρυθριασμένῳ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν*: Auct. incert. Encom. comae p. 31, 13 Miller.: *οὐκ οἶδα … τί ἔχων ἀποδυθῆναι φαλακρὸς καθάπαξ τελῶν, εἰ μὴ τὸ παροιμιῶδες γυμνῇ περὶ τὴν μάχην χωρήσει τῇ κεφαλῇ*: Auct. inc. in Crameri Anecdd. Pariss. IV, 255, 33: *οὐκ ἀνέχομαι γυμνῇ τῇ κεφαλῇ τὴν θερμὴν*, nisi ibi locutio sensu proprio posita est: Ioann. Chrysost. in Encomio Babylae Martyris T. II, 536 Montf.: *καὶ … ἐρῶ, διὰ τί τὰ ἄλλα πάντα ἀπηρυθριασμένως καὶ γυμνῇ ψευδόμενοι τῇ κεφαλῇ τοῦτον οὐδέποτε οὐδὲν πλάσασθαι ἐτόλμησαν*: Niceph. Chumn. Epist. 43 in Boissonadi Anecdd. Nov. p. 56: *θαῤῥῶν λέγω· οὐ μόνον γυμνῇ τῇ κεφαλῇ, τὸ τῆς παροιμίας, μετὰ τούτων κτλ.*: id. ibid. p. 213: Plaut. Capt. III, 1, 15: *ipsi de foro tam aperto capite ad lenones eunt, In tribu quam aperto capite sontes condemnant reos:* simili denique modo in Clementinae Epit. de Gestis S. P. c. 177 [v. Cotellerii PP. Apost. T. I, 802] dicitur: *καὶ θερμῶς αὐτὸν ὥσπερ γυμνῇ τῇ ψυχῇ κατεφίλουν*: quae si tibi non satisfaciant, adeas Lobeckium ad Phryn. 265. Boissonadum Anecdd. III, 366. L. Dindorfium in H. Stephani Thes. L. Gr. s. *γυμνός* c. fin.

82. M II, 72: Apost. V, 72: Diogen. IV, 2.

83. M II, 73. F I, 64: Apost. V, 75: Diogen. IV, 3.

84 *Γλῶσσα ποῦ πορεύῃ πόλιν κατορθώσασα καὶ πάλιν καταστρέφουσα:* ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόντων ἢ ὠφελούντων.

85 *Γλαῦξ ἵπταται:* ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον τοῖς Ἀθηναίοις ἐνομίζετο.

86 *Γλυκὺς ἀγκών:* ἐπὶ τῶν κατειρωνευομένων. τόπος δέ ἐστιν ἐν τῇ Μεμφίδι Ἀγκὼν προσαγορευόμενος ὑπὸ τῶν πλεόντων κατὰ ἀντίφρασιν ἴσως, διὰ τὸ δυσχερές· ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρόσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασιν.

Δ.

87 *Δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην:* ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκαις δίκας. καὶ ἐπὶ τῶν πυκναῖς προςπιπτόντων συμφοραῖς.

88 *Δεινοὶ πλέκειν μηχανὰς Αἰγύπτιοι.*

89 *Δὶς παῖδες οἱ γέροντες:* ἐπὶ τῶν πρὸς τῷ γήρᾳ εὐηθεστέρων εἶναι δοκούντων.

90 *Δαιδάλεια ποιήματα:* ἐπὶ θαυμασμοῦ.

91 *Δικαιότερος σταχάνης:* ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. οἱ γὰρ Δωριεῖς σταχάνην τὴν τρυτάνην καλοῦσι διὰ τὴν στάσιν.

---

1. *πον* L. *ἀνορθώσασα* F. 2. *πάλιν*] *πόλιν* recte Diogenianus: vitium iam Abreschius Adnott. ad Aeschyl. II. p. 4 notavit. *ἀναστρέψασα* Diogenianus. 4. *πτῆσις*] *νίκη* L. 13. *συναιρόντων* L. 14. Scribe *περιπιπτόντων*. 15. *πλέκειν τοι* Zenobius: dixit de huius Aeschylei versus lectione G. Hermannus Opusc. T. II, 333. 16. *πρὸς τὸ γῆρας* Diogenianus. 18. *Δαιδάλου* idem. Post v. *θαυμασμοῦ* addendum videtur v. *ἀξίων*.

84. M II, 74. F I, 65: DV. II, 24.

85. M II, 75. F I, 66: Apost. V, 54. V, 44b: Diogen. III, 72: Schol. ad Arist. Equitt. 1091: *γλαὺξ δὲ ἱερὸν ὄρνεον Ἀθηνᾶς, ἐπιχωριάζον ἐν Λαυρείῳ τῆς Ἀττικῆς, ὅπου γίνονται χρυσοῦ μέταλλα. ταύτης ἡ πτῆσις εἰς νίκης σύμβολον ἐλογίζετο. ὅθεν καὶ παροιμίαι, γλαῦκας εἰς Ἀθήνας, γλαῦκες Λαυριωτικαὶ καὶ γλαὺξ ἵπταται. ἐντετύπωτο δὲ τῷ Ἀττικῷ χρυσῷ νομίσματι*: Zenob. II, 89.

86. Schol. ad Plat. 316 Bekk.: Apost. V, 50: Zenob. II, 92.

87. P II, 14. M II, 79: DV II, 42.

88. P II, 19. M II, 84. F I, 70: Macar. III, 21. Apost. V, 95: Zenob. III, 37. Imitatur auctor incertus in Appendice ab Walzio ad calcem Arsenii edita p. 501: *δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας*: Dionys. Halic. Arch. III, 7: *δειναὶ γάρ, ὦ Τύλλε, μηχαναὶ πλέκονται καθ' ἡμῶν*: alia collegit Blomfieldus ad Aesch. Prom. Vinct. 59, quibus adiici posse videtur Philo de Virtutt. T. II, 569, 47 Mang.: *δεινοὶ γάρ εἰσιν* (Alexandrini) *τὰς κολακείας καὶ γοητείας καὶ ὑποκρίσεις, παρεσκευασμένοι μὲν θῶπας λόγους, ἀνειμένοις δὲ στόμασι καὶ ἀχαλίνοις πάντα φύροντες.*

89. M II, 88: DV II, 31.

90. M II, 89. F I, 68: DV II, 36.

91. M II, 90. F I, 69: DV II, 39.

92 *Διιπολύγιον κακόν:* ἐπὶ τῶν μέγα τι κακὸν ὑφισταμένων.

93 *Διὸς ψῆφος:* ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

94 *Διὰ μέσου καὶ λιμὸς ἔῤῥει καὶ κάλλιστ' ἀπόλλυται:* φθαρέντος γὰρ τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται.

95 *Δίζεσθαι βιοτὴν, ἀρετὴν δ' ὅταν ᾖ βίος.*

96 *Δὶς καὶ τρὶς τὸ καλόν:* παροιμία, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν.

E.

97 *Ἐν ἅλῳ δρασκάζεις:* ἤγουν κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.

98 *Εἴληφεν ἡ παγὶς τὸν μῦν:* ἐπὶ τῶν ἀξίως ἁλισκομένων.

99 *Ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος,*

100 *Ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ, πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιεν.*

1 *Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις:* ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

---

4. κάλλιστ'] μάλιστ' Apostolius. 7. βίος] addendum ἀσκεῖν e Platone. 13. ἁλισκομένων] ἑαλωκότων Suidas. 15. ἐφ' αὐτὸν ὥστε καικίας Diogenianus. 18. τρίβεις Diogenianus.

92. M II, 91. F I, 71: Macar. III, 32. Apost. VI, 25: Zenob. III, 34.

93. M II, 92. F I, 73: Apost. VI, 20: Diog. IV, 36.

94. M II, 93. F I, 74: Apost. VI, 31. Erasmus III, 4, 55 sic explicat: »intercapedine optime perit fames. Mora multis rebus adfert remedium et maxime iracundiae. Invenitur etiam hoc interpretamentum, ut sit sensus: exstincto famelico, fames item pereat necessum est.«

95. F I, 75: Apost. VI, 81. Tetigit Schneidewinus Coni. Crit. 87.

96. Schol. Plat. 354 Bekk., qui addit: Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ' οὗ ἡ παροιμία· φησὶ γὰρ [446 Karst.]· Καὶ δὶς γὰρ, ὃ δεῖ, καλόν ἐστιν ἐνισπεῖν: Zenob. III, 33: add. Karstenius ad Emped. Rell. p. 298 et nott. ad Apost. VI, 26.

97. P II, 25. F I, 95. L II, 16. M II, 98. Apost. VII, 43: v. nott. ad L II, 16.

98. P II, 41. M III, 13. F I, 88: Apost. VI, 86.

99. M III, 15. Apost. VII, 6: Diog. IV, 65. Cf. annott. ad Diog. l. c. et add. Wyttenbachius ad Plut. de capienda ex inim. util. p. 88 D, Olympiodorus ad Aristot. Meteor. II, 6, 11, p. 313 Idel.: ποῖοί εἰσιν ἐπινέφελοι; καί φαμεν, ὅτι καικίας τε καὶ βορέας. ὁ μὲν καικίας ὡς ἀφελκόμενος ἐφ' ἑαυτὸν τὰ νέφη· τῷ γὰρ εἶναι ἠρέμα ψυχρὸς παχύνει τὴν ἀναδιδομένην ἀτμίδα πολλὴν οὖσαν ἐκεῖσε ἐν τοῖς ἀνατολικοῖς μέρεσι, καὶ πολλὰ νέφη συνίστησι. τῷ δ' ἐφέλκειν αὐτὸν ἐπινέφελον ποιεῖ τὸν ἀέρα. συμβάλλονται δὴ αὐτῷ πρὸς τοῦτο βορέας τε καὶ εὖρος ὑγροὶ ὄντες πλησίον αὐτοῦ. ὕλην γὰρ αὐτῷ χορηγοῦσιν: ad quem locum v. Idelerum T. I, p. 579.

100. P II, 45. Sunt Aristoph. Plut. 1004: cf. nott. ad Macar. VIII, 71.

1. P II, 46. M III, 18: D V II, 70.

2 *Εἰς θεοῦ ὦτα ἦλθεν:* ἐπὶ μεγάλων πραγμάτων.

3 *Εἷς ἀνὴρ, οὐδεὶς ἀνήρ.*

4 *Ἐν νυκτὶ βουλήν:* ἐπειδὴ ἡ νὺξ παῤῥησίαν δίδωσι βουλεύεσθαι.

5 *Εἰς πάγας ὁ λύκος:* ἐπὶ τῶν ἁρπαζόντων μὲν, κατασχεθέντων δέ.

6 *Εἰς μελίττας ἐκώμασας:* ἐπὶ τῶν κακουμένων ἀθρόως.

7 *Ἐν πέντε κριτῶν γούνασι:* τὸ γὰρ παλαιὸν πέντε κριταὶ ἔκρινον τοὺς κωμικούς· ἢ ὅτι ἐν γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα ἐγγράφεται.

8 *Ἐκ λύκου στόματος:* ἐπὶ τῶν ἀνελπίστως [παρά τινῶν τι] λαμβανόντων.

9 *Ἐλέφαντος οὐδὲν διαφέρει:* ἐπὶ τῶν ἀναισθήτων.

10 *Εἰς Τροιζῆνα βαδίζεις:* ἐπὶ τῶν ἐχόντων σπάνιν γενείων.

11 *Ἐλάφειος ἀνήρ:* ὁ δειλός.

---

1. *θεοῦ*] *θεῶν* Zenobius. Suidas explicat: *ἐπὶ τῶν οὐ λανθανόντων ἐφ' οἷς ἔπραξαν.* 3. *βουλή* Zenobius. Suidas: *διὰ τὸ τὴν νύκτα κατὰ σχολὴν διδόναι λογισμοὺς τοῖς περὶ τῶν ἀναγκαίων βουλευομένοις.* 7. *τῶν*] *παρὰ δόξαν* Suidas inserit. 9. *γόνασι* Suidas: *κεῖται* post hanc vocem Zenobius addit. Suidas: *κωμικούς, ὥς φησιν Ἐπίχαρμος. σύγκειται δὲ παρ' Ὁμήρῳ, Θεῶν ἐν γούνασι κεῖται. ἐπειδὴ οἱ κριταὶ ἐν κτλ.* Hinc vv. *ἢ ὅτι* corrupta esse patet. 10. *τοῖς γόνασιν* Suidas. 12. *στόματος ἀφείλου* Apostolius, alii. *παρὰ τ. τι* e Suida adieci, qui in fine addit: *κατὰ τὸν μῦθον τοῦ λύκου καὶ τῆς γεράνου.* 14. *διαφέρεις* DV. 15. *βαδίζεις*] *δεῖ σε βαδίζειν* B, *δεῖ βαδίζειν* Suidas, qui explicat: *ἐπὶ τῶν κακογενείων καὶ σπανοπωγώνων εἴρηται. Πώγων γάρ ἐστι λιμὴν εἰς Τροιζῆνα.*

2. M III, 30. F I, 76: Apost. VI, 62: Zenob. III, 49.

3. M III, 31. F I, 77: DV II, 52.

4. M III, 32. F I, 78: DV II, 46.

5. M III, 33. F I, 79: DV II, 55: cf. Apost. VI, 83.

6. M III, 34. F I, 80: DV II, 54.

7. M III, 35. F I, 82: Apost. VII, 47: Zenob. III, 64.

8. M III, 36. F I, 84: Macar. III, 70. Apost. VI, 99: Zenob. III, 48. Est ex Aesopi fab. 94. 102. Fur. natum: add. Babr. fabb. 94, ubi v. Boissonadum.

9. M III, 37. F I, 85: DV II, 64.

10. M III, 38. F I, 86: Apost. VI, 85: Append. Provv. II, 36: add. Suid. s. *Πώγων*, s. *Τροιζήν* et s. *Θρασύμαχος*.

11. M III, 39. F II, 11: Macar. III, 74: Zenob. III, 66. Eodem sensu v. *πρόξ* Archilochus adhibuit teste Eustathio ad Hom. Θ, 248, p. 711, 41: *λέγει δ' αὐτὸς καὶ τὰς πρόκας παρὰ Ἀρχιλόχῳ ἐπὶ ἐλάφων τεθεῖσθαι, παρ' ᾧ καί τις διὰ δειλίαν προσωνομάσθη πρόξ*: de qua voce cf. Lobeckii Paralipp. Gr. Gr. I, 196. Similiter Latini: Fest. p. 343, 10 Muell.: *cervi, a quorum celeritate fugitivos vocent cervos*: v. Lobeckius Aglaoph. II, 895 et nott. ad DV III, 42.

12 *Εὐμεταβολώτερας κοθόρνου*: ὑποδήματος εἶδος ὁ κόθορνος, ἐφαρμόζων τοῖς δυσὶ ποσίν.

13 *Ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ*: ἐπὶ τῶν δυσχρήστοις παραπεσόντων.

14 *Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν.*

15 *Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα*: ἐπὶ τῶν ἀλυσιτελῶν δώρων.

16 *Ἐν ἅλῳ δρασκάζεις*: ἤτοι ἐν ἅλῳ κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.

17 *Εἶμι γὰρ ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λό-*

---

1. Suidas adhiberi dicit *ἐπὶ τῶν συνεχῶς μεταβαλλομένων*. 3. *πλεῖν*] *οὔτ' ἐκπλεῖν* Diogenianus. 4. *περιπεσόντων* Suidas. Addit Suidas: *φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης*. 8. *κρύπτῃ*] *κρύπτεις* L. Suidas habet: *ἐν ἅλῳ κρύπτῃ: ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν, παρόσον περίοπτος ἡ ἅλως. Ἐν ἅλῳ δρασκάζεις: τουτέστι κρύπτῃ. ἐπὶ τῶν ἀδυνάτων*. Bernhardius proverbium secundo loco positum cum Suidae codice V delendum censet et in priore pro *κρύπτῃ* scribendum *δρασκάζεις*: iniuria, ni fallor. Animus enim eo inclinat, ut duo olim proverbia extitisse existimem: unum: *ἐν ἅλῳ κρύπτῃ: ἐπὶ τῶν — ἅλως*; alterum: *ἐν ἅλῳ δρασκάζεις: ἐπὶ τῶν ἀδυνάτων*: in hoc quum ex antecedenti male irrepsisset *κρύπτῃ*, id grammatici in explicationis formam redegerunt: solebant enim v. *δρασκάζειν* per *κρύπτεσθαι* explicare: v. Hesych. s. *δρασκάζειν* ibiq. intt. 10. *γὰρ*] scribe *τἄρ'*.

12. M III. 40. F I, 90: Macar. IV, 21. Apost. VIII, 7: Zenob. III, 93. De cothurno egit ex eoque proverbii originem optime enucleavit Bastius in Boettigeri Opusc. III, 79. Translatum est ad Theramenem Atheniensem: v. Zenob. l. c. ibiq. annott.: add. Doxop. Hom. in Aphthon. in Rhett. Gr. II, 122 Walz.: *οὗτος ῥήτωρ ἐστὶν, ὥσπερ καὶ Θηραμένης, ὁ καὶ κόθορνος ἐπονομασθεὶς, ἤτοι ἀπὸ τοῦ ἐπιτηδείως ἔχειν πρὸς τὸ προτρέπειν καὶ ἀποτρέπειν τῆς τοιαύτης τυχὼν προσηγορίας, ἢ διὰ τὸ πρὸς ἀλήθειαν καὶ ψεῦδος ἑτοιμότατος εἶναι, ἀπὸ μεταφορᾶς τοῦ ὑποδήματος τοῦ ἀμφοτέροις ἁρμόζοντος τοῖς ποσίν*: Libanii locum v. in nott. critt. ad DV I, 47.

13. M III, 20. F I, 91: Apost. VII, 22: Diog. IV, 88.

14. M III, 41. F I, 92: DV II, 77.

15. M III, 42. F I, 94: Apost. VIII, 21: Zenob. IV, 4. Diog. IV, 82a: add. Scholl. ad Eurip. Med. 615: *παροιμία ἐστὶν Ἐχθρῶν κτλ.*: Serv. ad Virg. Aen. IV, 496: *hoc autem tractum est de Homero, qui dicit gladium Aiaci datum ab Hectore, et Hectori ab Aiace balteum, quae eis exitio fuerunt. Nam alter tractus est balteo, alter se donato telo interemit, unde proverbium est apud Sophoclem* [Aiac. 679]: *ἐχθρῶν κτλ.*: Euripidis et Sophoclis versus componit Clem. Alex. Stromm. VI, 1, 8, p. 263 Sylb.: v. Macar. IV, 87. Utitur proverbio in re simili Theophyl. Simoc. Hist. Oecum. VII, 13, p. 110 B: *ὁ δὲ Χαγάνος δυσανασχέτως εἶχε τὰ βασιλικὰ καταδέξασθαι δῶρα, μονονουχὶ τὸ τῆς τραγῳδίας ἐπιφθεγγόμενος· Ἐχθρῶν κτλ.*: adde Aelianum apud Suid. s. *ἄδωρα*: *Λαβόντες ἑκάτεροι τῆς κόρης τὴν ἄδωρον μοῖραν ἂν τῷ ἑαυτῶν λέχει, τραγικὸς εἶπε ποιητής, ἑαυτοὺς κατέσφαξαν*: meminit proverbii Suidas etiam s. *ἀλλ' ἔστ' ἀληθὴς κτλ.*

16. L I, 67. F I, 95: Macar. III, 84: Zenob. III, 74.

17. Append. Provv. II, 15: cf. Macar. VIII, 54. M III, 91. F I, 97.

χου: ἐπὶ μεγάλων καὶ ἀναντιῤῥήτων καὶ μεγάλην ἰσχὺν ἐχόντων. ἱστόρηται γὰρ, ὡς τῶν ἐν τῇ Ἀσίᾳ πόλεων ἐκκλησιαζουσῶν καὶ ψήφους καταβαλλομένων μηδὲν τέως ἰσχύειν αὐτὰς, εἰ μὴ καὶ ἡ τοῦ Κολοφῶνος καταβληθεῖσα τὸ κῦρος τοῖς ἐψηφισμένοις ἐδίδου.

18 Ἐγγύα, πάρα δ' ἄτα: ἐπὶ τῶν ῥᾳδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττομένων. λέγουσι δὲ αὐτὴν ἐν Δελφοῖς ἀναγεγράφθαι· οἱ δὲ εἶπον οὐχ οὕτως ἔχειν, ἀλλὰ μόνον ἐγγύη ἄτη· καὶ παρέχουσι μάρτυρα τούτου Κρατῖνον τὸν νεώτερον λέγοντα·

Εἰς ἐγγύας τρεῖς πεσὼν, ἀνηρέθην.
οὕτω ποτὲ ἐν Δελφοῖσιν ἦν τὰ γράμματα,
τὴν ἐγγύην ἄτην. Ἀλλ' ἐγὼ
φιλέταιρον εἶχον ἔθος.

ὅτι δέ ἐστιν ἡ ἐν Δελφοῖς ἐγγύα πάρα δ' ἄτα δῆλον ποιεῖ Χαρμίδῃ ὁ Πλάτων, λέγων· ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερα γράμματα [ἀναθέντες], τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύα, πάρα δ' ἄτα.

Z.

19 Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας: ὅτι οὐκ ἀπρονόητος. τὸν γὰρ Δία φασὶν εἰς διφθέρας γράφειν τὰ πραττόμενα τοῖς ἀνθρώποις.

20 Ζωὴ πίθου: ἐπὶ τῶν μετρίως ζώντων. ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβὴ ἐγένετο.

---

7. ἀπαλλαττόντων Schol. Plat. 8. εἶπον αὐτὴν idem. 11. εἰςπεσὼν Meinekius cum Bekkero. 12. οὔπω τότ' eidem. Verba οὔπω .. ἄτην secundae personae Bekkerus dedit. 13. Post v. ἄτην Meinekius ex Buttmanni et Bekkeri coniectura λέγοντ'; A. ἦν· addidit. 14. ἦθος Bekkerus ex coniectura. 17. ἀναθέντες L om. 20. Suidas s. Ζεὺς haec habet: καὶ παροιμία· Ὁ Ζεὺς κ. χ. εἰς τ. δ.: ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν· ὅτι οὐκ ἀπρονόητά φασι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι, καὶ ποτὲ ἐπεξιέναι.

18. Schol. ad Platon. 324 Bekk.: Macar. III, 47. Apost. VI, 48: cf. App. Provv. II, 5. Κρατῖνον] v. Meinekius Com. Gr. Rell. III, p. 378. Πλάτων] Charmid. 165 A. M. ἄγαν] cf. infr. 79. De sententiis, quae in templi Delphici vestibulo inscriptae dicuntur, Goettlingius in Actis Societ. Litter. Lips. T. I, p. 298 sqq. disseruit. Thaleti βλαβερὸν ἐγγύη auctor incertus in Boissonadi Anecdd. Gr. I, 139 adscribit: ἐγγύα, πάρα δ' ἄτα idem ib. 144 coll. p. 143 fin.: Pittaco Demetrius Phalereus, apud Stob. Flor. III, 79, 4.

19. M III, 53: F I, 98. Apost. VIII, 28: Zenob. IV, 11. Profecit ex hoc proverbio Plaut. Rudent. prol. 10 sqq.

20. M III, 54. F. I, 99: Apost. VIII, 34: Zenob. IV, 14.

21 *Ζῇ χύτρα, ζῇ φιλία.*

Η.

22 *Ἡ κύων ἐν τῇ φάτνῃ:* πρὸς τοὺς μήτε ἑαυτοῖς χρωμένους μήτε ἄλλους ἐῶντας. παρόσον ἡ κύων κριθὴν οὐ φάγει μένουσα ἐν φάτνῃ καὶ τὸν ἵππον οὐκ ἐᾷ.

Θ.

23 *Θυμὸς ἔσχατον γηράσκει:* λέγεται διὰ τοὺς πρεσβυτέρους. ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι.

24 *Θαλάττῃ ἐκ χαράδρας ὕδωρ:* ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προςφιλοτιμουμένων.

25 *Θάσος ἀγαθῶν:* ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων.

26 *Θυμόσοφος:* ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν.

27 *Θάμυρις μαίνεται:* ἐπὶ τῶν συνετῶς μὲν βιούντων, δοκούντων δέ τισι μαίνεσθαι. Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ τοῦ δεσπότου αὐτοῦ ἐν τῷ

---

1. *ἡ φιλία* L: *ἡ χύτρα* et *ἡ φιλία* M. 3. *ἐν φάτνῃ* Macarius, *ἐπὶ φάτνην* Suid. v. *κύων*. *ἑαυτοῖς*] *ἑαυτοὺς* M, *αὐτοὺς* Diogenianus: Suid. v. *κύων* om. 5. *φάγει*] *ἐᾷ* PM: *φάγει* a scriba illatum, qui scripturam e PM notatam ferri non posse intellegeret. Ceterum locus sic redintegrandus esse videtur: *κριθὴν οὔτε αὐτὴ ἐσθίει, μένουσα δὲ ἐν τῇ φάτνῃ κτλ.* 10. Suidas addit: *ὁμοίως τῷ· Βῶλος ἄρουρα*: cf. Apost. V, 18. 12. *Θάσσος* L. 14. *θυμόσοφος ἐστὶν* Apostolius. Suidas explicat: *εὐμαθής, φυσικός, εὐφυής, ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς καὶ οὐκ ἐκ μαθήσεως. τοὺς οὖν ἐκ φύσεως ὀξυμαθεῖς οὕτως ἐκάλουν. Ἀριστοφάνης Νεφέλαις* [875]· *Ἀμέλει, δίδασκε. θυμόσοφός ἐστιν φύσει.*

21. M III, 55. F I, 100: DV II, 79.
22. P II, 61. M III, 62: DV II, 83.
23. P II, 66. M III, 67: Apost. VIII, 90. Soph. Oed. Colon. 954: *θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν θανεῖν. θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται*, ubi Scholiasta, quem ad verbum Suidas s. *θυμὸς ἑπταβόειος* descripsit, haec habet: *οἷον, οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα· οὐ καταγηράσκει τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθοι τοῦ βίου ἄνθρωπος· ἀδύνατον γάρ ἐστι ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. Τοῦτο δὲ καὶ παροιμιακῶς λέγεται, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει· λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους· ὅσῳ γηράσκουσι, τὸν — ἔχουσι. Καὶ Ἀλκαῖος, ὡς λεγομένου κατὰ κοινὸν αὐτοῦ μιμνήσκεται*: ad Alcaeum lyricum rettulit Bergkius fr. 113: rectius comico adscriberetur. Sententiam proverbii Hellerus ad Soph. l. c. illustrat.
24. P II, 67. M III, 68: Apost. VIII, 77: Suid. s. *βῶλος ἄρουρα* et s. *θαλάττῃ*.
25. P II, 68. M III, 69: DV II, 90.
26. M III, 70. F. II, 3: Apost. VIII, 92: App. Provv. III, 22.
27. M III, 71. F II, 4: Macar. I, 95. Apost. II, 60. VIII, 75: Zenob. IV, 27. Diog. III, 26. V, 19.

ἱερῷ καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος, τὴν οὐσίαν αὐτοῦ δοὺς ἀπεδήμησεν. ὃν οἱ ὁρῶντες ἔλεγον· Μαίνεται Θάμυρις.

28 Θεὸς ἡ Ἀναίδεια: ἐπὶ τῶν ἀναισχυντίᾳ ὠφρυωμένων.

I.

29 Ἰλιὰς κακῶν ἐπήει: ἐπὶ ταῖς μεγίσταις συμφοραῖς.

30 Ἴσως Ἐριννὺς ἐστὶν ἐκ τραγῳδίας: τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.

31 Ἰχθὺν νήχεσθαι διδάσκεις: ἐπὶ διδασκόντων, ἃ ἐπίστανται.

32 Ἰαλέμου ψυχρότερος: Ἰάλεμον τὸν θρῆνον φασί· λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν.

---

1. αὐτοῦ δοὺς LF, αὐτῷ δοὺς M: v. K in nott. critt. ad Diogen. V, 19. Noster locus neglegenter in brevius redactus est. 4. ἡ L om. ἀναισχυντὶ F. λέγεται κατὰ τῶν δι' ἀναισχυντίαν τινὰ ὠφελούντων Suidas. 6. ἐπήει P Diogenianus om. 9. διδασκόντων τινὰς Apostolius. 11. Hesych. s. Ἰαλέμου ᾠδή dicit: καὶ παροιμία· ψυχρότερος καὶ οἰκτρότερος Ἰαλέμου. Quod ad explicationem attinet, eadem legitur apud Suidam praemissis his: Ἰάλεμος· ὁ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνίαν [ἰὰν recte Nauckius ad Arist. Byz. 185.] φέρων: consentit Schol. Vind. l. c., addens tamen in fine: καὶ ἰαλεμώδη δέ φασι τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια, quibus in Suida nova glossa constituitur. Aliter vero Photius: Ἰαλεμῷ: θρηνῷ. Ἰάλεμος γὰρ θρήνου εἶδος. λέγεται δὲ καὶ Ἰάλεμος ὁ υἱὸς Καλλιόπης· καὶ ὁ κωλός· καὶ ὁ ὀρφανός· ἔνιοι δὲ καὶ τὸν κακὸν δαίμονα: unde pro v. κακοδαίμονα scribendum esse: ἔνιοι δὲ τὸν κακὸν δαίμονα Bernhardius ad Suid. l. c. perspexit. Idem vir doctus l. c. dubitat, ὑστερούμενον probumne sit an στερόμενον, quod his Hesychius apposuit.

28. F II, 5: DV II, 91.

29. P II, 72. M III, 73. F II, 7: DV II, 93.

30. M III, 72. F II, 6: Apost. IX, 11: App. Provv. III, 31.

31. M III, 75. F II, 9: Macar. IV, 83. Apost. IX, 15: Diog. V, 33. Cf. DV II, 43.

32. M III, 76. F II, 10: Apost. VIII, 94: Zenob. IV, 39: add. Scholl. Vindob. ad Hermog. in Walzii Rh. Gr. III, 348. V. ἰάλεμος per θρῆνος explicant Scholl. ad Apoll. Rhod. IV, 1304. Etym. M. 462, 53. Hesych., auctore Aristophane grammatico: v. Athen. XIV, 619 B. Scholl. ad Theocr. X, 41: hanc doctrinam Lobeckius firmat, in ann. ad Soph. Aiac. p. 487 nomen ἰάλεμος voci *lamenta* cognatum esse exponens. Cui explicationi aliam adiungunt Moeris p. 190 Lugd., Thom. Mag. 188, 1 R.: dicunt enim praeter lamenta v. ἰάλεμος significari etiam τὸν ψυχρὸν καὶ ἔκλυτον ἄνθρωπον: et re vera hoc significatu invenitur a veteribus adhibita vox: v. Luc. Pseudol. §. 24, Hermog. l. c., Ioannes Siciliota in Walzii Rh. Gr. VI, 435. Ialemum Apollinis et Calliopes filium esse veteres vulgo statuunt: v. Schol. ad Eur. Orest. 1374 sq. et Welckerum Opusc. I, 30. Cf. Apost. V, 67.

33 *Ἱππεῖς προκαλεῖσθαι εἰς πεδίον*: ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονεστέρους αὐτῶν εἰς ἔριν προκαλουμένων.

K.

34 *Κακοῦ κόρακος κακὸν ᾠόν*: ὅτι ἄβρωτόν ἐστι αὐτὸ τὸ ζῷον, ἀλλὰ δὴ καὶ τὸ ᾠὸν αὐτοῦ. ἢ ἀπὸ Κόρακος ῥήτορος πρώτου διδάξαντος τὴν ῥητορικήν· τὸν γὰρ μαθητὴν αὐτοῦ μισθὸν ἀπαιτῶν, εἰς τὸ δικαστήριον, εἶπεν ὁ αὐτὸς μαθητής, ἴωμεν, καὶ εἰ μὲν νικήσειας, οὐ μεμάθηκα· εἰ δὲ ἡττηθήσῃ, οὐ λήψῃ μισθούς.

35 *Καθώσπερ αἱ κίτθαι σιτίζεις κακῶς.*

36 *Κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον.*

37 *Κἂν ἐπὶ νεκροῦ κερδαίνειν*: ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων καὶ τεθνεώτων.

38 *Κατὰ ῥοῦν φέρεται.*

39 *Καρκίνος λαγωὸν αἱρεῖ*: ἐπὶ τῶν ἀδυνάτων.

40 *Καρκίνος λαιμὸν αἱρεῖ*: ἐπὶ τῶν ἀδυνάτων.

41 *Κανθάρου μελάντερος*: καί· *Κανθάρου σοφώτερος*: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

42 *Κακοὶ τῆς πονηρίας πίνουσι τὴν ὀμίχλην*: ἐπὶ τῶν κατ' ἀξίαν τιμωρουμένων.

---

1. PM aliam afferunt explicationem: Gregorius sine dubio utramque proverbio adscripserat. 5. *ἄβρωτον εἰ* L. 6. *τοῦ Συρακουσίου ῥήτορος πρώτου* Zenobius. 8. *ἀπαιτούμενος* Suidas: v. nott. critt. ad M l. c. 10. *ἡττητήσεις* L. 12. *ἔμετον*] *ἐξέραμα* Petrus. 14. *ἢ τεθνεώτων* MF. 16. *αἴρει* L et sic quoque infr. 40. 17. *καρκίνος κτλ.*] sine dubio ex antecedenti depravatum.

33. P II, 74. M III, 78: DV II, 96. Sumpta explicatio ex Scholl. Plat. p. 365 Bekk.

34. P II, 75. M III, 81. F II, 11: Macar. IV, 88. Apost. IX, 16: Zenob. IV, 82: add. Suid. s. *κακοῦ* et s. *Κόραξ*. De historiola ista egi ad Apost. l. c.

35. P II, 82. M III, 88: Apost. X, 9.

36. P II, 83. M III, 90. F II, 27: Apost. X, 83. Adhibuit Andreas Caesar. Comment. ad Apocal. p. 111, 16 Sylb.: *κύνες δὲ, ... οἱ μετὰ τὸ βάπτισμα ἐπιστρέψαντες ἐπὶ τὸν ἴδιον ἔμετον.*

37. P II, 84. M III, 92. F II, 27: Apost. IX, 97: Diog. V, 84. Cf. Apost. I, 11.

38. P II, 87. M III, 94. F II, 32: infr. 55: Macar. V, 3. Apost. X, 12: Diogen. V, 82. Proprio sensu saepe formula dicitur: Achill. Tat. III, 5: saepe etiam ad res secundo cursu fluentes transfertur: Lucian. Iov. trag. §. 50. Leon. Diacon. V, 7, p. 55 A Has. Constant. Manass. Comp. Chron. 1094: *καὶ κατὰ ῥοῦν ἐφέρετο τούτοις ὁ βίος ἅπας.*

39. M III, 93.

40. P II, 88 ibiq. v. vv. ll.: cf. sup. 39.

41. M III, 99. F II, 12: Macar. IV, 90. Apost. IX, 22: Zenob. IV, 65. App. Provv. III, 41.

42. M III, 100. F II, 14: Mant. Provv. s. *κακοί*. Diogen. V, 99.

43 *Κακῶν πανήγυρις:* ἐπὶ πλήθους κακῶν.

44 *Κηροῦ εὐπλαστότερος:* ἐπὶ τῶν ῥᾳδίως τι ποιούντων.

45 *Καδμεία νίκη:* ἡ ἐπὶ κακῷ νίκη· Ἐτεοκλῆς καὶ Πολυνείκης υἱοὶ Οἰδίποδος, τινὲς δὲ Κάδμου, οὗ τὴν βασιλείαν διεδέξαντο, συνέθεντο πρὸς ἀλλήλους, ἕνα καθ᾽ ἕνα χρόνον βασιλεύειν αὐτούς. βασιλεύσας δὲ ὁ Ἐτεοκλῆς οὐκ ἐβούλετο Πολυνείκην κατὰ τὸ δόξαν βασιλεῦσαι, καὶ τῷ

---

2. ποιούντων L: correxi e F, Suida. 5. βασιλείαν] delevi οἱ υἱοί, quod post v. βασιλείαν L habet. 6. Καὶ συνέθεντο LF. καθ᾽ ἕνα] καὶ ἕνα L.

43. M IV, 1. F II, 15: Apost. IX, 25. Suidas Pisiden attulit, fr. 109 Foggin.: καὶ πάντες ὥσπερ ἐν κακῶν πανηγύρει Ἄλλος κατ᾽ ἄλλην συμφορὰν ἐδυστύχει. Similiter νεοσσῶν πανήγυρις dictum ab Eurip. Heraclid. 240, φίλων ab eod. Herc. fur. 1283: dicitur etiam δένδρων, ὀφθαλμῶν πανήγυρις, cuius usus exempla Iacobsius ad Achill. Tat. I, 15. Blomfieldus ad Aesch. Sept. c. Theb. gloss. 206 indicant.

44. M IV, 2. F II, 16: Suidas. Invenitur apud Plat. Reip. IX, 588 D: δεινοῦ πλάστου, ἔφη, τὸ ἔργον· ὅμως δὲ ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάστω: unde habent Aelian. N. Anim. XVII, 9: ἡ φήμη, κηροῦ παντὸς οὖσα εὐπλαστοτέρα τε καὶ εὐπειθεστέρα, Damasc. apud Suid. l. c.: κηροῦ μαλθακώτερον dixit Mazar. in Boissonadi Anecdd. Gr. III, 130. Neque aliter Latini: Cic. Orat. III, 45, 177: *sed ea .. sicut mollissimam ceram ad nostrum arbitrium formamus et fingimus:* Horat. Epist. II, 2, 8: *argilla quidquid imitaberis uda:* ei. Epist. II, 3, 163: plura dabunt Victorius Varr. Lectt. X, 14. Boissonadus ad Marini V. Procl. 100, a quo simul de dictione μολύβδου μαλθακώτερον agitur, et O. Iahnius ad Pers. Sat. V, 40.

45. M III, 83. P II, 77. F II, 17: Macar. IV, 84. Apost. IX, 26: Zenob. IV, 45: add. Eustath. ad Hom. Il. X, 1262, 27. Macar. ap. Tittmannum ad Zonar. T. I, praef. XCIV aliosque, quos in sequentibus producam. Quamquam veteres grammatici omnes omnino proverbii originem a Thebis petierunt, multas tamen variasque sibi fecerunt vias in eo explicando: Paus. IX, 9, 1: οἱ Θηβαῖοι, κρατοῦσι .., ὡς τὸ σύμπαν στράτευμα πλὴν Ἀδράστου φθαρῆναι. ἐγένετο δὲ καὶ αὐτοῖς τὸ ἔργον οὐκ ἄνευ κακῶν μεγάλων· καὶ ἀπ᾽ ἐκείνου τὰ σὺν ὀλέθρῳ τῶν κρατησάντων Καδμείαν ὀνομάζουσι νίκην: de prima septem ducum Argivorum contra Thebas expeditione loquitur: aliter Hesychius. s. Κάδμιοι: .. τὴν δὲ νίκην τὴν Καδμείαν ἀποδιδόασιν ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης. οἱ μέν, ἐπεὶ Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχήσαντες περὶ τῆς νίκης ἀμφότεροι ἀπώλοντο· οἱ δέ, ὅτι τῶν ἑπτὰ ἐπὶ Θήβας στρατευσαμένων πάντων ἀπολομένων οἱ υἱοὶ πάλιν ἐπιστρατεύσαντες εἷλον τὰς Θήβας, ὡς ἔχειν αὐτοῖς ἀλυσιτελεῖν, ubi scribe αὐτοὺς ἀλυσιτελῆ cum Ruhnkenio: statim moneo hic, verba inde ab ὡς excidisse in fine explicationis Scholiastae Aristid. nunc afferendae: quartam et quintam rationem profert Schol. ad Aristid. 188 Fromm.: .. εἰώθει λέγεσθαι ἐπὶ τῶν βλάβῃ τῇ ἑαυτῶν νικησάντων. ἐλέχθη δὲ ἀπὸ τοιαύτης ἱστορίας. Θηβαῖοι νικήσαντες τοὺς Ἀργείους, Πολυνείκους στρατεύσαντος κατὰ τοῦ ἀδελφοῦ Ἐτεοκλέους, εἴασαν ἄταφα τὰ σώματα τῶν

πολέμῳ ἀλλήλους διεχειρίσαντο καὶ ἐπὶ κακῷ νενικήκασιν, ὅτι ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον.

ἑπτὰ ἐπὶ Θήβας κληθέντων καὶ παροξύνοντων καθ' ἑαυτῶν τοὺς Ἀθηναίους· διεξελθόντες ἐνίκησαν Θηβαίους καὶ οὐ παρέδοσαν εἰς ταφὴν τὰ σώματα. Ἢ ἐπειδήπερ Οἰδίπους τὴν Σφίγγα ἐνίκησεν, ἐλέχθη ἡ Κ. νίκη· εἰ μὴ γὰρ ἐκεῖνος ἐνίκησεν, οὐκ ἂν οὐδὲ τῇ ἑαυτοῦ μητρὶ συνεγένετο, οὐδὲ τὰ λοιπὰ πάντα ὑφίστατο. Ἢ ὅτι οἱ Ἐπίγονοι κτλ.: affert enim quam Hesychius secundo loco proposuit enarrationem: sextam Photio debemus ad calcem Etym. Gudiani ab Sturzio edito p. 593, 22: *λέγεται ἐπὶ τῶν ἐπὶ κακῷ νικώντων· ... τίθεται καὶ ἐπὶ τῶν ἀλυσιτελῶν· ὡς δὲ αὐτὸς* [recte *Λύκος* Ungerus emendat Parad. Theban. I, 383] *ὁ τὰ περὶ Θηβῶν συντάξας, ὅτι Κάδμος ἀνελὼν τὸν τὴν Ἄρειαν τηροῦντα ἐθήτευσεν Ἄρει η' ἔτη*: ita enim haec sunt ex fide Eustathii ad Hom. Il. *Δ*, 407, p. 490, 8 aliorumque grammaticorum restituenda: septimam Zenobio, qui literas a Cadmo inventas ansam ad proverbii inventionem dedisse scribit. Neque in his acquieverunt veteres. Nam non solum antiquissimae populi Thebani fabulae eis obtulerunt, ex quibus proverbium derivarent, sed etiam tempora posteriora: Themist. Or. VII, 88 B Pet.: *ἢ πόθεν εἰσεφοίτησεν ἡ παροιμία, καὶ τί ποτέ ἐστιν ἕτερον ἡ Καδμεία νίκη ἢ ὅταν τινὲς ὑπὸ τῆς νίκης ὥσπερ μέθης κατακλυσθέντες ἀγνοήσωσι τὸ μέτρον τῆς τοῦ κρατεῖν ἀπολαύσεως καὶ τελευτήσῃ τὸ κέρδος αὐτοῖς εἰς ζημίαν χαλεπωτέραν; οὕτω γὰρ αὐτοί τε ἔπραξαν οἱ τότε Καδμεῖοι καὶ ὁ μετὰ ταῦτα χρόνος ἐνεπλήσθη τοῦ παραδείγματος. ὀρθῶς ἄρα ὁ Θηβαῖος Ἐπαμινώνδας μετὰ τὴν ἐν Λεύκτροις μάχην μόνος Θηβαίων ἐσκυθρωπακὼς περιῄει καὶ πρὸς τὸν ἐρόμενον τὴν αἰτίαν, νῦν γάρ' ἔφη, ἐμοὶ νήφειν καιρός, ὅτε τοὺς ἄλλους μεθύειν ἀνάγκη. καὶ οὐδὲ χρήματα εἰςεπράξατο τοὺς αἰχμαλώτους, ἀλλὰ καὶ τὸν ὑπασπιστὴν αἰσθόμενος τῆς φάλαγγος ἀπεσείσατο.* Ex his quae attulimus, sponte intellegitur, sensum, qui proverbio subsit, diverso modo constitui posse: confirmatur hoc Diodoro Exc. Vatic. XXII, 1: *ταῖς γὰρ ἀληθείαις ἁπάσας τὰς νίκας ἔσχε* [Pyrrhus] *Καδμείας κατὰ τὴν παροιμίαν· οἱ γὰρ ἡττηθέντες οὐδὲν ἐταπεινώθησαν διὰ τὸ μέγεθος τῆς ἡγεμονίας, ὁ δὲ νικήσας τὴν τῶν ἡττημένων βλάβην καὶ συμφορὰν ἀνεδέδεκτο*, ubi v. A. Maium: et Arriano ab omnibus recedente: Eustath. ad Hom. Il. *Β*, 851, p. 361, 2 coll. eod. ad Il. *Δ*, 405: *καὶ γοῦν Καδμείαν νίκην οἱ μὲν ἄλλοι οὐκ ἐπαινοῦντες φασί· τὴν ἀκάρπωτον γὰρ καὶ ἀκερδῆ τά τε ἄλλα καὶ διὰ τὸ μηδὲν ἀπόνασθαι τὸν Ἐτεοκλῆν τῆς τῶν Καδμείων κατὰ τῶν Ἀργείων νίκης, μηδὲ τοὺς ἀμφ' αὐτόν. Ἀῤῥιανὸς δὲ τὴν μεγάλην καὶ ὅ φασι κατ' ἄκρας νοεῖ διὰ τὸ ἄκρως ἡττηθῆναι τοὺς περὶ τὸν Πολυνείκην ὑπὸ τῶν Καδμείων ὡς μόνον περισωθῆναι τὸν Ἄδραστον*: Arrianum haec *ἐν τοῖς Βιθυνιακοῖς* exposuisse auctor est idem Eustathius ad Hom. Il. *Δ*, l. c. Hinc idem ad Odyss. Χ, 285, p. 1927, 13 iure dicit: *τὸ δὲ καὶ δυάζειν τὰς παροιμίας ἄλλη τις αὐτὰ δεξιὰ μέθοδος δηλωθεῖσα καὶ ἀλλαχοῦ, καθ' ἣν τὸ, νίκη Καδμεία. οἱ μὲν ἐπὶ τῆς ἀκερδοῦς καὶ ἀνωφελοῦς ἐξελάβοντο ψογερῶς, οἱ δὲ ἐπὶ τῆς ἄκρας καὶ καθ' ὑπερβολήν.* Adhibuerunt multi, quorum partem maximam in uberrima de proverbio nostro disputatione Ungerus Parad. Theb. I, 384 sqq. diligentissime collegit atque disposuit: haec nunc nobis restant: Procl. ad Plat. Alcib. 221 Creuz.: *νῖκαι μὲν γὰρ πολλαὶ Καδμεῖαι γεγόνασιν, ὥς πού φησιν ὁ Ἀθηναῖος ξένος* [Plat. Legg. I, 641 C.], *τὸ δὲ δίκαιον ἀπαντταχοῦ λυσιτελεῖ τοῖς χρωμένοις, καὶ ὁ μὲν νικήσας μόνον οὔπω καλλίους ποιεῖ τοὺς νικηθέντας*: Olympiod. ad Plat. Alcib. 74 Creuz.: Theodulus in Boiss. Anecdd. II, 253 sq., ubi editor doctissimus plura a VV. DD. antea neglecta congessit.

46 Καθ' ἑαυτοῦ Βελλεροφόντης: ἐπὶ τῶν καθ' ἑαυτῶν τι ποιούντων.

47 Κερκωπίζειν: ἀντὶ τοῦ δουλεύεσθαι καὶ ἀπατᾶν. μετενήνεκται δὲ ἀπὸ τῶν Κερκώπων.

48 Κατὰ βοὸς εὔχου: ἐπὶ τῶν μέγα βοώντων.

49 Κωφότερος κίχλης: παρόσον ἄφωνον τὸ ζῷον.

50 Κανθάρου σκιά: ἐπὶ τῶν φοβουμένων, ἔνθα οὐ δεῖ.

51 Κορυδέως εἰδεχθέστερος: ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο.

52 Κεκύλισται ὁ πίθος: ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων τι μάτην ποιούντων.

53 Κύρβεις **: ξύλα πινακοειδῆ, ἐν οἷς τοὺς νόμους ἔγραφον.

54 Κοινὰ τὰ τῶν φίλων.

55 Κατὰ ῥοῦν φέρεται: ἐπὶ τῶν εὐπλοούντων.

56 Κυνόσαργες: ὁ τόπος, ἐν ᾧ οἱ νόθοι ἐξεκρίνοντο.

---

3. μετήνεκται LF. 6. Ἀφωνότερος κίχλης Eubulus secundum Suidam dixerat: ex eodem nostrum affert Zenobius: rem non decernit Meinekius Com. Gr. Rell. III, 220. 7. σκιαί Diogenianus. 8. Κορυδέος LF. 12. Scribendum est: κύρβεις κακῶν: ἐπὶ πλήθους κακῶν. Κύρβεις ξύλα κτλ.: v. Diogenianum.

46. M IV, 3: F II, 18: Macar. IV, 85. Apost. IX, 30: Diog. V, 45. Adhibet Niceph. Gregor. Hist. Byz. XXII, 4: τοῦτο δὲ τὸ τῆς παροιμίας, κατὰ σαυτοῦ Βελλεροφόντης. Quum vero semel virtute sua in proverbium Bellerophontes venisset, alii alia eius nomine significarunt: Synes. Calv. Enc. init.: τὸ γάρ ἐς Ἀφροδίτην ἐγὼ δικαιότατος κἂν τῷ Βελλεροφόντῃ σωφροσύνης ἀμφισβητήσαιμι.

47. M IV, 4. F II, 19: Diogen. II, 100.

48. M IV, 5. F II, 20: Apost. IX, 34: Diogen. V, 90: cf. DV III, 24.

49. M IV, 6. F II, 21: Macar. V, 45. ibiq. v. nott. critt., Apost. X, 86: Zenob. IV, 66: add. Crameri Anecdd. Par. I, 396, 22, ubi in Eubuli Dionysio proverbium legi narratur.

50. M IV, 7. F II, 22: Macar. IV, 89. Apost. IX, 36: Diog. V, 88.

51. M IV, 8. F II, 23: Apost. X, 45: Diogen. V, 57.

52. M IV, 9. F II, 25: Apost. X, 27. Nam dolium, Erasmus IV, 3, 6 dicit, facili impulsu quo velis volvitur. At sapiens tetragono similis, semper fixus et immotus. Apparet esse natum ab historia de Diogene in publico civitatis tumultu volvente dolium, quam refert Lucianus lib. de conscr. histor. §. 3.

53. M IV, 10. F II, 28: Diogen. V, 77. De κύρβεων notione accurate definienda veterum plurimi quaesiverunt: v. quos laudant Prellerus ad Polem. 87. Dittrichius in Schneidewini Philol. I, 226: add. Nauckius ad Arist. Byz. Fr. p. 220.

54. M IV, 11. F II, 30: Macar. V, 21. Apost. X, 39c: Zenob. IV, 79. »Pythagoram sententiae auctorem facit Timaeus apud Diog. Laert. VIII, §. 10.« Walzius. Dio Chrysost. Or. III, 135 R.: καὶ γάρ δὴ παλαιός ἐστιν ὁ λόγος ὁ κοινὰ ἀποφαίνων τὰ τῶν φίλων.

55. Cf. sup. 38. F II, 31.

56. F II, 32: Apost. VI, 66: Diog. V, 94. Accuratius rem explicat Suid.

κύων γὰρ τις ἥρπακὼς κρέας, ἐκεῖ ἀπεκόμισεν· ὅθεν καὶ Κυνόσαργες.

57 *Καρπὸν, ὃν ἔσπειρας, θέριζε*: ἐπὶ τῶν τοιαῦτα πασχόντων, οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου· *Εἰ δὲ κακὰ σπείραις, κακά κεν ἀμήσαιο.* καὶ πάλιν· *Ὃς δὲ κακὰ σπείρει, θερίσει κακὰ κήδεα παισίν.*

Λ.

58 *Λύδιον ἅρμα*: ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων. ὁ γὰρ Πέλοψ Λυδὸς ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι. καὶ ἔκτοτε ἡ παροιμία, *παρὰ Λύδιον ἅρμα θέειν*. ἡ παρὰ πρόθεσις σημαίνει καὶ τὴν πλησιότητα ὡς τό, ἕζετο, παρέζετο· καὶ τὴν πλείονα σχέσιν, ὡς τό, ὁρμῶ, παρορμῶ. σημαίνει καὶ τὴν ἐκτὸς σχέσιν, τὴν ἔξω τοῦ πρέποντος, ὡς τό, ἄνομος, παράνομος. ὡς τό· *εἰ καὶ πεζοὶ ἦμεν πάρα Λύδιον ἅρμα θέοντες*· ἀντὶ τοῦ· ἔξω καὶ μακρὰν τοῦ Λυδικοῦ ἅρματος.

---

3. ὃν] ὢν Bekkerus. 5. κακά κεν] aut κακὰ κήδε' ἂν ἀμήσαιο scribendum aut κακὰ παισί κεν ἀμήσαιο. 6. σπείρει πάλιν θερίσει L: πάλιν ex antecedentibus male repetitum delevi. 9. Λυδὸς] Λύδιον LF. 10. Οἰνόμαθον L. 15. ὡς τό· εἰ καὶ] ὥστε ὡς LF: εἰ καὶ sumsi ex Gregorio Nazianzeno. πεζοὶ] περ' οἱ L. ἦμεν] ἡμεῖς F.

1. Κυνόσαργες: τόπος ἐστὶ παρ' Ἀθηναίοις καὶ ἱερὸν Ἡρακλέους, κατ' αἰτίαν τοιαύτην. Δίδυμος [hoc nomen in Δίομος mutandum esse Meursius vidit] ὁ Ἀθηναῖος ἔθυεν ἐν τῇ ἑστίᾳ· εἶτα κύων λευκὸς παρὼν ἥρπασε τὸ ἱερεῖον καὶ ἀπέθετο εἴς τινα τόπον· ὁ δὲ περιδεὴς ἦν. ἔχρησε δὲ αὐτῷ ὁ θεὸς, ὅτι εἰς ἐκεῖνον τὸν τόπον, οὗ τὸ ἱερεῖον ἀπέθετο, Ἡρακλέους βωμὸν ὀφείλει ἱδρύσασθαι. ὅθεν ἐκλήθη Κυνόσαργες. ἐπειδὴ οὖν καὶ ὁ Ἡρακλῆς δοκεῖ νόθος εἶναι, διὰ τοῦτο ἐκεῖ οἱ νόθοι ἐγυμνάζοντο, οἱ μήτε πρὸς πατρὸς μήτε πρὸς μητρὸς πολῖται: eadem in Etymol. Crameri Anecdd. Paris. I, 171, 3 leguntur, similia in Scholl. ad Plat. 464 Bekk.: v. nott. ad Diog. IV, 86. V, 94. App. Provv. II, 24 et Apost. l. c.

57. Scholl. ad Plat. Phaedr. 260 D, p. 317 Bekk.: Macar. IV, 93: Hermias ad Plat. l. c. p. 182 Ast.: καὶ τοῦτο δὲ ἀπὸ παροιμίας εἴρηται, ὅτι Ὁ κακὰ σπείρων κακὰ θερίζει· καὶ οἱ ῥήτορες οἱ οὕτω δημηγοροῦντες οἱ μὲν ἐξωστρακίσθησαν, οἱ δὲ φυγάδες ἐγένοντο. Usurpant Gorgias apud Aristot. Rhet. III, 3 fin.: σὺ δὲ ταῦτα αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ ἐθέρισας, quem locum Fossius attigit de Gorg. Leont. 53: Plat. Phaedr. l. c.: ποῖόν τινα οἴει μετὰ ταῦτα τὴν ῥητορικὴν καρπὸν ὧν ἔσπειρε θερίζειν: Philo de Virtt. T. II Opp., p. 589, 5 Mang.: ἧς χάριν αἰτίας εὐσεβὲς σπέρμα σπείρειν εὐλαβοῦντο, δεδιότες μὴ θερίζειν ἀναγκασθῶσι τοὺς ἐπ' ὀλέθρῳ παντελεῖ καρπούς. Latine fecit Pinarius apud Cicer. Orat. II, 65, 261: *ut sementem feceris, ita metes.* In mente proverbium habuisse videtur Euripides Stob. Flor. XCIII, 4, vs. 4: ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος: alios indicat Blomfieldus ad Aesch. Pers. gloss. 827: add. quae in annott. ad Macar. III, 85 collegi.

58. Apost. XI, 56: cf. DV III;

τος τρέχοντας κατὰ σύγκρισιν· τάχιστα γὰρ τὰ Λύδια ἅρματα. τοιοῦτος δὲ ὁ μέγας Βασίλειος, ἅρμα Λύδιον.

59 *Λεπτὴν πλέκεις*: ἐπὶ τῶν πενιχρῶν.

60 *Λιβυκὸν θηρίον*: ἐπὶ τῶν πολυτρόπων, διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι.

61 *Λυγκέως ὅμοιος*: ὁ ὀξυδερκής.

62 *Λήθαργος κύων*: ὁ προσσαίνων μὲν, δάκνων δὲ λάθρα.

63 *Λυδὸς ἐν μεσημβρίᾳ*: ἐπὶ τῶν ἀκολάστων, ὡς ταύταις ταῖς ὥραις ἀκολασταινόντων. οἱ γὰρ Λυδοὶ κωμῳδοῦνται ταῖς χερσὶν αὐτῶν πληροῦντες τὰ ἀφροδίσια. ἡ δὲ παροιμία αὕτη ὁμοία τῇ· *Αἰπόλος ἐν καύματι*, ἐπειδὴ ἐν ταῖς τοιαύταις ὥραις οἱ αἰπόλοι ἀκολασταίνουσι.

64 *Λύκου πτερά*: ἐπὶ τῶν ἀδυνάτων.

65 *Λύχνον ἐν μεσημβρίᾳ ἅπτεις*: ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων.

66 *Λύκου ῥήματα*: ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. ἰδὼν γὰρ λύκος ποιμένα προβάτεια ἐσθίοντα, εἶπεν· ἡλίκος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτ' ἐποίουν.

67 *Λευκῷ λίθῳ λευκὴ στάθμη*: ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων κἂν τούτῳ μηδὲν συνιέντων. ἡ γὰρ ἐν

---

2. τοιοῦτος κτλ. Apostolius om. 3. πλέκειν B. 4. Hesychius: *Λιβυκὸν θηρίον*: ἐπεὶ θανάσιμα ἐκεῖ ἑρπετά· καὶ ὡς Λιβύης ἐχούσης θηρία. καὶ τὸ ποικιλόμορφον. 7. Est pars proverbii a Schol. ad Arist. Equitt. 1028 et Suid. s. λαίθαργος servati: *Σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ*: ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα. 10. αὐτῶν L. ἡ δὲ κτλ. M om. 13. *Λ. π. ζητεῖς* Apostolius. 16. τοῦ L om. 17. πρόβατα L: e Scholiasta Platonico correxi. 19. λευκῷ — στάθμη] λευκὴ στάθμη Scholiasta.

13. Ἐπὶ — θέμιν] haec e Diogeniano manaverunt: eadem habent K in nott. ad Greg. Cypr. P II, 99. M IV, 18: partem P l. c. ἡ — παράνομος] eadem fere in Etym. M. v. παρά p. 651, 30 leguntur. Ὡς τὸ εἰ κτλ.] locus e Gregor. Nazianz. Or. XLIII [XX], 22, p. 787 C petitus: καὶ τὸ κάλλιστον, ὅτι καὶ φρατρία τις περὶ ἡμᾶς οὐκ ἀγεννὴς ἦν, ὑπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη καὶ ἀγομένη καὶ τοῖς αὐτοῖς χαίρουσα· εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν, τὸν ἐκείνου δρόμον καὶ τρόπον: unde suspicio nascitur, omnem hanc explicationem a Gregorio ex Basilio aut Nonno transcriptam esse.

59. M IV, 24. F II, 36: Apost. XI, 10: Append. Provv. III, 59.
60. M IV, 25. F II, 37: Macar. V, 62. Apost. XI, 30: Diogen. VI, 11.
61. M IV, 26: Append. Provv. III, 70: cf. F II, 41.
62. M IV, 28: F II, 42: Zenob. IV, 90: add. Suid. s. λαίθαργος.
63. M IV, 27. F II, 45: Apost. XI, 37: Diogen. VI, 18.
64. M IV, 29: DV III, 7.
65. M IV, 30: DV III, 12.
66. Schol. ad Plat. Phaedr. p. 318 Bekk.: Macar. V, 73: cf. Append. Provv. III, 77.
67. P II, 100. M IV, 19: Scholl. Plat. Charm. 323 Bekk.: DV III, 9.

τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐ δύναται δεικνύναι διὰ τὸ μὴ παραλλάττειν, καθάπερ ἡ διὰ τῆς μίλτου γιγνομένη. ὡς Σοφοκλῆς Κηδαλίωνι·

τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη·

ἔστι δὲ στάθμη σπάρτος τεκτονική. κατ' ἔλλειψιν δὲ εἴρηται ἡ παροιμία· διὸ καὶ ἀσαφὴς ἐγένετο· τὸ δὲ ὅλον ἐστὶ τοιοῦτον· ἐν λευκῷ λίθῳ λευκὴ στάθμη.

M.

68 **Μία λόχμη δύο ἐριθάκους οὐ τρέφει**: ἐπὶ τῶν ἐκ μικροῦ κερδαίνειν σπουδαζόντων. ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

69 **Μέλιτος μυελός**: ἐπὶ τοῦ ἄγαν ἡδέος.

70 **Μὴ παιδὶ μάχαιραν**: μὴ τοῖς ἀπείροις ἐγχειρίζειν πράγματα, ἵνα μὴ καθ' ἑαυτῶν χρήσωνται.

71 **Μία χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία μέλισσα μέλι.**

72 **Μασχάλην αἴρειν**: ἐπὶ τῶν πολλάκις πινόντων.

73 **Μὴ μελαμπύγου τύχῃς**: μή τινος ἀνδρείου καὶ ἰσχυροῦ.

---

1. οὐ] οὐδὲν idem. 2. τῆς] τοῦ L. 11. μικροῦ τινος Zenobius. 13. μυελόν P. 15. ἵνα μὴ] μηδὲ L. 16. Sunt duo proverbia in unum coniuncta: v. V in nott. critt. ad Zenob. l. c. Addit explicationem Suidas hanc: βούλεται δέ τι εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν, καὶ δυσημερία μία τὸν σοφὸν εἰς ἀμαθίαν. 18. πινόντων] πεινώντων L. 19. Μὴ Apostolius omittit et τύχοις scribit.

Κηδαλίωνι] fr. 307 Dind.: v. Osannus ad Philem. Lex. p. 127 sq.

68. P III, 1. M IV, 31: D VIII, 15.

69. P III, 3. M IV, 37: D VIII, 20.

70. P III, 9. M IV, 36. F II, 55: Macar. V, 94. Apost. XII, 6: Diog. VI, 46. Adiiciunt Photius et Suidas: καὶ Εὔπολις Δήμοις· Μὴ παιδὶ τὰ κοινά, quod quo sensu dictum sit enucleatur ab Meinekio Com. Gr. Fr. I, 128.

71. P III, 11. M IV, 43: Macar. V, 100. VI, 1. Apost. XII, 18: Zenob. V, 12. Sensum proverbii auctore Scholiasta Aristoph. Av. 1407 expressit: δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων: in orationem inclusit Teles apud Stob. Floril. XCVII, 31, p. 524 Grot.: γέγονεν ἐλεύθερος, δοῦλον εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. γέγονε τοῦτ' αὐτῷ, ἕτερον προσσπεύδει κτήσασθαι· μία γάρ, φησί, χελιδὼν ἔαρ οὐ ποιεῖ: add. Greg. Nazianz. Oratt. XXXIX, 14, p. 633 A Bill.: ἀλλ' οὐ νόμος Ἐκκλησίας, τὸ σπάνιον· ἐπεὶ μηδὲ μία χελιδὼν ἔαρ ποιεῖ μηδὲ γραμμὴ μία τὸν γεωμέτρην ἢ πλοῦς εἷς τὸν θαλάττιον: id. Carmin. VIII, [156 Bill.] 242: μίαν δέ φασιν οὐ φέρειν χελιδόνα Ἔαρ τὸ καλὸν, οὐδὲ γὰρ γῆρας τρίχα: Suid. s. ἔαρος χρήζει.

72. M IV, 44: sup. I, 6: Mant. Provv. s. μασχάλην: Diogen. VI, 33.

73. M IV, 33. F II, 52: Macar. V, 82. Apost. XI, 74: Zenob. V, 10.

74 *Μὴ πῦρ ἐπὶ πῦρ.*

75 *Μὴ κινεῖν κακὸν εὖ κείμενον.*

76 *Μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάσσης λεγόμενοι χόες:* ἐπὶ τοῦ πολυμαθοῦς καὶ ἐμπείρου.

77 *Μυσῶν ἔσχατος:* ἐπὶ τῶν εὐτελεστάτων.

78 *Μὴ κινεῖν κακὸν εὖ κείμενον:* ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων. ταύτης μέμνηται καὶ Ὑπερίδης ὁ ῥήτωρ ἐν τῷ πρὸς Ἀριστογείτονα· „*καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μανθάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον.* μετῆκται δὲ ἐκ τοῦ ἐν Ῥόδῳ κολοσσοῦ, ὃς πεσὼν πολλὰς οἰκίας κατέσεισε. βασιλέως δὲ βουλομένου αὐτὸν ἀναστῆσαι φοβούμενοι οἱ Ῥόδιοι μὴ πάλιν καταπέσῃ, τὸ προκείμενον ἐπεφθέγξαντο.

79 *Μηδὲν ἄγαν:* ἑνὸς τῶν ἑπτὰ σοφῶν τὸ ἀπόφθεγμα, ὅμοιον τῷ· *μηδὲν ὑπὲρ τὸ μέτρον.*

---

3. *θαλάττης* Plato.

74. M IV, 34. F II, 53: Macar. V, 93. Diog. VI, 71. Contrarium v. apud Macar. VII, 48.

75. M IV, 34: cf. infr. 78.

76. *Μᾶλλον — χόες* sunt verba Platonis Theaet. 173 D: explicationem Gregorius petiit ex Scholiasta ad Plat. l. c. p. 362 Bekk.: cf. Macar. IV, 64 ibiq. nott.

77. DV II, 47.

78. Sup. 75: Scholl. ad Plat. Phileb. p. 382 Bekk.: DV III, 23. Ὑπερίδης] tetigit Kiesslingius de Hyperidis oratione contra Aristogitonem disputans in Quaestion. Atticar. specim. p. 25. βασιλέως] est Ptolomaeus Euergetes: v. nott. ad Diogen. VI, 54.

79. Scholl. ad Plat. Phileb. p. 382 Bekk.: Macar. V, 90. Apost. XIV, 74: cf. sup. II, 18. Auctor dicti in incerto erat: hinc alii aliter de eo statuebant: Pittaco adscripsit poeta incertus, quem Apostolius l. c. attulit: item Scholl. in Anthol. Palat. T. III, p. 543. Auson. in Sept. Sapient. Sentent.: *ex Mitylenaeis Nimium nil, Pittacus ait:* Chilonem contra auctorem laudat Aristot. Rhet. II, 12: *ἁμαρτάνουσι [οἱ νέοι] παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσιν· φιλοῦσί τε γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα πάντα ὁμοίως:* adsentitur in epigrammate Diogenes Laert. I, 41 sive Anth. Pal. XIX, 206: *ἦν Λακεδαιμόνιος Χείλων σοφὸς ὃς τάδ᾽ ἔλεξε· Μηδὲν ἄγαν· καιρῷ πάντα πρόςεστι καλά:* add. Plin. N. H. VII, 32, 119: *rursus mortales oraculorum societatem dedere Chiloni Lacedaemonio, tria praecepta eius Delphis consecrando aureis litteris, quae sunt haec: Nosse se quemque* [cf. sup. I, 76] et *nihil nimium cupere, comitemque aeris alieni atque litis esse miseriam:* unde *δελφικὸν παράγγελμα* nominatum est a Dionysio Thrace apud Clement. Alex. Stromm. V, 8, 46, p. 242 fin. Sylb., et Varro Reatinus dixit in Satira Menippea, Delphicam columnam canere litteris suis *μηδὲν ἄγαν*: Non. Marc. s. medioxume p. 141 Mercer., Modii fr. 6 Oehl. Neque defuere, qui Soloni sciti inventionem vindicare vellent: v. Diog. Laert. I, 63. Demetrium Stob. Flor. III, 72, β. Arsen. XLVII, 97: Apollin. Sidon. Carm. XV, 47: *Atticus inde Solon, ne quid nimis, approbat unum:* aut Cleobulo,

N.

80 *Νῷ πείθου: ὁμοία τῇ· Θεῷ ἕπου.*

---

1. τῇ] τῷ L.

ut Ausonius in Ludo Sept. Sapient.: *poeta dixe isthoc loco Afer* [Terent. Andr. I, 1, 34] *videtur vester, ut ne quid nimis. Et noster quidam, μηδὲν ἄγαν.* Exquisitiora denique proferunt Clemens Alexand. Strom. I, 14, 61, p. 129 Sylb.: *πάλιν αὖ Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ μηδὲν ἄγαν. Στράτων δὲ ἐν τῷ περὶ εὑρημάτων Στρατοδήμῳ τῷ Τεγεάτῃ προσάπτει τὸ ἀπόφθεγμα, Δίδυμος δὲ Σόλωνι αὐτὸ ἀνατίθησιν, ὥσπερ ἀμέλει Κλεοβούλῳ τὸ μέτρον ἄριστον*: et Scholl. ad Eurip. Hippol. 263: *οὕτω τὸ λίαν ἔλαττον ἐπαινῶ τοῦ μηδὲν ἄγαν καὶ μεμετρημένου, καὶ μάρτυρες ἔσονται οἱ σοφοί, εἴ που ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὅπερ Χίλωνι ἀνατιθέασιν, ὡς Κριτίας καὶ Πίνδαρος* [fr. inc. 132 Boeckh.], *οἱ δὲ Σωδάμῳ, ὡς τὸ ἐν Τεγέᾳ ἐπίγραμμα δηλοῖ· Ταῦτ' ἔλεγεν Σώδαμος Ἐπηράτου, ὅς μ' ἀνέθηκεν· Μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά* [v. epigramma Diogenis Laertii]· *ὁ δὲ Θεόφραστος, ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως, οἷον μηδὲν ἄγαν, μηδὲ δίκαν δικάσῃς*, de quo v. Mant. Provv. s. *μηδέ.* Quibus accedat Homerus, Odyss. *O*, 70, ad quem locum Eustathius p. 1774, 57 haec scribit: *σημείωσαι δὲ καὶ ὅτι ἀποτρέπων Ὅμηρος ἔξοχα φιλεῖν καὶ ἔξοχα ἐχθαίρειν τὸ μηδὲν ἄγαν προϋποτίθησι τὸ ὕστερον ὑπ' ἄλλων ἀποφανθέν, οἳ καὶ ἔδοξαν οἴκοθέν τι ἐξευρεῖν, ἐξ Ὁμήρου ὠφελημένοι τὸ νόημα. Τὸ δὲ ἀμείνω δ' αἴσιμα παντα, ἐγγύς ἐστι τοῦ εἰπεῖν ὡς πάντων μέτρον ἄριστον*, de quo v. infra: nunc nil nisi hoc addam, etiam ab Hesiodo *Ἐργ.* 694 dici: *μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.* Haec de sententiae auctore: prudentiam atque sapientiam, quae in ea inest, eleganter in Dissertatione Karstenius enucleavit, quam in nott. ad DV II, 10 laudavi. Iam afferendi mihi erunt scriptores, a quibus sententia usurpata est: nomino Pindarum apud Plut. Consol. ad Apoll. c. 28, fr. incertt. 132 Boeckh.: *σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς*: Eurip. Hippol. 263. Plat. Phileb. p. 45, D. Aristot. Rhetor. II, 21. Plut. V. Camill. 6 fin.: Phot. Epist. 88, p. 132 Mont.: *τί οὖν δεῖ ποιεῖν; πανταχοῦ τὸ μηδὲν ἄγαν ὑπολαμβάνειν κράτιστον*: quamquam non magni faciendi sunt, nominabo tamen lusus Alphei in Anth. Palat. IX, 110, Palladae, ib. VII, 683, Agathiae, ib. V, 299: e Latinis sufficiant Plaut. Poenul. I, 2, 29: *verum hoc unum tamen cogitato, Modus omnibus rebus, soror, optumum st habitu. Nimia omnia nimium exhibent negotium hominibus ex se:* Cic. Fin. Bon. et Mal. III, 22, 73: ex his enim satis superque ni fallor elucet, quam vere Donatus ad Terent. Andr. I, 1, 34 dixerit: *sententia non incongrua servo, quia est pervulgata.* Affine est, ut Eustathius l. c. indicat, *μέτρον ἄριστον*, cuius auctorem Cleobulum esse Demetrius apud Stob. Flor. III, 72 perhibet: cf. Menagius ad Diog. Laert. I, 93: hinc personatus Phocylides 36: *πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί*: Demophilus Sent. 59 in Orellii Opusc. Sent. I, p. 10: *μέτρον ἄριστον, ἔφη τις τῶν σοφῶν· ᾧ πειθόμενοι καὶ ἡμεῖς ὁμοίως τὰς τοῦ βίου θεραπείας ἀναπαύσωμεν, φίλτατε ἡμῖν καὶ ἱερώτατε Ἀσκληπιάδη*: Firmus Episc. Epist. XI in Muratori Anecdd. Gr. 292: *ἐν τοῖς ἄλλοις τὸ μέτρον ἄριστον, ἐν δὲ τῇ ἀγάπῃ ὁ τὸ πλεῖον ἔχων θεοφιλέστερος*: Hierocles in Veterin. Medic. ll. p. 171 Gryn.: *μέτρον ἄριστον, εἶπεν τοῦτο σοφῶν τις ἐν ἀποφθέγμασιν, ᾧ χρὴ πειθομένους τοῦτο πέρας ἐπιθεῖναι τῇ πρώτῃ βίβλῳ*: Horat. Serm. I, 1, 106: *est modus in rebus, sunt*

81 *Νέμεσις δέ γε παρὰ πόδας βαίνει:* παρόσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας.

O.

82 *Οἴκοι τὰ Μιλήσια· μὴ γὰρ ἐνθάδε:* ἐπὶ τῶν ὅπου μὴ προςήκει ἐπιδεικνυμένων τὰ ἀηδῆ ἐπιτηδεύματα καὶ διαβεβλημένα. Μιλήσιος γὰρ παρὰ Λακεδαιμονίοις δημηγορῶν καὶ τὴν οἴκοι τρυφὴν ἐπαινῶν ἤκουσε ταῦτα.

83 *Οἶνος, ὦ παῖδες, ἀλήθεια.*

84 *Οὔθ' ὕεται οὔθ' ἡλιοῦται:* ἐπὶ τῶν ἔξω πάσης φροντίδος ἑστώτων.

85 *Οὐκ ἐπαινεθείης οὐδὲ παρὰ δεῖπνα:* ἐπὶ τῶν μηδενὸς ἀξίων· εἰώθασι γὰρ ἐν τοῖς δείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, εἰ καὶ φαῦλος ἦν.

86 *Οὐ μὴ χαμαὶ πέσῃ:* ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ' ἐπιτυγχανόντων. ἥδε τοῦ Πλάτωνος.

87 *Ὁ κνὶψ ἐν χώρᾳ:* ἐπὶ τῶν ταχέως μεταπιπτόντων. κνὶψ γὰρ θηρίον ξυλοφάγον.

88 *Οἴκοι γενοίμην:* ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

---

1. πάρ πόδα vera est lectio. 5. ἀηθῆ L: ἐπιδεικνυμένων τὰ ἤθη καὶ ἐπιτηδεύματα P. 8. ὦ] LM καί: correxi e P. ἀληθεῖς LM, οἶνος καὶ ἀλήθεια Macarius: οἶνος, ὦ φίλε παῖ, λέγεται καὶ ἀλάθεα Theocritus. 11. *οὐδ' ἐν περιδείπνῳ* recte Diogen. VII, 24. 12. περιδείπνοις idem. 13. καὶ εἰ idem. 15. ἥδε κτλ. Schol. om. 16. κνὶξ F, σκνὶψ Zenobius. μεταπηδώντων recte Zenob. V, 35.

certi denique fines, quos ultra citraque nequit consistere rectum: Lucan. Phars. II, 379: *hi mores, haec duri immota Catonis Secta fuit, servare modum finemque tenere, Naturamque sequi patriaeque impendere vitam, Nec sibi, sed toti genitum se credere mundo:* Apoll. Sidon. Carm. II, 158: *Lindie quod Cleobule canis modus optimus esto.* Iocose denique Panyasis Athenaei II, 37 B: πάσας δ' ἐκ κραδίης ἀνίας ἀνδρῶν ἀλαπάζει Πινύμενος κατὰ μέτρον· ὑπὲρ μέτρον δὲ χερείων, scil. οἶνος.

80. M IV, 46: DV III, 31.

81. M IV, 45. F II, 57: Apost. XII, 60: Diog. VI, 80.

82. P III, 22. M IV, 59. F II, 64: Apost. XII, 84: Zenob. V, 56.

83. P III, 23. M IV, 60: Macar. VI, 26. Apost. XII, 95: Diog. VII, 28: cf. nott. ad Macar. VII, 97. Ad sententiam cf. Ephippum comicum Athen. II, 38 B: μεθύοντάς φασι τἀληθῆ λέγειν.

84. P III, 25. M IV, 62: DV III, 45.

85. P III. 26. M IV, 63. F II, 67: Apost. XIV, 3: Zenob. V, 53.

86. Scholl. Plat. p. 328 Bekk. Πλάτωνος] Euthyphr. 14 D: ἐπιθυμητὴς γάρ εἰμι, ὦ φίλε, τῆς σῆς σοφίας καὶ προςέχω τὸν νοῦν αὐτῇ, ὥστε *οὐ χαμαὶ πεσεῖται* ὅ τι ἂν εἴπῃς.

87. M IV, 68. F II, 68: Apost. XII, 100. X, 38: Diog. VII, 25.

88. M IV, 69. F II, 69: Apost. XII, 85: Append. Provv. IV, 14.

89 *Οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός*: οἱ τῶν πλειόνων ἐπιθυμοῦντες καὶ ἃ ἔχουσιν ἀποβάλλουσι.

90 *Ὁ μῦθος ἀπώλετο*: ἐπὶ τῶν τὴν διήγησιν [καὶ] μὴ ἐπὶ πέρας ἀγόντων.

91 *Ὁ μῦθος ἀπώλετο*: τούτῳ τῷ λόγῳ χρῶνται οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας.

92 *Ὁ τὸν ποταμὸν καθηγούμενος αὐτὸ δείξει*: ἐπὶ τῶν ἐκ τῆς πείρας γιγνωσκομένων. κατιόντων γάρ τινων εἰς ποταμὸν πρὸς τὸ διαπεράσαι, ἤρετό τις τὸν προηγούμενον, εἰ βάθος ἔχει τὸ ὕδωρ; ὁ δὲ ἔφη· *αὐτὸ δείξει*.

---

1. πλέον] πλεῖον [sic] L. 3. καὶ Scholiasta om. 6. προσέχοντας] pergit Scholiasta: *μέμνηται δὲ αὐτῆς καὶ Κρατῖνος ἐν Δραπέτισι* [fr. 12 Mein.] *καὶ Κράτης Λαμίᾳ* [fr. 4 Mein.]. 7. *ὁ — καθηγούμενος* Scholiasta om.: sunt verba Platonis.

89. F II, 73. Apost. XIV, 22: cf. Macar. VI, 53. Est Hesiodi *Ἔργ.* 40, unde Stobaeus in Floril. X, 11 recepit. Adhibuerunt Plat. Reip. V, 466 C: *ἀλλὰ μέντοι ... γνώσεται τὸν Ἡσίοδον, ὅτι τῷ ὄντι ἦν σοφὸς λέγων πλέον εἶναί πως ἥμισυ παντός*: Dio Chrysost. Oratt. XVII, p. 250 Mor.: *ὁ δὲ Ἡσίοδος καὶ πλέον εἶναι τοῦ παντός φησι τὸ ἥμισυ τὰς ἐκ τοῦ πλεονεκτεῖν βλάβας οἶμαι καὶ ζημίας λογιζόμενος*: Aelian. apud Suid. s. *ἡμίσεια*: Eustath. ad Hom. Od. *P*, 322, p. 1822, 45: *τὸ δὲ ἥμισυ ἀρετῆς ἁπλοϊκῶς ἐῤῥέθη. οὐ γὰρ ἂν μετροῖτο κατ' αἴσθησιν ἀκριβῶς ἀρετή. τοιοῦτον δέ τι ἴσως καὶ τό, ὅσῳ πλέον ἥμισυ παντός, παρ' Ἡσιόδῳ*: alia in ann. ad Diog. II, 97 attuli. Respexit iudice Scholiasta Soph. Oed. Col. 1211: *ὅστις τοῦ πλέονος μέρους χρῄζει τοῦ μετρίου παρεὶς ζώειν, σκαιοσύναν φυλάσσων ἐν ἐμοὶ κατάδηλος ἔσται*: idem in Ciceronem cadere videtur, Parad. VI, 3 haec dicentem: *o Dii immortales, non intelligunt homines, quam magnum vectigal sit parsimonia*: ubi v. Bernhardius.

90. Scholl. ad Platon. Theaet. 164 D, 361 Bekk.

91. Scholl. ad Plat. Phileb. 14 E, 382 Bekk. Contrarium est *ὁ μῦθος ἐσώθη*, quod Plat. Reip. X, 621 B cum nostro coniunxit: *καὶ οὕτως ὦ Γλαύκων μῦθος ἐσώθη καὶ οὐκ ἀπώλετο, καὶ ἡμᾶς ἂν σώσειεν, ἂν πειθώμεθα αὐτῷ*, ubi Scholia 422 Bekk.: *τοῖς μὲν οὖν πολλοῖς προστιθέναι τοῖς μύθοις ἔθος ἦν, ὅτι μῦθος ἀπώλετο, δεικνύναι βουλομένοις ὡς ἄρα οἱ μῦθοι λέγουσι μὴ ὄντα, καὶ ἅμα ἐῤῥήθησαν καὶ οὐκ εἰσίν. Πλάτων δὲ τοὐναντίον πανταχοῦ σώζεσθαί τε καὶ σώζειν φησὶ τοὺς μύθους τοὺς παρ' αὐτῷ, μάλα γε εἰκότως*.

92. Scholl. ad Plat. Theaet. 200 E, p. 366 Bekk.: Macar. II, 64. Apost. IV, 49: Hesych. s. *αὐτὸ δείξει*: *παροιμία ἔξω τοῦ ἐπιλόγου λεγομένη, ἧς μνημονεύει καὶ Πλάτων*, quae Bernhardius ann. ad Suid. s. *αὐτὸ* sic refingenda esse censet: *παροιμία ἐπὶ τοῦ* [vel *τῶν*] *λόγου λεγομένη κτλ.*: Suid. s. *αὐτὸ δείξει*: *παροιμία. ἐλλείπει τὸ ἔργον*. Doctiore Schol. Plat. ad Hipp. Maior. 393 Bekk. disputatione proverbium illustrat: *παροιμία, αὐτὸ δείξει, ἐπὶ τῶν ἀπιστούντων τι μὴ γενέσθαι. μέμνηται δ' αὐτῆς καὶ Κρατῖνος ἐν Πυλαίᾳ* [fr. IX Mein.] *καὶ Πλάτων ἐν Θεαιτήτῳ καὶ ἐνταῦθα* [Hipp. Maior. 288 B]. *καὶ ἔστιν, ὁ τὸν ποταμὸν καθηγούμενος καὶ τὸν πόρον ζητῶν, αὐτὸ δείξει. τῶν γὰρ παροιμιῶν αἱ μὲν καθ' αὑτὰς λέγονται, αἱ δὲ ἐπὶ λόγων σαφηνίζονται. μέμνηται δὲ αὐτῆς καὶ Σοφοκλῆς ἐν Λημνίαις* [fr. 352 Dind.] *οὕτως· Ταχὺ δ' αὐτὸ δείξει τοὔρ-*

93 *Ὀστράκου περιστροφή:* ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων, ἢ ἐπὶ τῶν εὐμεταβόλων.

94 *Οὐ πόλεμον ἀγγέλλεις:* ἐπὶ τῶν ἀγαθὰ ἀγγελλόντων.

Π.

95 *Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος:* ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων.

---

6. μεταξὺ πέλει Zenobius. χείλεος ἄκρου idem, MF.

γον, ὡς ἐγώ, σαφῶς. Plene Arist. Lysist. 375 proverbium exhibet: τοὐμὸν σὺ πῦρ κατασβέσεις; §. τοὔργον τάχ' αὐτὸ δείξει: e Latinis Schottus ad Suidam citavit Plaut. Trin. I, 2, 70: *id ita esse, ut credas, rem tibi auctorem dabo:* Terent. Eunuch. IV, 4, 37: *quid isti credam? res ipsa indicat:* quibus addere placet Manilium Astron. II, 130: *ipsa fides* [v. l.: ipsi res] *operi faciet pondusque fidemque:* alia Gatackerus in Marc. Anton. XI, 15. Boissonadus ad Nicet. Eugen. T. II, p. 362 sq. suppeditant. Similia Toupius ad Suid. l. c. collegit: Philostr. Apoll. Tyan. V. V, 30, p. 213 Ol.: αὐτά, εἶπεν, αὐτὰ δηλώσει, καὶ μηδὲν ἐμοῦ δέου: Plutarch. Pompei. 23: ἐδήλωσε δ' αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον: Eurip. Bacch. 976: αὐτὸ σημανεῖ. Hactenus Toupius. Alia praebent Valckenaerius in Eurip. Phoen. 626, Heindorfius ad Plat. Protag. p. 329. D, intpp. Aristaeneti p. 302 Boiss.: quorum copias Bernhardius auxit addito Aeschinis loco, c. Timarch. §. 40 p. 6: ὡς αὐτὸ ἔδειξεν, in quo codicum alii τοὔργον, alii τὸ πρᾶγμα interpolarunt.

93. Scholl. Plat. 413 Bekk.: M IV, 70: Diog. VI, 95: add. Suidas: παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. Εὐνάπιος [fr. 47, de quo cf. Bernhardium ad h. l.]· ὥσπερ ὀστράκου μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε Ῥωμαίοις. Usurpat Dio Chrysost. Or. XV, 455 R.: κἀνταῦθα ἤδη, φασίν, ὀστράκου μεταπεσόντος ἅπαν γίγνεται τοὐναντίον τῶν πρότερον.

94. Scholl. Plat. Phaedr. 315 Bekk.: Apost. XIV, 20. Plat. Phaedr. 242 B: ei. Legg. III, 702 D: οὐ πόλεμόν γε ἐπαγγέλλεις, ὦ Κλεινία· ἀλλ' εἰ κτλ.: addit Walzius Iulianum Epist. XII init.: ἡ μὲν παροιμία φησίν, οὐ πόλεμον ἀγγέλλεις, ἐγὼ δὲ προσθείην ἐκ τῆς κωμῳδίας, ὦ χρυσὸν ἀγγείλας ἐπῶν: scil. Aristoph. Plut. 268, ubi chorus ita loquitur ad eum, qui Pluti adventum nunciaverat: ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; ubi v. Hemsterhusium.

95. P III, 38. M IV, 79. F II, 74: Macar. VII, 31. Apost. XIV, 90: Zenob. V, 71: add. Fest. s. manum et mentum 149 Muell.: *manum et mentum proverbium est ex Graeco ductum, quod est* πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. *Calchantem vitis serentem quidam augur vicinus praeteriens, dixit errare: non enim ei fas esse novum vinum ...:* ad quem locum v. Muellerum p. 384. Ante oculos proverbium habuerunt Antiphanes in Στρατιώτῃ: v. Athen. III, 104 A: καὶ γὰρ τὴν τράπεζαν ἁρπάσαι Κειμένην ἄν τις προσελθών· ἀλλ' ὅταν τὴν ἔνθεσιν Ἐντὸς ἤδη τῶν ὀδόντων τυγχάνῃς κατεσπακώς, Τοῦτ' ἐν ἀσφαλεῖ νόμιζε τῶν ὑπαρχόντων μόνον: Philostr. Epist. 22: μηδὲν ἔστω σοι μεταξὺ τῆς γῆς καὶ τοῦ ποδός. Scholiasta Apoll. Rhod. I, 188 ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων proverbium dici solere adnotat: v. Apostolius.

96 *Πολλοί σε μισήσουσιν, ἂν σαυτὸν φιλῇς:* τοῦτό φασι Νύμφας πρὸς Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν.

97 *Πρὸ τῆς νίκης ἐγκώμιον ᾄδεις:* ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα.

98 *Παθὼν δέ τε νήπιος ἔγνω.*

99 *Πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους.*

100 *Πενίη σοφίην ἔλαχεν:* ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.

1 *Πάνθ' ὑπὸ μίας Μύκονος:* ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.

2 *Πονηρὰ κατὰ τρυγόνα ψάλλεις:* ἐπὶ τῶν ἐπιπόνως ζώντων.

---

2. τὰς Νύμφας Suidas. τὸν Νάρκισσον idem et BV. 3. τὴν πηγὴν BV, τὰς πηγὰς Suidas. 4. ᾄδεις ἐγκώμιον P. 7. Scribe θρίων. 8. πενία δὲ σοφίαν ἔλαχε DV. 10. πάνθ' ὑπὸ μίαν Μύκονον recte K aliique. 12. ἐπὶ τῶν μοχθηρῶς καὶ ἐ. ζώντων· καὶ γὰρ ἡ τρυγὼν ἐπειδὰν πεινᾷ, τότε μάλιστα ψάλλει Suidas.

96. P III, 42. M IV, 81. F II, 76: Macar. VII, 26. Apost. XV, 5. Tetigerunt Lassaulx de Lino dissert. p. 7 sq. et Wieseler de Echo nympha dissert. p. 13.

97. P III, 48. M IV, 83: DV III, 62.

98. DV I, 61: est Hesiodi Ἔργ. 216, ubi Moschopulus sic de eo disputat: τουτέστι, δίκην δοὺς ἐπὶ τῇ ὕβρει, ἔγνω ἡλίκον κακὸν ἡ ὕβρις. Αὐτίκα γὰρ τρέχει ἅμα, ἤγουν ἀκολουθεῖ, ὅρκος ταῖς δίκαις, ἤγουν ταῖς κρίσεσι ταῖς οὐκ ὀρθῶς δεδικασμέναις: Scholia ad Pind. Isthm. I, 56: ὁ Χρύσιππος ἐμφαίνειν φησίν, ὡς καὶ πρότερον μὲν συνετῶς ἐγχωρήσαντα, ὡς μὴ κινδυνεύσῃ, καὶ κατὰ τὴν κάθοδον ἠσφαλισμένον τὰ καθ' ἑαυτόν· τοῦτο οὖν φησίν· ὁ παθὼν καὶ τῷ νῷ προμαθὴς γίνεται. Ἀλκμάν· Πεῖρά τοι μαθήσιος ἀρχά. καὶ Ὅμηρος [Ἡσίοδος debebat]· Παθὼν δέ τε νήπιος ἔγνω. Alludit Aeschyl. Agam. 147, ut ibi Scholia notant: cf. Zenob. II, 14. Apost. XV, 67.

99. P III, 51. M V, 3: Macar. VII, 23. Apost. XV, 14: Diogen. VII, 92.

100. P III, 53. M IV, 87. F I, 100: DV III, 59.

1. M IV, 82. F II, 77: Apost. XIV, 49: Append. Provv. IV, 52: add. Steph. Byzant. s. Μύκονος: μία τῶν Κυκλάδων, ἀπὸ Μυκόνου τοῦ Αἰνίου τοῦ Καρυστοῦ καὶ Ῥυοῦς τῆς Ζάρηκος [scr. τοῦ Ἀνίου τοῦ τῆς Ῥοιοῦς καὶ Ζάρηκος τοῦ Καρύστου cum Galeo ad Parthen. Narr. I, Wesselingio ad Diod. V, 62. Meinekio Anal. Alex. 17]. Θουκυδίδης γ' [29] καὶ Στράβων ι' [p. 487]· Μύκονος δ' ἐστὶν ἐφ' [recte Strabo ὑφ'] ᾗ μυθεύονται κεῖσθαι τῶν γιγάντων τοὺς ὑγιεινοτάτους ὑφ' Ἡρακλέους καταλυθέντας, ἀφ' ὧν ἡ παροιμία Πάντα ὑπὸ μίαν Μύκονον, ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν [ἐπιγραφὴν libri nonnulli Strabonis] ἀγαγόντων τὰ διῃρημένα τῇ φύσει. Καὶ τοὺς φαλακροὺς δέ τινες Μυκονίους καλοῦσιν ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν τῇ νήσῳ.

2. M IV, 84. F II, 79: Apost. XV, 9: Diog. VII, 71: cf. infr. 12.

3 *Πολύποδος ὁμοιότης: πρὸς τοὺς ἐξομοιοῦντας ἑαυτούς.*

4 *Πάντα κάλων ἐφέντες· ἢ σείσαντες: ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ σχοινία ἢ τὰ ἅρμενα χαλώντων ναυτῶν.*

P.

5 *Ῥαδαμάνθυος κρίσις: ἡ δικαιοτάτη.*

6 *Ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν: ἐπὶ τῶν κυδαινόντων τινάς.*

7 *Ῥόδον ἀνεμώνῃ συγκρίνεις: ἐπὶ τῶν τὰ ἀνόμοια συμβαλλόντων.*

8 *Ῥόδα μ' εἴρηκας: ἀντὶ τοῦ· ἐμοὶ τὰ παρά σου εἰρημένα ῥόδα ἐστίν.*

Σ.

9 *Σήπινον γερόντιον: ἐπὶ τῶν ἀσθενῶν.*

10 *Σὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται: ἀντὶ τοῦ· θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.*

T.

11 *Τυφλότερος ἀσπάλακος: ἐπὶ τῶν παντελῶς πεπηρωμένων.*

---

2. *οἷς βούλονται* in fine Ds addit. 3. *ἢ*] *ἐπιτείναντες ἢ κινήσαντες ἢ σείσαντες: παροιμία* Scholiastes. 5. *ἢ τὰ ἅρμενα*] *τῶν ἁρμάτων* L: v. Apostolius. *ναυτῶν*] *αὐτῶν* L. 8. Explicationem ad proverbium *ῥόδα μ' εἴρηκας*, de quo v. infr. 8, referendam esse Bernhardius ad Suid. s. *ῥόδον* docuit. 12. *παρά σου*] *περί σου* cod. Venetus Aristophanis, *ὑπό σου* editt.: cum Gregorio c. Ravennas consentit. 13. *Ἀριστοφάνης* in fine F addit. 15. *σήπινον*] corruptum est ex *στύππινον*: v. nott. critt. ad Append. l. c. 16. *ξὺν* M.

3. M IV, 85. F II, 80: Macar. VII, 28. Apost. XV, 16: Diog. VII, 73. Clem. Alexandr. Paedag. III, 11, 80, p. 110 Sylb.: *νυνὶ δὲ οὐκ οἶδ' ὅπως συμμεταβάλλονται τοῖς τόποις καὶ τὰ σχήματα καὶ τοὺς τρόπους, καθάπερ καὶ τοὺς πολύποδας ταῖς πέτραις φασὶν ἐξομοιουμένους, αἷς ἂν προσομιλῶσιν, τοιούτους φαίνεσθαι καὶ τὴν χροιάν*: Athen. VII, 316 E sq.

4. Scholl. ad Plat. Sisyph. 466 Bekk.: P III, 55. M V, 5: Macar. II, 15. V, 5. VII, 1. Apost. XIV, 32: Zenob. V, 62. *Πάντα κάλων εὐσεβείας ἀνασείσαντες* Philo dixit de Agricult. 327, de Virt. 571, 5 T. II Mang.: *πάντα κάλων κινεῖν* Ignatius in Cotellerii PP. Apost. T. II, p. 114.

5. P III, 59: DV III, 74.

6. P III, 60. F II, 85: Apost. XV, 73: Diogen. VIII, 2. Publ. Syr. Sent. 690: *quae defloruerit, ne iterum quaeratur rosa.*

7. F II, 83: Macar. VII, 54. Apost. XV, 71: Diog. VIII, 1.

8. F II, 84: Apost. XV, 72: Suidas. Est Arist. Nub. 910, in cuius loci explanationem interpretes Graeci eadem quae hic leguntur proponunt.

9. F II, 86: Apost. XV, 87: Append. Provv. IV, 69.

10. M IV, 52, ubi v. annotationem.

11. DV III, 79.

12 *Τρυγόνος λαλίστερος:* ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέρεσιν ἠχοῦσι.

13 *Τιθωνοῦ γῆρας:* ἐπὶ τῶν πολυχρονίων.

14 *Τὰς ἐν ᾅδου τριακάδας:* τιμᾶται δὲ ἡ τριακὰς ἐν ᾅδου διὰ τὴν Ἑκάτην. καὶ γὰρ Ἀθηνᾶ καὶ Ἄρτεμις καὶ Ἑκάτη ἓν εἶναι δοκοῦσι.

15 *Τὸν Μίδου πλοῦτον καὶ Κροίσου:* ἐπὶ τῶν ὑπερβολικῶς πλουτούντων.

16 *Τροχὸς τὰ ἀνθρώπινα:* ἤτοι εὐμετάβολα.

17 *Τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ.*

---

1. αἱ] οἱ LF. 3. *Τιτωνοῦ* L, *τίθωνος* F. 4. δὲ F om. 9. τὰ] καὶ L.

12. F II,88: Macar. V, 49. VIII, 59. Apost. XVII, 75: Zenob. VI, 8. »Eustath. ad Hom. Il. *I*, 377, p. 751, 13: *ἐστὶ δὲ τρύζειν τὸ πολυλογεῖν ἢ πολυφωνεῖν· ἐξ οὗ καὶ τρυγών, ἣν ἡ παροιμία ἐπὶ σκώμματι τῶν πολυλογούντων παραλαμβάνει, λαλιστέρους τρυγόνων καλοῦσα*: Clem. Stromm. I, 3, 22, p. 120 Sylb.: *ἀμφὶ τὴν διάκρισιν τῶν ὀνομάτων ... τὸν πάντα ποιούμενοι βίον, τρυγόνων ἀναφαίνονται λαλίστεροι*: Alciph. Epist. III, 29: *μακάριε τῆς γλώσσης καὶ λαλίστερος τρυγόνος*: ubi cf. Wagnerus.« Walzius.

13. F II,89: Macar. VIII,36. Apost. XVII,2: Suid. Photius: cf. Zenob. VI, 18. App. Provv. IV, 68. Philonides Poll. III, 18: *νυνὶ δὲ Κρόνου καὶ Τιθωνοῦ παππεπίπαππος νενόμισται*: Horat. Carm. II, 16, 30: *longa Tithonum minuit senectus*: ubi v. interpp.

14. F II, 90: Macar. I, 61. Apost. XVI, 63: Diog. VIII, 39.

15. F II, 91. Apost. XVII, 61: Macar. VIII, 45. Diogen. VIII, 53. Euseb. apud Stob. Flor. X, 36: *τὸν δὲ αἰεὶ ἐπιθυμέοντα προςκτήσασθαι καὶ πληθώρην μηδέποτε τοῦ τοιούτου λαμβάνοντα καὶ εἰ Μίδου πλουτέοι μᾶλλον, πένητα καλέω, καὶ Ἴρου, ἣν ἐκεῖνος ἐξ ἀνάγκης εἶχε, ψυχὴν κεκτῆσθαι*: Plutarch. ibid. LXXXVI, 22: *ἆρ' οὖν εὐγενέστερος ἦν ὁ Μίδου πλοῦτος τῆς Ἀριστείδου πενίας;*

16. F II, 92: Macar. VIII, 58. Apost. XVII. 77: Append. Provv. IV, 100: cf. Apost. X, 81. Similia haec sunto: Agapetus Cap. Admon. 11 in Banduri Imp. Orient. T. I, 129: *κυκλός τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ καὶ περιφέρων*: Basilius apud Bandurium l. c. 148 E: *ἴσθι τέκνον ἐμὸν, ὡς οὐδὲν ὁ βίος οὗτος ἔχει τὸ στάσιμον, οὐδὲν τὸ βέβαιον ἢ ἀμετάβλητον· ἄλλοτε γὰρ ἄλλως ἀμείβει τὰ πράγματα καὶ τροχοῦ δίκην κυλιομένου τὰ μὲν ἄνω φέρεται κάτω, τὰ δὲ κάτω φέρεται ἄνω*: Hippocrat. Epist. 20, p. 806 Kuehn.: *νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν ξυμπάντων μεταβολὴ, ὀξείῃσι τροπῇσιν ἐμπίπτουσα, αἰφνίδιον τροχηλασίην παντοίην ἐννοέουσα*: alia Boissonnadus ad Constant. Manass. III, 1, T. II, p. 413 collegit.

17. F. II, 93: Apost. XVII, 80: Suidas. Dixit Tiresiam obiurgans Oedipus in Sophoclis Oed. Tyr. 371. Egit de versu Coraes ad Heliod. IV, 18: Heliodorus enim scripsit: *συνεχύθην τοῖς εἰρημένοις καὶ νῷ πλέον ἢ ὀφθαλμῷ τοῖς νέοις ἐπιδακρύσας, καὶ ὅσον ἐκείνους μὲν ἐλάνθανεν*: addo Philonem de Virtutt. T. II, 549, 5 Mang.: *τυφλώττει γὰρ ὁ ἀνθρώπειος νοῦς πρὸς τὴν τοῦ συμφέροντος ὄντως αἴσθησιν.*

18 *Τὴν ἑαυτοῦ σκιὰν δέδοικεν*, ἐπὶ τῶν σφόδρα δειλοτάτων.

Υ.

19 *Ὑπέρου περιστροφή*: ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων· ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων.

20 *Ὑπέρου γυμνότερος*.

21 *Ὑπὲρ τὸν κατάλογον*: ἐπὶ τῶν γεγηρακότων.

22 *Ὑπόχαλκον τὸ χρυσίον*: ἐπὶ τῶν κεκιβδηλευμένων.

23 *Ὑπὲρ ὄνου σκιᾶς*: ἐπὶ τῶν μηδενὸς ἀξίων.

Φ.

24 *Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος*: νωθροὶ γὰρ δοκοῦσιν οἱ Φρύγες οἰκέται.

25 *Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος*.

26 *Φρουρᾶς ᾄδων*: ἐπὶ τῶν ἀγρυπνούντων.

---

1. αὑτοῦ Scholiasta. 2. δειλοτάτων] δελοτά L. Addit Scholiasta: μέμνηται ταύτης *Ἀριστοφάνης* Βαβυλωνίοις: fr. 22 Fritzsch. 4. περιστοφὴ F. ποιούντων] πονόντων L. 5. πολλάκις κτλ. F om. ἢ ἐπὶ] καὶ ἐπὶ L. Scholiasta addit: μέμνηται δὲ αὐτῆς Φιλήμων ἐν Ἥρωσι [T. IV, p. 11 Mein.] καὶ ἐνταῦθα Πλάτων. 8. τὸν] τι F. 9. τὸ] *δέ σου τὸ* Suidas. 12. διακονέστερος] δικαιότερος L. 15. φρουρᾶς] eodem modo scribitur in Scholl. ad Arist. Nub. l. c.: v. Suidan.

18. Scholl. ad Plat. 381 Bekk.: Macar. VII, 67. VIII, 11. Apost. XVI, 53: cf. Schneidewinus in Paroemiogr. T. I, p. XVIII. Utitur Plat. Phaedon. 101 D, ubi v. Wyttenbachius: add. Anonym. de Incredib. 323 Westerm., qui proverbii originem ab Narcisso repetit: Q. Cicer. de petit. consul. 2, 9: *Antonius umbram suam metuit.*

19. DV III, 81.

20. F II, 95: Apost. XVIII, 8: v. nott. critt. ad Diogen. III, 73. Saepe Patres usurpant: v. Cotellerus ad Constitt. Apost. II, 4 in PP. Apost. T. I, 217.

21. F II, 96: Apost. XVII, 98: Append. Provv. V, 6. »Στρατιώτης ἐκ καταλόγου Iulian. Oratt. I, p. 29, 13: εἰς καταλόγους τῶν στρατευμάτων ἐγγράφονται ib. p. 34, C. Cf. Kruegerus ad Dionys. Hal. Histor. p. 109 et quos ille laudat.« Walzius.

22. F II, 97: Apost. XVIII, 9: App. Provv. V, 8.

23. P III, 87: Apost. XVIII, 12: DV III, 43.

24. P III, 95: Apost. XVIII, 43.

25. F II, 99: Apost. XVIII, 41: Eustath. ad Hom. Il. *Δ*, 487, 2, id. ad Il. *E*, 802, p. 610, 9: ἐντεῦθεν δὲ καὶ Σοφοκλῆς λαβὼν λέγει βαιὸν ἐντρέπεσθαι [Aiac. 90] τὸ οὐδόλως ἐπιστρέφεσθαι καὶ *μείων λόγος* ἀντὶ τοῦ οὐδείς: Suidas. Est Soph. Aiac. 264.

26. F II, 100: Apost. XVIII, 37: doctiora Suidas ex Scholiis ad Arist. Nub. 721 profert: καὶ ἑτέρα παροιμία· *Φρουρὰς ᾄδων ὀλίγου φροῦδος γεγένημαι* ἀντὶ τοῦ διαγρυπνῶν περὶ τὴν φρουράν. Διχῶς δὲ λέγεται ἡ γραφή. *Φρουρὰς ᾄδων* καὶ *Φρουρὰς ἰδών*. Καὶ τὸ μὲν *Φρουρὰς ᾄδων* ἀντὶ τοῦ, συνεχῶς ᾄδων φρουράς· τὸ δὲ, *Φρουρὰς ἰδών*, ἀντὶ τοῦ φυλάττων· ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν. *Φρουρὰς* δὲ *ᾄδων*, ἀντὶ τοῦ ἀγρυπνῶν. οἱ γὰρ φρουροῦντες πρὸς τὸ ἀποσοβεῖν

27 *Φρουρεῖν ἢ πλουτεῖν: ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων.*

28 *Φρουρήσεις ἐν Ναυπάκτῳ: ὅτι ὀλίγος μισθὸς ἐδίδοτο τοῖς Ναύπακτον φρουροῦσι, τῶν ἐπιτηδείων πολλοῦ πιπρασκομένων.* [*Ἔνιοι δέ,*] *ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν γνώμῃ τοὺς φρούρους αὐτῆς ἀπέκτεινε.*

29 *Φιλέψιος ὅδε: ἐπὶ τῶν φιλοπαιγμόνων. οὗτος γὰρ μεταξὺ τῶν δημηγοριῶν μύθους ἔλεγε. κεκωμῴδηται δὲ εἰς πανουργίαν.*

X.

30 *Χαλεπὰ τὰ καλά: Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰπεῖν φασί, χαλεπὸν ἐσθλὸν ἔμμεναι. Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι· χαλεπὰ τὰ καλά. Φασὶ δὲ Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παροιμία. Οἱ δὲ τὰ χαλεπὰ ἀντὶ τοῦ ἀδυνάτου τιθέασι, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.*

---

1. Addit Suidas: *Ἀθηναῖοι γὰρ φρουραῖς διαλαβόντες τοὺς νησιώτας, μισθοὺς ἔταξαν μεγάλους τοῖς φυλάσσουσιν ὑπ' αὐτῶν χορηγεῖσθαι τῶν νησιωτῶν. Δι' ἀτέλειαν οὖν, καὶ τὸ ἀταλαιπώρως ἐκ τῶν ἀλλοτρίων ζῆν, εἰρῆσθαι, ὡς δέον ἢ πλουτεῖν τινα ἢ φρουρεῖν*: vv. inde a v. *Ἀθηναῖοι* usque ad *νησιωτῶν* e Zenobio sumpta sunt. 2. *φρουρῆσαι* Zenobius. *ὅτι ὀλίγος*] *ὅτι λόγος* LF. 3. *πολλῶν* LF. 4. *Ἔνιοι δὲ*] e Suida adieci. 5. *ἀπέκτεινε*] *ἀπέκτεινε πάντας* F. Suidas addit: *ἱστορεῖ δὲ τοῦτο καὶ Θεόπομπος ἐν δευτέρῳ*: fr. 46 Wichers. 10. Vid. Zenobius, in quo singula narrationis membra melius collocata sunt. *Ψίττακον* F. 11. *φασὶ* F om. 16. *τιθέασιν* F. Ex eodem fonte Schol. ad Plat. 394 Bekk. hausisse videtur: *Περίανδρος ὁ Κορινθίων δυνάστης κατ' ἀρχὰς δητὸν ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν* [*παραμυθεῖσθαι*] *ᾖδον*: ex eisdem Scholiis haec addo: *τὸ φρουρᾶς ᾄδειν* [*φρουρὰς ᾄδων* Venetus] *παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη· οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτί τινα φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. Φρουρᾶς ᾄδων* sunt verba Aristophanis: v. Nub. 721, ad quem versum apte Berglerus mentionem fecit Aesch. Agam. 16: *ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ, Ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος, κτλ.*

27. F III, 1: Apost. XVIII, 38: Zenob. VI, 32.

28. F III, 2: Apost. XVIII, 40: Append. Provv. V, 19.

29. F III, 3: Apost. XVIII, 29: App. Provv. V, 13. Suid. s. *Φιλέψιος: ἦν δὲ φιλοπαίγμων* [videtur ex nostro post v. *φιλέψιος* addendum *ὅδε: ἐπὶ τῶν φιλοπαιγμόνων. Φιλέψιος Ἀθηναῖος· ἦν* —]· *Δημοσθένης κατὰ Τιμοκράτους* [§. 134, p. 742: *ἔπειτα Φιλέψιον τὸν Λαμπτρέα*, uti scribendum est ex sententia Schoemanni: v. nott. ad Isaeum 273]· *Φιλεψίου μνημονεύουσιν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί, ἐπὶ τῷ μεταξὺ τῶν δημηγοριῶν μύθους λέγειν.*

30. F III, 4: Marc. VIII, 78. Fragm. Macar. I, 5. Apost. XVIII, 49: Append. Provv. V, 22. De Pittaci sententia v. Diog. Laert. I,

31 *Χαλάσω τὴν ἱερὰν ἄγκυραν:* ἐπὶ τῶν ἐν κινδύνοις φευγόντων εἴς τινα δυνατόν.

32 [*Χαμαιλέοντος εὐμεταβολώτερος:*] χαμαιλέων ζῷόν ἐστιν εἰς ἅπαντα τὴν χρόαν μετατρέπων.

μοτικὸς ὢν ὕστερον εἰς τὸ τύραννος εἶναι μετῆλθε. τοῦτο Πιττακὸν ἀκούσαντα, τότε Μιτυληναίων δυναστεύοντα καὶ δείσαντα περὶ τῆς ἑαυτοῦ γνώμης καθίσαι τε ἐπὶ τὸν βωμὸν ἱκέτην καὶ ἀπολυθῆναι τῆς ἀρχῆς ἀξιοῦν. τῶν δὲ Μιτυληναίων πυνθανομένων τὴν αἰτίαν, εἰπεῖν τὸν Πιττακὸν ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τοῦτο δὲ μαθόντα Σόλωνα εἰπεῖν, χαλεπὰ τὰ καλά, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. οἱ δὲ ἐπὶ τοῦ ἀδυνάτου τὸ χαλεπὸν ἀκούουσιν· ἐπὶ πάντων γὰρ γενέσθαι ἀγαθὸν ἀδύνατον: nonnihil discrepat explanatio ibid. 369 data: παροιμία ἐπὶ τῶν ἐν εὐπραγίᾳ μεταβαλλομένων εἰς ὠμότητα. φησὶ δὲ αὐτὴν Δίδυμος ὑπὸ Σόλωνος ἀναφωνηθῆναι ἐπὶ Πιττακῷ ἱκετεύοντι τὴν ἀρχὴν ἀποθέσθαι, καὶ φάντι χαλεπὸν ἐσθλὸν φῦναι, διὰ τὸ τὸν Περίανδρον εἰς ὠμότητα μεταβαλεῖν. ὅθεν, οἶμαι, φησὶ καὶ Μένανδρος [v. Meinek. ad Men. Rell. p. 248]· Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν Ἀγαθὰ τὰ λίαν ἀγαθά· μέμνηται δὲ αὐτῆς καὶ Ἐπίχαρμος καὶ Πλάτων Πολιτείᾳ [IV, 435 C] καὶ Κρατύλῳ: 384 A.

2. εἰς τὸν ἀδύνατον Apostolius. 3. Proverbium ex Apostolio praefixi. 4. πάντα Suidas. μετατρέπον F Suidas; in Suida AE μετατρέπων. πλὴν λευκοῦ Suidas addit.

76 et quae disputat Freius Quaest. Protagor. 122 sq. De Periandro dixit Wagnerus de Per. Corinth. tyr. diss. 13. Usurpant sententiam Plutarch. de puer. Educ. 9, p. 6 C: καλὸν γάρ τοι μηδὲν εἰκῇ μήτε λέγειν μήτε πράττειν καὶ κατὰ τὴν παροιμίαν, χαλεπὰ τὰ καλά: Theoctisti Sent. 22: χαλεπὰ τὰ καλά, τὰ δὲ κακὰ μὴ χαλεπά. Οἱ δὲ κτλ.] v. Simonides in Plat. Protag. 339 A et nott. ad Zenob. VI, 38. Simonidem respexit Maxim. Tyr. Diss. 1 in.: χαλεπὸν ἐσθλὸν ἔμμεναι κατὰ παλαιὸν ᾆσμα.

31. F III, 5: Macar. VIII, 77. Fragm. Marc. I, 1. Apost. XVIII, 52: Diog. V, 29. Lucian. Iov. trag. §. 51: ἄκουσον δὲ τὴν ἱεράν, φασίν, ἄγκυραν: ei. Fugit. §. 13: ἔδοξεν οὖν σκοπουμένοις, τὴν ὑστάτην ἄγκυραν, ἣν ἱερὰν οἱ ναυτιλλόμενοι φασί, καθιέναι.

32. M V, 7. F III, 7: Fragm. Marc. I, 8. Apost. XVIII, 51. Usurpant Plutarch. V. Alcib. 23: ἦν γάρ, ὥς φασί, μία δεινότης αὕτη τῶν πολλῶν ἐν αὐτῷ καὶ μηχανὴ θήρας ἀνθρώπων, συνεξομοιοῦσθαι καὶ συνομοπαθεῖν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις, ὀξυτέρας τρεπομένῳ τροπὰς τοῦ χαμαιλέοντος. Πλὴν ἐκεῖνος μέν, ὡς λέγεται, πρὸς ἓν ἐξαδυνατεῖ χρῶμα τὸ λευκὸν ἀφομοιοῦν ἑαυτόν· Ἀλκιβιάδῃ δέ, διὰ χρηστῶν ἰόντι καὶ πονηρῶν ὁμοίως, οὐδὲν ἦν ἀμίμητον οὐδ᾽ ἀνεπιτήδευτον: id. de discern. adul. ab amico 9, p. 53 D: ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τοῦ χαμαιλέοντος πέπονθε. ἐκεῖνός τε γὰρ ἁπάσῃ χροιᾷ πλὴν τοῦ λευκοῦ συναφομοιοῦται· καὶ ὁ κόλαξ, ἐν τοῖς ἀξίοις σπουδῆς ὅμοιον ἑαυτὸν ἐξαδυνατῶν παρέχειν, οὐδὲν ἀπολείπει τῶν αἰσχρῶν ἀμίμητον: Iulian. Caesar. 309 A: Ὀκταβιανὸς ἐπεισέρχεται, πολλὰ ἀμείβων, ὥσπερ οἱ χαμαιλέοντες, χρώματα: Phalar. Epist. 65, p. 196 sq.: οἱ δανειζόμενοι δὲ πρὸς τοὺς καιροὺς καὶ τὸν τρόπον, ὥσπερ φασὶ τοὺς χαμαιλέοντας τὰ χρώματα, πρὸς τοὺς τόπους, ἀλλάττουσι: rem eleganter describit Diodorus in Photii Biblioth. Cod. 223, p. 215 Bekk.: add. Antig. Caryst. Hist. Mirabl. 30. Aelianus apud Apost. l. c., Gassendius V. Peiresc. 204. Explicatio, quam h. l. legimus, ex Theophrasto deprompta est: v. Theophr. in Photii Bibl. Cod. 278, p. 525 Bekk.;

33 *Χελώνη μυιῶν*: ἐπὶ τῶν ἀφροντιστούντων τινός. τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν.

34 *Χειρώνειον ἕλκος*: ἤτοι ἀνήκεστον.

35 *Χθόνια λουτρά*: τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.

36 *Χύτραν ποικίλλειν*: ἐπὶ τῶν ἀδυνάτων.

37 *Χυτρεοῦς [θεός]*: ὀστράκινος, εὐτελής.

38 *Χρυσὸς Κολοφώνιος*: οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάζοντο. καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν.

39 ** *Ἐγὼ δὲ ᾤμην χρυσοχοήσειν*: κέχρηται τῇ παροιμίᾳ Πλάτων· τί δὲ, ἦ δ' ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖ. ἔλαβεν ἀρχὴν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ

---

1. μυῶν F. Suidas plura ex Iuliano apposuit. 4. ἕλκος] εἶκος F. 8. θεὸς LF om.: v. Apostolium. 12. ἐγὼ] L cum antecedentibus coniungit: verbum χρυσοχοεῖν cum explicatione excidisse videtur: cf. nott. ad App. Provv. V, 32. 13. τί δαί Suidas. ἦ δ'] ᾔδειν L. Θρασυμάχου L. Locus Platonis sic habet: τί δὲ, ἦ δ' ὅς, ὁ Θρασύμαχος· χρυσοχοήσαντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους; 17. τὰ ὅπλα Suidas.

μεταβάλλει δ' ὁ χαμαιλέων εἰς πάντα τὰ χρώματα, πλὴν τὴν εἰς τὸ λευκὸν καὶ τὸ ἐρυθρὸν οὐ δέχεται μεταβολήν· καὶ οὐ πρὸς τὰ παρακείμενα μόνον χρώματα μεταβάλλει, ἀλλὰ καὶ αὐτὸς πρὸς ἑαυτόν, ἐάν τις μόνον ἅψηται αὐτοῦ, τὸ χρῶμα μεταβάλλει: unde ut Suidas et Gregorius, sic etiam Anon. in Cram. Anecdd. Oxon. IV, 268 sua repetiit.

33. M V 8. F III, 7: Fragm. Marc. I, 16. Apost. XVIII, 61: App. Provv. V, 27. τῷ δὲ κτλ.] sunt verba Iuliani: v. Epist. 59.

34. M V, 9. F III, 8: Fragm. Marc. I, 18. Apost. XVIII, 63: Zenob. VI, 46. Append. Provv. V, 26: add. Poll. Onom. IV, 195: χειρώνιον [sic] ἕλκος, χρόνιον, δυσοίλωτον. Nomen medici retinuerunt: v. Paul. Aeginet. IV, 46: alia collegit Assmannus ad Galen. T. XX, p. 144 Kuehn.

35. M V, 10: DV III, 92.

36. M V, 11. F III, 10: Fragm. Marc. I, 31. Apost. XVIII, 85: Diog. I, 45. App. Provv. V, 33.

37. M V, 12. F III, 11: Fragm. Marc. I, 32. Apost. XVIII, 86: App. Provv. V, 34.

38. M V, 13. F III, 12: Macar. V, 27. Fragm. Marc. I, 30. Apost. XVIII, 79: Plut. Provv. II, 15. Rem Tzetzes tangit Chiliad. XII, 402. Proverbialiter adhibuit Liban. Oratt. T. I, 351 R.: ταύτην ἐγὼ τὴν ὁδὸν, τὴν ἀπὸ τῆς πόλεως ἐπὶ τὸ προαστεῖον ἥδιστα ἂν προςεῖπον τῆς Αἰγίδος θύσανον, ᾗ περιβάλλει τὴν Ἀθηνᾶν Ὅμηρος. οὕτως ἅπασα χρυσῆ καὶ τελευτᾷ γε εἰς χρυσὸν Κολοφώνιον, τὴν δάφνην.

39. F III, 13: Apost. XVIII, 81: Append. Provv. V, 32. Πλάτων] Reip. V, 450 B. Εὔβουλος ἐν Γλαύκῳ: fr. II Mein. Similia de Indorum

ὑποστρέψαντες καὶ μάτην κακοπαθήσαντες ἔσκωπτον ἀλλήλους, [λέγοντες] σὺ δὲ ᾠοῦ ψῆγμα πολὺ συλλέξας χρυσοχοήσειν καὶ πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησίν·

ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν,
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα.

Ψ.

40 *Ψύρα τὸν Διόνυσον: τὰ Ψύρα εὐτελής νῆσός ἐστι καὶ μικρά, πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.*

41 *Ψεκάς: ὁ δρόσος. οὕτως ἐκαλεῖτο Ἀντίμαχος, πτυελώδης ὤν. οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διότι προςέῤῥαινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. ἐδόκει δὲ ὁ Ἀντίμαχος ψήφισμα πεποιηκέναι, ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. δεῖ κωμῳδεῖν ἐξ ὀνόματος, ὡς μὴ καθαρεύοντι.*

Ω.

42 *Ὦσὶν ἑστῶσιν: ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι τὰ ὦτα εὐτρεπιζομένων.*

43 *Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: ὅταν ἐλπίσας τὶς μεγάλα μικροῖς ἐντύχῃ.*

---

2. *λεγοντες* e Suida adieci. *σὺ δὲ*] F et Suidas: *σὺ δὲ ᾠοῦ χρυσοχοήσειν· Ὅπερ δηλοῖ, σὺ δὲ ᾠοῦ ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας πλουτήσειν.* 3. *ἐχλευάζετο* L. 5. *ἄνδρες* Meinekius. 6. *λαβόντας ὅπλα εἰς Ὑμηττὸν ἐξελθεῖν* L: v. Apostolium. 12. *ἡ παροιμία παρὰ Κρατίνῳ* Suidas addit in fine. 13. *Ἀντίμαχος*] post hanc vocem L male iterat v. *ψεκάς*. 15. *προςέραινε* LF. 16. *ὅτι τὸ — φυσῆσαι* et *ὡς μὴ καθαρεύοντι* male cum huius proverbii explicatione coniuncta sunt: ad aliud enim proverbium pertinent: v. nott. critt. ad Fr. Marcian. I, 77. Depravatio orta est in Diogeniano: v. nott. critt. ad Diog. l. c. Post v. *ὅτι* excidit *ᾠ*. 17. *δεῖ*] scribe *μὴ δεῖ*. 20. *τὰ* LF om. 23. *ἐντύχῃ*] *ἐπιτύχῃ* F.

contra formicas expeditione narrant Herod. III, 102. Dio Chrysost. Oratt. 35, p. 73 R. Cosmas in A. Maii Spicil. Rom. II, p. 141. Tzetz. Chiliad. XII, 404 aliique, de quibus cf. Welckerus Opusc. I, 366 sq.

40. M V, 20. F III, 14: Apost. XVIII, 97: Append. Provv. V, 39. Theognostus apud Bekk. Anecd. III, 1442: *Ψυρὶς γῆ: λυπρά, χέρσος.*

41. F III, 15. 16: Macar. VIII, 93. Apost. XVIII, 94: Diog. VIII, 71. 72.

42. P IV, 4. M V, 21: DV III, 97.

43. P IV, 5. M V, 22. F III, 18: Macar. VIII, 94. Fragm. Marc. I, 41. Apost. XVIII, 99: Diog. VIII, 75. »De Agesilao, statura parvo, qui auxilio ipsi venerat, dixit Tarchis Aegypti rex: *ὤδινεν ὄρος, Ζεὺς ἐφοβεῖτο, τὸ δ' ἔτικτεν μῦν*: Athen. XIV, 616 D. Plut. Agesil. c. 36:« Walzius.

ΠΑΡΟΙΜΙΑΙ

ΣΥΛΛΕΓΕΙΣΑΙ ΕΚ ΔΙΑΦΟΡΩΝ

ΒΙΒΛΙΩΝ ΚΑΙ ΣΥΝΤΕΘΕΙΣΑΙ ΕΝΤΑΥΘΑ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

ΑΡΧΗ ΤΟΥ Α.

1 *Αὕτη ἡ μήρινθος οὐδὲν ἔσπασεν:* ἀπὸ τῶν ἁλιευτῶν εἴρηται.

2 *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος:* ἐπὶ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται.

3 *Ἀγορὰ Κερκώπων:* ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ.

4 *Ἀετοῦ γῆρας, κορύδου νεότης:* παρόσον καὶ γηράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος.

5 *Ἀγαθὰ Κιλίκων:* ἐπὶ τῶν οὐ καλῶς πλουτούντων. Προδότης γὰρ Κίλιξ τις Μίλητον προδοὺς εὐπόρησεν.

6 *Ἀγροίκου μὴ καταφρόνει ῥήτορος:* ὅτι οὐδὲ ἀτελῶν **

7 *Ἀδώνιδος κῆπος:* ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ἀώρων.

8 *Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι:*

---

1. αὕτη μὲν ἡ P. 2. ἁλιευτῶν] τῶν μηδὲν ἑλκυσάντων P addit. 3. ἐπὶ τοῖς κτλ. P om. ἐπὶ γὰρ p. 4. ἐπιορκουμένοις M. 5. Κερκόπων et Κέρκοπες M. 7. ἀετοῦ] ἀστοῦ et ἀστὸς M. 8. κρεῖττον p. 9. Κιλλικῶν recte Zenobius. Forma Καλλικών defenditur inscriptione Tegeatica apud Rossium Inscr. Gr. inedit. I, p. 3. 10. Κίλιξ] v. Zenob. I, 3. 11. ὅτι οὐδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν L.

1. P I, 1: Apost. IV, 30: Diogen. III, 35.
2. L I, 1.
3. P I, 3: v. DV I, 3.
4. L I, 2.
5. P I, 5: Macar. I, 6. Apost. I, 11: Zenob. I, 3. Κακώτερι Καλλικόωντος Euphorion dixit: v. Meinekii Anal. Alex. 154.
6. L I, 3.
7. P I, 7: DV I, 12.
8. L I, 4.

ὅτι προςήκει τινὰ ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων, ἐν οἷς ἂν γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων.

9 *Ἄλλην δρῦν βαλάνιζε*: ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τοῖς αἰτοῦσιν εἰώθασι λαμβάνειν.

10 *Ἄιδεις ὥσπερ εἰς Δῆλον πλέων*: ἐπὶ τῶν ἀφροντίστως καὶ φιληδόνως βιούντων.

11 *Ἅλα καὶ κύαμον*: ἐπὶ τῶν μὴ εἰδότων καὶ προςποιουμένων· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασι.

12 *Αἴρειν μασχάλην*: ἀντὶ τοῦ εὐωχιάζειν. εἴρηται δὲ ἀπὸ τῶν ἀγροικικῶς ὀρχουμένων.

13 *Αἲξ τὴν μάχαιραν.*

14 *Ἄδακρυς πόλεμος*· καὶ· *Καθεύδοντος τρόπαιον*: ἐπὶ τῶν ῥᾷστα καὶ παρὰ ἐλπίδα κατορθούντων.

15 *Αἰεὶ κολοιὸς πρὸς κολοιόν*· καὶ· *Αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς πρὸς τὸν ὅμοιον.*

16 *Ἀμαλθείας κέρας*: ὅτι τῇ τροφῷ αὐτοῦ ὁ Ζεὺς Ἀμαλθείᾳ ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας αἰγός, δι᾽ οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὅτι ἂν ᾐτήσατο.

17 *Αετὸν ἵπτασθαι διδάσκεις.*

18 *Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι*: ἐπὶ τῶν ἀξίως τιμωμένων.

---

5. δύσειν M. τοῖς αἰτοῦσιν] τὴν αἴτησιν PL. εἰωθόσι (sic) ML. 8. ἐπὶ τῶν εἰδέναι μέν τι προςποιουμένων, οὐκ εἰδότων δὲ Zenobius. 9. τιθέασι] πρὸ τῶν μαντευομένων Zenobius addit. 10. εὐωχιάζειν] εὐωχεῖσθαι PL. 14. τὰ πράγματα κατορθούντων Diogenianus. 15. ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον Homerus. 17. τροφῷ αἰγὸς ὁ Ζεὺς M. ὁ Ζεὺς post v. Ἀμαλθείᾳ collocatur in PL. 81. αὐτὸν] αὐτῷ M. 19. αἰτήσηται Macarius. 20. ἀστὸν M. 21. Explicatio in M male ad sequens proverbium posita erat.

9. L I, 5.

10. P I, 10: Apost. I, 35. Ad theoriam Deliacam, de qua v. Plut. Nic. 3, retulerunt Bernhardius ad Suid. s. v. et C. F. Hermannus de theoria Del. disput. p. 10: aliter Zenob. II, 41 statuit.

11. P I, 11. F I, 18: Apost. II, 41: Zenob. I, 25.

12. L I, 6.

13. P I, 13: Macar. I, 57. Apost. I, 60: Zenob. I, 27.

14. P I, 14: Macar. I, 25. Apost. I, 29: Diogen. I, 53. Ἄδακρυν αἰῶνα Pindarus dixit Ol. II, 66. Alterum respexit Basilius in Maximi Conf. Serm. LXX, p. 687 Comb.: τί τῶν ἀγαθῶν εὔκολον; τίς καθεύδων τρόπαιον ἔστησεν; v. Apostol. III, 21.

15. L I, 7.

16. L I, 8.

17. L I, 9.

18. P I, 18: Macar. I, 37. Apost. I, 40: Zenob. II, 44: add. Eustath. ad Hom. Od. *A*, 107, p. 1397, 18:

19 *Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία:* ἐπὶ τῶν διολλύντων.

20 *Ἀετὸς ἐν νεφέλαις.*

21 *Ἀληλεσμένος βίος:* ἐπὶ τοῦ ἑτοίμου καὶ ἀπόνου.

22 *Ἀνάγυρον κινεῖς:* ἐπὶ τῶν προξενούντων ἑαυτοῖς κακά.

23 *Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν:* ἐπὶ τῶν καταπεφρονημένων καὶ οὐδενὸς ἀξίων.

24 *Ἀετὸς θρίπας ὁρᾷ:* ἐπὶ τῶν καταφρονούντων τινῶν.

25 *Ἅλμη οὐκ ἔστιν αὐτῷ:* ἐπὶ τοῦ ἀηδοῦς.

26 *Ἀλώπηξ οὐ δωροδοκεῖται:* ἐπὶ τῶν οὐ ῥᾳδίως ἁλισκομένων.

---

1. *φιλίαν* M. 2. Explicatio in M sequenti proverbio apposita. PL explicationem om. 3. P: *ἐπὶ τῶν δυςαλώτων.* 6. *κακά*] addit P: *Ἀνάγυρος γάρ τις ἥρως ἐκάκου τοὺς γείτονας.* 9. *θρίπας*] *θείπως* M. 10. *ἔνεστ'* Zenobius. 11. *οὐ δωροδοκεῖται*] *οὐ* Suidas, alii omittunt: v. Apostolius. 12. *ἁλισκομένων*] *ἁλιευομένων* M.

κύβον γὰρ, φασί, διχῶς ἔλεγον. αὐτό τε τὸ ἀναῤῥιπτούμενον, ὅθεν παροιμία τραγικὴ τὸ, ἀεὶ γὰρ εὖ π. οἱ Διὸς κύβοι, καὶ τὴν ἐν αὐτῷ μονάδα: versus enim e Sophoclis tragoedia quadam petitus est: Scholl. ad Eurip. Orest. 592: *εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων· καὶ Σοφοκλῆς· αἰεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι*: est fragm. 763 Dind.

19. L I, 10.

20. P I, 20: Macar. I, 40. Apost. I, 45: Zenob. II, 50. Respexit oraculum nobilissimum Aristid. in Panath. 196, 14: *ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ πρὸς τἄλλα πολίσματα.*

21. P I, 21: Macar. I, 83. III, 37. Apost. II, 15: Zenob. I, 21. Append. Provv. III, 86. Bene Suidas: *καὶ ἀληλεσμένον βίον οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ* [nott. ad Macar. III, 40] *χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων, οἷον κατειργασμένον, πρὸς τροφὴν ἕτοιμον. Καὶ ἀληλεσμένος βίος, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. Ἄλλη δὲ παροιμία φησίν. Οὐ γὰρ ἄκανθαι· ἔοικε δὲ ὑπομιμνήσκειν τὴν τοῦ βίου μεταβολὴν, ἀγρίου καὶ ἀκανθώδους* [cf. nott. ad Macar. l. c., Zenob. III, 98] *πρότερον ὄντος, πρὶν ἐπιμέλειαν τῆς γῆς καὶ τῶν σπερμάτων γενέσθαι. ὅθεν ἀπὸ τῆς ὕστερον ἐπιμελείας ῥηθῆναι τὸ ἀληλ. βίον.* Proverbium *οὐ γὰρ ἄκανθαι* Suidas s. *οὐ* narrat *ἐπὶ τῶν ὠφελίμων* dici, Hesychius s. *οὐ* ab Aristophane in fabulis, quae *Δράματα* et *Σκηναὶ καταλαμβάνουσαι* inscriptae erant, adhibitum esse: v. Arist. fr. 266 et 407 Dind. Ceterum v. Eustathium in nott. ad Macar. III, 40. Similes locutiones Meinekius Comm. Grr. Rell. II, 1, 587 sq. composuit.

22. P I, 22: Macar. II, 2. Apost. X, 32. Mant. Provv. s. *κινεῖς*: Zenob. II, 55.

23. P I, 23: Apostol. I, 48: Zenob. II, 52: add. Suid. s. *ἀεὶ* et s. *αἰεὶ*, qui *ἐπὶ τῶν εὐκαταφρονήτων* proverbium dici annotat.

24. P I, 24: Macar. I, 43. Apost. I, 47: Zenob. II, 53.

25. P I, 25: Macar. I, 75. Apost. II, 18: Zenob. I, 63. Cf. nott. ad Macar. III, 40.

26. P I, 26: Apost. II, 17 ibiq. v. annott.

27 *Ἀεὶ φέρει τι Λιβύη κακόν*: ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

28 *Ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί*: ἐπὶ τῶν ἐναντίως λεγομένων, οἷον εἰ ὁ πόρνος λέγει τὸν σώφρονα πόρνον.

29 *Ἀργύρου κρῆναι λαλοῦσιν*: ἐπὶ τῶν διὰ πλοῦτον ἐμφανιζομένων ἢ εὐημερούντων.

---

1. *αἰεὶ* M. *καινὸν κακόν* recte Schneidewinus in Zenobio reposuit. 3. *ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί* Zenobius ex Euripide. *χωροῦσι πηγαί* P. 6. *ἄργυρον* M. *καλοῦσιν* M. Suidas explicat: *ἐπὶ τῶν ἀπαιδεύτων μὲν, διὰ δὲ πλούτου ὑπερβολὴν παῤῥησιαζομένων καὶ λαλούντων.*

27. P I, 27: Macar. I, 42. Apost. I, 49: Zenob. II, 51, ubi addas Suid. s. *αἰεί*: *Αἰεὶ φέρει τι Λιβύη κακόν*: *ἐπὶ τῶν κακούργων καὶ ἀεί τι κακὸν ἐξευρισκόντων νεώτερον. παρόσον ἡ Λιβύη πολυποικιλώτατα εἴωθε φέρειν θηρία*: Aristot. de Generat. Anim. II, 7, p. 746 Bekk.: *λέγεται δὲ καὶ τὸ περὶ τῆς Λιβύης παροιμιαζόμενον, ὡς ἀεί τι τῆς Λιβύης τρεφούσης καινόν, διὰ τὸ μίγνυσθαι καὶ τὰ μὴ ὁμόφυλα ἀλλήλοις λεχθῆναι τοῦτο.*

28. P I, 28: Macar. II, 7. Apost. II, 92: Zenob. II, 56: add. Scholl. ad Eurip. Med. 414: *παροιμία δὲ τοῦτο ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προσῆκον μεταβαλλομένων πραγμάτων, οἷον ἀντέστραπται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας*: Scholl. ad Lucian. Dial. Mort. VI, 2, p. 68 Iacob.: *παροιμία ἐστὶ λεγομένη, ὅτε τὰ ἐναντία τῶν ὀφειλόντων γίνεται, ἄνω ποταμῶν χωροῦσιν πηγαί· ἐκ γὰρ τῶν πηγῶν οὐδέποτε ἄνω, κάτω δὲ μᾶλλον χωροῦσι*: Baehmanni Anecdd. II, 338, 9. Usurpaverunt permulti: affero Demosth. *π. τ. παραπρεσβ.* §. 287, p. 433 R.: *ἀλλὰ δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες οἱ περὶ πορνείας ἐῤῥύησαν λόγοι*: Diogenes Cynicus apud Diog. Laert. VI, 36 sive Arsen. XXI, 13: Aristot. Meteorol. II, 2, p. 356, 19 Bekk.: *συμβαίνει δὲ τοὺς ποταμοὺς ῥεῖν οὐκ ἐπὶ ταὐτὸν ἀεὶ κατὰ τὸν λόγον τοῦτον· ἐπεὶ γὰρ εἰς τὸ μέσον εἰσῤῥέουσιν ἀφ' οὗπερ ἐκρέουσιν, οὐθὲν μᾶλλον ῥευσοῦνται κάτωθεν ἢ ἄνωθεν, ἀλλ' ἐφ' ὁπότερ' ἂν ῥέψῃ κυμαίνων ὁ Τάρταρος· καίτοι τούτου συμβαίνοντος γένοιτ' ἂν τὸ λεγόμενον ἄνω ποταμῶν· ὅπερ ἀδύνατον*: unde iam ante Aeschylum et Euripidem hanc paroemiam a Graecis usurpatam esse, recte Schaeferus ad Demosth. l. c. conclusit: Cic. Epist. ad Attic. XV, 4: *laudo: si vero etiam Carfulenus, ἄνω ποταμῶν*: Lucian. l. c., ei. Ap. pro Mercede Conduct. §. 1: *πολλὴ γοῦν ἡ διαφωνία τοῦ νῦν βίου πρὸς τὸ σύγγραμμα, καὶ τὸ ἄνω τοῦ ποταμοῦ χωρεῖν καὶ ἀνεστράφθαι τὰ πάντα καὶ παλινῳδεῖν πρὸς τὸ χεῖρον*: Iulian. Oratt. VI, init.: Liban. Epist. 423: *νῦν οὖν ἄνω ποταμῶν*: Theodor. Metoch. Miscell. 89, p. 578 Kiessl.: *κἀντεῦθεν ἄνω ποταμῶν κατὰ τὴν παροιμίαν χωροῦσι πηγαὶ καὶ πάντων τῶν ὄντων καὶ τῶν εἰκότων ὁρῶνται τἀναντιώτατα, καὶ ἀταξία πᾶσα καὶ ὕβρις κτλ.*: Phot. Epist. 5, p. 69 Mont.: Firmus Epist. 5 in Muratori Anecd. Graec. 285: *ἄνω ποταμῶν ἱερῶν, τὸ λεγόμενον, χωροῦσι πηγαί, ὅτε καὶ ἡ εὐλάβειά σου ἀφ' ἡμῶν δέεται προστασίας, ἑτέροις τοῦτο νέμειν ἐκ τῆς παλαιᾶς συνηθείας ἄδειαν ἔχουσα*: alia praebent Burmannus ad Propert. I, 15, 29. II, 12, 33. Marklandus ad Eurip. Suppl. 520. Mitscherlichius ad Horat. Carm. I, 29, 11. Boissonnadus ad Nicet. Eugen. T. II, 233.

29. P I, 30: DV. I, 82.

30 *Ἀπὸ μείζονος ἀνδρὸς ἄλευε: ἤγουν φυλάττου· ἰωνικῶς.*

31 *Ἀράβιος αὐλητής: ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.*

32 *Αἵμασι κλαίειν: καθ' ὑπερβολήν, ἐπὶ τῶν σφόδρα δακρυόντων.*

33 *Αἱ Χάριτες γυμναί: ὅτι δεῖ δωρεὰν ** εὐεργετεῖν.*

34 *Ἀκόνην σιτίζεις: ἐπὶ τῶν † τρεφομένων καὶ οὐκ ** ἐπιδιδόντων.*

35 *Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ' ἐλπίδα τὰ ἀλλότρια κληρονομούντων.*

36 *Ἄλλο γλαὺξ, ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν μὴ συμφωνούντων ἀλλήλοις.*

37 *Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.*

38 *Ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γαμφίοι: ἐπὶ τῶν λάλων καὶ φάγων.*

39 *Ἀνδρὸς γέροντος σταφὶς τὸ κρανίον: ἐπὶ τῶν εἰς οὐδὲν χρησιμευόντων.*

40 *Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος: ἐπὶ τῶν ἐχόντων τοῖς λόγοις ἀσύμφωνα τὰ ἔργα.*

---

1. *ἄλευ' ἀπὸ μ. ἀνδρός* P. *ἄλευε* et *ἰωνικῶς* in M per compendia scripta sunt. 3. *Ἀρράβιος* M. *ὃς κτλ.*] verba in hunc ordinem redigenda sunt: *δραχμῆς μὲν ηὔλει, τεττάρων δὲ παύεται*: v. nott. ad Zenob. II, 58. 5. *αἵματι* P. 7. Scribendum videtur: *ὅτι δεῖ τὴν δωρεὰν ἀφειδῶς χαρίζεσθαι καὶ ἀκενοδόξως εὐεργετεῖν*: v. Apostolium. 8. Explicatio ex ea corrupta est, quam in Diogeniano Vindobonensi legimus. 10. *παρ' ἐλπίδος* M. 12. *γλὰξ* M. 18. *ἀσταφὶς* Zenobius: eandem lectionis diversitatem Gaulminus in Eustath. de Ism. Amor. p. 43 invenit. Egit de nominis forma Hemsterhusius Anecd. p. 56. Suidas hanc explicationem affert: *ἀπὸ μέρους, ἐπὶ τῶν μηδαμοῦ χρησιμευόντων.* 20. *Λάκων* et *Λάκωνος* M. *ὄνος*] *φέρει* ex Diogeniano adiiciendum est.

30. P I, 31: Apost. III, 56: Diogen. II, 56.

31. P I, 32: Macar. II, 37. Apost. III, 71: Zenob. II, 39.

32. L I, 14.

33. P I, 36: Apost. I, 82: Zenob. I, 36: add. Suid. s. *χάριτας* et Mant. Provv. s. *αἱ*. Nudarum Gratiarum meminit Philostr. Epist. 44 init.: *ὅτι πένης εἰμὶ ἀτιμότερός σοι δοκῶ· καὶ μὴν καὶ αὐτὸς ὁ Ἔρως γυμνός ἐστι καὶ αἱ Χάριτες καὶ οἱ ἀστέρες.*

34. P I, 37. F I 26: DV I, 28.

35. P I, 38: DV I, 30.

36. P I, 39. M II, 26: DV I, 31.

37. P I, 40: DV I, 32.

38. P I, 41: Apostol. II, 36: Zenob. I, 73.

39. P I, 42: Macar. II, 13. Apost. III, 5: Zenob. I, 96.

40. P I, 43: DV I, 33.

41 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει: ἐπὶ τῶν μάτην πονούντων.

42 Ἄμας ἀπήτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας.

43 Ἀμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν ἀχαρίστων.

44 Ἂν μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον: ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

45 Ἄμμες ποτ' ἦμες.

46 Ἀεὶ τὰ πέρυσι βελτίω.

47 Ἀνὴρ δὲ φεύγων οὐ μένει κτύπον λύρας: ἐπὶ τῶν ταχέως ὀφειλόντων ἕκαστα πράττειν.

48 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐλθὼν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων.

49 Ἀνέμους γεωργεῖν: ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μεταλαγχανόντων.

50 Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται.

51 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω αἱρουμένων.

52 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει.

53 Ἄλλοι σπείρουσιν, ἄλλοι δ' ἀμήσονται.

54 Ἄρκτου παρούσης ἴχνη ζητεῖς: ἐπὶ τῶν προδήλων.

55 Ἀετὸν κάνθαρος μαιεύεται: ἐπὶ τῶν ὑπό τινων εὐτελῶν πασχόντων. ὁ γὰρ κάνθαρος τὰ τοῦ ἀετοῦ ᾠὰ ἀφανίζει κυλίων.

---

1. ἐξαντλοῦμεν M. 10. δὲ] ὁ PL. λύρας κτύπον Zenobius. 13. ἐξελθὼν idem. 18. ἀντὶ βελτιόνων in fine explicationis addit Diogenianus. 20. ἄλλοι μὲν Diogenianus. ἀμήσουσι Macarius. Totum sic redintegrandum esse putat Nauckius in Schneidewini Phil. II, 158: ἄλλοι μὲν σπείρουσ', ἄλλοι δὲ ποτ' ἀμήσονται. 21. ἴχνη μὴ ζήτει Zenobius l. c., ubi v. nott. critt. 23. εὐτελῶν] fortasse post hanc vocem μεγάλα excidit.

41. L I, 15.
42. P I, 45: Macar. II, 1. Apost. II, 63: Zenob. I, 83.
43. P I, 46: DV I, 39.
44. P I, 47: DV I, 40.
45. L I, 16.
46. L I, 17.
47. L I, 18.
48. P I, 49: DV I, 42.
49. P I, 51. F I, 33: DV I, 51.
50. P I, 52: Apost. III, 6: Zenob. I, 85. Usurpat Synes. Epist. 103 fin.: ἀνάγκᾳ δὲ οὐδὲ θεοί, φασί, μάχονται. Ἡμῖν δέ ἐστι ἄλλα σεμνότερα.
51. P I, 53: DV I, 43.
52. L I, 20.
53. P I, 55: Macar. I, 78. Apost. II, 24: Diogen. II, 62.
54. P I, 56: Macar. II, 42. Apost. III, 89: Zenob. II, 36.
55. P I, 57: DV I, 65.

56 Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία.

57 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

58 Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων ἄφρονας.

59 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρα, ἄλλοτε δὲ μήτηρ: ἐπὶ τῶν τότε μὲν εὐημερούντων, ἄλλοτε δὲ δυςημερούντων.

60 Ἅμα δίδου καὶ λάμβανε: ἐπὶ τῶν πρὸς ἄπιστον συναλλασσομένων.

61 Ἄνθρακες ὁ θησαυρὸς γέγονεν: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων.

62 Ἀπὸ τῶν βραδυσκελῶν ὄνων ἵππος ὥρουσεν.

63 Ἅπαντα τοῖς σοφοῖς εὔκολα: ἐπὶ τῶν διὰ φρονήσεως πάντων περιγινομένων.

64 Ἀργυραῖς λόγχαις μάχου καὶ πάντων κρατήσεις.

65 Ἅπας ἐχῖνος τραχύς.

66 Ἀσκὸν δείρεις: ἐπὶ τῶν ἀνόητόν τι ποιούντων.

67 Αὐλητοῦ βίον ζῇς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων.

68 Ἀποτίσεις χοῖρε γίγαρτα: ἤτοι ἃ ἔφαγες, ἀποδώσεις.

---

1. βακτηρίαι M. 5. Scribe ἡμέρη. Dele δὲ. 10. γέγονεν] πέφηνεν Zenobius. 12. τῶν DV om. 13. διαφρονήσει M. 14. πάντων] καὶ τῶν δυςκόλων P cum Zenobio. 15. ἀργυρέαις Diogenianus. λόγχαισι et πάντα idem. 18. δαίρεις Diogenianus. ἀνοήτως P.

56. P I, 58: DV I, 44.
57. P I, 59: DV I, 45.
58. L I, 21.
59. P I, 62: Macar. I, 90. Apost. II, 25: Diog. II, 76. Expressit Publius Syrus 186: *dies quandoque noverca, quandoque est parens.* Tetigit Eustath. ad Hom. Il. *E*, 385, p. 560, 15.
60. P I, 63: Macar. I, 97. Apost. II, 78: Diog. II, 77. Menand. Monost. 748 Mein.: Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.
61. P I, 64: DV I, 52.
62. P I, 65: DV III, 100.
63. P I, 66: Macar. II, 22. Apost. III, 58: Zenob. II, 9. Cognatum est Euripideum illud: φεῦ· τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν, de quo v. Wyttenbachius ad Plut. de sent. profectu in virt. c. 15, p. 85 A. Matthiae ad Eurip. fr. inc. trag. CXIX: add. Apost. III, 31ᵃ.
64. P I, 67: Macar. II, 29. Apost. III, 91. Mant. Provv. s. ἀργυραῖς: Diog. II, 81: add. Hesych. ἀργύρεαι λόγχαι: αἱ μισθοφόροι. Alludit Phot. Patr. Epist. 165, p. 229 Mont.: πάσῃ δὲ μηχανῇ ἐκεκίνητο· οὐκ ἀργυραῖ δὲ ἄρα λόγχαι μόνον, ὃ λέγεται, ἀλλὰ καὶ ψεύδους καὶ ἀπάτης κτλ.
65. L I, 22.
66. P I, 69: DV I, 84.
67. P I, 70: DV I, 92.
68. P I, 71: DV I, 95.

69 Ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην ἄτην: ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

70 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός.

71 Ἀπὸ κώπης ἐπὶ βῆμα: ἐπὶ τῶν ἀθρόως μεγίστοις ἐγχειρούντων.

72 Αὑτὸν οὐ τρέφων κύνας τρέφεις: ἐπὶ τῶν ἀπορούντων μὲν ἑαυτοὺς τρέφειν, ἄλλους δὲ ἐπαγγελλομένων.

73 Ἁλῶν μέδιμνον ἀποφαγών: ἐπὶ τῶν ἀχαρίστων.

74 Ἅμαξα τὸν βοῦν ἕλκει: ἐπὶ τῶν ἀνεστρόφως τι ποιούντων.

75 Ἁμαξιαῖα ῥήματα: ἐπὶ τῶν μεγάλων λόγων.

76 Ἄνθρωπος Εὔριπος, καὶ ψυχὴ, καὶ διάνοια, καὶ τρόπος: ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων.

77 Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον καὶ ἡ γνάθος.

78 Ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι: ὅμοιον καὶ τό· Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτ' ἴασιν.

---

1. *βαλὴ* Diogenianus. 6. *αὐτὸς αὐτὸν* DV. 7. *ἑτέρους δὲ τρέφειν κατεπαγγελλομένων* Diogenianus. 15. *ἐς φίλων* Zenobius, Macarius. 16. *δαῖτα* P, *δαῖτας* Zenobius, Macarius. *ἴενται* Zenobius.

69. P I, 72: DV I, 57.

70. P I, 73: Macar. I, 46. Apost. I, 57: cf. nott. ad P l. c., quibus add. Etymol. in Crameri Anecdd. Pariss. IV, p. 96, 17: *Ἄθως — Ἄθως σκιάζει νῶτα Λημνίας βοός· βοῦς γὰρ ἵδρυται ἐν τῇ Λήμνῳ.* Transtulit in latinam linguam poeta apud Varr. L. L. VII, 25: *in cornuatam taurum umbram iaci.*

71. P I, 74: DV I, 74.

72. P I, 75: DV I, 93.

73. L I, 23.

74. P I, 77: Macar. IV, 33. Apost. II, 55: Diog. III, 30.

75. P I, 78: Apost. II, 76. XVI, 49. Arsen. XXXIX, 23. Macar. VII, 98: Diogen. III, 41. Phrynichus in Bekk. Anecdd. I, 24, 31 *ἁμαξιαῖα χρήματα* explicat: *μεγάλα, ἃ φέροι ἂν ἅμαξα, οὐκ ἄνθρωπος ἢ ὑποζύγιον*: unde nostrum proverbium explicandum esse Meinekius contendit Comic. Gr. Rell. IV, 663. Et firmatur eius ratio etiam Athen. X, 418 D: *ταῦτα δὲ καπανικὰ εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς· Τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα, οἷον τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον*: v. Bergkius in Meinekii Com. Gr. II, 2, 1150. Add. Creuzerus ad Ioann. Lyd. de Mensibb. III, 31 ed. Roether. et nott. ad Macar. l. c.

76. P I, 79: Apost. II, 88: Diogen. III, 39. Proverbium illustrat Boissonadus Anecd. Nov. I, 6: add. nott. ad Macar. IV, 21. De Euripo eiusque natura v. Pflugkius Rerum Euboic. Specim. p. 5.

77. P I, 80: Apost. III, 66.

78. P I, 81: Macar. I, 69. Apost. I, 92: Zenob. II, 19. 46. Docte Schol. ad Plat. 373 de proverbio exposuit: *ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ὅτε ἑστιῶντο τῷ Κήϋκι ξένοι ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ* [fr. I. Mein.] *μεταλλάξας αὐτὴν γράφει οὕτως· Οἳδ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι κομψῶν ἐπὶ δαῖτα θεατῶν. Καὶ Εὔπολις ἐν χρυσῷ γένει* [fr. XIV.]: cf. Marckscheffelius ad Hesiod. frr. p. 156.

79 Ἀνεῳγμέναι Μουσῶν θύραι.

80 Ἀρχὴ ἄνδρα δείκνυσιν.

81 Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: ἐπὶ τῶν κακῶς κτηθέντων καὶ ἀποκτηθέντων. ἔμπορος γὰρ ἅλας ἐπιφερόμενος ἐν νηῒ κλύδωνος γενομένου τοὺς ἅλας ἐν τῇ θαλάσσῃ ἀπέβαλεν.

82 Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν.

83 Ἂν ἡ λεοντῆ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσαψον: ἐπὶ τῶν φανερῶς μὲν βλάπτειν μὴ δυναμένων, πανουργίᾳ δὲ χρωμένων.

84 Ἀρότρῳ ἀκοντίζεις: ἐπὶ τῶν ἀσκέπτως τι ποιούντων.

85 Αὐτὰρ ἡ πάγη ἔοικα λήψεσθαι πάγην.

86 Αὐτοῦ Ῥόδος, αὐτοῦ πήδημα.

---

5. ἐπιγενομένου P. 6. θαλάσσῃ] πθάσσῃ M. 9. ἡ] τῇ PM. ἐξικνεῖται Apostolius. τῇ ἀλωπεκῇ M. πρόςραψον rectius scribi opinatur Meinekius Comm. Gr. frr. IV, p. 697: cf. Apost. XVII, 27 et Plut. Apophth. Reg. cett. 190 E: ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προςραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν. Ceterum idem Meinekius l. c. hisce in verbis latere aut tetrametrum iambicum suspicatur probante Nauckio in Schneidewini Philol. II, 158: ἂν ἡ λεοντῆ μὴ 'ξίκητ' ἀλωπεκῆν πρόςαψον, aut duos trochaicos dimetros: Ἢν λεοντῆ μὴ 'ξίκηται, Τὴν ἀλωπεκῆν πρόςαψον. Non assentior: Lysander enim proverbii auctor videtur esse. Adde quae dixi in Philologo T. III, p. 573. 12. ἀδιασκέπτως Apostolius. 13. ἀτὰρ idem. 14. Post proverbium 86 p affert: Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλακευνίαις: ἐπὶ τῶν διὰ τρυφῆς καὶ ἁβρότητος διαφθειρόντων: cf. Apost. III, 35.

79. L I, 24.

80. P I, 83: Macar. II, 43. Apost. IV, 1: Diog. II, 94. De auctore proverbii quaerit Schoellius V. Sophocl. 363. Usurpat Liban. Oratt. III, 377 R.: ἐγὼ μὲν οὐδὲν ἡγοῦμαι μεῖζον ἀρχῆς εἰς γνώμης βάσανον· οἶμαι δὲ καὶ τῇ παροιμίᾳ ταυτὰ δοκεῖν, ἥ φησιν ἐν ἀρχῇ τὸν ἄνδρα δείκνυσθαι. Auctor incertus in Boissonadi Anecdd. III, 467: ἀρχὴ ἄνδρα δείξει· ἡ γὰρ ἀρχὴ πάντας φανεροῖ.

81. P I, 84: Apost. II, 9: Zenob. II, 20.

82. P I, 86. Macar. II, 35: Apost. IV, 6: Diog. II, 90. Est versus Theognidis, 625 Bekk.

83. P I, 87: Apost. III, 24: Zenob. I, 93: cf. Macar. VIII, 16. Tetigit C. O. Muellerus Dor. I, 198. Cognatum est proverbium apud Aristoph. Pac. 1188: πολλὰ γὰρ δή μ' ἠδίκησαν, Ὄντες οἴκοι μὲν λέοντες, Ἐν μάχῃ δ' ἀλώπεκες, ubi Scholia: παροιμία παρὰ τοὺς ἐν τῇ Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας, Οἴκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες [Λάκωνες codd.]: quod adhibuit Lamia apud Alciph. Ep. II, 1 sive Aelian. Var. Hist. XIII, 9: Λαμία γοῦν ἡ Ἀττικὴ ἑταίρα εἶπεν, οἱ ἐκ τῆς Ἑλλάδος λέοντες ἐν Ἐφέσῳ γεγόνασιν ἀλώπεκες. Aliter Plut. Compar. Lys. cum Sulla 3: οἴκοι λέοντες, ἐν ὑπαίθρῳ δ' ἀλώπεκες. Cf. Macar. IV, 18.

84. P I, 88: Macar. II, 46. Apost. IV, 8: Diogen. III, 33.

85. P I, 89: Apost. IV, 22.

86. P I, 90: Macar. II, 63. Apost. IV, 41. VIII, 98: cf. Diogen. V, 18. Ductum est ex Aesopo: v. Aesop. fab. 30 Fur.

ὑποστρέψαντες καὶ μάτην κακοπαθήσαντες ἔσκωπτον ἀλλήλους, [λέγοντες] σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας χρυσοχοήσειν καὶ πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησίν·

ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν,
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα.

Ψ.

40 Ψύρα τὸν Διόνυσον: τὰ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ, πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.

41 Ψεκάς: ὁ δρόσος. οὕτως ἐκαλεῖτο Ἀντίμαχος, πτυελώδης ὤν. οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διότι προσέῤῥαινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. ἐδόκει δὲ ὁ Ἀντίμαχος ψήφισμα πεποιηκέναι, ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. δεῖ κωμῳδεῖν ἐξ ὀνόματος, ὡς μὴ καθαρεύοντι.

Ω.

42 Ὦσὶν ἑστῶσιν: ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι τὰ ὦτα εὐτρεπιζομένων.

43 Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: ὅταν ἐλπίσας τὶς μεγάλα μικροῖς ἐντύχῃ.

---

2. λέγοντες e Suida adieci. σὺ δὲ] F et Suidas: σὺ δὲ ᾤου χρυσοχοήσειν· Ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας πλουτήσειν. 3. ἐχλευάζετο L. 5. ἄνδρες Meinekius. 6. λαβόντας ὅπλα εἰς Ὑμηττὸν ἐξελθεῖν L: v. Apostolium. 12. ἡ παροιμία παρὰ Κρατίνῳ Suidas addit in fine. 13. Ἀντίμαχος] post hanc vocem L male iterat v. ψεκάς. 15. προςέρραινε LF. 16. ὅτι τὸ — φυσῆσαι et ὡς μὴ καθαρεύοντι male cum huius proverbii explicatione coniuncta sunt: ad aliud enim proverbium pertinent: v. nott. critt. ad Fr. Marcian. I, 77. Depravatio orta est in Diogeniano: v. nott. critt. ad Diog. l. c. Post v. ὅτι excidit οὐ. 17. δεῖ] scribe μὴ δεῖ. 20. τὰ LF om. 23. ἐντύχῃ] ἐπιτύχῃ F.

contra formicas expeditione narrant Herod. III, 102. Dio Chrysost. Oratt. 35, p. 73 R. Cosmas in A. Maii Spicil. Rom. II, p. 141. Tzetz. Chiliad. XII, 404 aliique, de quibus cf. Welckerus Opusc. I, 366 sq.

40. M V, 20. F III, 14: Apost. XVIII, 97: Append. Provv. V, 39. Theognostus apud Bekk. Anecd. III, 1442: Ψυρὶς γῆ: λυπρά, χέρσος.

41. F III, 15. 16: Macar. VIII, 93. Apost. XVIII, 94: Diog. VIII, 71. 72.

42. P IV, 4. M V, 21: DV III, 97.

43. P IV, 5. M V, 22. F III, 18: Macar. VIII, 94. Fragm. Marc. I, 41. Apost. XVIII, 99: Diog. VIII, 75. »De Agesilao, statura parvo, qui auxilio ipsi venerat, dixit Tarchis Aegypti rex: ὤδινεν ὄρος, Ζεὺς ἐφοβεῖτο, τὸ δ' ἔτικτεν μῦν: Athen. XIV, 616 D. Plut. Agesil. c. 36:« Walzius.

ΠΑΡΟΙΜΙΑΙ

ΣΥΛΛΕΓΕΙΣΑΙ ΕΚ ΔΙΑΦΟΡΩΝ

ΒΙΒΛΙΩΝ ΚΑΙ ΣΥΝΤΕΘΕΙΣΑΙ ΕΝΤΑΥΘΑ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

ΑΡΧΗ ΤΟΥ Α.

1 *Αὔτη ἡ μήρινθος οὐδὲν ἔσπασεν*: ἀπὸ τῶν ἁλιευτῶν εἴρηται.

2 *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος*: ἐπὶ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται.

3 *Ἀγορὰ Κερκώπων*: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ.

4 *Ἀετοῦ γῆρας, κορύδου νεότης*: παρόσον καὶ γηράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος.

5 *Ἀγαθὰ Κιλίκων*: ἐπὶ τῶν οὐ καλῶς πλουτούντων. Προδότης γὰρ Κίλιξ τις Μίλητον προδοὺς εὐπόρησεν.

6 *Ἀγροίκου μὴ καταφρόνει ῥήτορος*: ὅτι οὐδὲ ἀτελῶν **

7 *Ἀδώνιδος κῆπος*: ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ἀώρων.

8 *Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι*:

---

1. αὔτη μὲν ἡ P. 2. ἁλιευτῶν] τῶν μηδὲν ἑλκυσάντων P addit. 3. ἐπὶ τοῖς κτλ. P om. ἐπὶ γὰρ p. 4. ἐπιορκουμένοις M. 5. Κερκόπων et Κέρκοπες M. 7. ἀετοῦ] ἀστοῦ et ἀστὸς M. 8. κρεῖττον p. 9. Κιλλικῶν recte Zenobius. Forma Καλλικών defenditur inscriptione Tegeatica apud Rossium Inscr. Gr. inedit. I, p. 3. 10. Κίλιξ] v. Zenob. I, 3. 11. ὅτι οὐδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν L.

1. P I, 1: Apost. IV, 30: Diogen. III, 35.
2. L I, 1.
3. P I, 3: v. DV I, 3.
4. L I, 2.
5. P I, 5: Macar. I, 6. Apost. I, 11: Zenob. I, 3. Κακώτεροι Καλλικόωντος Euphorion dixit: v. Meinekii Anal. Alex. 154.
6. L I, 3.
7. P I, 7: DV I, 12.
8. L I, 4.

ὅτι προςήκει τινὰ ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων, ἐν οἷς ἂν γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων.

9 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τοῖς αἰτοῦσιν εἰώθασι λαμβάνειν.

10 Ἄιδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τῶν ἀφροντίστως καὶ φιληδόνως βιούντων.

11 Ἅλα καὶ κύαμον: ἐπὶ τῶν μὴ εἰδότων καὶ προςποιουμένων· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασι.

12 Αἴρειν μασχάλην: ἀντὶ τοῦ εὐωχιάζειν. εἴρηται δὲ ἀπὸ τῶν ἀγροικικῶς ὀρχουμένων.

13 Αἶξ τὴν μάχαιραν.

14 Ἄδακρυς πόλεμος· καὶ· Καθεύδοντος τρόπαιον: ἐπὶ τῶν ῥᾶστα καὶ παρὰ ἐλπίδα κατορθούντων.

15 Αἰεὶ κολοιὸς πρὸς κολοιόν· καὶ· Αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς πρὸς τὸν ὅμοιον.

16 Ἀμαλθείας κέρας: ὅτι τῇ τροφῷ αὐτοῦ ὁ Ζεὺς Ἀμαλθείᾳ ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας αἰγὸς, δι' οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὅτι ἂν ᾐτήσατο.

17 Ἀετὸν ἵπτασθαι διδάσκεις.

18 Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι: ἐπὶ τῶν ἀξίως τιμωμένων.

---

5. δύσειν M. τοῖς αἰτοῦσιν] τὴν αἴτησιν PL. εἰωθόσι (sic) ML. 8. ἐπὶ τῶν εἰδέναι μέν τι προςποιουμένων, οὐκ εἰδότων δὲ Zenobius. 9. τιθέασι] πρὸ τῶν μαντευομένων Zenobius addit. 10. εὐωχιάζειν] εὐωχεῖσθαι PL. 14. τὰ πράγματα κατορθούντων Diogenianus. 15. ὡς αἰεὶ (αὐ) τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον Homerus. 17. τροφῷ αἰγὸς ὁ Ζεὺς M. ὁ Ζεὺς post v. Ἀμαλθείᾳ collocatur in PL. 81. αὐτὸν] αὐτῷ M. 19. αἰτήσηται Macarius. 20. ἀστὸν M. 21. Explicatio in M male ad sequens proverbium posita erat.

9. L I, 5.

10. P I, 10: Apost. I, 35. Ad theoriam Deliacam, de qua v. Plut. Nic. 3, retulerunt Bernhardius ad Suid. s. v. et C. F. Hermannus de theoria Del. disput. p. 10: aliter Zenob. II, 41 statuit.

11. P I, 11. F I, 18: Apost. II, 41: Zenob. I, 25.

12. L I, 6.

13. P I, 13: Macar. I, 57. Apost. I, 60: Zenob. I, 27.

14. P I, 14: Macar. I, 25. Apost. I, 29: Diogen. I, 53. Ἄδακρυν αἰῶνα Pindarus dixit Ol. II, 66. Alterum respexit Basilius in Maximi Conf. Serm. LXX, p. 687 Comb.: τί τῶν ἀγαθῶν εὔκολον; τίς καθεύδων τρόπαιον ἔστησεν; v. Apostol. III, 21.

15. L I, 7.

16. L I, 8.

17. L I, 9.

18. P I, 18: Macar. I, 37. Apost. I, 40: Zenob. II, 44: add. Eustath. ad Hom. Od. Λ, 107, p. 1397, 18:

19 *Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία:* ἐπὶ τῶν διολλύντων.

20 *Ἀετὸς ἐν νεφέλαις.*

21 *Ἀληλεσμένος βίος:* ἐπὶ τοῦ ἑτοίμου καὶ ἀπόνου.

22 *Ἀνάγυρον κινεῖς:* ἐπὶ τῶν προξενούντων ἑαυτοῖς κακά.

23 *Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν:* ἐπὶ τῶν καταπεφρονημένων καὶ οὐδενὸς ἀξίων.

24 *Ἀετὸς θρίπας ὁρᾷ:* ἐπὶ τῶν καταφρονούντων τινῶν.

25 *Ἄλμη οὐκ ἔστιν αὐτῷ:* ἐπὶ τοῦ ἀηδοῦς.

26 *Ἀλώπηξ οὐ δωροδοκεῖται:* ἐπὶ τῶν οὐ ῥαδίως ἁλισκομένων.

---

1. φιλίαν M. 2. Explicatio in M sequenti proverbio apposita. PL explicationem om. 3. P: ἐπὶ τῶν δυςαλώτων. 6. κακά] addit P: Ἀνάγυρος γάρ τις ἥρως ἐκάκου τοὺς γείτονας. 9. θρίπας] θείπως M. 10. ἔνεστ' Zenobius. 11. οὐ δωροδοκεῖται] οὐ Suidas, alii omittunt: v. Apostolius. 12. ἁλισκομένων] ἁλιευομένων M.

κύβον γάρ, φασί, διχῶς ἔλεγον. αὐτό τε τὸ ἀναῤῥιπτούμενον, ὅθεν παροιμία τραγικὴ τό, ἀεὶ γὰρ εὖ π. οἱ Διὸς κύβοι, καὶ τὴν ἐν αὐτῷ μονάδα: versus enim e Sophoclis tragoedia quadam petitus est: Scholl. ad Eurip. Orest. 592: εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων· καὶ Σοφοκλῆς· αἰεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι: est fragm. 763 Dind.

19. L I, 10.

20. P I, 20: Macar. I, 40. Apost. I, 45: Zenob. II, 50. Respexit oraculum nobilissimum Aristid. in Panath. 196, 14: ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ πρὸς τἄλλα πολίσματα.

21. P I, 21: Macar. I, 83. III, 37. Apost. II, 15: Zenob. I, 21. Append. Provv. III, 86. Bene Suidas: καὶ ἀληλεσμένον βίον οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ [nott. ad Macar. III, 40] χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων, οἷον κατειργασμένον, πρὸς τροφὴν ἕτοιμον. Καὶ ἀληλεσμένος βίος, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. Ἄλλη δὲ παροιμία φησίν. Οὐ γὰρ ἄκανθαι· ἔοικε δὲ ὑπομιμνήσκειν τὴν τοῦ βίου μεταβολήν, ἀγρίου καὶ ἀκανθώδους [cf. nott. ad Macar. l. c., Zenob. III, 98] πρότερον ὄντος, πρὶν ἐπιμέλειαν τῆς γῆς καὶ τῶν σπερμάτων γενέσθαι. ὅθεν ἀπὸ τῆς ὕστερον ἐπιμελείας ῥηθῆναι τὸ ἀληλ. βίον. Proverbium οὐ γὰρ ἄκανθαι Suidas s. οὐ narrat ἐπὶ τῶν ὠφελίμων dici, Hesychius s. οὐ ab Aristophane in fabulis, quae Δράματα et Σκηναὶ καταλαμβάνουσαι inscriptae erant, adhibitum esse: v. Arist. fr. 266 et 407 Dind. Ceterum v. Eustathium in nott. ad Macar. III, 40. Similes locutiones Meinekius Comm. Grr. Rell. II, 1, 587 sq. composuit.

22. P I, 22: Macar. II, 2. Apost. X, 32. Mant. Provv. s. κινεῖς: Zenob. II, 55.

23. P I, 23: Apostol. I, 48: Zenob. II, 52: add. Suid. s. ἀεὶ et s. αἰεί, qui ἐπὶ τῶν εὐκαταφρονήτων proverbium dici annotat.

24. P I, 24: Macar. I, 43. Apost. I, 47: Zenob. II, 53.

25. P I, 25: Macar. I, 75. Apost. II, 18: Zenob. I, 63. Cf. nott. ad Macar. III, 40.

26. P I, 26: Apost. II, 17 ibiq. v. annott.

27 *Ἀεὶ φέρει τι Λιβύη κακόν*: ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

28 *Ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί*: ἐπὶ τῶν ἐναντίως λεγομένων, οἷον εἰ ὁ πόρνος λέγει τὸν σώφρονα πόρνον.

29 *Ἀργύρου κρῆναι λαλοῦσιν*: ἐπὶ τῶν διὰ πλοῦτον ἐμφανιζομένων ἢ εὐημερούντων.

---

1. αἰεὶ M. καινὸν κακόν recte Schneidewinus in Zenobio reposuit. 3. ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί Zenobius ex Euripide. χωροῦσι πηγαί P. 6. ἄργυρον M. καλοῦσιν M. Suidas explicat: ἐπὶ τῶν ἀπαιδεύτων μὲν, διὰ δὲ πλούτου ὑπερβολὴν παῤῥησιαζομένων καὶ λαλούντων.

27. P I, 27: Macar. I, 42. Apost. I, 49: Zenob. II, 51, ubi addas Suid. s. αἰεί: *Αἰεὶ φέρει τι Λιβύη κακόν*: ἐπὶ τῶν κακούργων καὶ ἀεί τι κακὸν ἐξευρισκόντων νεώτερον. παρόσον ἡ Λιβύη πολυποικιλώτατα εἴωθε φέρειν θηρία: Aristot. de Generat. Anim. II, 7, p. 746 Bekk.: λέγεται δὲ καὶ τὸ περὶ τῆς Λιβύης παροιμιαζόμενον, ὡς ἀεί τι τῆς Λιβύης τρεφούσης *καινόν*, διὰ τὸ μίγνυσθαι καὶ τὰ μὴ ὁμόφυλα ἀλλήλοις λεχθῆναι τοῦτο.

28. P I, 28: Macar. II, 7. Apost. II, 92: Zenob. II, 56: add. Scholl. ad Eurip. Med. 414: παροιμία δὲ τοῦτο ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προςῆκον μεταβαλλομένων πραγμάτων, οἷον ἀντέστραπται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας: Scholl. ad Lucian. Dial. Mort. VI, 2, p. 68 Iacob.: παροιμία ἐστὶ λεγομένη, ὅτε τὰ ἐναντία τῶν ὀφειλόντων γίνεται, *ἄνω ποταμῶν χωροῦσιν πηγαί*· ἐκ γὰρ τῶν πηγῶν οὐδέποτε ἄνω, κάτω δὲ μᾶλλον χωροῦσι: Baehmanni Anecdd. II, 338, 9. Usurpaverunt permulti: affero Demosth. π. τ. παραπρεσβ. §. 287, p. 433 R.: ἀλλὰ δῆτα *ἄνω ποταμῶν* ἐκείνῃ τῇ ἡμέρᾳ πάντες οἱ περὶ πορνείας ἐῤῥύησαν λόγοι: Diogenes Cynicus apud Diog. Laert. VI, 36 sive Arsen. XXI, 13: Aristot. Meteorol. II, 2, p. 356, 19 Bekk.: συμβαίνει δὲ τοὺς ποταμοὺς ῥεῖν οὐκ ἐπὶ ταὐτὸν ἀεὶ κατὰ τὸν λόγον τοῦτον· ἐπεὶ γὰρ εἰς τὸ μέσον εἰςρέουσιν ἀφ' οὗπερ ἐκρέουσιν, οὐθὲν μᾶλλον ῥευσοῦνται κάτωθεν ἢ ἄνωθεν, ἀλλ' ἐφ' ὁπότερ' ἂν ῥέψῃ κυμαίνων ὁ Τάρταρος· καίτοι τούτου συμβαίνοντος γένοιτ' ἂν τὸ λεγόμενον *ἄνω ποταμῶν*· ὅπερ ἀδύνατον: unde iam ante Aeschylum et Euripidem hanc paroemiam a Graecis usurpatam esse, recte Schaeferus ad Demosth. l. c. conclusit: Cic. Epist. ad Attic. XV, 4: *laudo: si vero etiam Carfulenus*, ἄνω ποταμῶν: Lucian. l. c., ei. Ap. pro Mercede Conduct. §. 1: πολλὴ γοῦν ἡ διαφωνία τοῦ νῦν βίου πρὸς τὸ σύγγραμμα, καὶ *τὸ ἄνω τοῦ ποταμοῦ χωρεῖν* καὶ ἀνεστράφθαι τὰ πάντα καὶ παλινῳδεῖν πρὸς τὸ χεῖρον: Iulian. Oratt. VI, init.: Liban. Epist. 423: νῦν οὖν ἄνω ποταμῶν: Theodor. Metoch. Miscell. 89, p. 578 Kiessl.: *κἀντεῦθεν* ἄνω ποταμῶν κατὰ τὴν παροιμίαν χωροῦσι πηγαὶ καὶ πάντων τῶν ὄντων καὶ τῶν εἰκότων ὁρῶνται τἀναντιώτατα, καὶ ἀταξία πᾶσα καὶ ὕβρις κτλ.: Phot. Epist. 5, p. 69 Mont.: Firmus Epist. 5 in Muratori Anecd. Graec. 285: ἄνω ποταμῶν ἱερῶν, τὸ λεγόμενον, χωροῦσι πηγαί, ὅτε καὶ ἡ εὐλάβειά σου ἀφ' ἡμῶν δεῖται προστασίας, ἑτέροις τοῦτο νέμειν ἐκ τῆς παλαιᾶς συνηθείας ἄδειαν ἔχουσα: alia praebent Burmannus ad Propert. I, 15, 29. II, 12, 33. Marklandus ad Eurip. Suppl. 520. Mitscherlichius ad Horat. Carm. I, 29, 11. Boissonnadus ad Nicet. Eugen. T. II, 233.

29. P I, 30: DV. I, 82.

30 *Ἀπὸ μείζονος ἀνδρὸς ἄλευε:* ἤτοι φυλάττου· ἰωνικῶς.

31 *Ἀράβιος αὐλητής:* ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.

32 *Αἵμασι κλαίειν:* καθ' ὑπερβολὴν, ἐπὶ τῶν σφόδρα δακρυόντων.

33 *Αἱ Χάριτες γυμναί:* ὅτι δεῖ δωρεὰν ** εὐεργετεῖν.

34 *Ἀκόνην σιτίζεις:* ἐπὶ τῶν † τρεφομένων καὶ οὐκ ** ἐπιδιδόντων.

35 *Ἄλλοι κάμον, ἄλλοι ὤναντο:* ἐπὶ τῶν παρ' ἐλπίδα τὰ ἀλλότρια κληρονομούντων.

36 *Ἄλλο γλαὺξ, ἄλλο κορώνη φθέγγεται:* ἐπὶ τῶν μὴ συμφωνούντων ἀλλήλοις.

37 *Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα:* ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.

38 *Ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γομφίοι:* ἐπὶ τῶν λάλων καὶ φάγων.

39 *Ἀνδρὸς γέροντος σταφὶς τὸ κρανίον:* ἐπὶ τῶν εἰς οὐδὲν χρησιμευόντων.

40 *Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος:* ἐπὶ τῶν ἐχόντων τοῖς λόγοις ἀσύμφωνα τὰ ἔργα.

---

1. *ἄλευ' ἀπὸ μ. ἀνδρός* P. *ἄλευε* et *ἰωνικῶς* in M per compendia scripta sunt. 3. *Ἀρράβιος* M. *ὃς κτλ.*] verba in hunc ordinem redigenda sunt: *δραχμῆς μὲν ηὔλει, τεττάρων δὲ παύεται*: v. nott. ad Zenob. II, 58. 5. *αἵματι* P. 7. Scribendum videtur: *ὅτι δεῖ τὴν δωρεὰν ἀψευδῶς χαρίζεσθαι καὶ ἀκενοδόξως εὐεργετεῖν*: v. Apostolium. 8. Explicatio ex ea corrupta est, quam in Diogeniano Vindobonensi legimus. 10. *παρ' ἐλπίδος* M. 12. *γλὰξ* M. 18. *ἀσταφὶς* Zenobius: eandem lectionis diversitatem Gaulminus in Eustath. de Ism. Amor. p. 43 invenit. Egit de nominis forma Hemsterhusius Anecd. p. 56. Suidas hanc explicationem affert: *ἀπὸ μέρους, ἐπὶ τῶν μηδαμοῦ χρησιμευόντων.* 20. *Λάκων* et *Λάκωνος* M. *ὄνος*] *φέρει* ex Diogeniano adiiciendum est.

30. P I, 31: Apost. III, 56: Diogen. II, 56.
31. P I, 32: Macar. II, 37. Apost. III, 71: Zenob. II, 39.
32. L I, 14.
33. P I, 36: Apost. I, 82: Zenob. I, 36: add. Suid. s. *χάριτας* et Mant. Provv. s. *αἱ*. Nudarum Gratiarum meminit Philostr. Epist. 44 init.: *ὅτι πένης εἰμὶ ἀτιμότερός σοι δοκῶ· καὶ μὴν καὶ αὐτὸς ὁ Ἔρως γυμνός ἐστι καὶ αἱ Χάριτες καὶ οἱ ἀστέρες.*
34. P I, 37. F I 26: DV I, 28.
35. P I, 38: DV I, 30.
36. P I, 39. M II, 26: DV I, 31.
37. P I, 40: DV I, 32.
38. P I, 41: Apostol. II, 36: Zenob. I, 73.
39. P I, 42: Macar. II, 13. Apost. III, 5: Zenob. I, 96.
40. P I, 43: DV I, 33.

41 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ᾽ ἐπεισρέει: ἐπὶ τῶν μάτην πονούντων.

42 Ἄμας ἀπήτουν, οἱ δ᾽ ἀπηρνοῦντο σκάφας.

43 Ἄμ᾽ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν ἀχαρίστων.

44 Ἂν μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον: ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

45 Ἄμμες ποτ᾽ ἦμες.

46 Ἀεὶ τὰ πέρυσι βελτίω.

47 Ἀνὴρ δὲ φεύγων οὐ μένει κτύπον λύρας: ἐπὶ τῶν ταχέως ὀφειλόντων ἕκαστα πράττειν.

48 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ᾽ αὐτὸς ἐλθὼν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων.

49 Ἀνέμους γεωργεῖν: ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μεταλαγχανόντων.

50 Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται.

51 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω αἱρουμένων.

52 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει.

53 Ἄλλοι σπείρουσιν, ἄλλοι δ᾽ ἀμήσονται.

54 Ἄρκτου παρούσης ἴχνη ζητεῖς: ἐπὶ τῶν προδήλων.

55 Ἀετὸν κάνθαρος μαιεύεται: ἐπὶ τῶν ὑπό τινων εὐτελῶν πασχόντων. ὁ γὰρ κάνθαρος τὰ τοῦ ἀετοῦ ᾠὰ ἀφανίζει κυλίων.

---

1. ἐξαντλοῦμεν M. 10. δὲ] ὁ PL. λύρας κτύπον Zenobius. 13. ἐξελθὼν idem. 18. ἀντὶ βελτιόνων in fine explicationis addit Diogenianus. 20. ἄλλοι μὲν Diogenianus. ἀμήσουσι Macarius. Totum sic redintegrandum esse putat Nauckius in Schneidewini Phil. II, 158: ἄλλοι μὲν σπείρουσ᾽, ἄλλοι δέ ποτ᾽ ἀμήσονται. 21. ἴχνη μὴ ζήτει Zenobius l. c., ubi v. nott. critt. 23. εὐτελῶν] fortasse post hanc vocem μεγάλα excidit.

41. L I, 15.
42. P I, 45: Macar. II, 1. Apost. II, 63: Zenob. I, 83.
43. P I, 46: DV I, 39.
44. P I, 47: DV I, 40.
45. L I, 16.
46. L I, 17.
47. L I, 18.
48. P I, 49: DV I, 42.
49. P I, 51. F I, 33: DV I, 51.
50. P I, 52: Apost. III, 6: Zenob. I, 85. Usurpat Synes. Epist. 103 fin.: ἀνάγκῃ δὲ οὐδὲ θεοί, φασί, μάχονται. Ἡμῖν δέ ἐστι ἄλλα σεμνότερα.
51. P I, 53: DV I, 43.
52. L I, 20.
53. P I, 55: Macar. I, 78. Apost. II, 24: Diogen. II, 62.
54. P I, 56: Macar. II, 42. Apost. III, 89: Zenob. II, 36.
55. P I, 57: DV I, 65.

56 *Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία.*

57 *Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.*

58 *Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων ἄφρονας.*

59 *Ἄλλοτε μητρυιὴ πέλει ἡμέρα, ἄλλοτε δὲ μήτηρ: ἐπὶ τῶν τότε μὲν εὐημερούντων, ἄλλοτε δὲ δυςημερούντων.*

60 *Ἅμα δίδου καὶ λάμβανε: ἐπὶ τῶν πρὸς ἄπιστον συναλλασσομένων.*

61 *Ἄνθρακες ὁ θησαυρὸς γέγονεν: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων.*

62 *Ἀπὸ τῶν βραδυσκελῶν ὄνων ἵππος ὤρουσεν.*

63 *Ἅπαντα τοῖς σοφοῖς εὔκολα: ἐπὶ τῶν διὰ φρονήσεως πάντων περιγινομένων.*

64 *Ἀργυραῖς λόγχαις μάχου καὶ πάντων κρατήσεις.*

65 *Ἅπας ἐχῖνος τραχύς.*

66 *Ἀσκὸν δείρεις: ἐπὶ τῶν ἀνόητόν τι ποιούντων.*

67 *Αὐλητοῦ βίον ζῇς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων.*

68 *Ἀποτίσεις χοῖρε γίγαρτα: ἤτοι ἃ ἔφαγες, ἀποδώσεις.*

---

1. *βακτηρίαι* M. 5. Scribe *ἡμέρη*. Dele *δέ*. 10. *γέγονεν*] *πέφηνεν* Zenobius. 12. *τῶν* DV om. 13. *διαφρονήσει* M. 14. *πάντων*] *καὶ τῶν δυςκόλων* P cum Zenobio. 15. *ἀργυρέαις* Diogenianus. *λόγχαισι* et *πάντα* idem. 18. *δαίρεις* Diogenianus. *ἀνοήτως* P.

56. P I, 58: DV I, 44.
57. P I, 59: DV I, 45.
58. L I, 21.
59. P I, 62: Macar. I, 90. Apost. II, 25: Diog. II, 76. Expressit Publius Syrus 186: *dies quandoque noverca, quandoque est parens.* Tetigit Eustath. ad Hom. Il. *Ε*, 385, p. 560, 15.
60. P I, 63: Macar. I, 97. Apost. II, 78: Diog. II, 77. Menand. Monost. 748 Mein.: *Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.*
61. P I, 64: DV I, 52.
62. P I, 65: DV III, 100.
63. P I, 66: Macar. II, 22. Apost. III, 58: Zenob. II, 9. Cognatum est Euripideum illud: *φεῦ · τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν*, de quo v. Wyttenbachius ad Plut. de sent. profectu in virt. c. 15, p. 85 A. Matthiae ad Eurip. fr. inc. trag. CXIX: add. Apost. III, 31[a].
64. P I, 67: Macar. II, 29. Apost. III, 91. Mant. Provv. s. *ἀργυραῖς*: Diog. II, 81: add. Hesych. *ἀργύρεαι λόγχαι: αἱ μισθοφόροι.* Alludit Phot. Patr. Epist. 165, p. 229 Mont.: *πάσῃ δὲ μηχανῇ ἐκεκίνητο· οὐκ ἀργυραῖ δὲ ἄρα λόγχαι μόνον, ὃ λέγεται, ἀλλὰ καὶ ψεύδους καὶ ἀπάτης κτλ.*
65. L I, 22.
66. P I, 69: DV I, 84.
67. P I, 70: DV I, 92.
68. P I, 71: DV I, 95.

69 Ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην ἄτην: ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

70 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός.

71 Ἀπὸ κώπης ἐπὶ βῆμα: ἐπὶ τῶν ἀθρόως μεγίστοις ἐγχειρούντων.

72 Αὑτὸν οὐ τρέφων κύνας τρέφεις: ἐπὶ τῶν ἀπορούντων μὲν ἑαυτοὺς τρέφειν, ἄλλους δὲ ἐπαγγελλομένων.

73 Ἁλῶν μέδιμνον ἀποφαγών: ἐπὶ τῶν ἀχαρίστων.

74 Ἅμαξα τὸν βοῦν ἕλκει: ἐπὶ τῶν ἀνεστρόφως τι ποιούντων.

75 Ἁμαξιαῖα ῥήματα: ἐπὶ τῶν μεγάλων λόγων.

76 Ἄνθρωπος Εὔριπος, καὶ ψυχὴ, καὶ διάνοια, καὶ τρόπος: ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων.

77 Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον καὶ ἡ γνάθος.

78 Ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι: ὅμοιον καὶ τό· Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτ' ἴασιν.

---

1. βολὴ Diogenianus. 6. αὐτὸς αὑτὸν DV. 7. ἑτέρους δὲ τρέφειν κατεπαγγελλομένων Diogenianus. 15. ἐς φίλων Zenobius, Macarius. 16. δαῖτα P, δαῖτας Zenobius, Macarius. ἴενται Zenobius.

69. P I, 72: DV I, 57.

70. P I, 73: Macar. I, 46. Apost. I, 57: cf. nott. ad P l. c., quibus add. Etymol. in Crameri Anecdd. Pariss. IV, p. 96, 17: Ἄθως — Ἄθως σκιάζει νῶτα Λημνίας βοός· βοῦς γὰρ ἵδρυται ἐν τῇ Λήμνῳ. Transtulit in latinam linguam poeta apud Varr. L. L. VII, 25: *in cornuatam tauram umbram iaci.*

71. P I, 74: DV I, 74.

72. P I, 75: DV I, 93.

73. L I, 23.

74. P I, 77: Macar. IV, 33. Apost. II, 55: Diog. III, 30.

75. P I, 78: Apost. II, 76. XVI, 49. Arsen. XXXIX, 23. Macar. VII, 98: Diogen. III, 41. Phrynichus in Bekk. Anecdd. I, 24, 31 ἁμαξιαῖα χρήματα explicat: μεγάλα, ἃ φέροι ἂν ἅμαξα, οὐκ ἄνθρωπος ἢ ὑποζύγιον: unde nostrum proverbium explicandum esse Meinekius contendit Comic. Gr. Rell. IV, 663. Et firmatur eius ratio etiam Athen. X, 418 D: ταῦτα δὲ καπανικὰ εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς· Τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα, οἷον τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον: v. Bergkius in Meinekii Com. Gr. II, 2, 1150. Add. Creuzerus ad Ioann. Lyd. de Mensibb. III, 31 ed. Roether. et nott. ad Macar. l. c.

76. P I, 79: Apost. II, 88: Diogen. III, 39. Proverbium illustrat Boissonadus Anecd. Nov. I, 6: add. nott. ad Macar. IV, 21. De Euripo eiusque natura v. Pflugkius Rerum Euboic. Specim. p. 5.

77. P I, 80: Apost. III, 66.

78. P I, 81: Macar. I, 69. Apost. I, 92: Zenob. II, 19. 46. Docte Schol. ad Plat. 373 de proverbio exposuit: ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ὅτε ἑστιῶντο τῷ Κήϋκι ξένοι ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ [fr. I. Mein.] μεταλλάξας αὐτὴν γράφει οὕτως· Οἳ δ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι κομψῶν ἐπὶ δαῖτα θεατῶν. Καὶ Εὔπολις ἐν χρυσῷ γένει [fr. XIV.]: cf. Markschaeffelius ad Hesiod. frr. p. 156.

79 Ἀνεῳγμέναι Μουσῶν θύραι.

80 Ἀρχὴ ἄνδρα δείκνυσιν.

81 Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: ἐπὶ τῶν κακῶς κτηθέντων καὶ ἀποκτηθέντων. ἔμπορος γὰρ ἅλας ἐπιφερόμενος ἐν νηῒ κλύδωνος γενομένου τοὺς ἅλας ἐν τῇ θαλάσσῃ ἀπέβαλεν.

82 Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν.

83 Ἂν ἡ λεοντῆ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόςαψον: ἐπὶ τῶν φανερῶς μὲν βλάπτειν μὴ δυναμένων, πανουργίᾳ δὲ χρωμένων.

84 Ἀρότρῳ ἀκοντίζεις: ἐπὶ τῶν ἀσκέπτως τι ποιούντων.

85 Αὐτὰρ ἡ πάγη ἔοικα λήψεσθαι πάγην.

86 Αὐτοῦ Ῥόδος, αὐτοῦ πήδημα.

---

5. ἐπιγενομένου P. 6. θαλάσσῃ] πθάσσῃ M. 9. ἡ] τῇ PM. ἐξικνεῖται Apostolius. τῇ ἀλωπεκῇ M. πρόςραψον rectius scribi opinatur Meinekius Comm. Gr. frr. IV, p. 697: cf. Apost. XVII, 27 et Plut. Apophth. Reg. cett. 190 E: ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προςραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν. Ceterum idem Meinekius l. c. hisce in verbis latere aut tetrametrum iambicum suspicatur probante Nauckio in Schneidewini Philol. II, 158: ἂν ἡ λεοντῆ μὴ 'ξίκητ' ἀλωπεκῆν πρόςαψον, aut duos trochaicos dimetros: ἢν λεοντῆ μὴ 'ξίκηται, Τὴν ἀλωπεκῆν πρόςαψον. Non assentior: Lysander enim proverbii auctor videtur esse. Adde quae dixi in Philologo T. III, p. 573. 12. ἀδιασκέπτως Apostolius. 13. αὐτὰρ idem. 14. Post proverbium 86 p affert: Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλακευνίαις: ἐπὶ τῶν διὰ τρυφῆς καὶ ἁβρότητος διαφθειρόντων: cf. Apost. III, 35.

79. L I, 24.

80. P I, 83: Macar. II, 43. Apost. IV, 1: Diog. II, 94. De auctore proverbii quaerit Schoellius V. Sophocl. 363. Usurpat Liban. Oratt. III, 377 R.: ἐγὼ μὲν οὐδὲν ἡγοῦμαι μεῖζον ἀρχῆς εἰς γνώμης βάσανον· οἶμαι δὲ καὶ τῇ παροιμίᾳ ταὐτὰ δοκεῖν, ἥ φησιν ἐν ἀρχῇ τὸν ἄνδρα δείκνυσθαι. Auctor incertus in Boissonadi Anecdd. III, 467: ἀρχὴ ἄνδρα δείξει· ἡ γὰρ ἀρχὴ πάντας φανεροῖ.

81. P I, 84: Apost. II, 9: Zenob. II, 20.

82. P I, 86. Macar. II, 65: Apost. IV, 6: Diog. II, 90. Est versus Theognidis, 625 Bekk.

83. P I, 87: Apost. III, 24: Zenob. I, 93: cf. Macar. VIII, 16. Tetigit C. O. Muellerus Dor. I, 198. Cognatum est proverbium apud Aristoph. Pac. 1188: πολλὰ γὰρ δή μ' ἠδίκησαν, Ὄντες οἴκοι μὲν λέοντες, Ἐν μάχῃ δ' ἀλώπεκες, ubi Scholia: παροιμία παρὰ τοὺς ἐν τῇ Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας, Οἴκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες [Λάκωνες codd.]: quod adhibuit Lamia apud Alciph. Ep. II, 1 sive Aelian. Var. Hist. XIII, 9: Λαμία γοῦν ἡ Ἀττικὴ ἑταίρα εἶπεν, οἱ ἐκ τῆς Ἑλλάδος λέοντες ἐν Ἐφέσῳ γεγόνασιν ἀλώπεκες. Aliter Plut. Compar. Lys. cum Sulla 3: οἴκοι λέοντες, ἐν ὑπαίθρῳ δ' ἀλώπεκες. Cf. Macar. IV, 18.

84. P I, 88: Macar. II, 46. Apost. IV, 8: Diogen. III, 33.

85. P I, 89: Apost. IV, 22.

86. P I, 90: Macar. II, 63. Apost. IV, 41. VIII, 98: cf. Diogen. V, 18. Ductum est ex Aesopo: v. Aesop. fab. 30 Fur.

87 Ἀρχαϊκὰ φρονεῖς: ἤτοι εὐήθη.

88 Ἀβυδηνὸν ἐπιφόρημα: διὰ τὸ τοὺς Ἀβυδηνοὺς μετὰ δεῖπνον προςάγειν τοὺς αὐτῶν παῖδας τοῖς εὐωχουμένοις κεκραγότας καὶ θορυβοῦντας καὶ ἀηδίαν ἐμποιοῦντας τοῖς δαιτυμόσιν.

89 Ἄβρωνος βίος: ὁ πολυτελής. Ἄβρων γάρ τις ἐγένετο πλούσιος· ὅθεν καὶ ἁβροδίαιτος.

90 Ἀεὶ γεωμόρος ἐς νέωτα πλούσιος.

91 Ἀδεὲς δέος: ἐπὶ τῶν μάτην δεδοικότων.

92 Ἀγαμεμνόνεια φρέατα: Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν.

93 Ἀγαμέμνονος θυσία: ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν. θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη.

94 Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον: ἐπὶ τῶν τὰ δεύτερα τισὶ διδόντων.

95 Ἀγαθώνειος αὔλησις: ἡ ἡδίστη καὶ εὐφραντή.

96 Ἀνδριὰς σφυρήλατος: ἐπὶ τῶν ἀναισθήτων.

97 Ἀγέλαστος πέτρα: ἐπὶ τῶν λύπης προξένων· ἐφ' ἧ ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει, ἐκάθισεν.

98 Ἀγαθῶν θάλασσα· καὶ Ἀγαθῶν θησαυρός· καὶ Ἀγαθῶν ἀγαθίδες· καὶ Ἀγαθῶν μυρμηκιά: ἐπὶ πλήθους ἀγαθῶν λέγονται.

99 Ἁγνότερος πηδαλίου: παρόσον ἐν θαλάττῃ τὸ πηδάλιον ἄττον † καθαρὸν ἐστίν.

100 Ἄλλος οὗτος Ἡρακλῆς: ἐπὶ τῶν ἰσχυρῶν.

1 Ἅλις δρυός: ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα μεταβαλλομένων· παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοί, μετεῖχον σίτου καὶ οἴνου.

---

4. ἀηδίως M. 6. Ἄβρωνος et postea Ἄβρων L. 8. γεωκόρος M. 10. ἀγαμέμνονα M. παρὰ] scribe περί. 25. ἄττον] scribendum videtur ἀεὶ ὄν.

87. L I, 25.
88. L I, 26.
89. L I, 27.
90. L I, 28.
91. L I, 29.
92. L I, 30.
93. L I, 31.
94. L I, 32. Cf. Apost. I, 8.
95. L I, 33.
96. L I, 34.
97. L I, 35.
98. L I, 36.
99. L I, 37.
100. L I, 38.
1. L I, 39. Cf. Macar. III, 40.

2 *Ἄκαιρος εὔνοι᾽ οὐδὲν ἔχθρας διαφέρει*: ταύτην Ἱππόλυτος πρὸς Φαίδραν εἶπε, φάσκουσαν φιλεῖν αὐτὸν σφόδρα.

3 *Αὐτοὶ χελώνας ἐσθίετε, εἴπερ ἔχετε*: ἁλιεῖς ἠλίευσαν μεγάλην χελώνην καὶ ἀνασπάσαντες αὐτὴν ἐμέριζον τὴν παροῦσαν· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν ἐκάλουν· ὁ δὲ τὸ προκείμενον εἶπε.

4 *Ἂν οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου*: ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων.

5 *Αἱροῦντες ᾑρήμεθα*: ἐπὶ τῶν ἐλπισάντων νικᾶν [τινὰς], εἶθ᾽ ὑπ᾽ ἐκείνων ἁλόντων.

6 *Αἰάντειος γέλως*: ἐπὶ τῶν παραφρόνως γελώντων.

7 *Ἀνίπτοις χερσίν*: ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων.

8 *Ἀκέφαλος μῦθος*: ἐπὶ τῶν ἀτελῆ λεγόντων.

9 *Ἄλλως ᾄδεις*: ἐπὶ τῶν μάτην πονούντων.

10 *Ἅμ᾽ ἔπος, ἅμ᾽ ἔργον*: ἐπὶ τῶν ὀξέως ἀνυομένων.

11 *Ἀντιπελαργεῖν*: ἀντὶ τοῦ ἀντιδιδόναι χάριτας. λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τροφεῖν.

12 *Ἄπληστος πίθος*: ἐπὶ τῶν γαστριμάργων.

13 *Ἄνθρωπος ἀνθρώπου δαιμόνιον*: ἐπὶ τῶν ἀπροσδοκήτως ὑπ᾽ ἀνθρώπων σωζομένων.

14 *Ἄξιος τοῦ παντός*: ἐπὶ τῶν σφόδρα τιμίων.

15 *Αἰεὶ γέροντι νέαν ποτιβάλλει κούρην*: ἐπὶ τῶν πρεσβυτέρων βουλομένων νέαις συνευνάζεσθαι.

16 *Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος*: ἐπὶ τῶν εὐγενῶν.

17 *Ἀνέμου παιδίον*: ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

18 *Ἀπὸ βαλβῖδος*: ἤτοι ἀπ᾽ ἀρχῆς δεῖ καλὸν εἶναι.

---

1. εὔνοια M. 4. ἐσθιέθ᾽, εἴπερ εἵλετε Zenobius. 5. ἀνασπάσαντες M. 8. κόνδυν M. 10. ᾑρημεθα M. 11. τινὰς ego inserui. 19. τρέφειν LF: v. Lobeckius ad Phrynich. 589. 24. ποτιβάλλειν L, ubi v. notas.

2. L I, 40.
3. L I, 41.
4. L I, 42.
5. L I, 43.
6. L I, 44.
7. L I, 45.
8. L I, 46.
9. L I, 47. Cf. Zenob. I, 72.
10. L I, 48.
11. L I, 49.
12. L I, 19.
13. L I, 50.
14. L I, 51.
15. L I, 52.
16. L I, 53.
17. L I, 54.
18. L I, 56. Cf. Apost. III, 40.

19 Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς: ἐπὶ τῶν κακὰ ἀντὶ κακῶν ἐπιδιδόντων.

20 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: ἐπὶ τῶν μωρὰ διηγουμένων. ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ἐπεγράφετο τὰ γινόμενα, παμπάλαιος.

21 Ἀφ᾽ ὑψηλοῦ μου καταγελᾷς: ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων. ὡσανεὶ πάνυ μου καταφρονεῖς.

22 Ἀργούντων χορός: ἐπὶ τῶν κακὰ ποιούντων.

23 Ἄϊδος κυνῆν: ἐπὶ τῶν ἐπικρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαῦτα γὰρ τὰ τοῦ Ἅιδου.

24 Αἰτναῖον κάνθωνα: τὸν μέγαν.

25 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν.

26 Ἄλλο γλαῦξ, ἄλλο κόρυδος φθέγγεται.

27 Ἀντλεῖν ἀμφοτέραις: ἐπὶ τῶν σπουδῇ τι ποιούντων. ὅμοιον τῇ· πάντα κάλων κινεῖν.

28 Ἀθηνᾶ τὸν αἴλουρον: λείπει τὸ συγκρίνεις.

29 Ἀηδόνες λέσχαι**: ἐπὶ τῶν ἀδολεσχούντων.

30 Ἀρουραία μάντις: ἀκρὶς δυσκίνητος, χλωρά· ταύτης ταῖς κινήσεσι οἱ ἀγροῖκοι προσέχουσι καὶ μαντείας ἐξ αὐτῆς ποιοῦνται· τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευομένων.

31 Αἱ Οἰδίποδος ἀραί: αἱ φρικταὶ καὶ παλαμναῖαι.

32 Αἴρειν ἔξω πηλοῦ πόδα.

---

1. κακὰ] καλὰ Zenobius. 2. ἀνταποδιδόντων Diogenianus. 6. μου] μοι M. 11. Αἰτναῖος κάνθαρος Diogenianus; Hesych. v. κάνθων: κανθάρῳ: cf. Arist. Pac. 81. ibiq. Scholl. 13. κόρυδος] sup. I, 26 κορώνη. 17. λέσχαις ἐγκαθήμεναι Diogenianus. 18. V. Ἀρουραία μάντις, quae in M post proverbium 31 posita erant, huc retraxi. ἀκρὶς] praecedunt ἔστι δὲ in Suida. 19. προσέχουσι] προστρέχουσι M. 20. ποιοῦται M. ἐπὶ τῶν νωθρῶν καὶ ἀπράκτων Suidas.

19. L I, 57.
20. L I, 58.
21. L I, 59.
22. L I, 60.
23. L. I, 12.
24. Apost. I, 79: Diogen. I, 59.
25. Macar. I, 73. Apost. II, 10: Zenob. I, 62.
26. Cf. sup. I, 36.
27. DV I, 50. Πάντα κ. κ.] v. infr. V, 5.
28. DV I, 63.
29. Macar. I, 45. Apost. I, 52: Diog. II, 48. Huc pertinet Dio Chrysost. Oratt. 47, p. 527 Mor.: καλῶς μέ τις ἀηδόνα ἔφη τῶν σοφιστῶν λοιδορῆσαι βουλόμενος. διὰ τοῦτο, ἐμοὶ δοκεῖν, ὅτι καὶ τὴν ἀηδόνα γλωσσουργὰν φασιν οἱ ποιηταί. ἴσως δ᾽ ἂν ὅμοιος εἴην τοῖς τέττιξι v. Apost. XVI, 81. Neque aliena est a proverbio locutio τὸν ἥλιον ἐν ταῖς λέσχαις καταδύειν, de qua egit Iacobsius ad Aelian. H. Anim. VI, 58.
30. Append. Provv. I, 40. De Scholiasta ad Theocr. X, 18, qui maxime huc facit, disputat G. Hermannus Opuscc. IV, 10.
31. DV I, 67.
32. Apost. I, 65: cf. infr. III, 22.

33 *Ἀκμὴ καλεῖ.*

34 *Ἀφ' ἵππων εἰς ὄνους.*

35 *Ἄκρῳ ἅψασθαι δακτύλῳ.*

ΑΡΧΗ ΤΟΥ Β.

36 *Βασίλειος ὀφθαλμός: τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν.*

37 *Βάτραχος Σερίφιος: ἐπὶ τῶν ἀφώνων.*

38 *Βάλλ' ἐς ὕδωρ: ἀντὶ τοῦ καταπόντισον. ἐπὶ τῶν ὀλέθρου ἀξίων.*

39 *Βορβόρῳ ὕδωρ λαμπρὸν οὔποθ' εὑρήσεις: ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.*

40 *Βὴξ ἀντὶ πορδῆς: ἐπὶ περδόντων καὶ προσποιουμένων βήχειν ἢ γελᾶν. ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων.*

41 *Βοῦς ἐν πόλει: ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν.*

42 *Βατράχῳ ὕδωρ· καί· Στέαρ γαλῇ: ἐπὶ τῶν ταὐτὰ διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.*

43 *Βάλλεις μήλοις: ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων.*

44 *Βαλανεύς: ἐπὶ τοῦ πολυπράγμονος. οὗτοι γὰρ σχολὴν ἄγοντες, πολυπράγμονες εἰσίν.*

45 *Βοιώτιος νοῦς: ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἀεὶ ὠνειδίζοντο οἱ Βοιωτοί.*

46 *Βοιώτια αἰνίγματα: ἐπὶ τῶν ἀσυνέτων· Βοιωτὴ γὰρ ἡ Σφίγξ.*

---

16. *ἀνέθηκε* BV. 17. *γαλῇ στέαρ* Suidas. Explicatio in M sequenti proverbio male apposita erat. 19. *βάλλειν* Diogenianus. Explicatio in M proverbio antecedenti addita erat. Suidas explicat: *ἐπὶ τῶν τυγχανόντων ὧν ἐρῶσι.*

33. Hesych. Suid. *Σ. Α.* in Bekk. Anecdd. I, 365, 15: *ἀκμὴ καλεῖ: καιρὸς καλεῖ.* Apposite citat Bernhardius ad Suidam Eurip. Hecub. 1042: *βούλεσθ' ἐπεισπέσωμεν; ὡς ἀκμὴ καλεῖ Ἑκάβῃ παρεῖναι κτλ.*

34. DV I, 56.

35. L I, 13.

36. L I, 65.

37. L I, 66.

38. L I, 67.

39. L I, 68.

40. L I, 69.

41. L I, 70.

42. L I, 71.

43. L I, 72.

44. L I, 73.

45. P I, 91: Macar. II, 79. Apost. V, 11 ibiq. v. nott. De Boeotorum *ἀναισθησίᾳ* v. Boettiger Opusc. I, 39. Boissonadus ad Babrii fabb. p. 36. Athenienses de homine stulto dicere solebant *Βοιώτιος, Βοιώτιος τὸ γένος* et similia: v. Lucian. Iudic. Vocal. §. 7 ibiq. Hemsterhusius: add. Gatackeri Advers. Posth. 552 Opp.

46. P I, 94: Macar. II, 86. Apost. V, 12. Zenob. II, 68.

47 *Βοιώτιος νόμος:* ἐπὶ τῶν καταρχὰς ἠρεμούντων, ὕστερον δὲ ταρασσομένων.

48 *Βάσανος λίθος:* ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

49 *Βοῦς ἐπὶ γλώσσης:* ἐπὶ τῶν δωροδοκουμένων, διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βοῦν ἔχειν.

ΑΡΧΗ ΤΟΥ Γ.

50 *Γόνυ κνήμης ἔγγιον:* ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων.

51 *Γέροντα δ' ὀρθοῦν φαῦλον, ὃς νέος πέσῃ.*

52 *Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος:* ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.

53 *Γραῦς βακχεύει:* ἐπὶ τῶν παρ' ὥραν τὶ διαπραττομένων.

54 *Γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος ἁπάντων, ἣ πλήρης μὲν ἐλαφροτέρα, κενεὰ δὲ βαρεῖα.*

55 *Γῆς βάρος:* ἐπὶ ἀχρήστων.

56 *Γλυκὺς ἀπείρων πόλεμος:* ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους.

57 *Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει:* ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

58 *Γύγου δακτύλιος:* ἐπὶ τῶν πολυμηχάνων.

---

1. Suidas explicat: *ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων:* v. Macarium. 5. *δωρονουμένων* M. 10. *φλαῦρον* Sophocles, P. 11. *γλυκεῖα* M. 13. *τὶ* M om. 16. *ἐλαφροτερὴ* et *κενεὴ* Diogenianus. 18. *τῶν ἀχρήστων* F. 19. *ἀπείρῳ* nunc Diogenianus: *ἀπείρων* in codd. Diogeniani invenitur. 21. Scribe *ἀνακορτήσασα.*

47. P I, 92: Macar. II, 80: Apost. V, 4: Zenob. II, 65.

48. E I, 64.

49. P I, 95: DV II, 2.

50. P I, 96: Apost. V, 59: Zenob. III, 2: add. Thom. Mag. 125 R.: *καὶ ἡ παροιμία· γόνυ κνήμης ἔγγιον, ἐπὶ τῶν τοὺς οἰκείους εὐεργετούντων.*

51. P. I, 97: Apost. V, 39. Est Sophoclis Oed. Col. 395, ubi in Scholiis haec explanatio profertur: *τὸν ἅπαξ ἐν νεότητι πεσόντα, ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον.*

52. P I, 98: DV II, 17.

53. P I, 99: DV II, 11.

54. P II, 1: Apost. V, 22: Diogen. III, 85. Tetigit Valckenarius ad Eurip. Phoeniss. 828, de sensu vv. *κάλλιστον ὄνειδος* agens.

55. P II, 2. F I, 61: Macar. II, 98. Apost. V, 41[f]: Diog. III, 90.

56. L I, 74.

57. P II, 4: DV II, 18.

58. P II, 5: DV II, 20.

59 *Γυμνότερος παττάλου:* ἐπὶ τῶν σφόδρα ἀπόρων.

60 *Γυνὴ στρατηγεῖ· καί· Γυνὴ στρατοπεδεύεται:* ἐπὶ τῶν παραδόξων.

61 *Γυναικὶ μὴ πίστευε, μηδ' ὅταν θάνῃ.*

62 *Γέλως Ἰωνικός:* ἐπὶ τῶν ἐκλελυμένων· εἰς τοῦτο γὰρ οἱ Ἴωνες διεβάλλοντο.

63 *Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται.*

64 *Γλαῦκα εἰς Ἀθήνας:* ἐπὶ τῶν ἐπιδεικνυμένων πρὸς τοὺς εἰδότας, ἅπερ ἄμεινον αὐτῶν ἴσασι. ὅτι πολλαὶ εἰς Ἀθήνας γλαῦκες.

65 *Γέρων βοῦς ἀπένθητος ἐν δόμοισιν.*

66 *Γνῶθι σαυτόν:* ἀπόφθεγμα Χίλωνος. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ ὅ εἰσι κομπαζόντων.

67 *Γυμνότερος λεβηρίδος:* λεβηρὶς γὰρ τὸ δέρμα τοῦ ὄφεως ἢ τοῦ ἐμβρύου.

68 *Γυμνῷ φυλακὴν ἐπιτάττεις:* ἐπὶ τῶν μὴ δυναμένων τὰ προςτεταγμένα πληροῦν.

69 *Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος:* ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

70 *Γηρᾷ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ.*

71 *Γυμνῇ τῇ κεφαλῇ:* ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν.

72 *Γυμνὸς ὡς ἐκ μήτρας:* ἐπὶ τῶν ἀπόρων.

73 *Γυναικὸς φρένας:* ἐπὶ τῶν ἀνοήτων.

---

2. *στρατοπαιδεύεται* M. 5. *γέλως*] *γένος* M. 7. *ἁλίσκεται πάγῃ* Suidas, qui explicat: *ἐπὶ τῶν διὰ χρόνου πλῆθος ἐμπείρων καὶ δυςαλώτων.* 9. Scribe *ἐν Ἀθήναις*: idem vitium in Apostolio exstat. 13. *ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπ.* L. 17. *πληροῦν* (sic) M. 18. *δ' αἰεὶ* Zenobius. *διὰ τὸ γῆρας* idem. 24. *φρένες* Diogenianus.

59. P II, 6. F I, 63: DV. II, 19.

60. P II, 7: Macar. III, 12. Apost. V, 76: Diog. IV, 1. In animo habuit Eustath. de Ismen. Amor. V, p. 154 Gaulm.: *ἀπολώλαμεν. Πανθία στρατεύει καὶ γυναῖκες τὸ στράτευμα.*

61. P II, 8: Macar. III, 13: Apost. V, 77: Diog. IV, 4. Ornate sententiam expressit Antiphanes Stobaei Flor. LXXIII, 48: *ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον, Ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν, Τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ' ἕως ἂν ἀποθάνῃ.*

62. L. I, 75.

63. P II, 10: DV II, 23.

64. P II, 11: DV II, 13.

65. P II, 12: DV II, 25.

66. L I, 76.

67. L I, 77.

68. L I, 78.

69. L I, 79.

70. L I, 80.

71. L I, 81.

72. L I, 82.

73. L I, 83.

74 *Γλῶσσα ποῦ πορεύῃ, πόλιν ἀνορθώσασα καὶ πάλιν καταστρέφουσα:* ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόντων ἢ ὠφελούντων.

75 *Γλαῦξ ἵπταται:* ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον τοῖς Ἀθηναίοις ἐνομίζετο.

76 *Γεράνδρυον μεταφυτεύειν:* ἐπὶ τοῦ μὴ δεῖν τοὺς γέροντας ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα προτρέπειν. γεράνδρυον γὰρ τὸ γηράσκον φυτόν· καὶ δρῦς πᾶν φυτὸν γενικῷ ὀνόματι καλεῖται.

77 *Γύργαθον φυσᾷς:* ἐπὶ τῶν μάτην πονούντων.** οἱ δὲ, τὸ δίκτυον.

ΑΡΧΗ ΤΟΥ Δ.

78 *Δίκην ὑφέξει, κἂν ὄνος δάκῃ κύνα:* ἐπὶ τῶν ἐπὶ μικρῷ συκοφαντουμένων.

79 *Δίκη δίκην ἔτικτε καὶ βλάβην βλάβη:* ἐπὶ τῶν

1. πόλιν] πάλιν M. 2. πάλιν] πόλιν Diogenianus. ἀναστρέψασα idem. βλαπτούντων M. 4. πτῆσις] νίκη M. 6. γεράδρυον M: hanc formam probari non posse, praeter eos, quos in ann. ad Zenob. l. c. attuli, Boissonadus ad Aristaen. Epist. II, 1, p. 622 et Lucas in Observv. Philologg. de nigri coloris significatione singulari Spec. I, p. 14. demonstrant. ἐπὶ κτλ.] Suidas explicat: ἐπὶ τοῦ ἀδυνάτου. παρεγγυᾷ ὅτι μὴ δεῖν τοὺς παρηβηκότας προσάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα. 7. προτρέπειν] προπέμπειν Apostolius, προάγειν Zenobius. γεράδρυον M: γεράνδρυον grammatici, qui eandem quam supra legimus vocis γεράνδρυον explicationem exhibent, ad unum omnes tenent: v. Etym. M. 228, 28. Zonar. 431, et, qui brevius vocem tractant, Phrynichus in Bekkeri Anecdd. 32, 27. Scholl. ad Apoll. Rhod. I, 1118. Hesych. s. v., glossa cod. Medicei in nott. Bernhardii ad Suid. s. γεράνδρυον. 10. οἱ δὲ κτλ.] Scribe cum Apostolio: σημαίνει δὲ τὸ δίκτυον: v. Zonar. 458: γύργαθος. τὸ δίκτυον, et cf. intt. ad Hesych. s. γύργαθον. Nisi supersunt haec verba ex ampliore de voce γύργαθος expositiuncula: v. Suid. s. γύργαθος: ... γύργαθός οὖν κλίνη, ἐν ᾗ τοὺς πυρέτους καὶ δαιμονιώδεις στροβοῦσι: Hesych. s. γύργαθον: σκεῦος πλεκτὸν, ἐν ᾧ βάλλουσι τὸν ἄρτον, οἱ ἀρτοκόποι. Proverbio autem unice retis significationem convenire, iam H. Stephanus in Erasmi Adag. Animadv. 70 intellexit: nam quis magis frustra laborat, quam is qui rete sufflat, aut qui, ut alio proverbio dicitur, reti ventos venatur: Apost. III, 13. 13. P δάκνῃ.

74. L I, 84.
75. L I, 85.
76. Apost. V, 32: Zenob. III, 1. Ad sententiam cf. Philemonem in Comp. Men. et Philem. p. 358: μὴ νουθέτει γέρονθ᾽ ἁμαρτάνοντά τι· δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον, et Menandrum ibid. 365. Καὶ δρῦς κτλ.] Herodian. p. 464 Piers.: δρῦν κοινότερον πᾶν ἐκάλουν δένδρον οἱ παλαιοί· οὕτω καὶ μικρόδρυα πᾶσαν τὴν ὀπώραν κτλ.: quae possunt augeri e Schol. Veneto ad Hom. Il. Λ, 86. Etym. M. 288, 22. Hesych. s. δρῦς, Scholl. ad Nicand. Theriac. 23. Eustath. ad Hom. Il. Ζ, 469, p. 633, 36.
77. DV II, 21.
78. P II, 13: DV II, 30.
79. L I, 87.

φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις: καὶ ἐπὶ τῶν πυκναῖς προςπιπτόντων συμφοραῖς.

80 *Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προςκρούειν λίθον.*

81 *Δωδωναῖον χαλκεῖον*: ἐπὶ λάλου.

82 *Δακτύλῳ δεῖ σε ἑλκυσθῆναι*: ἐπὶ τῶν διὰ ** ἢ [illegible] λύπην ἰσχνῶν γενομένων.

83 *Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας.*

84 *Δεινοὶ πλέκειν γε μηχανὰς Αἰγύπτιοι.*

85 *Δέδοται καὶ κακοῖς ἄγρα.*

86 *Δεύτερος πλοῦς.*

87 *Δελφῖνα λεκάνη οὐ χωρεῖ.*

88 *Δὶς παῖδες οἱ γέροντες*: ἐπὶ τῶν πρὸς τῷ γήρᾳ εὐηθεστέρων εἶναι δοκούντων.

89 *Δαιδάλεια ποιήματα*: ἐπὶ θαυμασμοῦ.

90 *Δικαιότερος σταχάνης*: ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. οἱ γὰρ Δωριεῖς σταχάνην τὴν τρυτάνην καλοῦσι διὰ τὴν στάσιν.

91 *Διωλύγιον κακόν*: ἐπὶ τῶν μέγα τι κακὸν ὑφισταμένων.

92 *Διὸς ψῆφος*: ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

93 *Διὰ μέσου καὶ λιμὸς ἔῤῥει καὶ κάλλιστ' ἀπόλλυται*: φθαρέντος τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται.

ΑΡΧΗ ΤΟΥ Ε.

94 *Εὐγενέστερος Κόδρου.*

95 *Ἐν μὲν τῷ φάει σκοτεινός, ἐν δὲ τῷ σκότει φαεινός.*

---

3. εἰςκρούειν P. 5. *Διὰ δακτυλίου* Diogenianus. διὰ νόσον ἢ κτλ. idem. 8. γε] τοι Zenobius: cum Gregorio BK faciunt. 12. πρὸς τὸ γῆρας Diogenianus. 14. *Δαιδάλου* idem. θαυμασμοῦ] v. ἀξίων post hanc vocem excidisse videtur. 20. μάλιστ' Apostolius. 24. Postquam in initio proverbii vv. Ἀργυροῦς σμάραγδος exciderant, proverbium huc translatum est: v. nott. critt. ad P l. c., ad Apost. III, 15.

80. P II, 15: DV II, 32.

81. P II, 16: cf. annott. ad Apost. VI, 43. Usurpavit Callim. fr. 306 Bentl., de quo v. Heckerus Comm. Callim. 50 sq.: add. Aristid. ὑπὲρ τ. τεττ. 309: ἐπειδὰν δὲ κακῶς τινας εἰπεῖν δέῃ καὶ καταβαλεῖν, τῷ Δωδωναίῳ μὲν οὐκ ἂν εἰκάσαις αὐτοὺς χαλκείῳ.

82. P II, 17: DV II, 41.

83. P II, 18: Macar. III, 43: Apost. VI, 42: Diog. IV, 21: add. Suid. s. πείθω.

84. L I, 88. F I, 70.

85. P II, 20: Apost. V, 89: Zenob. III, 31.

86. P II, 21. F I, 72: DV II, 45.

87. P II, 22: Apost. V, 99.

88. L I, 89.

89. L I, 90.

90. L I, 91.

91. L I, 92.

92. L I, 93.

93. L I, 94.

94. Cf. nott. ad Macar. IV, 20.

95. P I, 85.

96 *Ἐπιμενίδου ὕπνος*: ἐπὶ τῶν πολλὰ κοιμωμένων· πεντήκοντα γὰρ ἔτη ἐκάθευδεν.

97 *Ἐς Τροφωνίου μεμάντευσαι*: ἐπὶ τῶν σκυθρωπῶν καὶ ὠχρῶν.

98 *Ἐν ἄλῳ δρασκάζεις*: ἤτοι κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.

99 *Ἔστω ταμίας· τἄλλα δ' εἰ βούλει κύων*: ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων καὶ μάλιστα εὐνούχων.

100 *Ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο*: ἐπὶ τῶν τὸ εἶδος εὐτελῶν, εἰς χρείαν δὲ ἀναγκαίων.

1 *Εἰς ἀρχαίας φάτνας*: ἐπὶ τῶν ἐλθόντων εἰς ἅπερ πρότερον ὄντες ἐξέπεσον.

2 *Ἐν δυοῖν τρία βλέπεις*: ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ὁρώντων.

3 *Ἐκπερδικίσαι*: ** καὶ ἐκκλῖναι. ἐπὶ τῶν διαδιδρασκόντων τοὺς θηρευτάς.

4 *Ἐλέφαντα ἐκ μυίας ποιεῖς*: ἐπὶ τῶν τὰ μικρὰ ἐπαιρόντων τῷ λόγῳ.

5 *Ἐμαυτῷ βαλανεύσω*: ἀντὶ τοῦ, ἐμαυτῷ διακονήσω.

6 *Εἰς ἀσθενοῦντας ἀσθενῶς ἐλήλυθας*: ἐπὶ τῶν ὅμοια πασχόντων.

---

1. *Ἐπιμένιδος* M: *Ἐπιμενίδειος* C: *Ἐπιμενίδου* P, Diogenianus praebuerunt. 3. *μάντευσαι* M: *μεμάντευται* Diogenianus. 5. *ἤτοι*] *ἢ* M. 7. *ταμίας*] corrige *τομίας*. *δ' εἰ βούλει*] *δ' .. βούλει* [sic] M: *τὰ δ' ἄλλ' εἰ* Apostolius: fortasse *τὰ δ' ἄλλα γ'* scribeudum. 9. *γένοιτ' ἂν* Zenobius: cum nostro Apostolius consentit. Explicationem integriorem Suidas servavit: *λέγεται δὲ καὶ ἐπὶ τῶν ὁραθῆναι μὲν εὐκαταφρονήτων, ἀναγκαίων δέ. οἱ δὲ ἐπὶ τῶν δόξαν παρασχόντων ὡς ἀγαθῶν, εὑρεθέντων δὲ ἑτεροίων.* 11. *ἐπὶ τῶν ἐλθόντων πάλιν εἰς ἐκεῖνα, ἀφ' ὧν ἐξέπεσον* K: v. Apostolius. 13. *ἐκ δυοῖν* Diogenianus. 15. *καὶ ἐκκλινίσαι* M: posui lacunae signa: excidit enim aut *διολισθῆναι* aut *διαδρᾶναι*. Ceterum cf. Scholl. ad Arist. Av. 769: *λαμβάνοντες* [perdices] *γὰρ κάρφη τοῖς ποσίν, ὑπτίους ἑαυτοὺς ῥίπτουσι καὶ οὕτως ἐπικαλύπτουσι καὶ ἐκκλίνουσι.* 19. *Κἀγὼ 'μαυτῷ* Arsenius. 20. *ἀσθενῶν ἐλήλυθα* Zenobius.

96. P II, 23: DV II, 49. Apost. VII, 73.
97. P II, 24: DV II, 60.
98. L I, 97.
99. P II, 26. F I, 81: Apost. VIII, 2.
100. P II, 27. F I, 83: Apost. VI, 95: Zenob. IV, 7. Versum Epicharmeum, ex quo secundum veteres proverbium manavit, Schneidewinus tractat Coniect. Critt. p. 73 et scribendum putat: *ἐκ παντὸς ξύλω Κλῳὸς γένοιτ' ἂν καὶ θεός.*
1. P II, 28: DV II, 53.
2. P II, 29: DV II, 56.
3. P II, 30: DV II, 57.
4. P II, 31: DV II, 67.
5. P II, 32: Macar. III, 77. Apost. IX, 16[b]: Zenob. III, 58.
6. P II, 33: Apost. VI, 52: Zenob. III, 56.

7 *Εὕδοντι κύρτος αἱρεῖ: ἐπὶ τῶν εὐτυχούντων.*

8 *Ἔνεστι καὶ μύρμηκι χολή: ὅτι μηδὲ τοῦ μικροῦ δεῖν καταφρονεῖν.*

9 *Ἐκ τετρημένης κύλικος πιεῖν: ἐπὶ τῶν ἐψευσμένων φίλων.*

10 *Ἐν μέλιτι σαυτὸν κατακρύπτεις: ἐπὶ τῶν συζώντων ἡδυπαθείαις.*

11 *Ἐνδυμίωνος ὕπνον ὑπνώττει: ἐπὶ τῶν πολλὰ κοιμωμένων.*

12 *Ἐνδύεται τὴν λεοντῆν.*

13 *Εἴληφεν ἡ παγὶς τὸν μῦν: ἐπὶ τῶν ἀξίως ἁλισκομένων.*

14 *Ἐν τριόδῳ εἰμὶ λογισμῶν: ἐπὶ τῶν ἀπορούντων.*

15 *Ἕλκων ἐφ᾽ ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος.*

16 *Ἐν φρέατι κυσὶ μάχεσθαι.*

17 *Ἐκδεδαρμένον δαίρεις: ἐπὶ τῶν μάτην πονούντων. βέλτιον δὲ ἐπὶ τῶν κακούντων τοὺς ἐν συμφοραῖς.*

---

2. *κἂν* Zenobius. *Ἔνεστι καὶ μύρμηκι χόλος* Eustathius profert in comm. ad Hom. Od. Θ, 1599, 37. 4. Suidas explicat: *ἐπὶ τῶν διημαρτημένων ἐν πίστει.* 6. *καταπλάττεις* Diogenianus. 8. *ὑπνώττει*] *καθεύδεις* idem. 10. *τὴν*] *τὸν* M, *μοι τὴν* Zenobius. 13. *λογισμῶν* Zenobius om. 14. *ἐφ᾽ αὑτὸν ὥστε Καικίας* Diogenianus. 15. *κυσὶ μάχεσθαι*] *κυνομαχεῖν* Hesychius, Apostolius: *κυνὶ μάχεσθαι* Gaisfordus in Zenobio et Suida cum antiquis editionibus: nunc utrique recte *κυσὶ* restitutum est. Aliter iudicat Finckhius in Zenob. Provv. Annott. p. 15. *ἐπὶ τῶν δυσφεύκτων* dici adnotat Hesychius. 16. *δέρεις* P, Suidas. 17. *βέλτιον δὲ κτλ.* Suidas om.

7. P II, 34: Apost. VIII, 9: Diog. IV, 65.

8. P II, 35: Macar. III, 81. Apost. VII, 18. VIII, 25: Zenob. III, 70. Integrum proverbium Suidas tradit in v. *σέρφος*: *ἔνεστι κἂν μύρμηκι κἂν σέρφῳ χολή*: v. quae de eo dixi in Schneidewini Philol. III, 3, p. 571: Sophocli tribuit auctor incertus in Crameri Anecdd. Pariss. I, 397, 3. Adhibuit Palladas in Anth. Pal. X, 49, 1: *καὶ μύρμηξι χολὴν καὶ σέρφοις φασὶν ἐνεῖναι*: sententiae causa tetigit Huschkius de fabulis Archil. 19. Ad similitudinem huius proverbii Pherecrates Athen. VI, 305 F dixit: *ἔνεστιν ἐν κιθάρῳ τι* [insere *καὶ*] *κακόν*, de quo v. Gesnerus Aquatil. 228: item in animo habuit, ut videtur, Constant. Manass. Amor. Arist. et Dros. VIII, 21.

9. P II, 37: Apost. VI, 93d.

10. P II, 38. F I, 87: DV II, 71.

11. P II, 40: DV II, 48.

12. P II, 39: DV II, 72.

13. L I, 98.

14. P II, 42: Apost. VII, 36: Zenob. III, 78.

15. L I, 99.

16. P II, 43: Apost. VII, 40: Zenob. III, 45.

17. P II, 44: Apost. VI, 87. Simile est *ἀέρα δέρειν* apud Suidam, de quo Bernhardius haec annotavit: »*ἐπὶ τῶν ἀπράκτοις ἐγχειρούντων.* Eustath. ad Hom. Il. Υ, p. 1215, 54. Adde Maii Collect. Vat. T. IV (1831. 8.), p. 527 et

96 *Ἐπιμενίδου ὕπνος:* ἐπὶ τῶν πολλὰ κοιμωμένων· πεντήκοντα γὰρ ἔτη ἐκάθευδεν.

97 *Ἐς Τροφωνίου μεμάντευσαι:* ἐπὶ τῶν σκυθρωπῶν καὶ ὠχρῶν.

98 *Ἐν ἅλῳ δρασκάζεις:* ἤτοι κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.

99 *Ἔστω ταμίας· τἄλλα δ' εἰ βούλει κύων:* ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων καὶ μάλιστα εὐνούχων.

100 *Ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο:* ἐπὶ τῶν τὸ εἶδος εὐτελῶν, εἰς χρείαν δὲ ἀναγκαίων.

1 *Εἰς ἀρχαίας φάτνας:* ἐπὶ τῶν ἐλθόντων εἰς ἅπερ πρότερον ὄντες ἐξέπεσον.

2 *Ἐν δυοῖν τρία βλέπεις:* ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ὁρώντων.

3 *Ἐκπερδικίσαι:* ** καὶ ἐκκλῖναι. ἐπὶ τῶν διαδιδρασκόντων τοὺς θηρευτάς.

4 *Ἐλέφαντα ἐκ μυίας ποιεῖς:* ἐπὶ τῶν τὰ μικρὰ ἐπαιρόντων τῷ λόγῳ.

5 *Ἐμαυτῷ βαλανεύσω:* ἀντὶ τοῦ, ἐμαυτῷ διακονήσω.

6 *Εἰς ἀσθενοῦντας ἀσθενῶς ἐλήλυθας:* ἐπὶ τῶν ὅμοια πασχόντων.

---

1. *Ἐπιμένιδος* M: *Ἐπιμενίδειος* C: *Ἐπιμενίδου* P, Diogenianus praebuerunt. 3. *μάντευσαι* M: *μεμάντευται* Diogenianus. 5. *ἤτοι*] *ἢ* M. 7. *ταμίας*] corrige *τομίας*. *δ' εἰ βούλει*] *δ' .. βούλει* [sic] M: *τὰ δ' ἄλλ' εἰ* Apostolius: fortasse *τὰ δ' ἄλλα γ'* scribendum. 9. *γένοιτ' ἂν* Zenobius: cum nostro Apostolius consentit. Explicationem integriorem Suidas servavit: *λέγεται δὲ καὶ ἐπὶ τῶν ὁραθῆναι μὲν εὐκαταφρονήτων, ἀναγκαίων δέ. οἱ δὲ ἐπὶ τῶν δόξαν παρασχόντων ὡς ἀγαθῶν, εὑρεθέντων δὲ ἑτεροίων.* 11. *ἐπὶ τῶν ἐλθόντων πάλιν εἰς ἐκεῖνα, ἀφ' ὧν ἐξέπεσον* K: v. Apostolius. 13. *ἐκ δυοῖν* Diogenianus. 15. *καὶ ἐκκλινίσαι* M: posui lacunae signa: excidit enim aut *διολισθῆναι* aut *διαδρᾶναι*. Ceterum cf. Scholl. ad Arist. Av. 769: *λαμβάνοντες* [perdices] *γὰρ κάρφη τοῖς ποσίν, ὑπτίους ἑαυτοὺς ῥίπτουσι καὶ οὕτως ἐπικαλύπτουσι καὶ ἐκκλίνουσι.* 19. *Κἀγὼ 'μαυτῷ* Arsenius. 20. *ἀσθενῶν ἐλήλυθα* Zenobius.

96. P II, 23: DV II, 49. Apost. VII, 73.

97. P II, 24: DV II, 50.

98. L I, 97.

99. P II, 26. F I, 81: Apost. VIII, 2.

100. P II, 27. F I, 83: Apost. VI, 95: Zenob. IV, 7. Versum Epicharmeum, ex quo secundum veteres proverbium manavit, Schneidewinus tractat Coniect. Critt. p. 73 et scribendum putat: *ἐκ παντὸς ξύλω Κλῳὸς γένοιτ' ἂν καὶ θεός.*

1. P II, 28: DV II, 53.

2. P II, 29: DV II, 56.

3. P II, 30: DV II, 57.

4. P II, 31: DV II, 67.

5. P II, 32: Macar. III, 77: Apost. IX, 16[b]: Zenob. III, 58.

6. P II, 33: Apost. VI, 52: Zenob. III, 56.

7 *Εὕδοντι κύρτος αἱρεῖ: ἐπὶ τῶν εὐτυχούντων.*

8 *Ἔνεστι καὶ μύρμηκι χολή: ὅτι μηδὲ τοῦ μικροῦ δεῖν καταφρονεῖν.*

9 *Ἐκ τετρημμένης κύλικος πιεῖν: ἐπὶ τῶν ἐψευσμένων φίλων.*

10 *Ἐν μέλιτι σαυτὸν κατακρύπτεις: ἐπὶ τῶν συζώντων ἡδυπαθείαις.*

11 *Ἐνδυμίωνος ὕπνον ὑπνώττει: ἐπὶ τῶν πολλὰ κοιμωμένων.*

12 *Ἐνδύεται τὴν λεοντῆν.*

13 *Εἴληφεν ἡ παγὶς τὸν μῦν: ἐπὶ τῶν ἀξίως ἁλισκομένων.*

14 *Ἐν τριόδῳ εἰμὶ λογισμῶν: ἐπὶ τῶν ἀπορούντων.*

15 *Ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος.*

16 *Ἐν φρέατι κυσὶ μάχεσθαι.*

17 *Ἐκδεδαρμένον δαίρεις: ἐπὶ τῶν μάτην πονούντων. βέλτιον δὲ ἐπὶ τῶν κακούντων τοὺς ἐν συμφοραῖς.*

---

2. *κἂν* Zenobius. *Ἔνεστι καὶ μύρμηκι χόλος* Eustathius profert in comm. ad Hom. Od. Θ, 1599, 37. 4. Suidas explicat: *ἐπὶ τῶν διημαρτημένων ἐν πίστει.* 6. *καταπλάττεις* Diogenianus. 8. *ὑπνώττει*] *καθεύδεις* idem. 10. *τὴν*] *τὸν* M, *μοι τὴν* Zenobius. 13. *λογισμῶν* Zenobius om. 14. *ἐφ' αὑτὸν ὥστε Καικίας* Diogenianus. 15. *κυσὶ μάχεσθαι*] *κυνομαχεῖν* Hesychius, Apostolius: *κυνὶ μάχεσθαι* Gaisfordus in Zenobio et Suida cum antiquis editionibus: nunc utrique recte *κυσὶ* restitutum est. Aliter iudicat Finckhius in Zenob. Provv. Annott. p. 15. *ἐπὶ τῶν δυςφεύκτων* dici adnotat Hesychius. 16. *δέρεις* P, Suidas. 17. *βέλτιον δὲ κτλ.* Suidas om.

7. P II, 34: Apost. VIII, 9: Diog. IV, 65.

8. P II, 35: Macar. III, 81. Apost. VII, 18. VIII, 25: Zenob. III, 70. Integrum proverbium Suidas tradit in v. *σέρφος*: *ἔνεστι κἀν μύρμηκι κἀν σέρφῳ χολή*: v. quae de eo dixi in Schneidewini Philol. III, 3, p. 571. Sophocli tribuit auctor incertus in Crameri Anecdd. Pariss. I, 397, 3. Adhibuit Palladas in Anth. Pal. X, 49, 1: *καὶ μύρμηκι χολὴν καὶ σέρφῳ φασὶν ἐνεῖναι*: sententiae causa tetigit Huschkius de fabulis Archil. 19. Ad similitudinem huius proverbii Pherecrates Athen. VI, 305 F dixit: *ἔνεστιν ἐν κιθάρῳ τι* [insere *καὶ*] *κακόν*, de quo v. Gesnerus Aquatil. 228: item in animo habuit, ut videtur, Constant. Manass. Amor. Arist. et Dros. VIII, 21.

9. P II, 37: Apost. VI, 93d.

10. P II, 38. F I, 87: DV II, 71.

11. P II, 40: DV II, 48.

12. P II, 39: DV II, 72.

13. L I, 98.

14. P II, 42: Apost. VII, 36: Zenob. III, 78.

15. L I, 99.

16. P II, 43: Apost. VII, 40: Zenob. III, 45.

17. P II, 44: Apost. VI, 87. Simile est *ἀέρα δέρειν* apud Suidam, de quo Bernhardius haec annotavit: „*ἐπὶ τῶν ἀπράκτοις ἐγχειρούντων.* Eustath. ad Hom. Il. Υ, p. 1215, 54. Adde Maii Collect. Vat. T. IV (1831. 8.), p. 527 et

18 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις: ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

19 Ἑρμῆς ἀμύητος.

20 Ἔνθα οὔτε πλεῖν ἄνεμος οὔτε μίμνειν ἐᾷ: ἐπὶ τῶν δυςχρήστοις περιπεσόντων.

21 Ἐλέφας μυὸς οὐκ ἀλεγίζει.

22 Ἐκτὸς πηλοῦ πόδα ἔχεις: ἐπὶ τῶν ἔξω κινδύνων ὄντων.

23 Ἐκ τριχὸς κρέμαται: ἐπὶ τῶν κινδυνευόντων· ὅμοιον τῷ Ἐπὶ ξυροῦ.

24 Εὐγενὴς ἐκ βαλαντίου: ἐπὶ τῶν διὰ πλοῦτον τιμωμένων.

25 Ἔγχος ἐπὶ τῷ ἔγχει: γραῦν φασι τοῦτο εἰπεῖν καπήλῳ ἐνεχυράζουσαν ἔγχος.

26 Ἐλεύθεραι αἶγες ἀρότρου: ἐπὶ τῶν βάρους [τινὸς] ἀπηλλαγμένων.

27 Εἰς κόλπον πτύεις: ἀντὶ τοῦ, μεγαλοῤῥημονεῖς.

28 Ἐν πίθῳ τὴν κεραμείαν: ἐπὶ τῶν μὴ κατὰ τρόπον τοῖς μαθήμασι προβαινόντων.

29 Ἐν σκότει ὀρχεῖσθαι: ἐπὶ τῶν ἀμαρτύρως μοχθούντων.

---

4. οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν L. 6. μῦν οὐχ ἁλίσκει DV: cf. nott. ad Apost. VII, 8. 10. ξυροῦ] ἵσταται ἀκμῆς Diogenianus addit. 11. Scribe εὐγενὴς εἶ ex DV II, 22. 12. τιμωμένων] εὐγενῶν εἶναι δοκούντων DV. 15. τινὸς ex DV inserui. 16. ἠπηλλαγμένων M. 17. πτύειν F. μεγαλοῤῥημονῶ εὐλαβούμενος Suidas: οὐ ante μεγαλοῤῥημονεῖν F addit. 18. κεραμείαν μανθάνω Zenobius.

Theod. Metoch. p. 371 coll. Boiss. Anecd. II, 437. Adde Gregor. Naz. Oratt. XXI, p. 376: οὐδὲ ταὐτὸν παθεῖν τῶν ἀθλητῶν τοῖς ἀπείροις, οἳ τὸν ἀέρα πλείω παίοντες ἢ τὰ σώματα τῶν ἄθλων ἀποτυγχάνουσι.« Sumptum est ex Pauli Epist. ad Corinth. I, 9, 26, unde habet Phot. Epist. 4. 221. Add. Suicerus Thesaur. Eccles. I, 107.

18. L II, 1.

19. P II, 36: Apost. VII, 93: Diog. IV, 63. Mercurio in arce Athenarum ara dedicata erat: Hesych. s. Ἑρμῆς: v. Sluiterus Lectt. Andocid. 41 Lugd.

20. L II, 13.

21. P II, 48: DV II, 66.

22. P II, 49: DV II, 62: cf. sup. II, 32.

23. P II, 50: DV II, 63.

24. P II, 51: Apost. VIII, 15. Compara DV II, 22.

25. P II, 52.

26. P II, 53: DV II, 68.

27. P II, 54. F I, 93: Apost. VI, 64: Diogen. IV, 82b. Usurpant Liban. Epist. 714: πτύω δὲ εἰς κόλπον τῇ παροιμίᾳ πειθόμενος, ubi v. Wolfium: Petron. Satyric. 131: v. interpp. ad Petron. l. c. et O. Iahnium ad Pers. Satir. II, 33.

28. P II, 55: DV II, 65.

29. P II, 56. F I, 96: DV II, 69.

30 *Εἰς θεοῦ ὦτα ἦλθεν*: ἐπὶ μεγάλων πραγμάτων.

31 *Εἷς ἀνὴρ οὐδεὶς ἀνήρ.*

32 *Ἐν νυκτὶ βουλήν*: ἐπειδὴ ἡ νὺξ παῤῥησίαν δίδωσι.

33 *Εἰς πάγας ὁ λύκος*: ἐπὶ τῶν ἁρπαζόντων μέν, κατασχεθέντων δέ.

34 *Εἰς μελίττας ἐκώμασας*: ἐπὶ τῶν κακουμένων ἀθρόως.

35 *Ἐν πέντε κριτῶν γούνασι*: τὸ γὰρ παλαιὸν πέντε κριταὶ ἔκρινον τοὺς κωμικούς· ἢ ὅτι ἐν γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖον ἐγγράφεται.

36 *Ἐκ λύκου στόματος*: ἐπὶ τῶν ἀνελπίστως [παρά τινών τι] λαμβανόντων.

37 *Ἐλέφαντος οὐδὲν διαφέρει*: ἐπὶ τῶν ἀναισθήτων.

38 *Εἰς Τροιζῆνα βαδίζεις*: ἐπὶ τῶν ἐχόντων σπάνιον γενείων. Πώγων γάρ ἐστι λιμὴν Τροιζήνιος.

39 *Ἐλάφειος ἀνήρ*: ὁ δειλός.

40 *Εὐμεταβολώτερος κοθόρνου*: ὑποδήματος εἶδος ὁ κόθορνος, ἐφαρμόζων τοῖς δυσὶ ποσίν.

41 *Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν.*

42 *Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα*: ἐπὶ τῶν ἀλυσιτελῶν δώρων.

43 *Ἐῤῥίφθω κύβος*: ἐπὶ τῶν ῥιψοκινδυνούντων.

44 *Ἐν ἀμούσοις καὶ κόρυδος φθέγγεται.*

---

1. θεοῦ] θεῶν Zenobius. 3. δίδωσι βουλεύεσθαι L. 6. τῶν] παρὰ δόξαν Suidas adiicit. 10. γραμματεῖα L, ubi vide notas. 11. παρὰ — τι e Suida adieci. 13. διαφέρεις Suidas. ἐπὶ τῶν μεγάλων καὶ ἀναισθήτων· παρόσον καὶ τὸ ζῷον τοιοῦτον explicat idem. 22. ἀνεῤῥίφθω F.

30. L II, 2.
31. L II, 3.
32. L II, 4.
33. L II, 5.
34. L II, 6.
35. L II, 7.
36. L II, 8.
37. L II, 9.
38. L II, 10.
39. L II, 11.
40. L II, 12.
41. L II, 14.
42. L II, 15.
43. Suid. s. ἐῤῥίφθω, s. ἐκκυβεύειν, s. κύβος: cf. nott. ad Macar. II, 8. F I, 27. Apostol. II, 93. Usurpat Anon. in Cram. Anecd. Oxon. III, 218, 1: ὁρᾷς ὡς ἐς τὸ ἐναντίον τὸ πρᾶγμα προεχώρησέ σοι, ὦ φίλ' ἑταῖρε· ἀλλ' ὡς τοῦ τῆς παροιμίας *κύβου ῥιφέντος*, ὦ, ἐγώ σε καὶ τῆς τῶν χρωμάτων ἐπαινῶν συστοιχίας κτλ.: v. Valckenarius ad Eur. Phoeniss. 1235. ad Herod. VII, 50. Marklandus ad Eur. Suppl. 330; addo e Latinis Liv. I, 23, 9: *in dubiam imperii servitiique aleam imus*: Petron. Sat. c. 122, vs. 173: *iudice Fortuna cadat alea*: Lucan. VI, 6: *placet alea fati Alterutrum versura caput.*

44. Apost. VII, 39c: Zenob. III,

45 *Ἐν Καρὶ τὸν κίνδυνον*: ἀντὶ τοῦ· οὐ περὶ μεγάλων ὁ κίνδυνος.

46 *Ἐξ ἄμμου σχοινίον πλέκεις*: ἐπὶ τῶν ἀδυνάτων.

47 *Ἐπὶ σπεῖρα σχοινίον*: ἐπὶ τῶν διδομένων τισὶν οὐχ ἕτερα, ἀλλ' οἷς κέκτηνται ὅμοια· σπεῖρα γὰρ καὶ σχοινίον τὸ αὐτό.

48 *Ἔξω βελῶν [καθῆσθαι].*

49 *Ἐπειδὴ τὸν οἶνον ἔπιες, συνεκποτέ' ἐστὶ σοὶ καὶ τὴν τρύγα.*

50 *Ἐπὶ Μανδραβόλου τὸ πρᾶγμα χωρεῖ*: ἀντὶ τοῦ

---

3. *ψάμμου* Aristides: *ἄμμου* Phot. Biblioth. c. 248 fin., p. 438 Bekk. 4. *σπεῖρα* M, *σπειρῶν* Plutarchus. Suidae explicatio haec est: *ἐπὶ τῶν προςφερόντων τοῖς ἔχουσιν ἔτι τὰ πλείονα. ἐπειδὴ καὶ αἱ σπεῖραι ἐξ ὧν καὶ τὰ σχοινία εἰσίν***: id. s. *σπεῖραι*: *σπεῖραι καὶ αἱ συστροφαὶ τοῦ σχοινίου. καὶ παροιμία· Ἐπὶ σπεῖρα σχοινίον· τὸ ἀναγκαιότατον*: ad priorem locum haec **Bernhardius** adnotavit: »constat spiram dici funem nauticum, qui sit in orbem contortus quemque plura perficiant *σχοινία*: contra quam explicatio Suidae tradere videtur. Quod si cui spiram multiciam uno quodam fune libebat augere, pusillam et nullius usus operam insumebat. Itaque sensus Suidae sic fere complendus: quoniam spiris, quae magnam vim funium complectuntur, unus additus funis parum addit momenti.« 7. *ἐξ ὀβελῶν* M. *καθῆσθαι* ex Diog. IV, 71 adieci. 8. *ὅμως δ' ἐπειδὴ καὶ τὸν* Aristophanes: cum Gregorio concordat Suidas. *ἔπιες*] *ἠξίους πίνειν* Aristophanes, *ἠξίους πιεῖν* Suidas. *ἐστί σοι* Aristophanes. Paroemiographis corruptum comici exemplar ante oculos fuit: e Veneto *σ. ἐστι καὶ τὴν τρύγα σε* a m. pr., *σ. ἐστί σε καὶ τὴν τρύγα* a m. sec. enotatum est. Ceterum Aristophanis versus proverbio *ἐκποτέον καὶ τὴν τρύγα* appositi erant, quod excidit: v. App. Provv. II, 43. Apost. XV, 61 et annott. ad Macar. VII, 83. 10. *ἐπὶ τὰ M.* Zenobius, *ἐπὶ τοῦ M.* Suidas. *Μανδροβόλου* Suidas, *Μανδρυβούλου* Hesychius cum aliis. *τὸ πρ. χωρεῖ*] Zenobius, Suidas om. *ἐπὶ τῶν εἰς τὰ χείρονα τρεπομένων* et *ἐπὶ τοῦ κατὰ τὸ χεῖρον προκόπτοντος* dici Suidas contendit.

77, ubi male contra codd. fidem textum mutavi.

45. Apost. VII, 39, ubi v. nott.: Zenob. III, 59.

46. Macar. III, 97. Aesop. Provv. 10. Apost. VII, 50. Usurpat Colum. R. R. X, praef. §. 4: *tamen eadem iam exigua sunt, ut, quod aiunt Graeci, ex incomprehensibili parvitate arenae funis effici non possit*: add. Aristid. ὑπ. τῶν τεττ. II, 309 Iebb.: *καταδύντες δὲ εἰς τοὺς χηραμοὺς ἐκεῖ τὰ θαυμαστὰ σοφίζονται, σκιᾷ τινι λόγους ἀνασπῶντες, ἔφης ὦ Σοφόκλεις* [Aiac. 301] *τὸν ἀνθέρικον θερίζοντες, τὸ ἐκ τῆς ψάμμου σχοινίον πλέκοντες, οὐκ οἶδ' ὅντιν' ἱστὸν ἀναλύοντες*: Epiphan. adv. Haeret. I, 2, 31, 24 p. 193 B Petav.: *ἣν* [doctrinam] *περὶ τῶν ὅλων εὔχουσι πλεῖον τῶν ἄλλων ἐγνωκέναι, ἐξ ἀγράφου ἀναγινώσκοντες καὶ τὸ δὴ λεγόμενον ἐξ ἄμμου σχοινίον πλέκειν ἐπιτηδεύοντες, ἀξιοπίστως προςαρμόζειν πειρῶνται τοῖς εἰρημένοις κτλ.*

47. Apost. VII, 84. Plut. Provv. I, 100. De v. *σπεῖρα* v. Gesnerum ad Luc. Toxar. §. 19.

48. DV II, 62.

49. Suidas. Est Aristoph. Plut. 1085. Cf. nott. ad Macar. VII, 86.

50. Apost. VII, 78: Zenob. III, 82. Aelian. N. Anim. XII, 40: *Σαμίοις*

*ἐπὶ τὸ χεῖρον. Μανδραβόλας γάρ τις τὰς αὐτὰς θυσίας, ὅρκοις ἑαυτὸν καταδήσας, τοῖς θεοῖς κατ' ἔτος προσάγειν **. τὸ μὲν πρῶτον δέκα βοῦς ἔθυσε, τὸ δὲ δεύτερον παρ' ἕνα, ἤτοι ἐννέα. περιελθόντος δὲ τοῦ τρίτου ἀφείλετο ἕτερον· καὶ οὕτω ποιῶν διὰ τῶν ἑξῆς ἐνιαυτῶν κατέστη εἰς ἐπιορκίαν.*

51 *Ἐπὶ καλάμῃ ἀροῖ: ἐπὶ τῶν εὖ καὶ καλῶς γεωργούντων.*

52 *Ἐπὶ ὄλμου ἐκοιμήσω: ἐπὶ τῶν μαντείας πορίζομένων ἔκ τινων ἐνυπνίων· τὸν ὄλμον γὰρ συμβάλλεσθαι ἐλέγετο πρὸς μαντείας.*

ΑΡΧΗ ΤΟΥ Ζ.

53 *Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας: ὅτι οὐκ ἀπρονόητος. τὸν γὰρ Δία φασὶν εἰς διφθέρας γράφειν τὰ πραττόμενα τοῖς ἀνθρώποις.*

54 *Ζωὴ πίθου: ἐπὶ τῶν μετρίως ζώντων· ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβή.*

---

1. *Μανδράβουλος* Aelianus. 2. *προσάγειν*] excidit *κατεύξατο, ηὔξατο* vel simile quid. 3. *παρ' ἕνα*] i. e. decem excepta una, dempta una: Lucian. Catapl. §. 4: *τέσσαρας, ὡς ὁρᾷς, πρὸς τοῖς χιλίοις ἔχει τὸ σύμβολον ἐγκεχαραγμένους· σὺ δέ μοι παρ' ἕνα ἥκεις ἄγων*: Plutarch. Puplic. 9. Cat. Minor. 20: alia suppeditant Valckenarius ad Herod. IX, 33. Kypkius ad Pauli Epist. II ad Corinth. 11, 24. 6. *καλάμῃ*] *καλὰ μὲν* M. 7. *ἐν ὄλμῳ* Pausanias: v. nott. ad Zenob. III, 63. *ἐκοιμήθην* Plutarchus, *ἐκοιμήθη* Suidas, *εὐνάσω* Zenobius. Explicatio Gregorio et Apostolio peculiaris. 11. *κατεῖχε* M.

δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε, καὶ ἐντεῦθεν Μανδράβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψεν· καὶ τὸ μὲν Πολέμων [fr. 29 Prell.] *λέγει τὸ πρότερον, τὸ δὲ Ἀριστοτέλης τὸ δεύτερον*: etiam Euphorion videtur hanc narrationem retulisse: v. Meinekius ad Euphor. fr. 123. Speusippi Dialogus *Μανδρόβουλος* inscriptus et Cleophontis *Μανδρόβουλος*, quos e Diog. Laert. IV, 5 et Aristot. de Soph. Elench. 15, 14, p. 174 fin. novimus, utrum cum proverbio cohaererent nec ne, in incerto relinquendum est. Usurpat Plato comicus: v. nott. ad Zenob. l. c.: add. Niceph. Gregor. Hist. Byz. XII, 14 fin.: *ὡς γὰρ ἐπὶ Μανδραβόλου τὰ ἐκείνου διηνεκῶς ἐχώρει.*

51. Apost. VII, 72: Suid.: *ἐπὶ κ. ἀροῦν: ἔθος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὸν καταλείπειν τὴν γῆν, ὅπως ἀκεραίους ἐκτρέφῃ τοὺς καρποὺς ὡς μὴ κατ' ἔτος τοῖς σπέρμασι πονοῖτο. Λυσίας ἐν τῷ πρὸς τὸν Πόλεμον* [*Πολέμωνα* Hoelscherus de V. et script. Lys. 196.] *λόγῳ διαβάλλων τινὰ τῶν ἀπλήστων γεωργῶν, τὰ ἐν τῇ γῇ καταχρώμενον καὶ κατ' ἔτος ἐξαναλίσκοντα τὴν ἰσχὺν αὐτῆς, φησίν· Οὑτοσὶ δὲ πυροὺς ἐπὶ καλάμῃ ἀροῖ, τουτέστιν ἀεὶ σπείρων οὐδεμίαν ἄνεσιν τῇ γῇ δίδωσιν*: ab his pendent Zonar. 802. Bekk. Anecdd. I, 216, 25. Phavorinus: add. Bekk. Anecdd. 291, 23: *πυροὶ ἐπικάλαμοι: ... ἢ οἱ ἀπὸ τοιαύτης γῆς, ἥτις ἀνάπαυμα οὐκ ἔσχεν, ἀλλὰ σῖτος ἐπὶ σίτῳ ἐσπάρη.* Hinc apparet caussam adesse, cur de integritate explicationis a Gregorio proditae dubitemus.

52. Apost. VII, 77: cf. Zenob. III, 63.
53. L II, 19.
54. L II, 20.

55 *Ζῇ ἡ χύτρα, ζῇ ἡ φιλία.*

56 *Ζωὸς γενήσῃ κρομμύου μοῖραν λαβών: ἐπὶ τῶν ἐκ μικρῶν αἰτιῶν μεγάλην δόξαν καρπουμένων.*

57 *Ζῶμεν οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.*

58 *Ζητῶν ὄψον θοἰμάτιον ἀπώλεσα: ἐπὶ τῶν ἀνοητοτάτων.*

ΑΡΧΗ ΤΟΥ Η.

59 *Ἧλιξ ἥλικα τέρπει.*

60 *Ἧλος τὸν ἧλον, πάτταλος τὸν πάτταλον ἐξέκρουεν: ἐπὶ τῶν ἰωμένων δι' ἁμαρτημάτων ἁμάρτημα.*

61 *Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.*

62 *Ἡ κύων ἐν τῇ φάτνῃ: πρὸς τοὺς μήτε ἑαυτοὺς χρωμένους, μήτε ἄλλους ἐῶντας. παρόσον ἡ κύων κριθὴν οὐκ ἐᾷ † μένουσα ἐν φάτνῃ καὶ τὸν ἵππον οὐκ ἐᾷ.*

63 *Ἠσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.*

64 *Ἠλιθιώτερος Ἀδώνιδος τοῦ Πραξιτέλους: Ἄδωνις γάρ τις Πραξιτέλους υἱὸς ἀποθανὼν καὶ ἐρωτηθεὶς πρὸς τῶν ἐν Ἅιδου, τί κάλλιστον ἄνω κατέλιπεν, ἀπεκρίνατο· ἥλιον, σελήνην, σῦκα καὶ μῆλα. ἔδοξε γοῦν ἠλίθιος ταῦτα ἐξισῶν ἡλίῳ.*

---

2. *μοῖραν*] *μόνον* Diogenianus. 4. *ζῶμεν γὰρ* P Menander. 5. *ζητῶν γὰρ* Menander. 9. *ἧλος*] *ἥλῳ* Diogenianus. *πάτταλος*] *παττάλῳ* idem. *ἐξέκρουσας* idem: Suidas totum sic profert: *ἥλῳ τὸν ἧλον ἐκκρούεις: παροιμία, ἀντὶ τοῦ, ἁμάρτημά τι τῷ ἁμαρτήματι σπεύδεις ἐξελάσαι· τὸ δὲ οὐχ οἷόν τε.* 12. *αὐτοὺς* Diogenianus. 13. *οὐκ ἐᾷ*] v. quae dixi in annott. ad L l. c. 18. *ἄνω*] *ἐν Ἅιδου* M.

55. L II, 21.
56. P II, 57: DV II, 80.
57. P II, 58: DV II, 81.
58. P II, 59: Apost. VIII, 33: Zenob. IV, 13.
59. F II, 1: DV II, 88.
60. P II, 60: Macar. IV, 47. Apost. VIII, 52. XIV, 45: Diog. V, 16. Synesius Olympio scribens Epist. 43, p. 186 A dicit: *λυποῦσι τὴν ἐκκλησίαν ἀλλότριοι πονηροί· διαβηθι κατ' αὐτῶν. οἱ πάτταλοι γὰρ παττάλοις ἐκκρούονται:* Palladius Lausiac. 32, p. 82 Meurs.: *ἀπελθὼν δὲ* [Heron] *εἰς τὴν Ἀλεξάνδρειαν τάχα καὶ τοῦτο κατὰ θείαν οἰκονομίαν τὸ δὴ λεγόμενον ἥλῳ τὸν ἧλον ἐξέκρουσεν:* Hieronym. Epist. ad Rustic. Monach. CXXV, c. 14 T. I, p. 941 Vallars., qui orationem ad exemplum loci Ciceroniani in annotatione ad Diog. l. c. allati composuit: *Philosophi saeculi solent amorem veterem amore novo quasi clavum clavo pellere.*
61. F II, 2: Macar. IV, 44. Apost. VIII, 48: Append. Provv. III, 7: recepit etiam Antonius in locos communes: v. tit. 93, p. 154 Fabr. Similiter Aesch. Sept. c. Theb. 619, ubi plura Blomfieldus collegit: add. Apost. VIII, 69b.
62. L II, 22.
63. P II, 62: Macar. IV, 58. Apost. VIII, 69: Diogen. V, 3.
64. P II, 63: Apost. VIII, 53: Zenob. IV, 21.

65 *Ἡ ἀφύη πῦρ: ἐπὶ τῶν ταχέως** λαμβανόντων· παρόσον ἡ ἀφύη ταχέως ἑψεῖται.*

66 *Ἡρακλῆς καὶ πίθηκος: ἐπὶ τῶν ἀσυμβάτων.*

ΑΡΧΗ ΤΟΥ Θ.

67 *Θυμὸς ἔσχατον γηράσκει: λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους. ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι.*

68 *Θαλάττιον ἐκ χαράδρας ὕδωρ: ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ φιλοτιμουμένων.*

69 *Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων.*

70 *Θυμόσοφος: ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν.*

71 *Θάμυρις μαίνεται: ἐπὶ τῶν συνετῶς μὲν βιούντων, δοκούντων δέ τισι μαίνεσθαι. Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ τοῦ δεσπότου αὐτοῦ ἐν τῷ ἱερῷ καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος τὴν οὐσίαν αὐτῷ † δοὺς ἀπεδήμησεν. ὃν δὲ ὁρῶντες ἔλεγον· Μαίνεται Θάμυρις.*

ΑΡΧΗ ΤΟΥ Ι.

72 *Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας: τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.*

73 *Ἰλιὰς κακῶν ἐπῄει: ἐπὶ ταῖς μεγίσταις συμφοραῖς.*

74 *Ἱππόλυτον μιμήσομαι: ἐπὶ τῶν σωφρονεῖν βουλομένων.*

---

1. ταχέως] τὸ τέλος ὀξὺ Zenobius: τέλος igitur hic excidit. 2. ἕψεται Zenobius. 3. ἀσυμβάντων M. 5. δὲ L om.: quid de eo statuendum sit, patet ex Scholiasta Sophocleo ad L l. c. adscripto. 8. θαλάττη recte L. 9. προςφιλοτιμουμένων L. 11. ἀποδῆξαι M. 20. ἴσως] ἶος M.

65. P II, 65: Apost. VIII, 40: Zenob. II, 82. IV, 25.

66. Macar. IV, 53. Apost. VIII, 65: Schol. ad Lucian. Piscat. S. 37 sive Bachmanni Anecdd. II, 333, 33: *Ἡρακλῆς φασι καὶ πίθηκος: παροιμία ἐπὶ τῶν πάντη παρηλλαγμένων καὶ ἀσυμβάτων πραγμάτων. καθότι ἥρως μὲν Ἡρακλῆς καὶ αὐτόχρημα ἀνδρεῖος· οἱ πίθηκοι δὲ οὔτε ἀνδρείαν ἔχοντες καὶ καταγέλαστοι καὶ εὐφώρατοι ἀνδρείαν ὑποκρίνεσθαι εἰσαγόμενοι:* Hercules viribus antecellit, simia dolis valet. Usurpat Lucian. l. c. Tetigit Lobeckius Aglaoph. 1300 sq.

67. L II, 23.

68. L II, 24.

69. L II, 25.

70. L II, 26.

71. L II, 27.

72. L II, 30.

73. L II, 29.

74. P II, 73. F II, 8: Macar. IV, 78. Apost. IX, 9: Diog. V, 32. Aelian. Epist. Rust. 12, p. 419 Cuiac.:

75 *Ἰχθὺν νήχεσθαι διδάσκεις:* ἐπὶ τῶν διδασκόντων ἃ ἐπίστανται.

76 *Ἰαλέμου ψυχρότερος:* Ἰάλεμον τὸν θρῆνον φασί· λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι, κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν.

77 *Ἱερὰ ἄγκυρα:* ἡ μεγάλη βοήθεια.

78 *Ἱππέας καὶ ἵππον εἰς πεδίον προςκαλῇ:* ὅπερ ἐστί· τοὺς εὐδοκιμοῦντας εἰς ἅπερ εὐδοκιμοῦσιν.

79 *Ἴσος πόλεμον οὐ ποιεῖ.*

80 *Ἰσότης φιλότης.*

ΑΡΧΗ ΤΟΥ Κ.

81 *Κακοῦ κόρακος κακὸν ᾠόν:* ὅτι ἄβρωτόν ἐστιν αὐτὸ τὸ ζῷον, ἀλλὰ δὴ καὶ τὸ ᾠὸν αὐτοῦ. ἢ ἀπὸ Κόρακος ῥήτορος πρώτου διδάξαντος τὴν ῥητορικήν· τὸν γὰρ μαθητὴν αὐτοῦ μισθὸν ἀπαιτοῦντος, εἰς τὸ δικαστήριον, εἶπεν ὁ αὐτὸς μαθητής, ἴωμεν· καὶ εἰ μὲν νικήσεις, οὐ μεμάθηκα. εἰ δὲ ἡττηθήσῃ, οὐ λήψῃ μισθούς.

82 *Κόσμει σπάρταν, ἣν ἔλαχες:* ὅτι δεῖ στέργειν τῇ δεδομένῃ τύχῃ καὶ ἀνέχεσθαι.

83 *Καδμεία νίκη:* ἡ ἐπὶ κακῷ τῶν νενικηκότων.

84 *Κύκνειον ᾆσμα:* ἐπὶ τῶν ἐγγὺς θανάτῳ ὄντων. οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσιν.

---

7. *καὶ ἵππον*] et *ἵππον εἰς π. πρ.* et *ἱππέας εἰς π. πρ.* dici Gregorius significare vult. 9. *ἴσα* Apostolius: v. Plutarchum infra allatum. 13. *αὐτοῦ* originem codici Suidae neglegenter scripto debere videtur: v. Suidan. 15. *ἀπαιτῶν* L: *ὑπὸ γὰρ τούτου, ὥς φασι, μαθητὴς . . μισθὸν ἀπαιτούμενος* Suidas, Zenobius. 16. *νικήσεις ἃς* L. 18. *ἣν*] *ἂν* recte Suidas.

σὺ δὲ ἐξ οὗ θηρᾷς ἤρξω, γέγονας ἡμῖν αὐτόχρημα Ἱππόλυτος. ὅρα δὴ τὴν Ἀφροδίτην, μὴ καί σοι διὰ τὴν ὑποψίαν μηνίσῃ.

75. L II, 31.

76. L II, 32.

77. P II, 69: Macar. IV, 73. Apost. IX, 1: Diog. V, 29. Leo Diacon. VII, 4 p. 73 A: *μὴ πρόῃ τὴν ἐσχάτην ἄγκυραν.*

78. L II, 33.

79. P II, 71: Apost. IX, 16. Est Solonis dictum: Plut. Solon. 14: *λέγεται δὲ καὶ φωνή τις αὐτοῦ περιφερομένη πρότερον εἰπόντος, ὡς τὸ ἴσον πόλεμον οὐ ποιεῖ, καὶ τοῖς κτηματικοῖς ἀρέσκειν καὶ τοῖς ἀκτήμοσι, τῶν μὲν ἀξίᾳ καὶ ἀρετῇ τῶν δὲ μέτρῳ καὶ ἀριθμῷ τὸ ἴσον ἕξειν προσδοκώντων.*

80. P II, 70: DV II, 94.

81. L II, 34.

82. P II, 76: Apost. IX, 86. VIII, 59: Macar. VII, 78. Diog. VIII, 16. Usurpat Niceph. Ch. in Boissonadi Anecdd. Nov. 6: *ἀλλ' ἔχουσι τοὺς ὅρους ἐπὶ τῆς σφῶν αὐτῶν γλώττης ἑκάτεροι καὶ στέργουσι μὲν Σπαρτιᾶται Σπάρταν ἣν ἔλαχον, Ἀθηναῖοι δὲ εἰσὶν ἐπὶ τῆς Ἀττικῆς ἀκραιφνῶς ῥητορεύοντες.*

83. L II, 45.

84. P II, 78: Macar. V, 40. Apost. X, 71: Diog. V, 37. Plut. Sympos.

85 *Κορώνη τὸν σκορπίον:* ἐπὶ τῶν βλαβεροῖς ἐπιχειρούντων.

86 *Κελίκιοι τράγοι:* οἱ δασεῖς. ὅθεν καὶ τὰ ἐκ τριχῶν ἱμάτια κιλίκια λέγονται.

87 *Κρητίζειν:* ἀντὶ τοῦ ψεύδεσθαι· τοιοῦτοι γάρ οἱ Κρῆτες.

88 *Καθάπερ αἱ τίτθαι σιτίζεις κακῶς.*

89 *Κατόπιν ἑορτῆς ἥκεις:* ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων.

90 *Κύων ἐπὶ τὸν ἴδιον ἔμετον.*

91 *Κολοφῶνα ἐπέθηκας:* ἤτοι τὸ τέλειον καὶ πλῆρες. ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου.

92 *Κἂν ἐπὶ νεκροῦ κερδαίνειν:* ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τεθνεώτων.

93 *Καρκίνος λαγωὸν αἱρεῖ:* ἐπὶ τῶν ἀδυνάτων.

94 *Κατὰ ῥοῦν φέρεται:* ἐπὶ τῶν εὐπλοούντων.

95 *Κεστρεὺς νηστεύει:* ἐπὶ τῶν λαιμάργων· ἄπληστον δὲ τὸ ζῷον.

96 *Κενὰ κενοὶ βουλεύονται.*

---

1. Suidas: ἐπὶ τῶν δυσχερέσι καὶ βλαβεροῖς ἐπιχειρούντων. 5. τοιοῦτοι] ἀπατηλοὶ F. 6. Lege καθ' ὥσπερ ex PL et Aristophane. 9. κύων ἐπιστρέψας L recte. 10. κολοφῶνα κακῶν Apostolius.

S. S. 18, p. 161 C: ἐξᾷσαι δὲ καὶ τῷ βίῳ τελευτῶν καὶ μὴ γενέσθαι κατὰ τοῦτο τῶν κύκνων ἀγεννέστερος: ubi v. Wyttenbachius: Synes. Dion. 54 A Pet.: καὶ γὰρ εἰ μὴ τεθνήκαμεν καὶ ἀκούοντες τῆς ᾠδῆς· καὶ ἐμοῦ γε ἕνεκα μηδεὶς ποτε κύκνος τὸ ἔσχατον ᾄσειεν: alia v. apud intt. Musei Capitolini T. III, tab. 15. Haec a Walzio occupata erant: addo Polyb. XXX, 4, 7: ὅτε δὴ κατὰ τὴν παροιμίαν τὸ κύκνειον ἐξηχήσαντες, ἔλαβον ἀποκρίσεις τοιαύτας: et XXX, 20, 1: ἐξᾴσας τὸ κύκνειον.

85. P II, 79: Macar. V, 19: Apost. IX, 98: Zenob. IV, 60: Diog. V, 59.

86. P II, 80: DV III, 2.

87. P II, 81. F II, 25: Apost. X, 6: Diog. V, 58.

88. L II, 35.

89. P II, 85. F II, 29. Apost. IX, 44: comp. Macar. III, 98: Apost. XIV, 59. XV, 56: Diog. V, 87: add. Suid. s. ἀλλ' ἤ. In mente habuisse videtur Firmus in Murat. Anecdd. p. 307 Epist. 28: ὡς τοῖς διψῶσιν ἡδὺ γίγνεται τὸ ποτόν, οὕτως τοῖς συντυχίας ἐρῶσι τὸ γράφειν, ὅταν ταύτης κατόπιν ἔρχονται.

90. L II, 36.

91. P II, 86. F I, 97: Macar. V, 23. VIII, 54. Apost. IX, 92. XVI, 98: v. L II, 17.

92. L II, 37. F II, 26.

93. P II, 88. L II, 39. 40. F II, 15. Apost. IX, 27: Diog. V, 96.

94. L II, 38. 55.

95. P II, 90: DV III, 1.

96. P II, 89: Apost. IX, 66: Diog. V, 100: add. Suid. s. κενοί. Utitur Polyb. XXXIII, 8, 3: τῷ γὰρ ὄντι διὰ τὰς ἐπιθυμίας κενοὶ κενὰ λογίζονται, κατὰ τὴν παροιμίαν, quem locum Suidae debeo: add. id. in Excerptis libri XXXIX a Maio editis p. 459: ἀλλά μοι δοκεῖ κατὰ τὴν παροιμίαν κενοὶ κενὰ λογίζονται· λοιπὸν εἰκότως τοῖς τοιούτοις τὰ πρόδηλα παράδοξα φαίνεται: Κενὰ βουλεύεσθαι dixit Max. Tyr. Dissertt. XIII, 6, p. 243.

97 *Κριὸς τροφεῖα ἀπέτισεν: ἐπὶ τῶν ἀχαρίστων· οἱ γὰρ κριοὶ καὶ τὰς φάτνας πλήττουσι καὶ τοὺς θρέψαντας.*

98 *Κακὰ μὲν θρίπες, κακὰ δ' ἶπες: ἄμφω γὰρ λυμαντικοί· καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ τὰ κέρατα ἐσθίουσιν.*

99 *Κανθάρου μελάντερος· καὶ κανθάρου σοφώτερος: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.*

100 *Κακοὶ τῆς πονηρίας πίνουσι τὴν ἀμίχλην: ἐπὶ τῶν καταξίως τιμωρουμένων.*

1 *Κακῶν πανήγυρις: ἐπὶ πλήθους κακῶν.*

2 *Κηροῦ εὐπλαστότερος: ἐπὶ τῶν ῥᾳδίως τι ποιούντων.*

3 *Καθ' ἑαυτοῦ Βελλεροφόντης.*

4 *Κερκωπίζειν: ἀντὶ τοῦ δουλεύεσθαι καὶ ἀπατᾶν: μετενήνεκται δὲ ἀπὸ τῶν Κερκώπων.*

5 *Κατὰ βοὸς εὔχου: ἐπὶ τῶν μέγα βοώντων.*

6 *Κωφότερος κίχλης: παρόσον ἄφωνον τὸ ζῶον.*

7 *Κανθάρου σκιά: ἐπὶ τῶν φοβουμένων, ἔνθα οὐ δεῖ.*

8 *Κορυδέως εἰδεχθέστερος: ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο.*

9 *Κεκύλισται ὁ πίθος: ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων μάτην τι ποιούντων.*

10 *Κύρβεις* **: *ξύλα πινακοειδῆ, ἐν οἷς τοὺς νόμους ἔγραφον.*

11 *Κοινὰ τὰ τῶν φίλων.*

12 *Κοσκίνῳ μαντεύεσθαι: ἐπὶ τῶν εὐτελῶν μάντεων.*

---

1. *κριὸς τὰ τροφεῖα* Zenobius. 13. *δελεάζεσθαι* recte F II, 19. *μετήνεγκα* M. 17. *σκιαί* Diogenianus. 18. *Κορυδέος* M.

97. P II, 91; Macar. V, 31. Apost. X, 7: Zenob. IV, 63.
98. P II, 92. Apost. IX, 62: Diog. V, 78.
99. L II, 41.
100. L II, 42. 1. L II, 43.
2. L II, 44. 3. L II, 46.
4. L II, 47. 5. L II, 48.
6. L II, 49. 7. L II, 50.
8. L II, 51. 9. L II, 52.
10. L II, 53. 11. L II, 54.
12. Apost. IX, 88: Scholl. ad Lucian. Alex. § 9: *ἐπὶ τῶν εὐτελεστάτων μάντεων τοῦτο λέγεσθαι εἴωθεν.* Usurpat Lucian. l. c.: *καὶ μόνον εἰ φανείη τις .. ἢ τυμπανιστὴν ἢ κυμβάλοις κροτοῦντα ἐπαγόμενος, κοσκίνῳ τὸ τοῦ λόγου, μαντευόμενος, αὐτίκα μάλα πάντας κεχηνότας πρὸς αὐτὸν κτλ.* De hoc divinationis genere breviter monui in annott. ad App. Provv. V, 2: memoratur; idem ab Philostr. V. Apoll. VI, 11, 248. Aelian. N. An. VIII, 5. Artemidor. Oneir. II, 69 hodieque a Graecis simili modo cribrum superstitiose adhiberi itinerariorum auctores narrant: v. North Douglas in libro, qui inscribitur *an essay on certain points of resemblance between the ancient and modern Greeks* p. 112.

ΑΡΧΗ ΤΟΥ Λ.

13 *Λήμνια κακά:* ἀπὸ τῶν ἐν Λήμνῳ γυναικῶν, αἳ τοὺς ἄνδρας αὐτῶν ἀπέκτανον.

14 *Λαγωὸς περὶ κρεῶν:* ἐπὶ τῶν κινδυνευόντων καὶ ἀγωνιζομένων. ἐπειδὴ κἀκεῖνος περὶ τῶν ἑαυτοῦ κρεῶν τρέχει.

15 *Λύκος μάτην χανών· καί· Λύκος περὶ φρέαρ χορεύει:* ἐπὶ τῶν μάτην πονούντων.

16 *Λίνον λίνῳ κλώθεις:* ἐπὶ τῶν τὰ αὐτὰ πραττόντων ἢ λεγόντων ἢ τῶν κατάλληλα.

17 *Λύκος ἀετὸν φεύγει:* ἐπὶ τῶν ἀφύκτων.

18 *Λύδιον ἅρμα:* ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων· ὁ γὰρ Πέλοψ Λυδὸς ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι καὶ ἔκτοτε ἡ παροιμία· *Παρὰ Λύδιον ἅρμα θέειν.*

19 *Λευκῷ λίθῳ λευκὴ στάθμη.*

20 * * *: ἐπὶ τῶν τιθεμένων τὰς ψήφους ἀσαφεῖς καὶ φερούσας ἐπ' ἀμφότερα καὶ ἀπθεγεῖς αὐτόθεν.

21 *Λαγὼς καθεύδει:* ἐπὶ τῶν προσποιουμένων, ἤτοι πανουργευομένων.

---

2. *Λήμνιον κακόν* Zenobius. 4. *Λαγῶς τὸν περὶ τῶν κρεῶν τρέχων* Zenobius. 6. *Λύκος ἔχανεν:* ἐπὶ τῶν τῆς ἐλπίδος ἀποτυγχανόντων Diogenianus. 8. *κλώθεις*] *συνάπτεις* Zenobius. 9. *καταλλήλους* M. *παροιμία ἐπὶ τῶν τοῖς προτέροις ἕτερα συνειρόντων* explicat Schol. Aristid. 190 Fromm. 10. *φύγει* M. 13. *ἔκτοτε*] quid h. l. M habeat, non plane certum est. 17. *φε◡υ* (superscr. *σι*) M. *αὐτόθενι* M. 18. *καθεύδων* Zenobius. *προσποιουμένων*] *καθεύδειν* addit Zenobius: v. K in nott. critt. ad Diog. VI, 1.

13. P II, 93: Macar. V, 60. Apost. X, 64 ibiq. v. nott.: Zenob. IV, 91.
14. P II, 94: DV III, 8.
15. P II, 95. F II, 38. *Λύκος μ. χ.*] Macar. V, 76. Apost. X, 84: Diog. VI, 20. Ortum est ex fabula: v. Babrii fabb. 16. Usurpat Eubulus Athen. XIV, 622 F, vs. 11: *ἔπειγ' ἔπειγε, μή ποθ' ὡς λύκος χανὼν Καὶ τῶνδ' ἁμαρτὼν ὕστερον συχνοῦ δράμῃς.* *Λύκος π. φ. χ.*] Apost. X, 85: Zenob. IV, 100.
16. P II, 97. F II, 48. Apost. X, 72: Zenob. IV, 96. Negatione praemissa affert Suidas: *Οὐ λίνον λίνῳ συνάπτεις:* ἐπὶ τῶν τὰ αὐτὰ μὴ διὰ τῶν αὐτῶν πραττόντων. οὕτω *Στράττις* ἐν *Ποταμίοις*, de quo v. Meinekius Fragm. Com. Gr. II, 2, p. 777: add. Simplic. ad Aristot. in Phys. Acroas. IV, p. 165b. 7a f: ὁ δὲ Ἀλέξανδρος φιλονεικῶν δεῖξαι τοῦ Πλάτωνος δόξαν εἶναι, τὴν λέγουσαν χρόνον εἶναι τὴν τοῦ οὐρανοῦ φοράν, παρῆξεν μὲν τὸν Εὔδημον μαρτύρειν λέγοντα, ἠκολούθησε δὲ καὶ Πλάτων τῇ λέξει ταύτῃ καὶ μάλα ἀτόπως· οὐκ γὰρ οὐρανὸν γενέσθαι φησὶν κίνησιν εἶναι ἅπασαν· οὐ λίνον δὴ λίνῳ συνάπτει, εἴπερ πᾶσα κίνησις ἐν χρόνῳ.
17. P II, 98. F II, 44: Apost. X, 83: Diog. VI, 19.
18. L II, 58.
19. L II, 67.
20. Excidit proverbium de tesserarum ludo sumptum.
21. F II, 33: DV III, 61

22 *Λήμνιον βλέπεις:* ἤτοι πυρῶδες· ἐπειδὴ τὸ Λήμνιον πῦρ ἀπὸ τοῦ Ἡφαίστου.

23 *Λέρνη κακῶν:* λίμνη ἦν, εἰς ἣν τὰ καθάρματα Ἕλληνες ἔβαλλον.

24 *Λεπτὴν πλέκει:* ἐπὶ τῶν πενιχρῶν.

25 *Λιβυκὸν θηρίον:* ἐπὶ τῶν πολυτρόπων· διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι.

26 *Λυγκέως ὅμοιος:* ἤγουν ὀξυδερκής.

27 *Λυδὸς ἐν μεσημβρίᾳ:* ἐπὶ τῶν ἀκολάστων, ὡς ταύταις ταῖς ὥραις ἀκολασταινόντων· οἱ γὰρ Λυδοὶ κωμῳδοῦνται ταῖς χερσὶν αὐτῶν πληροῦντες τὰ ἀφροδίσια.

28 *Λήθαργος κύων:* ὁ προσσαίνων μὲν, δάκνων δὲ λάθρα.

29 *Λύκου πτερά:* ἐπὶ τῶν ἀδυνάτων.

30 *Λύχνον ἐν μεσημβρίᾳ ἅπτεις:* ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων.

ΑΡΧΗ ΤΟΥ Μ.

31 *Μία λόχμη δύο ἐριθάκους οὐ τρέφει:* ἐπὶ τῶν ἐκ μικροῦ κερδαίνειν σπουδαζόντων. ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

32 *Μηδικὴ τράπεζα:* ἐπὶ τῶν εὐπόρων.

33 *Μὴ μελαμπύγου τύχῃς:* μή τινος ἀνδρείου καὶ ἰσχυροῦ.

34 *Μὴ πῦρ ἐπὶ πῦρ.*

35 *Μὴ κινεῖν κακὸν εὖ κείμενον.*

36 *Μὴ παιδὶ μάχαιραν:* μὴ τοῖς ἀπείροις ἐγχειρεῖν πράγματα, ἵνα μὴ καθ᾽ ἑαυτῶν χρήσωνται.

37 *Μέλιτος μυελός:* ἐπὶ τοῦ ἄγαν ἡδέος.

38 *Μηδὲ μέλι μηδὲ μελίσσας:* ἐπὶ τῶν παραιτουμένων ἀγαθόν τι παθεῖν διὰ τὸν κίνδυνον τὸν ἐν αὐτῷ.

---

3. Eadem praebet K in nott. critt. ad Diog. VI, 7. Ἕλληνες] οἱ Αἰγύπτιοι dici debebat. 8. Λογγέως M. 11. αὐτῶν M. 12. Λέθαργος M. 18. μικροῦ τινος Zenobius. 25. ἐγχειρίζειν L. 28. ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φαῦλον μετ᾽ ἀγαθοῦ Suidas.

22. F II, 34: Macar. V, 60. Apost. X, 66: Scholl. ad Aristoph. Lysist. 299: Λήμνιον τὸ πῦρ: ἀντὶ τοῦ πάνυ γενναῖον· ἢ ἀπὸ τῶν Λημνίων γυναικῶν, πορνῶν οὐσῶν· ἢ ἀπὸ τῶν καμίνων τοῦ Ἡφαίστου: cf. nott. ad Apost. X, 64 et App. Provv. III, 66. 23. F II, 35: Apost. X, 56: Zenob. IV, 86.
24. L II, 59. 25. L II, 60. 26. L II, 61. 27. L II, 63. 28. L II, 62. 29. L II, 64. 30. L II, 65. 31. L II, 68. 32. P III, 2: DV III, 14. 33. L II, 73. 34. L II, 74. 35. L II, 75. 36. L II, 70. 37. L II, 69. 38. P III, 4: DV III, 25.

39 *Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.*

40 *Μυσῶν λεία: οἱ γὰρ περίοικοι τοὺς Μυσοὺς ἐλῄζον.*

41 *Μὴ κίνει Καμάριναν: λίμνη, ἣν ἀπηγόρευεν ὁ χρησμὸς μετοχετεῦσαι· οἱ δὲ χρησαμένου παρακούσαντες ἐβλάβησαν.*

42 *Μωμήσεταί μᾶλλον ἢ μιμήσεται: ἐπὶ τῶν ἀπαιδεύτων.*

43 *Μία χελιδὼν ἔαρ οὐ ποιεῖ οὐδὲ μία μέλισσα μέλι.*

44 *Μασχάλας αἴρειν: ἐπὶ τῶν πολλάκις πινόντων.*

ΑΡΧΗ ΤΟΥ Ν.

45 *Νέμεσις δέ γε παρὰ πόδα βαίνει: παρόσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας.*

46 *Νῷ πείθου: ὁμοία τῇ· θεῷ ἕπου.*

47 *Νεκρῷ μῦθον εἰς οὖς ἔλεγεν: ἐπὶ τοῦ μὴ ἐπαΐοντος. καὶ ἐπὶ τῶν ἀναισθήτων.*

48 *Νεφέλας ξαίνεις: ἐπὶ τῶν ἀδυνάτων.*

49 *Ναῦς ἱκετεύει πέτραν: ἐπὶ τῶν σφόδρα ἀναισθήτων.*

ΑΡΧΗ ΤΟΥ Ξ.

50 *Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: ἐπὶ τῶν ἀδιορθώτων.*

51 *Ξυρὰς εἰς ἀκόνην.*

52 *Σὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κώδύρεται: ἀντὶ τοῦ θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.*

---

3. Explicatio neglegenter e Suida aut Zenobio in brevius redacta est: v. Apostolium. 6. *Μωμήσεταί τις* Diogenianus. 10. *μασχάλην* L, alii. *πεινώντων* ML. 12. Scribe *κάμ πόδα*. 15. *πρὸς οὓς διαλέγεσθαι* Diogenianus. 20. *ἀγκύλον*] *σκαμβὸν* Suidas: v. nott. ad Diogen. l. c. De explicatione v. Apostolium. 23. *σὺν* L.

39. P III, 5: DV III, 26.
40. P III, 6: DV III, 16.
41. P III, 7: Apost. XI, 49: Zenob. V, 18. Quo modo narratio de proverbii origine nata sit, enucleare studet Klausenius de Aenea I, 296 sq.
42. P III, 8: Macar. VI, 7. Apost. XI, 93: Diog. VI, 74.
43. L II, 71. 44. L II, 72.
45. L II, 81. 46. L III, 80.
47. P III, 12: DV III, 34.
48. P III, 13: DV III, 35.
49. P III, 14: Apost. XI, 94: Diogen. VI, 79.
50. P III, 16: Macar. VI, 17: Apost. XII, 24: Diogen. VI, 92.
51. P III, 15: Apost. XII, 23: Diogen. VI, 91.
52. Suidas: L III, 10: F II, 58. Apost. XII, 25: Stob. Eclog. Phys. I, 3, p. 34 Heer.: est Sophoclis Aiac. 383. Comparat Pantinus Eurip. Iph. Aul. 31.

ΑΡΧΗ ΤΟΥ Ο.

53 *Οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας*: ὅτι πρὸ τῶν πραγμάτων δεῖ βουλεύεσθαι καὶ μὴ ἐν αὐτοῖς τοῖς πράγμασιν. ὥσπερ καὶ οἱ τὰ ἱερεῖα προσάγοντες οὐ μετὰ τὸ θῦσαι βουλεύονται.

54 *Οὐκ ἂν αὖθις ἀλώπηξ*: λείπει τὸ ἁλώσεται. αὕτη γὰρ ἅπαξ διαφυγοῦσα πάγας, οὐ δευτέρως ἁλίσκεται.

55 *Ὄνος ἄγει μυστήρια*: ἐπὶ τῶν ἀναξίως τι βασταζόντων.

56 *Ὄνου γνάθοι*: εἰς πολυφάγον.

57 *Ὅπου ἔλαφοι τὰ κέρατα ἀποβάλλουσι*: τόποι δύσβατοι. λέγεται οὖν ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιουμένων.

58 *Οἱ μὲν γὰρ οὐκέτ' εἰσίν· οἱ δ' ὄντες κακοί.*

59 *Οἴκοι τὰ Μιλήσια· μὴ γὰρ ἐνθάδε*: ἐπὶ τῶν ὅπου μὴ προσήκει τοὺς τρόπους ἐπιδεικνυμένων. Μιλήσιος γὰρ ἐλθὼν εἰς Λακεδαιμονίους ἐδημηγόρησε πολλὰς τρυφὰς ἔχων· διὸ καὶ ἤκουσε ταῦτα.

60 *Οἶνος ὦ παῖδες ἀλήθεια.*

61 *Ὄνος εἰς ἄχυρα.*

---

1. Incorrupta proverbii forma, quam ex comparatione variarum lectionum ad Zenob. I, 66 propositarum elicuimus, haec est: ἀλλ' οὐδὲν δεῖ περὶ τὸν βωμὸν βαστάζειν τὰς ἐπινοίας: sine dubio versus ex antiqua comoedia desumptus. Idem vidit Meinekius Comm. Gr. Rell. IV, p. 697. 4. ἱερεῖα] ἱερὰ MF. 5. βουλεύονται] περὶ αὐτῶν P addit. 7. δευτέρως] οὐκ Zenobius. 8. ἄγων Suidas. 10. γνάθος Apostolius. 16. τοὺς τρόπους] τοὺς τροφοὺς [sic] M: τὰ ἤθη P, τὴν τροφὴν F: τὴν τρυφὴν Zenobius. 18. ἔχειν M. Meliora L, Zenobius, alii praebent. 19. ὦ] καὶ M. 20. ἔχυρα M.

53. P III, 17. F II, 59: Apost. XIII, 69: cf. Zenob. I, 66. Apost. II, 44.

54. P III, 18. F II, 60: Apost. XIII, 70: cf. Zenob. I, 67. Apost. II, 44.

55. P III, 19. F II, 61: Macar. VI, 34. Apost. XII, 74: Diog. VI, 98. Proverbii originem explicat Photius Lex. s. v. παροιμία: ἐπὶ τῶν ἑτέροις κακοπαθούντων καὶ παρεχόντων εὐφροσύνην· ἐπεὶ ἐν τῷ καιρῷ τῶν μεγάλων μυστηρίων Ἀθήνηθεν Ἐλευσινάδε τοὺς ὄνους κομίζειν αὐτοῖς τὰ ἐπιτήδεια· ὅθεν γὰρ θλίβονται μᾶλλον, τὰ πρὸς τὴν χρείαν ἀγόμενα βαστάζοντες. Δήμων ἐπὶ τοῦ μύλου λέγεσθαί φησιν, ὅτι ἐστεφανοῦσιν αὐτὸν τότε. Quamquam recte Fritzschius ad Arist. Ran. 159 interpretatur: *Asinus mysteria celebrat*: tamen et eo sensu, quem Gregorius ex Diogeniano affert, proverbium dici potuisse, nemo infitias ibit.

56. P III, 20. F II, 62: Macar. VI, 33. Apost. XII, 90: Diogen. VI, 100.

57. P III, 21: DV III, 48.

58. P III, 22. Est Arist. Ran. 72.

59. L II, 82.

60. L II, 83.

61. P III, 24: Apost. XII, 77.

62 *Οὔθ' ὕεται οὔθ' ἡλιοῦται: ἐπὶ τῶν ἀναισθήτων.*

63 *Οὐκ ἐπαινεθείης οὐδὲ παρὰ δεῖπνα: ἐπὶ τῶν φαυλοτάτων καὶ οὐδενὸς ἀξίων. εἰώθασι γὰρ ἐν τοῖς ἐπὶ τῶν ἀποθανόντων δείπνοις αὐτοὺς ἐπαινεῖν κἂν ἔτυχον ὄντες φαυλότατοι.*

64 *Οἴκοθεν ὁ μάρτυς: ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας.*

65 *Ὄνος ἐν μελίσσαις: ἐπὶ τῶν ἐν κακοῖς περιπεσόντων.*

66 *Ὄνος λύρας ἀκούων: ἐπὶ τῶν ἀξυνέτων.*

67 *Ὄνῳ τις ἔλεγε μῦθον· ὁ δὲ τὰ ὦτα ἐπέσεισεν: ἐπὶ τῶν ἀνοήτων.*

68 *Ὁ κνὶψ ἐν χώρᾳ: ἐπὶ τῶν ταχέως μεταπιπτόντων. κνὶψ γὰρ θηρίον ξυλοφάγον.*

69 *Οἴκοι γενοίμην: ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.*

70 *Ὀστράκου μεταπεσόντος: ἐπὶ τῶν ἀπροφασίστως μεταβεβλημένων.*

71 *Ὀρνίθων γάλα.*

72 *Οὐδὲν πρὸς ἔπος.*

73 *Οὐδὲν πρὸς τὴν χορδήν.*

---

2. *οὐδ' ἐν περιδείπνῳ* Zenobius. 7. *μάρτυρας*] scribe *μαρτυρίας*. 8. *ἐν* Apostolius ignorat. 9. *ἀξυνέτων*] *ἀπαιδεύτων* F, Diogenianus. 10. *ἐπέσεισεν*] *ἐκίνει* Diogenianus, qui *εἰς ἀναισθησίαν τινῶν* explicat. 12. *κνὶξ* bis M. 13. *ξυλοφάγει* idem.

XII, 23: Suid. s. *ὄνος*, s. *ξυρός*: Diog. VI, 91. Arist. Vesp. 1310: *κλητῆρί τ' εἰς ἀχυρῶνας* [scribe *ἀχυρμόν*] *ἀποδεδρακότι*, ubi Scholl.: *παρὰ τὴν παροιμίαν Ὄνος εἰς ἀχυρῶνας ἀπέδρα*: de formis *ἀχυρός*, *ἀχυρών*, *ἄχυρον* v. Meinekius Com. Gr. IV, p. 629. Etiam in Babyloniis proverbio Aristophanes usus esse videtur: cf. Bergkius in Mein. Com. Gr. II, 2, 960 sq.

62. L II, 84. 63. L. II, 85.

64. P III, 27. F II, 70: Apost. XII, 39: Diogen. VII, 29.

65. P III, 28. F II, 71: Apost. XII, 79: Diogen. VII, 32.

66. P III, 29: cf. nott. ad Apost. XIII, 27.

67. P III, 30: Apost. XII, 80: Zenob. V, 42.

68. L II, 87. 69. L II, 88.

70. DV III, 54: cf. L II, 93.

71. DV II, 15.

72. Suid.: *ἀντὶ τοῦ, ὡς ἔτυχεν, ἕνεκα μηδενός*: *Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ, Πρὶν ἐκπύθωμαι πῶν τὸ πρᾶγμ' ὅπως ἔχει*: Arist. Eccles. 746, ubi Scholia eandem quam ex Suida apposui, explicationem exhibent: add. Lucian. Philops. §. 1: *οὐδὲν πρὸς ἔπος ταῦτα, φασίν, οὐδὲ περὶ τούτων ἠρόμην, ὁπόσοι κτλ.*, ubi interpres Graecus explicat: *ἀντὶ τοῦ οὐδὲν πρὸς τὸν λόγον, ὃν ἠρόμην*: cf. nott. ad Macar. VIII, 30. Affertur ab Erasmo I, 5, 45 Ulpianus 5, 12. Digest. XI, 1: *quod autem ait praetor, omnino non respondisse, posteriores sic acceperunt, ut omnino non respondisse videatur, qui ad interrogata non respondit, id est, οὐδὲν πρὸς ἔπος.*

73. Lucian. de Saltat. §. 80: *πολ-*

74 *Οὐδὲ κύων παύσαιτ' ἂν ἅπαξ σκυτοτραγεῖν μαθοῦσα.*

75 *Οὐδ' ἴκταρ βάλλει:* ἀντὶ τοῦ· οὐδ' ἐγγύς.

76 *Οὐδέποτ' ἴσχει ἡ θύρα:* ἐπὶ τῶν πάντας ὑποδεχομένων καὶ ξενιζόντων.

77 *Οὐδ' ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν:* ἐθρυλλεῖτο ὁ Ἐξηκεστίδης ὡς πᾶσαν ὁδὸν γιγνώσκων διὰ τὴν χρόνιον πλάνην.

78 *Ὁ Ταντάλου λίθος ὑπὲρ κεφαλῆς ταλαντεύεται:* ἀντὶ τοῦ φόβος ἡμᾶς ἔχει διηνεκής.

* * *

---

6. εὐθεῖαν] εὐθῆ M. 10. Quae post hoc proverbium in media fere pagina positum paginae pars sequitur, vacua relicta et in ipso sequentis paginae initio proverbium 79 collocatum est. Initium igitur literae *Π* nescio qua de causa scriba omisit; e P III, 31—37 suppleri ex parte potest.

λοὶ γὰρ αὐτῶν ὑπ' ἀμαθίας ... σολοικίας δεινὰς ἐν τῇ ὀρχήσει ἐπιδείκνυνται. οἱ μὲν ἄλογα κινούμενοι καὶ μηδέν, ὥς φασι, πρὸς τὴν χορδήν. ἕτερα μὲν γὰρ ὁ πούς, ἕτερα δ' ὁ ῥυθμὸς λέγει: ubi Scholl.: τοῦτο οὐ παροιμία, ἀλλ' ἐκ παροιμίας μετείληπται τῆς, οὐδὲν φασὶ πρὸς τὸν Διόνυσον, de quo v. Apost. XIII, 87. Erasmo I, 5, 46 iudice in eos dicitur, quorum vita vehementer est inaequalis, quorumve mores ab oratione dissident. Lucianus Dial. Meretr. [III, 2.]: καὶ ὅτι εὖ πρὸς τὴν κιθάραν ὁ πούς. Plutarchus in commentario de Verecundia [c. 16, p. 534 E]: καίτοι οὐ διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν, ὡς Πλάτων [Legg. VII, 812 D] ἔλεγε, καὶ πόλεις πόλεσι καὶ φίλοι φίλοις διαφερόμενοι τὰ κάκιστα δρῶσί τε καὶ πάσχουσιν, ἀλλὰ διὰ τὴν περὶ τὰ νόμιμα καὶ δίκαια πλημμέλειαν. Etiam divus Augustinus ad hoc proverbium allusisse videtur in epistola ad Licentium 26 [T. II, p. 51 edit. Venet.]: *aut si ego canto, tu autem ad aliam vocem saltas, nec sic quidem me poenitet: habet enim suam hilaritatem ipsa cantatio, etiam cum ad eam membra non movet, cui plena caritatis modulatione cantatur.*

74. Apost. XIII, 46. Lucian. adv. Indoct. §. 25: ὥστε μὲν γὰρ μηκέτι ἐργάζεσθαι, τίς ἂν μεταπείσειέ σε; οὐδὲ γὰρ κύων ἅπαξ παύσαιτ' ἂν σκυτοτραγεῖν μαθοῦσα: alia vide in annott. ad P III, 97 allata.

75. DV III, 46.

76. Scholl. ad Arist. Acharn. 127: τοὺς δὲ ξενίζειν οὐδέποτ' ἴσχει γ' ἡ θύρα] παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ὑποδεχομένων. μέμνηται Εὔπολις ἐν Φίλοις [fr. IX Mein.]· νὴ τὸν Ποσειδῶ, κοὐδέποτέ γ' ἴσχει θύρα. καὶ Καλλίμαχος ἐν Ἑκάλῃ [fr. 41 Bentl.]· τῖον δέ ἑ πάντες ὁδῖται Ἦρα φιλοξενίης· ἔχε γὰρ τέγος ἀκλήιστον [cf. Naekii Opusc. II, 101.]· καὶ Πίνδαρος [Nem. IX, 4]· ἔνθ' ἀναπεπταμέναι ξείνων νενίκανται θύραι.

77. Apost. XIII, 14. Suid. s. Ἐξηκεστίδης: ... τοῦτον γὰρ ὡς ξένον διαβάλλουσι καὶ πλάνον, οἱ δὲ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. ἐξαπορήσαντες οὖν τῆς ὁδοῦ καὶ ἀποπλανηθέντες εἶπον· Οὐδ' ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν. εἴρηται οὖν ἐπὶ τῶν ὁδοῦ ἀποπλανηθέντων: add. Apost. VII, 55. Append. Provv. III, 70.

78. Apost. XIII, 10: cf. nott. ad Apost. VII, 60. XVI, 54.

79 *Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου*: ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων.

80 *Πλίνθον πλύνεις*: ἐπὶ τῶν ἀδυνάτων.

81 *Πολλοί σε μισήσουσιν, ἂν σαυτὸν φιλῇς*: τοῦτό φασι Νύμφας πρὸς Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν παθοῦντα μορφήν.

82 *Πάνθ' ὑπὸ μιᾶς Μύκονος*: ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.

83 *Πρὸ τῆς νίκης ἐγκώμιον ᾄδεις*: ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα.

84 *Πονηρὰ κατὰ τρυγόνα ψάλλεις*: ἐπὶ τῶν ἐπιπόνως ζώντων.

85 *Πολύποδος ὁμοιότης*: πρὸς τοὺς ἐξομαιοῦντας ἑαυτούς.

86 *Ποταμὸς πρὸς θάλατταν ἐρίζει*: ἐπὶ τῶν ἀδυνάτων.

87 *Πενίη σοφίην ἔλαχε*: ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσιν.

88 *Πολλῶν ἀχύρων ὀλίγον καρπὸν ἀγήγαγον.*

89 *Παρὰ κωφῷ διαλέγῃ.*

90 *Πρὸς σῆμα μητρυιᾶς κλαίει*: ἐπὶ τῶν προσποιουμένων.

91 *Πολλαῖσι πληγαῖς δρῦς δαμάζεται.*

92 *Πρὶν τοὺς ἰχθῦς λαβεῖν τὴν ἅλμην κυκᾷς*: ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων.

---

1. *μεταξὺ πέλει* Zenobius. 4. V. vv. ll. ad L l. c. allatas. 7. *μίαν Μύκονον* recte K in Append. Provv. IV, 52. 9. *πρὸ τῆς*] *πρώτης* M. 15. *πρὸς* om. M, *θαλάττῃ ἐρίζεις* Suidas, *πρὸς θάλατταν* P Apostolius. 16. *πενία, σοφίαν* Zenobius. 18. *Ἐκ πολλῶν* et *συνήγαγον* Suidas, simul explicans: *ἐπὶ τῶν πολλὰ μὲν πονούντων, ὀλίγα δὲ καρπουμένων.* 20. *κλαίων* explicationi Diogen. VII, 66 adiunxit. 23. *σὺ τὴν* Eustathius: germana proverbii forma apud Diog. VII, 56 legitur: *ἅλμην τί κυκᾷς, πρὶν ἕλῃς τοὺς ἰχθύας;*

79. L II, 95.
80. P III, 39. F II, 75: DV III, 52. Apost. XIV, 30: Diog. VII, 50.
81. L II, 96. 82. L III, 1.
83. L II, 97. 84. L III, 2.
85. L III, 3.
86. P III, 50. F II, 89: Apost. XIV, 60: Diog. VII, 74.
87. L II, 100.
88. P III, 31: Apost. XIV, 36: Suid. s. *ἐκ πολλῶν.*
89. P III, 32.
90. P III, 33: DV III, 65.
91. P III, 34: Macar. VII, 25. Apost. XIV, 39: Diog. VII, 77a.
92. P III, 35: Macar. VII, 33. Apost. XIV, 72. XVI, 50: Diogen. VII, 93. Obversabatur, ut videtur, Aristophanis animo Vesp. 1515: *ἅλμην κυκᾷ τούτοισιν, ἣν ἐγὼ κρατῶ.* Simile addit Suid. s. *πρίν*: *πρὶν ἐσφάχθαι δέρεις.*

93 *Πολλαὶ κυνὸς ἄῤῥενος εὐναί: ἐπὶ τῶν κατωφερῶν εἰς τὰ τῆς Ἀφροδίτης ἔργα.*

94 *Πολλάκις μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.*

95 *Πτωχοῦ πήρα οὐκ ἐμπίμπλαται: ἐπὶ τῶν ἀπλήστων.*

96 *Ποικιλώτερος ὕδρας: ἐπὶ τῶν δολερῶν.*

97 *Πῦρ ἐπὶ δαλὸν ἐλθόν.*

98 *Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.*

99 *Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.*

100 *Πρὸς κέντρα λακτίζειν.*

1 *Προφάσεως δεῖται μόνον ἡ πονηρία.*

2 *Πολλὰ ψεύδονται ἀοιδοί.*

3 *Πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους.*

---

3. *πολλάκι τοι καὶ* Diogenianus. 4. *οὐ πίμπλαται* Zenobius. 6. *ποικιλάτους* M, *ποικιλότης* P: *ποικιλώτερος* ex Apostolio dedi. 7. *ἐπ' ἰδαλὸν* M. 8. *πολλὰ* M. *ἓν*] *τ'* M: *τὸ* igitur voluisse videtur. 9. *πολλοὶ μὲν* Plato, Clemens, Synesius. 11. *λακτίζων* Zenobius, *λακτίζεις* Apostolius. 12. *Προφάσιος δέεται μοῦνον ἡ πονηρίη* Bernhardius coniecit Hist. Liter. Gr. I, 56, *δέεται προφάσεως μοῦνον ἡ π.* Nauckius in Schneidewini Philol. II, 158. Etiam *προφάσιος* scribendum est. Sunt enim in proverbiis ionicae formae saepe deletae: cf. Macar. III, 45. DV I, 30. Apost. I, 67. V, 85. 14. *θρίων* recte Diogenianus.

93. P III, 36: DV III, 67.

94. P III, 37: DV III, 68.

95. P III, 40: DV III, 61.

96. P III, 41: Macar. VII, 30. Apost. XIV, 63: Diog. VII, 69.

97. P III, 43: Macar. IV, 47. Mant. Provv. s. *πῦρ*: Diog. VII, 82: cf. Apost. XV, 12. Philostr. Epist. 37: *ἐπεὶ τοῦτο ἂν ἦν ἄλλο πῦρ ἐπὶ πυρὶ καὶ δαλὸς ἐπ' ἐκείνῳ διπλοῦς*: ibiq. cf. Boissonadus p. 106.

98. P III, 44: DV III, 69.

99. P III, 45: Macar. VII, 20. Apost. XIV, 57: Zenob. V, 77. Diog. VII, 86: Exstat in Anthol. Pal. X, 106 cum inscriptione: *παροιμία ἐπὶ τῶν ψευδῆ δόξαν ἐχόντων*. Affertur a Clem. Alex. Stromm. V, 3, 17, p. 236 Sylb.: *φιλόσοφον μὲν οὖν, ἦν δ' ἐγώ, πλῆθος ἀδύνατον γενέσθαι· πολλοὶ .. παῦροι κατὰ τὸν Πλάτωνα*: Phaedon. 69 C: add. Themist. Oratt. XXI, 254 B: *ἀλλὰ τῷ οὐ κατὰ νόμον μεμυημένῳ τὸν ναρθηκοφόρον Βάκχον ἡγεῖσθαι οὐ συγχωρεῖ τὰ μυστήρια*: Synes. Dion. 46 B: *καὶ μένουσιν ἐπ' αὐτῆς* [sc. *τῆς ὁρμῆς ἐνθέου*] *ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μελισσόμενοι. Πολλοὶ μὲν γὰρ — βάκχοι· οὐδ' οὗτοι μέντοι διαρκῶς ἀνέχονται τῆς βακχείας.*

100. P III, 46: Macar. VII, 44. Apost. XIV, 97. VI, 57: Zenob. V, 70: *Πρὸς κέντρα λακτίζοιμι* Greg. Naz. Christ. Pat. 2266.

1. P III, 47: Apost. XIV, 76. 98: Diog. VII, 87.

2. P III, 49: Macar. VII, 19. Apost. XIV, 37. Usurpat Aristot. Metaphys. I, 2, p. 983, 3 Bekk.: *ἀλλ' οὔτε τὸ θεῖον φθονερὸν ἐνδέχεται εἶναι, ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν πολλὰ ψεύδονται ἀοιδοί, οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν.*

3. L II, 99.

4 *Πεινῶσαν ἀλώπεκα ὕπνος ἔρχεται.*

5 *Πάντα πέτρον κινήσω, πάντα κάλων.*

6 *Πρὸς λέοντα δορκάδες συνάπτουσι μάχας.*

* *

*

7 *Χαμαιλέων ζῷόν ἐστιν εἰς ἅπαντα τὴν χρόαν μετατρέπων πλὴν λευκοῦ.*

8 *Χελώνη μυιῶν: ἐπὶ τῶν ἀφροντιστούντων τινός. Τῷ δ' Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν.*

9 *Χειρώνειον ἕλκος: ἤτοι ἀνήκεστον.*

10 *Χθόνια λουτρά: τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.*

11 *Χύτραν ποικίλλειν: ἐπὶ τῶν ἀδυνάτων.*

12 *Χυτρεοῦς: ἤτοι ὀστράκινος, εὐτελής.*

13 *Χρυσὸς Κολοφώνιος: οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο. καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν.*

14 *Χαλεπὸν χορίου κύνα γεύειν.*

15 *Χρήματ' ἀνήρ· πενιχρὸς δ' οὐδέποτ' ἐσθλός.*

---

1. *ἐπέρχεται* Diogenianus. 2. *κινήσω*] post hanc vocem *καὶ* excidit. 3. *δορκὰς ἅπτεται μάχης* Diogenianus. Folia nonnulla hic perierunt. 4. *πάντα* Suidas. *μετατρέπον* idem: sed AE cum nostro faciunt. 6. *μυῶν* M. 7. *παῤῥασίας* M. 8. *ἔμελλεν* M. *μυων* M. 13. *χυτρεοῦς*] addendum esse aut *θεὸς* aut *ἄνθρωπος* ex Apostolio apparet.

4. P III, 52: Apost. XIV, 23: Diogen. VII, 91.
5. L III, 4.
6. P III, 56: DV III, 57.
7. L III, 32. 8. L III, 33.
9. L III, 34. 10. L III, 35.
11. L III, 36. 12. L III, 37.
13. L III, 38.
14. P III, 97: DV III, 94.
15. P III, 98: Macar. VIII, 85. Apost. XVIII, 23: Zenob. VI, 43. Scholl. ad Pind. Isthm. II, 17: *χρήματα, χρήματ' ἀνήρ. τοῦτο ἀναγράφεται μὲν εἰς τὰς παροιμίας ὑπ' ἐνίων, ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς δήλου ὄντος ὃς ἐστιν ὁ τοῦτο εἰπών, μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος· Ἀλκαῖος* [fr. 41 Schneidew.] *δὲ καὶ τὸ ὄνομα καὶ τὴν πατρίδα τίθησιν, οὐκ Ἄργος ἀλλὰ Σπάρτην· Ὡς γὰρ δή ποτέ φασιν Ἀριστόδημον Ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν. Χρήματ' ἀνήρ· πενιχρὸς δὲ οὐδεὶς Πέλετ' ἐσλὸς οὐδὲ τίμιος· ... Σπαρτιάτην δὲ Ἀριστόδημον ἐν τοῖς ἑπτὰ σοφοῖς ἀναγράφεται Ἄνδρων ὁ Ἐφέσιος*: Suid. s. *χρήματα χρήματ' ἀνήρ: αὕτη ἀποφθεγματική ἐστιν, ὡς τὰ παραγγέλματα τῶν ζ' σοφῶν. μέμνηται αὐτῆς Πίνδαρος καὶ Ἀλκαῖος. ὁμοία τῇ, ὡς καὶ ἀρχὴ ἄνδρα δείκνυσι* [cf. sup. I, 80]· *καὶ τῇ, τὴν κατὰ σαυτὸν ἔλα* [Macar. VIII, 21]· *καὶ τῇ, γνῶθι σαυτόν* [DV II, 10.]. Fundus sententiae ab Aristodemo pronunciatae est Hesiod. Op. et D. 686: *χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι*: de ea disputant Valckenarius ad Eur. Phoen. 438. O. Muellerus Dor. II, 10. Welckerus Prolegg. ad Theogn. p. LIV et p. 99. Goettlingius ad Hesiod. l. c.

16 *Χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα.*

17 *Χροῒ δῆλα:* φασὶ Φερεκύδην τὸν σοφὸν φθειριάσαντα τελευτῆσαι, εἰπεῖν δὲ πρὸς Πυθαγόραν περὶ τούτου πυνθανόμενον, προβάλλοντα τὸν δάκτυλον.

18 *Χύτραις λημᾶν καὶ κολοκύνταις:* ἐπὶ τῶν ἀμβλυωπούντων.

19 *Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις:* ἐπὶ τῶν εἰκῇ λοιδορουμένων.

ΑΡΧΗ ΤΟΥ Ψ.

20 *Ψύρα τὸν Διόνυσον:* τὰ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ πλησίον Χίου μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.

ΑΡΧΗ ΤΟΥ Ω.

21 *Ὠσὶν ἐσθίουσιν:* ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι ὦτα εὐτρεπιζομένων.

22 *Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν:* ὅταν ἐλπίσας τις μεγάλα μικροῖς ἐντύχῃ.

23 *Ὡς ἥρως ἐν ἀσπίδι ξενίσαι βούλομαι:* λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων.

---

1. *τὰ Μυσῶν καὶ Φρ.* Apostol. 2. Suidas: *ὅτι φασὶ ... τελευτῆσαι. ὅτε καὶ Πυθαγόρου παραγενομένου καὶ πυνθανομένου πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν, χροῒ δῆλα· καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνουσι:* v. Schneidewin. ad Heracl. Polit. p. 73. 7. *γιγνώσκεις* Aristoph. 16. *τὰ ὦτα* Diogen. 20. *ὥσπερ* Diogen., *ἀλλ' ὥσπερ* Zenobius.

16. P III, 99: Macar. VIII, 83. Fragm. Macar. I, 33. Apost. XVIII, 36: Append. Provv. V, 35. Originem proverbii Scholiasta ad Greg. Nazianz. Carm. 18 in Gaisfordi Catal. Codd. Clarkian. I, p. 37 exponit: *Ἕλληνες ἐπὶ τὴν Τροίαν ἀναπλέοντες ἐπλανήθησαν καὶ Φρυγίαν καταλιπόντες τῇ Μυσίᾳ προσέβαλον. Τήλεφος δὲ ὁ τοῦ Ἡρακλέους παῖς τούτους διώκων ἔλεγεν· Κεχώρισται τῶν Φρυγῶν καὶ τῶν Μυσῶν τὰ ὅρια· τοῦτον ἐν συστάδι μάχῃ τιτρώσκουσιν Ἀχιλλεὺς καὶ Αἴας, ἀλγοῦντα δὲ δεινῶς Ἡρακλέους υἱὸν αὐτὸν εἶναι μαθόντες καὶ μεταμεληθέντες οἱ τῶν Ἑλλήνων βασιλεῖς ἐπισκώπτονται καὶ λόγοις παρακαλοῦσιν ἰατροὺς οἰκείους, ὡς ἑνὸν ἐπιμελούμενοι. τοῦ δὲ χρηματισθέντος μὴ ῥωσθῆναι τοῦ Ἀχιλλέως ἄνευ, πρὸς αὐτὸν ἀφικόμενος θεραπεύεται. ἦν γὰρ ἰατρὸς Ἀχιλλεὺς ὑπὸ Χείρωνος παιδευθείς. φησὶν οὖν ὁ θεῖος Γρηγόριος ὅτι κεχώρισται τὰ νοθὰ τῶν εὐγενῶν· καὶ οἱ ψευδοδιδάσκαλοι τῶν ἀληθῶς διδασκάλων διακέκρινται· κέχρηται δὲ ὑποδείγματι τὸ τῆς Μεῤῥᾶς ὕδωρ καὶ τοῦ Σιλωάμ:* hanc narrationem Cosmas ad Greg. Naz. Carm. in A. Maii Spicil. Rom. II, 296 citat. Orationi incluserunt Cyrill. advers. Iulian. II, 67 A Petav., Phot. Epist. 243, p. 367 Mont.: imitatur Gregor. Nazianz. Epigr. 23, p. 1174: *χωρὶς τὰ καλῶν καὶ κακῶν ὁρίσματα.*

17. P III, 100: Fragm. Marc. I, 29. Apost. XVIII, 26: v. Diogen. Laert. I, 118.

18. P IV, 1: DV III, 10.

19. P IV, 2: Apost. XVIII, 31. Est Aristoph. Nub. 912.

20. L III, 40. 21. L III, 42.

22. L III, 43.

23. P IV, 3: Macar. VIII, 96. Fragm. Marc. I, 72: Diog. VIII, 73.

ΠΑΡΟΙΜΙΑΙ.

ΑΡΧΗ ΤΟΥ Α.

1 Ἀρχαικὰ φρονεῖς: ἤτοι εὐήθη.

2 Ἀβυδηνὸν ἐπιφόρημα: τὸ ἀηδές, διὰ τὸ τοὺς Ἀβυδηνοὺς μετὰ δεῖπνον προςάγειν τοὺς ἑαυτῶν παῖδας τοῖς εὐωχουμένοις κεκραγότας καὶ θορυβοῦντας καὶ ἀηδὲς ἐμποιοῦντας τοῖς δαιτυμόσι.

3 Ἅβρωνος βίος: ὁ πολυτελής. Ἅβρων γάρ τις ἐγένετο πλούσιος· ὅθεν καὶ ἁβροδίαιτος.

4 Ἀεὶ γεωμόρος ἐς νέωτα πλούσιος.

5 Ἀδεὲς δέος: ἐπὶ τῶν μάτην δεδοικότων.

6 Ἀγαμεμνόνεια φρέατα: Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν.

7 Ἀγαμέμνονος θυσία: ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν· θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη.

8 Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτου: ἐπὶ τῶν τὰ δεύτερά τισι διδόντων.

9 Ἀγαθώνειος αὔλησις: ἡ ἡδίστη καὶ εὐφραντική.

10 Ἀνδριὰς σφυρήλατος: ἐπὶ τῶν ἀναισθήτων.

11 Ἀγέλαστος πέτρα: ἐπὶ τῶν λύπης προξένων. ἐφ' ᾗ Δημήτηρ ὅτε τὴν κόρην ἐζήτει ἐκάθισεν.

12 Ἀγαθῶν θάλασσα· καί· Ἀγαθῶν θησαυρός· καί· Ἀγαθῶν ἀγαθίδες· καί· Ἀγαθῶν μυρμηκιά: ἐπὶ πλήθους ἀγαθῶν λέγεται.

---

3. μετὰ τὸ δεῖπνον Zenobius, alii. 7. ἀβροδίαιτας F. 8. γεωκόρος F. 10. παρὰ] περὶ Zenobius. 11. τὴν — Ἑλλάδα] πολλαχοῦ τῆς Ἑλλάδος idem. 15. ἄρτον M. 20. ἡ Δημήτηρ L. 22. μυρμηκυιά F.

1. L I, 25. 2. L I, 26. 7. L I, 31. 8. L I, 32.
3. L I, 27. 4. L I, 28. 9. L I, 33. 10. L I, 34.
5. L I, 29. 6. L I, 30. 11. L I, 35. 12. L I, 36.

13 *Ἀγνότερος πηδαλίου*: παρόσον ἐν θαλάττῃ τὸ πηδάλιον ἅττον καθαρὸν ἐστίν.

14 *Ἀγροίκου μὴ καταφρόνει ῥήτορος*: ὅτι οὐδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.

15 *Ἀδώνιδος κῆπος*: ἐπὶ τῶν ὀλιγχρονίων καὶ ἀώρων καὶ μὴ ἐῤῥιζομένων.

16 *Ἄλλος οὗτος Ἡρακλῆς*: ἐπὶ τῶν ἰσχυρῶν.

17 *Ἅλις δρυός*: ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα μεταβαλλομένων. παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοὶ μετεῖχον σίτου καὶ οἴνου.

18 *Ἅλα καὶ κύαμον*: ἐπὶ τῶν εἰδέναι μὲν προςποιουμένων, οὐκ εἰδότων δέ. οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασι.

19 *Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει*: ταύτην Ἱππόλυτος πρὸς Φαίδραν εἶπε φάσκουσαν φιλεῖν αὐτὸν σφόδρα.

20 *Ἄϊδος κυνῆ*: ἐπὶ τῶν ἐπικρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαῦτα γὰρ τοῦ Ἄϊδος.

21 *Αὐτοὶ χελώνας ἐσθίετε εἴπερ ἔχετε*: ἁλιεῖς ἡλίευσαν μεγάλην χελώνην καὶ ἀνασπάσαντες αὐτὴν ἐμέριζον τὴν παροῦσαν. τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν ἐκάλουν. ὁ δὲ τὸ προκείμενον εἶπε.

22 *Ἂν οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου*: ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων.

23 *Αἱροῦντες ᾑρήμεθα*: ἐπὶ τῶν ἐλπισάντων νικᾶν, εἶθ' ὑπ' ἐκείνων ἁλόντων.

24 *Αἰάντειος γέλως*: ἐπὶ τῶν παραφρόνως γελώντων.

25 *Ἀνίπτοις χερσίν*: ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων.

26 *Ἀκόνην σιτίζεις*: ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδενὶ δὲ εἰς σῶμα ἐπιδιδόντων.

27 *Ἀκέφαλος μῦθος*: ἐπὶ τῶν ἀτελῆ λεγόντων.

28 *Ἄλλως ᾄδεις*: ἐπὶ τῶν μάτην πονούντων.

---

5. ὀλιχρόνων F. 11. μέν τι Zenob. I, 25. 12. τιθέασι] πρὸ τῶν μαντευομένων Zenobius addit. 13. εὔνοια F. 17. τὰ τοῦ M. 18. εἴχετε L. 19. ἐνέριζον F. 22. κόνδυν F. 24. τινὰς νικᾶν Diogenianus. 29. Cf. DV I, 28.

13. L I, 37. 14. L. I, 3. 21. L I, 41. 22. L I, 42.
15. DV I, 12. 16. L I, 38. 23. L I, 43. 24. L I, 44.
17. L I, 39. 18. M I, 11. 25. L I, 45. 26. L I, 34.
19. L I, 40. 20. L I, 12. 27. L I, 46. 28. L I, 47.

29 Ἅμ' ἔπος, ἅμ' ἔργον: ἐπὶ τῶν ὀξέως ἀνυομένων.

30 Ἀνὴρ ὁ φεύγων οὐ μένει κτύπον λύρας: ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

31 Ἀντιπελαργεῖν: ἀντιδιδόναι χάριτας. λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν.

32 Ἄπληστος πίθος: ἐπὶ τῶν γαστριμάργων.

33 Ἀνέμους γεωργεῖς: πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας.

34 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: ἐπὶ τῶν ἀπροσδοκήτως ὑπ' ἀνθρώπου σωζομένων.

35 Ἄξιος τοῦ παντός: ἐπὶ τῶν σφόδρα τιμίων.

36 Ἀεὶ γέροντι νέαν ποτὶ βάλλει κούρην: ἐπὶ τῶν πρεσβυτέρων βουλομένων νέαις συνευνάζεσθαι.

37 Ἄξιος εἰ τῆς ἐν Ἄργει ἀσπίδος: ἐπὶ τῶν εὐγενῶν.

38 Ἀνέμου παιδίον: ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

39 Ἀνίπτοις ποσὶν ἀναβαίνειν ἐπὶ τὸ στέγος: ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.

40 Ἀπὸ βαλβῖδος: ἤτοι ἀπ' ἀρχῆς δεῖ καλὸν εἶναι.

41 Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς: ἐπὶ τῶν κακὰ ἀντὶ κακῶν ἐπιδιδόντων.

42 Ἅπας ἐχῖνος τραχύς: ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων. ἐξαιρετῶς δὲ ἐπὶ τῶν κακωτικῶν ἢ εὐνούχων.

43 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: ἐπὶ τῶν μωρὰ διηγουμένων· ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ἐπεγράφετο τὰ γινόμενα, παμπάλαιος.

44 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων· ὡσανεί, πάνυ μου καταφρονεῖς.

45 Ἀργούντων χορός: ἐπὶ τῶν κακὰ ποιούντων.

ΑΡΧΗ ΤΟΥ Β.

46 Βασίλειος ὀφθαλμός: τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν.

47 Βάτραχος Σερίφιος: ἐπὶ τῶν ἀφώνων.

---

1. ἀνουμένων F. 12. ποτιβάλλει M. 22. κακοτικῶν F.

29. L I, 48.	30. L I, 18.	39. L I, 55.	40. L I, 56.
31. L I, 49.	32. L I, 19.	41. L I, 57.	42. L I, 22.
33. M I, 49.	34. L I, 50.	43. L I, 58.	44. L I, 59.
35. L I, 51.	36. L I, 52.	45. L I, 60.	46. L I, 65.
37. L I, 53.	38. L I, 54.	47. L I, 66.	

48 *Βάλλ' ἐς ὕδωρ:* ἀντὶ τοῦ καταπόντισον. ἐπὶ τῶν ὀλέθρου ἀξίων.

49 *Βορβόρῳ ὕδωρ λαμπρὸν οὔποθ' εὑρήσεις:* ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.

50 *Βὴξ ἀντὶ πορδῆς:* ἐπὶ περδόντων καὶ προςποιουμένων.

51 *Βοῦς ἐν πόλει:* ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν.

52 *Βατράχῳ ὕδωρ· καὶ στέαρ γαλῇ:* ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων.

53 *Βαλανεύς:* ἐπὶ τοῦ πολυπράγμονος. οὗτοι γὰρ σχολὴν ἄγοντες πολυπράγμονές εἰσιν.

ΑΡΧΗ ΤΟΥ Γ.

54 *Γνῶθι σαυτόν:* ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων.

55 *Γνῶθι σαυτόν:* ἀπόφθεγμα Χίλωνος. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ ὅ εἰσι κομπαζόντων.

83 *Ἐκ παντὸς ξύλου:* εἰπὲ τὸ πλῆρες ὅτι *Ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο.* Λέγεται δὲ ἐπὶ τῶν τὸ μὲν εἶδος εὐτελῶν, εἰς δὲ χρείας ἀναγκαίων.

87 *Ἐν μέλιτι σαυτὸν κατακρύπτεις:* ἐπὶ τῶν ἡδυπαθείας μεταδιωκόντων.

88 *Εἴληφεν ἡ παγὶς τὸν μῦν:* ἐπὶ τῶν ἀξίως ἑαλωκότων.

93 *Εἰς κόλπους πτύειν:* ὅμοιον τῷ· οὐ μεγαλοῤῥημονεῖν.

II,19 *Κερκωπίζειν:* ἀντὶ τοῦ δολιεύεσθαι καὶ ἀπατᾶν. μετενήνεκται δὲ ἀπὸ τῶν Κερκώπων.

24 *Κρητίζειν:* ἐπὶ τοῦ ψεύδεσθαι. ἀπατηλοὶ γὰρ οἱ Κρῆτες.

70 *Ὄνος λύρας ἀκούει:* ἐπὶ τῶν ἀπαιδεύτων.

97 *Ὑπηνέμια τίκτει:* τὰ ψευδῆ καὶ ἀβέβαια.

---

3. λαμπρὸν *μιαίνων* et εὑρήσεις *ποτόν* Diogenianus. 5. προςποιουμένων] *βήχειν ἢ γελᾶν* L addit. 16. εἰπὲ τὸ πλῆρες] κατ' ἔλλειψιν αὕτη λέγεται· τὸ γὰρ πλῆρες· *Ἐκ παντὸς* κτλ. B. 19. καταπλάττεις Diogenianus. 22. πτύεις M. οὐ M om. 24. δολιεύεσθαι] male L δουλεύεσθαι: sic ἀπατῶν καὶ δολιευόμενος οὐκ ἄν με νικήσας παρέλθῃς Eustathius dixit ad Hom. Il. *Α*, p. 65, 45. 27. ἀκούων M. ἀξυνέτων MP.

48. L I, 67. 49. L I, 68. 50. L I, 69. 51. L I, 70. 52. L I, 71. 53. L I, 73. 54. L I, 76. 55. Suidas: cf. nott. ad DV II, 10. 83. Apost. , : Bodl. in annott. ad Zenob. IV, 7: Greg. Cypr. Mosq. II, 100. 87. M III, 10. 88. Suidas: L I, 98. 93. M III, 27. 19. L II, 47. 24. M III, 87. 70. M IV, 66. 97. P III, 91: Apost. , . Saepe dictio apud Patres invenitur: v. Cotellerus ad PP. Apost. T. I, 571.

ΜΑΚΑΡΙΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΤΟΥ ΧΡΥΣΟΚΕΦΑΛΟΥ

Ρ Ο Δ Ω Ν Ι Α.

ΠΑΡΟΙΜΙΑΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

ΤΟ Α.

ΑΒ.

1 *Ἀβυδηνὸν ἐπιφόρημα: ἐπὶ τῶν ἀηδῶν καὶ ὀχληρῶν.*

2 *Ἅβρωνος βίος: ἐπὶ τῶν πολυτελῶν· τοιοῦτος γὰρ ὁ Ἅβρων, ἐξ οὗ καὶ τὸ ἁβρὸς καὶ ἁβροδίαιτος.*

3 *Ἀγροῦ πυγή: ἐπὶ τῶν λιπαρῶς καὶ ἐπιμόνως ῥῳτινιοῦν ἔργῳ προσκαθημένων.*

4 *Ἀγορὰ Κερκώπων: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.*

5 *Ἀγαθῶν ἀγαθά: καὶ· Ἀγαθῶν ἀγαθίδες: ἐπὶ τῶν σφόδρα εὐδαιμονούντων.*

6 *Ἀγαθὰ Κιλίκων: λείπει τὸ ἔχει. προδότης γὰρ ὁ Κιλίκων Μιλήσιος· καὶ προδοὺς Μίλητον εὐπόρησεν.*

7 *Ἀγαθὴ καὶ μᾶζα μετ᾽ ἄρτον: ἐπὶ τῶν τὰ δευτερεῖά τισι διδόντων.*

8 *Ἀγαθῶν θάλασσα: ἐπὶ πλήθους ἀγαθῶν.*

Ῥοδωνιαί S: correxit Villoisonus Anecdd. Gr. T. II, p. 4.

2. *Ἀβρῶνος, Ἅβρων, ἀβρὸς, ἀβροδίαιτος* S. 4. *πηγὴ* Suidas, Arsenius. *λιπαρῶν* Suidas. 9. Scribe *Κιλλικῶν*.

1. DV I, 1. 2. DV I, 2.
3. Apost. I, 24b. Append. Provv. I, 4: add. nott. ad Macar. VI, 56.
4. DV I, 3.
5. Aristoph. Byz. argum. Aristoph. Plut. 10: *τῶν δ᾽ ἀγαθῶν ἦν τἀγαθά*: eodem modo *τὰ καλὰ τῶν καλῶν* dixit Pherecrates Athenaei VI, 269 B, *ἔσχατα ἐσχάτων* Aristid. *ὑ. τ. τεττ.* II, 322 Iebb.; alia exempla G. Hermannus ad Arist. Nub. 915. Meinekius Comm. Grr. fr. I, p. 69 collegerunt. *Ἀγ. ἀγαθίδες*] Greg. Cypr. L I, 36: cf. infr. II, 10.
6. Greg. Cypr. M I, 5.
7. DV I, 4. 8. DV I, 8.

9 *Ἀγαμέμνονος θυσία*: ἐπὶ τῶν δυσπειθῶν καὶ ἀνυποτάκτων. Δήμων γὰρ ἱστορεῖ, ὡς Ἀγαμέμνονος θύοντος ἐν Τροίᾳ, ἔφυγεν ὁ βοῦς καὶ μόλις ληφθεὶς ἤχθη.

10 *Ἀγαθῶν σωρός*: ἐπὶ πολλῆς εὐδαιμονίας.

11 *Ἀγορὰ λύκιος*: ἐπὶ τῶν ταχέως πιπρασκομένων.

12 *Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες*: ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων.

13 *Ἀγαθῶν μυρμηκιά*: ἐπὶ πλήθους εὐδαιμονίας.

14 *Ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται· θρέψασα γὰρ τέθνηκε πρὸς τῶν φιλτάτων*: ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραγματευομένων.

15 *Ἀγόμενος διὰ φρατέρων κύων*: ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων καὶ τιμωρουμένων· παρόσον κύων εὑρισκόμενος ἐν φράτερσι μαστιγοῦται.

16 *Ἀγὼν γὰρ οὐ μέλλοντος ἀθλητοῦ μένει Ἀλκήν*: ἐπὶ τοῦ μὴ ὑπερβάλλοντος.

17 *Ἀγροίκου μὴ καταφρόνει ῥήτορος*: ὅτι οὐδὲ τῶν εὐτελῶν δεῖ καταφρονεῖν.

18 *Ἀγάλματα Ἑκάτης*: ἐπὶ τῶν οἷστισιν οὖν ἀγαλλομένων. κύνας δὲ λέγει ἡ παροιμία.

19 *Ἁγνὴ γάμων*: ὡς τὸ κανοῦν τῆς θεοῦ φέρειν·

---

3. ἤχθη] εἰς θυσίαν Ds addit. 5. λύκειος recte Ds. 9. ἀγνοῇ S. 10. τοῦ φιλτάτου DV. 12. φρατόρων Ds, alii. κύων μαστιγοῦται Suidas. 14. φράτεσι S. 15. οὐ μέλλοντος S. 16. μὴ inducendum esse Schneidewinus ad Ibyci Rell. p. 165 contendit. 21. ἁγνὴ] ἀρρὴ S. φέρει Ds.

9. DV I, 5.

10. Zenob. I, 10: v. infr. VII, 73. 96. Apost. I, 5. *Σωρὸς ἀγαθῶν* legitur in Achill. Tat. VI, 4, ubi v. Iacobsius: add. Geminus Crameri Anecdd. Oxon. III, 225, 28: εἰ μὴ μέλλοι πάσης εἴδωλα κακίας ἐντεῦθεν ἐνθέμενος τῇ ψυχῇ, ἔπειτα καὶ ἑαυτῷ καὶ τῇ πόλει κακῶν ἀναπεφάνθαι σωρός: similia sunt κακῶν χορός Plat. Reip. VI, 490 C, κακῶν σομὸς εἰσεκώμασεν Ignat. in Cotelleri PP. Apostoll. II, 101, ὁρμαθὸς λόγων, κακῶν, de quo Lobeckius Aglaoph. I, 643 scriptorum locos indicavit.

11. Apost. I, 17: Diogen. II, 49.

12. DV I, 9. 13. DV I, 8.

14. DV I, 70.

15. Apost. I, 20: Diog. II, 45. App. Prov. I, 97.

16. Hunc versum ex Aristophanis Thesmophoriazusis secundis petitum esse censeo atque ex Scholiis Plat. p. 370 Bekk. s. Greg. Cypr. L I, 11 huc relatum. Sententiae causa comparo Eurip. Heracl. 720: ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς παντευχίαν, Φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε συγκρύπτων δέμας. Ὡς ἐγγὺς ἀγών, καὶ μάλιστ' Ἄρης στυγεῖ Μέλλοντας: add. inf. 21.

17. DV I, 11.

18. Append. Prov. I, 1.

19. Apost. I, 15: Diog. II, 46. Dionys. Hal. Arch. I, 21: ἔνθα καὶ τῶν θυηπολιῶν ὁ τρόπος ὅμοιος ἦν καὶ γυναῖκες ἱεραὶ θεραπεύουσαι τὸ

ἐπὶ τῶν σωφρόνων γυναικῶν· κατ' εἰρωνείαν δὲ καὶ ἐπὶ τῶν μὴ σωφρόνων.

20 *Ἁγνότερος πηδαλίου:* ἐπὶ τῶν ἁγνῶς βεβιωκότων.

21 *Ἀγὼν πρόφασιν οὐκ ἀναμένει:* δῆλον.

22 *Ἀγρὸς ἢ πόλις:* ἐπὶ τῶν ἀπαιτούντων.

23 *Ἀγναπτότατος βάτος αὖος:* ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους.

24 *Ἀγρία μέλιττα:* ἐπὶ τῶν σφόδρα πονηρῶν καὶ ὠμῶν.

ΑΔ.

25 *Ἄδακρυς πόλεμος:* ἐπὶ τῶν ἀκινδύνως τὰ πράγματα κατορθούντων.

26 *Ἀδύνατα θηρᾷς:* ἐπὶ τῶν τοῖς ἀδυνάτοις ἐπιχειρούντων.

27 *Ἀδεὲς δέος:* δήλη ἡ παροιμία.

28 *Ἀδράστεια Νέμεσις:* ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὥσπερ ὁ Ἄδραστος, ὕστερον δὲ δυστυχησάντων.

29 *Ἀδελφὸς παρείη:* ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν.

ΑΕ.

30 *Ἀετοῦ γῆρας, κορύδου νεότης:* παρόσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ παντὸς ** ὄρνιθος.

31 *Ἀεὶ τὰ πέρυσι βελτίω:* τοῦτο ἐπεφώνουν Ἀθηναῖοι ταπεινούμενοι πρὸς τῶν Μακεδόνων.

---

6. ἀγναμπτότατος Zenobius, ἀγραπτότατος Apostolius. 7. αὐθάδους τὸν τρόπον Zenobius. 18. ἀεὶ παρείη Scholiasta, ἀνδρὶ παρείη Ds. 22. παντὸς] post hanc vocem excidit νεάζοντος: v. Zenobius.

τέμενος, ἥ τε λεγομένη κανηφόρος, ἁγνὴ γάμων παῖς καταρχομένη τῶν θυμάτων: et saepe idem de Vestalibus haec verba adhibet: Arch. I, 43. 76. II, 67: add. Plat. Legg. VIII, 840 D et cf. Schaeferus ad Bos. Ell. Gr. 72.

20. DV I, 10.

21. Greg. Cypr. L I, 11: v. sup. 16.

22. DV I, 66.

23. Apost. I, 21: Zenob. I, 16.

24. Suidas. Phavor. 12, 3: Hesych. s. ἀγριμέλισσα: Ἡγησίας οὕτω ἐπεκαλεῖτο: de Hegesia rhetore Magnesio v. Boeckhius ind. lectt. univ. Berol. 18$\frac{24}{25}$ p. 4 sq.

25. Greg. Cypr. M I, 14.

26. Mant. Provv. s. ἀδύνατα: Zenob. I, 29.

27. DV I, 13.

28. Cf. nott. ad Apost. I, 31. Lucian. Dial. Meret. 12: ἔστι τις θεὸς Ἀδράστεια καὶ τὰ τοιαῦτα ὁρᾷ.

29. Scholl. Plat. p. 398 Bekk.: DV I, 91.

30. Greg. Cypr. L I, 2.

31. Greg. Cypr. L I, 17.

32 *Ἀεί τις ἐκ Κύδωνος:* Κορίνθιος οὗτος ἦν φιλοξενώτατος.

33 *Ἀεὶ Λεοντῖνοι περὶ τοὺς κρατῆρας:* ἐπὶ τῶν περί τι σπευδόντων καὶ διὰ τοῦτο ἁλισκομένων. Φάλαρις γὰρ κατηχμαλώτευσε τοὺς ἐν Σικελίᾳ Λεοντίνους περὶ πότους ἐσπουδακότας καὶ τοῖς κρατῆρσι τῆς Αἴτνης ἐνέβαλεν.

34 *Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος:* ἐπὶ τῶν ἐν ταῖς ἐλπίσι καυχωμένων.

35 *Ἀεὶ κολοιὸς παρὰ κολοιὸν ἱζάνει:* ἐπὶ τῶν ὁμοίοις συνεδριαζόντων.

36 *Ἀετὸν κάνθαρος μαιεύσομαι:* ἐπὶ τῶν τιμωρουμένων τοὺς ἄρξαντας.

37 *Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι:* ἐπὶ τῶν ἀξίως εὐδαιμονούντων.

38 *Ἀεὶ τρὶς ἓξ πίπτουσιν οἱ Διὸς κύβοι:* ἐπὶ τῶν [εἰς] ἅπαντα εὐδαιμονούντων.

39 *Ἀετὸν ἵπτασθαι διδάσκεις:* δήλη ἡ παροιμία.

40 *Ἀετὸς ἐν νεφέλαις:* ἐπὶ τῶν δυσαλώτων.

41 *Ἀετὸς ἐν κοπρίᾳ οὐχ ἵπταται:* ἐπὶ τῶν μὴ εὐτελέσιν ἑαυτοὺς ἐπιδιδόντων πράγμασιν.

42 *Ἀεὶ φέρει τι Λιβύη κακόν:* ἐπὶ τῶν κακουργοτάτων. θηρία γὰρ τῶν ἄλλων χαλεπώτερα τρέφει ἡ Λιβύη.

43 *Ἀετὸς θρίπας ὁρῶν:* ἐπὶ τῶν ἀφροντιστούντων καὶ καταφρονούντων.

AZ.

44 *Ἀζάνια κακά:* ἐπὶ τῶν κακοῖς προσπαλαιόντων. Ἀζανία γὰρ τόπος Ἀρκαδίας λεπτόγεως καὶ γεωργοῖς ἀσυντελής.

---

6. ἔτνης S. 9. τῶν] S τοῖς. 16. εἰς S om.: εἰς πάντα Suidas, Apostolius. 24. καταφρονοῦντος τῶν μικρῶν Zenobius. 26. Ἀζανία S, quod correxi: ἀζάνατα Apostolius. Ἀζανία S, Ἀζάνη Apostolius:

32. Apost. XVI, : Zenob. II, 42. Diog. VIII, 42.

33. Apost. I, 43: Diog. II, 50. Verbum καταιχμαλωτεύω Stephani Thesauro addendum est.

34. Zenob. I, 43: Greg. Cypr. L I, 28. Sententiam simili modo ab Simonide Amorgino expressam esse Meinekius Com. Gr. T. IV, 717 docet.

35. Greg. Cypr. L I, 7.

36. DV I, 65.

37. Greg. Cypr. M I, 18.

38. Verbis τρὶς ἓξ significatur ὁ νικητήριος βόλος: v. Diog. II, 60 et nott. ad Append. Provv. IV, 99.

39. Greg. Cypr. L I, 9.

40. Greg. Cypr. M I, 20.

41. Aquila generosus avium rex ut in fabulis sic in proverbiis parva atque vilia contemnere fingitur: hinc Liban. Epist. CCCXXX: καίτοι δέδοικα, μὴ τῶν ἀετῶν πετραν λαβὼν ὑπερίδῃς τῶν κολοιῶν: Pind. Olymp. II, 87 sq.

42. Greg. Cypr. M I, 27.

43. Greg. Cypr. M I, 24.

44. Apost. I, 54: Zenob. II, 54.

45 *Ἀηδόνες λέσχαις ἐγκαθήμεναι*: πρὸς τοὺς ἀδολεσχοῦντας.

46 *Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός*: ἐπὶ τῶν βλαπτόντων ἐκ γειτνιάσεως. ἐπειδὴ τὴν ἐν Λήμνῳ ἐκ μαρμάρου βοῦν τὸ ὄρος ὁ Ἄθων ἐπισκιάζει.

47 *Ἀθηνᾷ τὸν αἴλουρον*: λείπει τό· παραβάλλει τις. ἐπὶ τῶν ἀσυγκρίτως ὑπερεχόντων.

48 *Αἰγύπτου γάμος*: ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων. Αἴγυπτον γὰρ καταλιπόντα τὴν γαμετὴν δι' αἰσχρότητα ὁ κηδεστὴς ἀνεῖλε Δαναός.

49 *Αἵματι κλαίειν*: δήλη.

50 *Αἱ Ἰβύκου γέρανοι*: ἐπὶ τῶν ἀπροσδοκήτως ἀνθ' ὧν ἥμαρτον κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος καὶ γεράνους ὑπεριπταμένας ἰδὼν ἐμαρτύρατο. χρόνου δὲ παρελθόντος οἱ λῃσταὶ ἐν θεάτρῳ θεώμενοι ἐν Κορίνθῳ γεράνους ὑπεριπταμένας ἰδόντες πρὸς ἀλλήλους ἔλεγον· *Αἱ Ἰβύκου γέρανοι*. εἶτα ἐκ τούτου ἁλόντες ἐκολάσθησαν.

51 *Αἰθέρα κήνεμον ἐρέσσεις*: ἐπὶ τῶν μάτην πονούντων.

52 *Αἰεὶ δὲ γέροντι νέαν ποτίβαλλε κόρην*: παρεγγυᾷ ὁ λόγος πρεσβυτέροις τὰς ἀκμαζούσας συνευνάζειν.

53 *Ἄϊδος κυνῆ*: πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διά τινων μηχανημάτων· τοιαύτη γὰρ ἡ τοῦ Ἅιδου κυνῆ, ᾗ γε χρησάμενος ὁ Περσεὺς τὴν Γοργόνα ἐδειροτόμησεν.

Steph. Byz. s. Ἀζανία: μέρος τῆς Ἀρκαδίας, ἀπὸ Ἀζανοῦς τοῦ Ἀρκάδος· οἱ οἰκήτορες Ἀζανεῖς καὶ Ἀζῆνες· καὶ Ἀζάνιος καὶ Ἀζανία καὶ Ἀζάνιον. Εὔδοξος δὲ ἐν ἕκτῃ γῆς περιόδου φησίν, ἔστι κρήνη τῆς Ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ οἴνου ἀνέχεσθαι, εἰς ἣν λέγουσι Μελάμποδα, ὅτε τὰς Προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ ἀποκαθάρματα. ἔστι δέ μοῖρα τῆς Ἀρκαδίας ἡ Ἀζανία· διῄρηται δὲ εἰς τρία, Παῤῥασίους, Ἀζᾶνας, Τραπεζουντίους. καὶ ἔχει ἡ Ἀζανία πόλεις ἑπτακαίδεκα ἃς ἔλαχεν Ἀζήν: ubi v. interpp.

3. πλευρ Λημνίας S. 5. τὸ ὄρος] ὀρθὸς S. 10. κηδετὴς S. 15. θεώμενοι] θέμενοι S. 19. αἱρήσεις Ds. 21. ποτιβάλλεο κούρην Suidas: v. nott. critt. ad Gregor. l. c. 25. γε Ds om.

45. Greg. Cypr. M II, 29.
46. Greg. Cypr. M I, 70.
47. DV I, 63.
48. Apost. V, 24: Diog. II, 55.
49. Greg. Cypr. L I, 14.
50. Apost. I, 85: Zenob. I, 37. De hac Macarii narratione Schneidewinus ad Ib. Rell. p. 25 disputat.
51. DV I, 15.
52. Greg. Cypr. L I, 52.
53. DV I, 16.

54 *Αἲξ οὔπω τέτοκεν, ἔριφος δ' ἐπὶ δώματα παίζει*: ἐπὶ τῶν οὔπω τεχθέντων καὶ ὅμοιόν τι λεγόντων.

55 *Αἰάντειος γέλως*: ἐπὶ τῶν παραφρόνως γελώντων.

56 *Ἄειδε τὰ Τέλληνος*: ἐπὶ τῶν σκωπτικῶν. Τέλλης γὰρ ποιητὴς ὢν μέλη κατέλιπε πλείστην χάριν ἔχοντα καὶ σκώμματα.

57 *Αἲξ τὴν μάχαιραν*: λείπει τὸ ἐπεσκάλευσεν. καὶ λέγεται ἐπὶ τῶν ἑαυτοῖς τὰ κακὰ ἐπισπωμένων.

58 *Αἲξ Σκυρία*: ἐπὶ τῶν ἀνατρεπόντων τὰς εὐεργεσίας· αἱ γὰρ κατὰ Σκῦρον αἶγες πολὺ γάλα ἀφιεῖσαι, εἶτα ἀνατρέπουσι τὸ ἀγγεῖον.

59 *Αἱ Οἰδίποδος ἀραί*: ἐπὶ τῶν μεγάλως δυστυχούντων.

60 *Αἰσώπειον αἷμα*: ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. πολλὰ γάρ φασι τὸ θεῖον τιμωρήσασθαι τοὺς ἀνελόντας τὸν Αἴσωπον.

61 *Αἱ ἐν Ἅιδου τριακάδες*: ἐπὶ τῶν περιέργων καὶ τὰ ἀποκεκρυμμένα γινώσκειν ἐθελόντων· ἡ τριακὰς δὲ μυστήρια τῆς Ἑκάτης.

62 *Αἰθίοπα σμήχειν*: ἐπὶ τῶν μάτην πονούντων.

63 *Ἀκαρπότερος Ἀδώνιδος κήπου*: ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων.

64 *Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει*: ταῦτα Ἱππόλυτόν φασιν εἰπεῖν διὰ τὴν Φαίδραν.

65 *Ἄκουε τἀπὸ καρδίας*: ἐπὶ τῶν ἃ φρονοῦσι διεξιόντων.

66 *Ἀκίνητα κινεῖν*: καθ' ὑπερβολήν· ὅτι οὐ δεῖ τὰ ὁρισθέντα παραβαίνειν.

67 *Ἀκέσεως καὶ Ἑλικῶνος ἔργα*: ἐπὶ τῶν θαύματος

---

1. *δώματι* Zenob. I, 42. 2. *καὶ κτλ.*] v. nott. critt. ad Zenob. l. c. 4. *ἆδε* S, *ᾆδε* Apostolius: *ἄειδε* Zenobius. *Τέλλην* Zenobius. 14. *καὶ κακοῖς ὀνείδεσι* DV: cum nostro Suidas concordat. 17. *ἡ — Ἑκάτης*] VB in nott. critt. ad Diog. VIII, 39: *τιμᾶται ἡ τριακὰς ἐν ᾅδου διὰ τὴν Ἑκάτην μυστικώτερον*: unde nostra orta esse videntur. 20. *ἀκαρπότερος εἶ Ἀδ. κήπων* Zenobius. 22. *εὔνοια* S. *ἐχθροῦ* S. 24. *τῶν*] *ἀπαρακαλύπτως* Ds addit. 25. *κινεῖς* DV. 27. *Ἀκεσαίως* S.

54. Apost. I, 88: Diog. I, 40.
55. DV I, 17.
56. Apost. I, 28: Zenob. I, 45. II, 15.
57. Greg. Cypr. M I, 13.
58. DV I, 62.
59. DV I, 67: infr. VI, 24.
60. DV I, 20: Macar. VIII, 47.
61. Greg. Cypr. L III, 14.
62. DV I, 19.
63. Zenob. I, 49: cf. DV I, 12.
64. Greg. Cypr. L I, 40.
65. Apost. I, 100: Diog. II, 59.
66. DV I, 25. 67. DV I, 26.

ἀξίων· οὗτοι γὰρ πρῶτοι τὸν τῆς Ἀθηνᾶς πέπλον εἰργάσαντο.

68 Ἀκάνην σιτίζειν: ἐπὶ τῶν τροφῇ μὲν πολλῇ χρωμένων, μηδὲν δὲ εἰς σῶμα ἐπιδιδόντων.

69 Ἀκλητὶ κωμάζουσιν ἐς φίλων φίλοι· ὅμοιον τῷ· Αὐτόματοι δ᾽ ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν.

70 Ἀκέφαλος μῦθος: ἐπὶ τῶν ἀτελῆ λεγόντων.

71 Ἀκαρπότερος ἀγρίππου: ἐπὶ τῶν πάνυ πενομένων. Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.

72 Ἄκρῳ ἅψασθαι δακτύλῳ: ἐπὶ τῶν οὐκ ἀκριβῶς τι ἠσκημένων.

73 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: τὴν Θέμιν φασὶν χρηστηριάζουσαν παραινεῖν, ὅτι τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.

74 Ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν: δήλη.

75 Ἅλμη οὐκ ἔνεστιν αὐτῷ: ἐπὶ τῶν ἀηδῶν.

76 Ἄλλως ἀναλίσκεις ὕδωρ: ἐπὶ τῶν ματαιολογούντων.

77 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ᾽ ἐλπίδα κληρονομησάντων.

78 Ἄλλοι μὲν σπείρουσιν, ἄλλοι δὲ ἀμήσουσιν: ἐπὶ τῶν οὐχ ἑαυτοῖς, ἀλλ᾽ ἑτέροις πονούντων.

79 Ἀλλ᾽ ἡ λύκος τὰς αἶγας αἰκάλλεις μολών: ἐπὶ τῶν ὑποκρινομένων καὶ πειρωμένων ἐξαπατᾶν.

80 Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν κρείττοσιν ἐριζόντων.

81 Ἀλλότριον ἀμᾷς θέρος: ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων.

---

4. εἰς τὸ σῶμα Zenobius. 12. τὴν Θέμιν — δεῖ] pluribus haec sententia in C exponitur: v. nott. critt. ad Zenob. I, 62. 15. Ante v. ἀθυμοῦντες omissum est ἀλλὰ γάρ: v. Plato. 18. Ἄλως S. 20. κληρονομησάντων] τὰ ἀλλότρια addit Zenobius cum aliis: omisit etiam Suidas. 21. δ᾽ ἀμήσονται M. 23. ἢ S. ἐκάλλεις S: correxit Emperius. ἐπὶ τῶν ἐν ὑποκρίσει ἐξαπατᾶν πειρωμένων B. 25. τῶν τοῖς Ds.

68. DV I, 28.
69. Greg. Cypr. M I, 78.
70. Apost. II, 2: Greg. Cypr. L I, 46.
71. DV I, 71. 72. DV I, 29.
73. Greg. Cypr. M II, 25.
74. Mant. Provv. s. ἀλλὰ γάρ: Append. Provv. I, 16. Sumptum est ex Plat. Crit. 108 C.
75. Greg. Cypr. M I, 25.
76. Apost. II, 50: Diogen. II, 61.
77. DV I, 30.
78. Greg. Cypr. M I, 53.
79. Append. Provv. I, 18.
80. DV I, 31.
81. Apost. II, 51: Diog. II, 75.

82 *Ἁλῶν μέδιμνον καταφαγών*: ἐπὶ τῶν ἀμνημονούντων τῶν φίλων.

83 *Ἀληλεσμένον βίον καὶ Μεμαγμένον βίον*: ἐπὶ τοῦ ἑτοίμου καὶ προχείρου καὶ ἀκόπου.

84 *Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ*: εἰς τὸν ἐπὶ Ἰταλίαν ποταμὸν Σάγραν νικησάντων μάχῃ Λακεδαιμονίων, αὐθημερὸν ἡ φήμη κατέλαβε τὴν Σπάρτην.

85 *Ἄλλος οὗτος Ἡρακλῆς*: ἐπὶ τῶν βίᾳ τι πραττόντων.

86 *Ἄλλος βίος, ἄλλη δίαιτα*: ἐπὶ τῶν εἰς ἀμείνονα βίον μεταβαλλόντων.

87 *Ἄλλην δρῦν βαλάνιζε*: ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων.

88 *Ἅλις δρυός*: ἐπὶ τῶν αἰσχρῶς μέν τι καὶ ἀηδῶς ἐσθιόντων, ὕστερον δὲ βέλτιόν τι εὑρόντων.

89 *Ἀλλ' ἕπου χώρας τρόποις*: ὅτι δεῖ χώρας ἑκάστης μιμεῖσθαι τὰ ἔθη.

90 *Ἄλλοτε μητρυιὴ πέλει ἡμέρα, ἄλλοτε μήτηρ*: ἐπὶ τῶν ποτὲ μὲν δυσπραγούντων, ποτὲ δὲ εὖ πραττόντων.

---

5. ἀληθέτερα S. εἰς more scriptorum aevi Byzantini pro ἐν positum esse videtur. Falsa hoc loco ab Macario referri vix opus est ut moneam. 10. μεταβαλλομένων Apostolius, μεταβαλόντων Suidas. 14. ὕστερον] ἕτερον S. βέλτιόν τι] τι S om.: v. Eustathium in annott. ad Zenob. II, 70. 15. ἑκάστης, ἐν ᾗ ἂν τις γένηται, μιμεῖσθαι κτλ. Suidas. 17. ἠμέρη Hesiod. Ἔργ. 823, Suidas. 18. εὐπραγούντων Suidas.

82. Greg. Cypr. L I, 23.
83. Greg. Cypr. M I, 21: cf. nott. ad Macar. III, 40.
84. Apost. II, 12: Zenob. II, 17. Suidas, propositis iis, quae apud Zenobium et Apostolium leguntur, addit haec: ἐπὶ τῶν πάνυ ἀληθευόντων. λέγεται γὰρ τὴν περὶ τῆς νίκης φήμην αὐθημερὸν ἀπὸ Ἰταλίας ἐλθεῖν εἰς τὴν Σπάρτην. ὅθεν καὶ εἰς παροιμίαν ἐξενεχθῆναι τὸν λόγον, ἐπὶ τῶν ἀληθινῶν πραγμάτων: meliora praebet Eustathius ad Hom. Il. *B*, 533, p. 278, 3: ἡ δὲ ἱστορία ἔχει καὶ Ἐπιζεφυρίους, ὡς ἐῤῥέθη, Λοκρούς, ἐξ ὧν εἰς Ἕλληνας ἦλθε παροιμία, τό, Ἀ. τῶν ἐπὶ Σάγρᾳ, ἐπὶ τῶν ἀληθεστάτων μέν, οὐ πιστευομένων δέ· ποταμὸς δὲ τῆς ἐκεῖ Λοκρίδος ἡ Σάγρα. καί φασι τοὺς τοιούτους Λοκροὺς πόλεμον μελετῶντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους· ὡς δὲ ἐκεῖνοι στρατὸν μὲν οὐκ ἔχειν ἔφασαν, διδόναι, δ' αὐτοῖς τοὺς Διοσκούρους, οἰωνισάμενοι τὸ κερτομηθὲν οἱ Λοκροί, ὥς φησι Παυσανίας, τήν τε ναῦν ἀπέστρεψαν καὶ τῶν Διοσκούρων ἐδεήθησαν συμπλεῦσαι αὐτοῖς. ὡς δ' ἐνίκησαν αὐθημερόν, φασι, καὶ ἡ φήμη διηγγέλθη εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστία ἦν· ἐπεὶ δ' εὑρέθη ἀληθῆ, ἐξέβη ἐκεῖθεν ἡ ῥηθεῖσα παροιμία.
85. Greg. Cypr. L I, 38.
86. Apost. II, 43: Zenob. I, 22.
87. Greg. Cypr. L I, 5: infr. III, 37.
88. Greg. Cypr. L I, 39: cf. infr. III, 40.
89. Append. Provv. I, 20: cf. Fragm. Marc. I, 34.
90. Greg. Cypr. M I, 59.

91 *Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα:* ἐπὶ τῶν τοὺς ὁμοίους ἐξαπατᾶν ἐγχειρούντων.

92 *Ἄλλως ᾄδεις:* ἐπὶ τῶν μάτην πονούντων.

93 *Ἀμεινόνων οἰωνῶν τυχεῖν:* ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.

94 *Ἄμ' ἔπος, ἅμ' ἔργον:* δήλη.

95 *Ἄμυρις μαίνεται:* ἐπὶ τῶν καθῆκον μέν τι πραττόντων, δόξαν δὲ μανίας τισὶ διδόντων.

96 *Ἄμμον μετρεῖν:* ἐπὶ τῶν ἀδυνάτων.

97 *Ἅμα δίδου καὶ λάμβανε:* ἐπὶ τῶν ἀπίστων καὶ ἀγνωμόνων.

98 *Ἀμφοῖν χεροῖν:* δήλη.

99 *Ἀμαλθείας κέρας:* ἐπὶ τῶν εὐσθενούντων καὶ εὖ πραττόντων. Ἀμαλθείᾳ γὰρ τῇ τροφῷ κέρας ἔδωκεν ὁ Ζεύς, παρακελεύσας γενέσθαι αὐτῇ ὃ ἂν παρὰ τοῦ κέρατος αἰτήσηται, διότι μὴ ἔχουσα αὐτὴ γάλα αἰγὶ αὐτὸν ὑπέβαλεν.

100 *Ἄμμες ποτ' ἦμες:* ἀντὶ τοῦ· ἡμεῖς ποτὲ ἦμεν.

1 *Ἄμας ἀπήτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας:* δήλη.

2 *Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐξελθὼν ἐπρίατο:* ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων, παρόσον Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον. ὅμοιον καὶ τό· *Ἀνάγυρον κινεῖ.*

3 *Ἀντρώνιος ὄνος:* ἐπὶ τῶν παμμεγέθη σώματα ἐχόντων.

4 *Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί:* δήλη.

---

3. ἄλως S. 8. μαγίας S. 10. ἐπίστων S. 13. Ἀμαλθίας (superscr. αι) S. ἐπὶ] πὶ S. 14. Ἀμαλθαία S. 17. ἄμες ποχ' ἔμες S: v. Ahrensius de Dial. dorica p. 326. 18. δήλη] ἥλη S. 22. κινεῖν Zenobius. 23. Ἀνδρώνιος Suidas. παμμεγέθη καὶ νωθρὰ Suidas, in fine addens: ἢ διὰ τὸ ἐκεῖσε παμμεγέθεις καὶ νωθροὺς ὄνους γίνεσθαι.

91. DV I, 32.
92. Greg. Cypr. L I, 47.
93. DV I, 35. 94. DV I, 36.
95. Greg. Cypr. L II, 27.
96. DV I, 38.
97. Greg. Cypr. M I, 60.
98. Mant. Provv. s. ἀμφοῖν: Diog. II, 77ᵃ.
99. Greg. Cypr. M I, 16. L I, 8.
100. Greg. Cypr. M I, 45. L I, 16.
1. Greg. Cypr. M I, 42.
2. DV I, 42. Ἀνάγ. κ.] Apost. IX, 79.
3. Suid. s. ἀνδρώνιος: Hesych. s. ὄνος Ἀντρώνιος: παρόσον ἐν Ἄντρωσι τῆς Θεσσαλίας ὄνοι μεγάλοι γίνονται: Apost. II, 90: Diog. I, 26. Voce ὄνος hic non asinum, sed lapidem molarem designari cum Stephano Byzantio aliisque Prellerus statuit, *Ceres et Perseph.* 27: de qua vocis significatione v. intt. Hesychii v. μύλη et Meinekium Com. Grr. Frr. III, p. 387.
4. Apost. II, 85: Zenob. II, 11. Harpocr. s. Ἑρμαῖ· ... Μενεκλῆς ἢ

5 *Ἀνδρὸς γέροντος ἡ γνάθος βακτηρία: ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.*

6 *Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι:* δήλη.

7 *Ἄνω ποταμῶν χωροῦσι πηγαί: ἐπὶ τῶν τὰ ἑαυτοῖς προςόντα ἐλαττώματα ἑτέροις προςανατιθέντων. καὶ ἐπὶ τῶν τὰ ἐναντία καὶ παρὰ φύσιν ἐγχειρούντων πράττειν.*

8 *Ἀνεῤῥίφθω κύβος: ἐπὶ τῶν ἑαυτοὺς καθιέντων εἰς κίνδυνον.*

9 *Ἀνεπαρίασαν: ἐπὶ τῶν μεταγινωσκόντων. Πάριοι γὰρ ὑποκύψαντες Ἀθηναίοις δι' ἀσθένειαν, αὖθις ἔλυσαν τὰ ὁμολογηθέντα συμμαχίας εὐπορήσαντες.*

---

2. *πρὸς τῷ γήρᾳ* S: cf. Diog. I, 78. 3. *ἐκ ποδῶν* S. 5. *χοροῦσι* S. 6. *προςανατιθεμένων* Suidas. *καὶ κτλ.*] *ἐπὶ τῶν παρὰ φύσιν ἀνεστραμμένων τὴν τάξιν* explicat Schol. Lucianeus in annott. ad Diog. III, 30 propositas.

Καλλίστρατος ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί· Ἀπὸ γὰρ τῆς Ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι· διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων ταύτην τὴν προςηγορίαν εἰληφέναι συμβέβηκεν. ἐφ' ἑνὸς δὲ αὐτῶν ἐπιγέγραπται γράμμασιν ἀρχαίοις· Ἀντ' εὐεργεσίης κτλ.: de quo loco accurate Schneidewinus disputat Coniect. 125. Respexit dictum Libanius Oratt. T. I, p. 556 R.: *ὧν οὐ προςηκούσας ἀμοιβὰς ἀπέδωκαν· ἀντὶ γὰρ εὐεργεσιῶν οὐκ ἔδησαν* [*ἐδέησαν* Reiskius] *κατὰ τὴν παροιμίαν, ἀλλ' ἐβουλήθησαν ἀποκτεῖναι.*

5. DV I, 44.

6. DV I, 45.

7. Greg. Cypr. M I, 28.

8. Macar. IV, 13. Apost. II, 93: App. Provv. I, 28: Etymol. in Cram. Anecdd. Pariss. T. IV, 94, 24 s. *ἀδύνατον· . . . οἷον ἡ γῆ ἵπταται. κἀδύνατα ἔχοντος τοῦ στρατηγοῦ κύβον ἀναῤῥῖψαι πολέμου τοσούτου*, in quo loco quae exciderunt apud Suid. s. *ἀδύνατον* inveniuntur. Usurpant Aristides, cuius verba v. in Apost. VI, 55c: Phot. Epist. 90, p. 133 Mont.: *ἡμᾶς δὲ γίνωσκε λίαν αἰσχύνεσθαι καὶ ὑπεραλγεῖν, οὐχ ὅτι νῦν πάντας κύβους καθ' ἡμῶν ἀναῤῥίπτεις, ἀλλ' ὅτι καὶ αὐτὸς εἷς ἐδόκεις πάλαι τῶν φιλούντων ἡμᾶς εἶναι*: cf. nott. ad Greg. Cypr. M III, 43. Aliam proverbii formam servavit Schol. ad Arist. 189 Fromm.: *εἷς ὑπὲρ πάντων κύβος: παροιμία ἐπὶ τῶν ἀποκινδυνευόντων· οἱ γὰρ κυβεύοντες ἕνα κύβον ῥίπτουσιν ἢ εἰς ἧτταν ἢ εἰς νίκην.* S. *αὕτη ἡ παροιμία εἴρηται ἐπὶ τῶν οὐκ εἰδότων μὲν τὸ ἐκβησόμενον, ἐπὶ δὲ τῇ τύχῃ τολμώντων.*

9. Apost. III, 19: Zenob. II, 21. Historiam, quae huic dictioni locum dedit narrat ex Ephoro Steph. Byz. s. *Πάρος: νῆσος· . . ἀπὸ ταύτης λέγεται παροιμία τὸ ἀναπαριάζειν, ὡς Ἔφορος ἐν δεκάτῳ* [fr. 107]. *Ὁ δὲ Μιλτιάδης τῶν μὲν ἄλλων νήσων τινὰς ἀποβάσεις ποιησάμενος, ἐπόρθησε. Πάρον δὲ εὐδαιμονεστάτην καὶ μεγίστην οὖσαν τότε τῶν Κυκλάδων, καθεζόμενος ἐπολιόρκει πολὺν χρόνον, τῆς θαλάττης εἴργων καὶ κατὰ γῆν μηχανήματα ἄγων. ἤδη τῶν τειχῶν πιπτόντων καὶ ἐπὶ τὸ παραδιδόναι τὴν πόλιν διωμολογημένων, ὕλης τινὸς ἐξ αὐτομάτου περὶ τὴν Μύκονον ἐξαφθείσης, οἱ μὲν Πάριοι τὸν Δᾶτιν αὐτοῖς πυρσεύειν ὑπολαβόντες, ἐψεύσαντο τὰς ὁμολογίας καὶ τὴν πόλιν οὐκέτι τῷ Μιλτιάδῃ παρέδοσαν. Ὅθεν*

10 *Ἀντ' ἀγαθῶν ἀγαθίδες: ἐπὶ τῶν εὖ πασχόντων ἀνθ' ὧν εὐηργέτησαν πρότερον.*

11 *Ἀνέμου παιδίον: ἐπὶ τῶν εὐμεταβόλων.*

12 *Ἀντιπελαργεῖν: ἐπὶ τῶν χάριτας ἀνταποδιδόντων.*

13 *Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον: ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων.*

14 *Ἀνδρὶ πεινῶντι κλέπτειν ἔστ' ἀναγκαίως ἔχον: ἐπὶ τῶν ἐξ ἀνάγκης τι ποιούντων.*

15 *Ἀντλεῖν ἀμφοτέραις: ὁμοία τῇ· Πάντα κάλων σείειν.*

16 *Ἄνθρακες ὁ θησαυρὸς πέφυκεν: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων.*

17 *Ἄξιος τοῦ παντός: ταύτης ἐναντία· Οὐδενὸς ἄξιος καὶ Ἄξιος τριχός.*

18 *Ἀπὸ γραμμῆς: ἤγουν ἐξ ἀρχῆς. Ὅμοιον τῷ· Ἀπὸ πρώτης ἀφετηρίας.*

19 *Ἀπ' ὄνων ἐφ' ἵππους: ἐπὶ τῶν εἰς τὰ μείζω μετατιθεμένων.*

20 *Ἄπληστος πίθος: ἐπὶ τῶν ἀκορέστων.*

21 *Ἀπὸ βαλβῖδος: ἤγουν ἀπ' ἀρχῆς.*

22 *Ἅπαντα τοῖς σοφοῖσιν εὔκολα: δήλη.*

---

2. *εὐεργέτησαν* Suidas. 3. *πεδίον* S. *εὐμ. καὶ κούφων* Suidas. 4. *τὰς χάριτας* Zenobius. 7. Versus trochaicus. Leg. *ἀνδρὶ γὰρ πεινῶντι κλ.* Ex comico quodam. Burn. Effeceris etiam senarium cum fine superioris versus. Bernhardius. 11. *πέφυκεν*] *πέφηνεν* Zenobius. 15. Suidas: *οἷον ἀπ' ἀρχῆς. ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβῖδα καλοῦσιν.*

φασὶν ἡμᾶς ἔτι καὶ νῦν χρῆσθαι τῇ παροιμίᾳ, τοὺς ψευδομένους τὰς ὁμολογίας ἀναπαριάζειν φάσκοντας.
10. Cf. Macar. I, 5. DV I, 77.
11. DV I, 47.
12. DV I, 48. Cf. Macar. VII, 10.
13. Greg. Cypr. M I, 39.
14. Mant. Provv. s. *ἀνδρί*: Suidas.
15. DV I, 50. *Πάντα κ. σ.*] Greg. Cypr. L III, 4: v. Macar. VII, 4. V, 5.
16. DV I, 52.
17. Greg. Cypr. L I, 51. *Οὐδενὸς ἄξ.*] Adhibuit Agis, rex Lacedaemoniorum, uti refert Plutarch. Apophth. Lac. 216 E: *σοφιστοῦ δέ τινος εἰπόντος· Πάντων λόγος ἐστὶ κράτιστον· Οὐκοῦν, ἔφη, σὺ ἐὰν σιωπᾷς οὐδενὸς ἄξιος εἶ*: add. Aristid. *ὑ. τ. τεττ.* II, 328 Iebb., Aesop. fab. 258 Fur. *Ἄξ. τριχός*] DV I, 54.
18. Apost. III, 48: Diog. II, 83. Constant. Manass. Chron. 6173: *οὕτως εὐθὺς ἀπὸ γραμμῆς πρώτης κακὸς ἐφάνη*: cf. infr. 21. *Ἀπὸ—ἀφ.*] adhibuit Synesius: v. ann. ad Greg. Cypr. L I, 56.
19. DV I, 55: cf. Macar. VI, 28.
20. Greg. Cypr. L I, 19.
21. Greg. Cypr. L I, 56.
22. Greg. Cypr. M I, 63.

23 *Ἀπὸ Ναννάκου: ἐπὶ τῶν σφόδρα παλαιῶν.*

24 *Ἅπαγ' ἐς κόρακας: ἀρὰ Βοιώτειος.*

25 *Ἅπαντα τοῖς καλοῖσιν ἀνδράσι πρέπει. Δήλη.*

26 *Ἀπόλογος Ἀλκίνου: ἐπὶ τῶν φλυάρων καὶ μακρὸν ἀποτεινόντων λόγον.*

27 *Ἀπὸ καταδυομένης: λεῖπε, ὅ τι ἂν λάβῃς κέρδος. Δήλη.*

28 *Ἀργεῖοι φῶρες: ἐπὶ τῶν προδήλως πονηρῶν. οἱ γὰρ Ἀργεῖοι ἐπὶ κλωπείᾳ κωμῳδοῦνται.*

29 *Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα νικήσεις: τὴν Πυθίαν φασὶ τοῦτο χρησμῳδῆσαι πρὸς Φίλιππον.*

30 *Ἀρεοπαγίτης: ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων καὶ σιωπηλῶν.*

31 *Ἄρεως νεοττός: καὶ Ἄρεως παιδίον: ἐπὶ τῶν θρασυτάτων.*

32 *Ἁρμοδίου μέλος: ἐπὶ τῶν σκολιῶν.*

---

1. De accentu nominis *Ναννακός* dixit Lobeckius Pathol. p. 308. *καὶ ἀρχαίων* Suidas addit. 6. Suidas: *ἀπὸ … κέρδος. ἀπὸ γὰρ ἐμπόρων ἡ μεταφορά, οἳ καταδυομένης τῆς νεὼς ὅ τι ἂν λάβωσι, κέρδος ἡγοῦνται.* 9. *κλοπῇ* Suidas, in fine addens: *Ἀριστοφάνης Ἀναγύρῳ*: fr. 153 Dind. 10. *ἀργυραίαις λόγχεσι* S. *κρατήσεις* Diogenianus, alii. 14. *Ἄρεος* bis Suidas, in fine addens: *κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ* [Mein. Com. Gr. Fr. II, 2, 651]· *τῷ δὲ δευτέρῳ Ἀλεξανδρίδης Πεισάνδρῳ*, ubi *Ἀναξανδρίδης Πανδάρῳ* Meinekius l. c. III, 181 correxit. 16. *ἐπὶ*] *ἐκ* Bernhardius. Suidas explicat: *ἐπὶ τῶν δυςκόλων. τὰ γὰρ εἰς Ἁρμόδιον μέλη τοιαῦτά ἐστιν.*

23. Suid. s. *ἀπὸ Ναννάκου*, Zenob. VI, 10 ibiq. VB. Cf. Macar. VIII, 4. De Heroda ab Zenobio citato v. Meinekius de Choliamb. p. 151.

24. Cf. Macar. II, 72. Eodem modo Aristophanes dixit Equitt. 1151: *ἄπαγ' ἐς μακαρίαν ἐκποδών* et Plautus Capt. III, 1, 9: *ilicet parasiticae arti maximam in malam crucem*: Casin. III, 4, 21: *ducas; easque in maximam malam crucem.* Similia sunt Aristoph. Pac. 500: *οὐκ ἐς κόρακας ἐῤῥήσετε*: ei. Vesp. 51: *ἐς κόρακας οἰχήσεται*: Amipsias in Athen. I, 8 E: *ἔῤῥ' ἐς κόρακας*: Aristaen. Epist. II, 12 fin.: *ἐς κόρακας ἐκπέμψεσθαι*: Theophyl. Simoc. Epist. 50: *ἐς κόρακας χώρει*: cf. annott. ad Zenob. III, 87. Verba *ἀρὰ Βοιώτειος* adiecta sunt ad proverbii originem in animum revocandam.

25. Apost. III, 31a: Diog. III, 28.

26. DV I, 79.

27. Suidas. Ad v. *καταδυομένης* supple *νεώς*, de quo ellipseos genere egit Bosius Ellips. Gr. 314.

28. Suidas.

29. Greg. Cypr. M I, 64.

30. Apost. III, 100a: Diog. II, 91: add. Hesych. s. *Ἀρεοπαγίτης· ὁ δικάζων. καὶ σιωπῶν δι' ὅλου κατ' ἀνάγκην.* Usurpavit, ut Suidas refert, Plato in Pisandro: v. Meinekius Com. Gr. Fragm. II, 2, p. 651.

31. Suid. s. *Ἀρεοπαγίτης*: Apost. IV, 7. Proverbium Aristoph. Av. 834, ut videtur, adhibuit: Scholiastae errant. *Ἄρεος τρόφιμος* ex Nicetae hist. p. 307 Meinekius comparavit. Add. infr. 39.

32. Apost. III, 82: Diog. II, 68. De carmine tradit Schol. ad Arist.

33 *Ἀρᾶς ἱερόν*: ἐπὶ τῶν πολλὰ ἀρωμένων.

34 *Ἀρίγνωτος σμάραγδος, ἐν τῷ σκότει φαεινός, ἐν τῷ φάει σκοτεινός*: πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτοὺς ὅπου οὐκ ἐχρῆν.

35 *Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν*: δήλη.

36 *Ἄρτι μῦς πίττης γεύεται*: ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων.

37 *Ἀράβιος αὐλητής*: καὶ *Ἀράβιος ἄγγελος*: ἐπὶ τῶν ἀπαύστως διαλεγομένων.

38 *Ἀργείους ὁρᾷς*: ἐπὶ τῶν [πρὸς] ὁτιοῦν ἀποβλεπόντων καταπληκτικώτατα. καὶ ἐπὶ τῶν ἐπὶ κλοπῇ ὑπονοουμένων ἰδίως, παρόσον εἰς τοῦτο κωμῳδοῦνται Ἀργεῖοι.

39 *Ἄρης τύραννος*: ἐπὶ τῶν μετὰ βίας τι διαπραττομένων.

40 *Ἄριστα χωλὸς οἰφεῖ*: ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά. ἐκ τῶν Ἀμαζόνων συντεθεῖσα.

41 *Ἀρκάδας μιμήσομαι*: ἐπὶ τῶν ἑτέροις πονούντων. Ἀρκάδες γὰρ ἰδίᾳ οὐδένα ἐνίκησαν, ἑτέροις δὲ προστιθέμενοι καὶ σύμμαχοι γενόμενοι εὐδοκίμουν.

42 *Ἄρκτου παρούσης τὰ ἴχνη ζητεῖς*: ἐπὶ τῶν προδήλων.

---

2. ἐν μὲν τῷ φάει σκοτεινὸς, ἐν δὲ τῷ σκότει φαεινός P. 8. ἐρχομένων ἐν οἷς εἰσιν Suidas. 10. ἀπαυστὶ Suidas. 11. πρὸς e VB inserui. 12. εἰς κλοπὴν VB. Suidas explicat: ἐπὶ τῶν ἀτενῶς καὶ καταπληκτικῶς ὁρώντων. 14. Hesychius: Ἄρης τύραννος: παροιμία: explicatio deest. 19. μιμούμενος Apostolius.

33. Hesych. s. *Ἀρᾶς ἱερόν*: ἱερὸν ἀρᾶς Ἀθήνησιν. Ἀριστοφάνης Ach. 977: ἐν ταῖς τῶν πότων συνόδοις ᾖδόν τι μέλος Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχή· *Φίλταθ' Ἁρμόδι' οὔ τι που τέθνηκας* [Athen. XV, 695 A, Schneidew. Delect. p. 456]· ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου [Zenob. I, 18] λεγόμενον, τὸ δὲ Τελαμῶνος: add. Athen. XV, 692 F, et alia, quae Meursius Pisistr. XIV, et Berglerus ad Arist. Lysistr. 1264 collegerunt. Ὥραις [fr. VI Dind.]. ἔνιοι δὲ τὴν βλάβην λέγειν αὐτὸν ἐνόμισαν: Apost. III, 99: Diog. II, 92.

34. Apost. IV, 5: v. Greg. Cypr. P. I, 85. Cf. Macar. III, 87.

35. Greg. Cypr. M I, 82.

36. DV I, 72: v. Macar. VI, 6.

37. Greg. Cypr. M I, 31.

38. Append. Proverbb. III, 35.

39. Hesych. Suidas. Timotheus Mil. in Plut. Ages. 14: Ἄρης τύραννος· χρυσὸν δ' Ἑλλὰς οὐ δέδοικε.

40. Apost. III, 92: Diog. II, 2.

41. Apost. III, 73 ibiq. v. annott.

42. Greg. Cypr. M I, 54.

43 *Ἀρχὴ Σκυρία*: ἐπὶ τῶν εὐτελῶν. πενιχρὰ γὰρ νῆσος ἡ Σκῦρος.

44 *Ἀρχὴ ἄνδρα δείκνυσιν*: θήλη.

45 *Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον, μηδ' ἐπιδεῖν αὐγὰς ὀξέος ἠελίου· φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι*: Θεόγνιδος· ἐπὶ τῶν δυστυχῶς βεβιωκότων.

46 *Ἀρότρῳ ἀκοντίζειν*: ἐπὶ τῶν καθ' ἑαυτῶν πραγματευομένων· παρόσον οἱ ἀρότροις ἀκοντίζοντες τοὺς πέλας βάλλουσιν.

47 *Ἀρχὴ ἥμισυ παντός*: ἐπὶ τῶν εἴς τι προκοπτόντων.

48 *Ἀρχαιότερα διφθέρας λέγεις*: ἐπὶ τῶν σαθρὰ καὶ παλαιὰ λεγόντων.

49 *Ἀρχαιότερος Κόδρου*: ἐπὶ ὑπερβολῇ ἀρχαιότητος καὶ εὐγενείας.

50 *Ἄστροις σημειοῦσθαι*: ἐπὶ τῶν μακρὰν ὁδὸν καὶ ἔρημον πορευομένων.

51 *Ἀσκὸν δέρεις*: ἐπὶ τῶν ἀνοήτως σφόδρα τι ποιούντων.

52 *Ἀσκῷ μορμολύττεσθαι*: ἐπὶ τῶν εἰκῇ δεδιττομένων.

53 *Ἀτρέως ὄμματα*: ἐπὶ τῶν ἀναιδῶν καὶ ἀδικωτάτων.

54 *Ἀττικοὶ τὰ Ἐλευσίνια*: ἐπὶ τῶν καθ' ἑαυτούς τι ποιούντων.

55 *Ἀττικὸς εἰς λιμένα*: ἐπὶ τῶν εὐτονωτέρως διά τινας παρόντας ἐργαζομένων. ἐπεὶ τοὺς Ἀθηναίους φασὶν

---

4. ἀρχὴν] πάντων Theognis. 5. ἐσιδεῖν idem. 6. παρῆσαι S. 11. ἀρχὴ δέ τοι ἥμισυ Ds. 12. τῆς διφθέρας L. 14. ἀρχαιότερα S. 16. σημαίνεσθαι Apostolius: τεκμαίρεσθαι Suidas, addens in fine: καὶ ἄστροις σημειουμένων τὰς θέσεις τῶν πατρίδων. 20. εἰκῆ καὶ διακενῆς Suidas. 25. Phot. v. ἐς τὸν λιμένα: ὅταν γὰρ ὁρῶνται ἀπὸ τῆς πόλεως, σφοδρότερον ἐρέσσουσιν. ὅθεν παροιμία κατὰ τὸ ἐλλιπές· Ἀττικὸς ἐς τὸν λιμένα. λείπει γὰρ ἰσχυρός: cf. Apost. VI, 70d.

43. Apost. III, 80: Zenob. I, 32.
44. Greg. Cypr. M I, 80.
45. Apost. III, 85: Diog. III, 4. Theogn. 425.
46. Greg. Cypr. M I, 84.
47. DV I, 83.
48. Greg. Cypr. L I, 58.
49. Macar. VII, 41. Apost. XIV, 71: cf. nott. ad Diogen. II, 71.
50. Apost. IV, 12: Diogen. II, 66.
51. DV I, 84.
52. Apost. IV, 10: Diog. II, 65.
53. Apost. IV, 15: Zenob. II, 34.
54. Apost. IV, 21: Zenob. II, 26.
55. Apost. IV, 20: Zenob. II, 10.

πλησίον ὄντας τοῦ λιμένος εὐτονωτέρως διὰ τοὺς ἀπὸ γῆς σκοποῦντας ἐρέσσειν.

56 Ἀτενὲς ὁρᾷς ὥσπερ αἲξ τὴν θάλασσαν: ἐπὶ τῶν φιληδούντων τισὶν ὡς ἡ αἲξ τῇ θαλάσσῃ.

57 Ἄτλας τὸν οὐρανόν: λείπει ἀπεδέξω. καὶ λέγεται ἐπὶ τῶν μεγάλῳ μὲν πράγματι ἐπιβαλλομένων, κακῷ δὲ περιπιπτόντων. Ἄτλας γὰρ Οὐρανῷ ἐπιβουλεύσας καὶ συλληφθεὶς εἰς τὸ Ἀτλαντικὸν πέλαγος ἀπεῤῥίφη.

58 Ἄτης λόφος: ἐπὶ τῶν βαρυσυμφορωτάτων.

59 Ἀττικὸς πάροικος: ἐπὶ τῶν κακῶν γειτόνων.

60 Ἀττικὴ πίστις: ἐπὶ τῶν βεβαίαν φυλαττόντων τὴν πίστιν.

61 Ἀττικὸς μάρτυς: ἐπὶ τοῦ πιστοτάτου καὶ ἀληθεστάτου.

62 Αὐτὸς αὑτὸν αὐλεῖ: ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων.

63 Αὐτοῦ Ῥόδος, αὐτοῦ πήδημα: ἐπὶ τῶν ἀλαζονευομένων ἐπί τινι. εἴρηται δὲ ἀπὸ Ῥοδίου πεντάθλου ἀλαζονευομένου ἐπὶ τῷ ἅλλεσθαι.

64 Αὐτὸ δείξει: ἐπὶ τῶν ἀπιστούντων τι μὴ γίνεσθαι.

65 Ἄφθονοι Μουσῶν θύραι: ἐπὶ τῶν ἥκιστα φθονερῶς διακειμένων.

66 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: οἱονεὶ πάνυ μου καταφρονεῖς.

67 Ἀφ' ἑστίας ἄρχεσθαι: ἐπὶ τῶν ἐν δυνάμει γενομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους.

---

3. ὥσπερ ἡ αἲξ Ds. 5. ὑπεδέξω Suidas. καὶ λέγεται om. Suidas. 6. μεγάλοις πράγμασι Suidas. κακῷ δὲ] καὶ κακοῖς idem. 7. Ἄτλας γὰρ κτλ.] in Suida desunt. 11. τὴν Suidas om. 15. δεικνυόντων ἐν τοῖς πράγμασιν, ὁποῖοί τινές εἰσιν Suidas. 21. ἐν λόγοις in fine Diogenianus addit.

56. DV I, 87.
57. Apost. IV, 23: Diog. II, 67. Similia narrat Tzetz. ad Lycophr. 879.
58. DV I, 85.
59. Zenob. II, 28: Stephan. ad Aristot. Rhet. II, 21 [v. Crameri Anecdd. Pariss. I, 292, 3]: ἡ παροιμία ἐπὶ τῶν κακουργούντων.
60. Apost. IV, 25: Diog. II, 80.
61. DV I, 86.
62. Apost. IV, 28: Diog. III, 16. Respexit Machon apud Athen. VIII, 349 F: ὃς αὐτὸς αὑτὸν οὐ κιθ[αρίζει φαῦλος ὤν]: lacunam explevit Meinekius Commentt. Phill. in Athen. Spec. II, p. 17.
63. Greg. Cypr. M I, 86.
64. Greg. Cypr. L II, 92.
65. Apost. IV, 54: Diog. III, 23. Sententia a Boissonado illustratur ad Aen. Gaz. de immort. animi p. 357: add. Greg. Cypr. L I, 24 et dictio ἐν ἀφθόνοις πᾶσι διάγειν, de qua Dissenius ad Demosth. or. de cor. §. 89 egit.
66. Greg. Cypr. L I, 59.
67. Greg. Cypr. L I, 63.

68 *Ἁ φιλοχρηματία Σπάρταν ἕλοι, ἄλλο δὲ οὐδέν*: ἐπὶ τῶν ἀργυρίζεσθαι προαιρουμένων. μετενήνεκται δὲ ἀπὸ χρησμοῦ.

69 *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος*: ἐπὶ τῶν δι' ἔρωτα ἐπιορκούντων.

70 *Ἀφροδισία ἄγρα*: ἐπὶ τῶν ἔρωτι ἁλισκομένων.

ΤΟ Β.

71 *Βάττου σίλφιον*: ἐπὶ τῶν μεγάλων καὶ πολυτελῶν. τὸν γὰρ σιλφίου καυλὸν Κυρηναῖοι ** ἐξαίρετον ἔδοσαν Βάττῳ.

72 *Βάλλ' ἐς ὕδωρ*: ἐπὶ τῶν ὀλέθρου ἀξίων. ἤγουν καταπόντισον. *βάλλ' ἐς ὄλεθρον*· καί, *βάλλ' ἐς φθόρον*· καί, *Βάλλ' ἐς κόρακας*: ὅμοια.

---

2. ἀργυρίζεσθαι] ἐξ ἅπαντος κερδαίνειν Zenobius. Oraculum Spartanis Alcamene et Theopompo regnantibus datum esse Plutarchus Inst. Lacon. 239 F narrat, ad quem locum Wyttenbachius probitatem lectionis Plutarcheae ὀλεῖ pro ἕλοι, quod miro consensu omnes defendunt paroemiographi, vindicare studet. Antiqua lectio *ἑλεῖ* esse videtur. μετήνεκται S. 5. ἔρωτα *ὀμνυόντων πολλάκις καὶ* Suidas. 9. τὸν κτλ.] οἱ γὰρ Κυρηναῖοι τὸ σίλφιον *μέγα τι καὶ* ἐξαίρετον *ἔχοντες* κτλ. C.

68. Apost. IV, 54b. VIII, 77: Zenob. II, 24. De proverbio post Wyttenbachium docte Schoemannus ad Plut. Agid. 9, 1 exposuit.

69. Greg. Cypr. L I, 1.

70. Proverbium ex Sophocle derivatum: Hesych. s. ἀφροδισία ἄγρα: Σοφοκλῆς Δανάῃ [fr. 178 Dind.]· *Γόνοιον* [sic] *μήλων κἀφροδισίαν ἄγραν*. οἱ μὲν τοὺς πέρδικας, οἳ δὴ πρὸς τὸν καθαρμὸν ἁρμόζουσιν· τῇ δὲ [recte γὰρ Heinsius] θηλείᾳ παλεύοντες [cf. App. Provv. III, 11] αἱροῦσιν αὐτούς· κακῶς δέ· χοίρῳ γὰρ καθαίρουσι καὶ ὀρνίῳ, ἀλλ' οὐ πέρδικι. λέγει οὖν τὴν τῶν συῶν, διὰ τὸ καταφερὲς εἶναι τὸ ζῷον πρὸς συνουσίαν [v. nott. ad DV I, 89]. Καπρῶν γέ τοι καὶ καπραίνειν ἀπὸ τούτου. Δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν. καὶ γὰρ καὶ τοῦτο τὸ ζῷον λίαν ἐπτόηται πρὸς τὰ ἀφροδίσια, ὥστε καὶ εἰς ἑαυτὸ ὑβρίζειν: Eustath. ad Hom. Il. Τ, 251, p. 1183, 17: σημείωσαι δὲ ὅτι ἐπιτήδειος ἐδόκει πρὸς καθαρμὸν ὁ σῦς, ὡς δηλοῖ Αἰσχύλος [fr. 329 Dind.] ἐν τῷ· *Πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου Αὐτός σε χράνῃ* [vulgo χρᾶναι] *Ζεὺς καταστάξας χεροῖν*. λέγεται δέ, φασί, καὶ *Ἀφροδισία ἄγρα*, καθὰ πέρδιξ οὕτω καὶ σῦς· καὶ γὰρ καὶ ὁ χοῖρος καταφερὴς εἰς ἀφροδίσια, ὅθεν κατὰ *Αἴλιον Διονύσιον* καὶ κάπραινα γυνὴ ἡ ὀργῶσα πρὸς μίξεις καὶ καπρᾶν κτλ.: Bekk. Anecdd. I, 472, 22: *Ἀφροδισία ἄγρα*: οἱ πέρδικες, διὰ τὸ τοὺς θηρῶντας τῇ θηλείᾳ ἐπιβουλεύοντας αἱρεῖν αὐτούς. Respexit Alciphro apud Dorvill. ad Charit. p. 539 Lips.: πολλὰ μὲν ταῖς Νύμφαις, πλείω δὲ ἢ οὐκ ἐλάττω τῇ Ἀφροδίτῃ ἱκετεύσαμεν διδόναι τινὰ ἡμῖν *ἐρωτικὴν ἄγραν*.

71. Apost. IV, 76: App. Provv. I, 51.

72. DV II, 4. βάλλ' ἐς ὄλ.] Apost. IV, 76a: Hesych. s. ἐς ὄλεθρον] εἰς ᾅδην: cf. Apost. VI, 65. et annott. ad Diog. III, 51. Respexit

73 *Βακτηρία καὶ σχῆμα καὶ τριβώνιον*: τοῦτο ἐπέσκωπτον τοὺς Ἀθήνῃσι δικαστάς.

74 *Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην*: ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

75 *Βατράχοις οἰνοχοεῖς*: πρὸς τοὺς ταῦτα νέμοντας, ὧν οὐ χρῄζουσιν οἱ λαμβάνοντες.

76 *Βατράχῳ ὕδωρ*: ὡς, *Γαλῇ στέαρ*: ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.

77 *Βάτραχος Σερίφιος*: ἐπὶ τῶν ἀφώνων.

78 *Βίος μεμαγμένος*: ἐπὶ τῶν ἀπόνως τρεφομένων.

79 *Βοιωτία ὗς*: ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων.

80 *Βοιώτιος νόμος*: ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμούντων, ὕστερον δὲ ἐπιτεινόντων.

81 *Βοῦθος περιφοιτᾷ*: ἐπὶ τῶν εὐήθων καὶ παχυτάτων.

82 *Βουλίας δικάζει*: ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ δικαστῶν.

---

1. *οὐ τριβώνιον* S: *καὶ τριβώνιον* Walzius, Suidas. *τριβώνιον, ἢ τριώβολον* Suidas. 5. *νέμοντας*] *παρέχοντας* Ds. 9. *ἐκ Σερίφου* Suidas. 10. *τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως* idem. 11. *Βοιωτεία* [sic] S. 13. *ἐπιτεινόντων*] *τοῖς κακοῖς ἐπιτεινόντων* Zenob. II, 65, *σφόδρα ἐπιγινομένων* Apostolius V, 4 cum Suida, unde *ἐπιτεινομένων* Gaisfordus ad Suid. s. *Βοιώτιος* coniecit: *ταρασσομένων* M. 14. *Βουθοῦς* S., *ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων εἴρηται* Suidas. Hesychius: *Β. π.*: *παροιμία ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων, ἀπὸ Βούθου τινὸς μετενεχθεῖσα τοῦ Πύθια νικήσαντος, ὃν ἀναγράφει καὶ Ἀριστοτέλης νενικηκότα.*

Timocreon apud Plut. Themist. 21, 8: *ἔβα πλέων εἰς ὄλεθρον*: add. Sophocl. Oed. Tyr. 438. 1156 et alia apud Spanhemium ad Callim. h. in Apoll. 113. *β. ἐς φθόρον*] Append. I, 35. *β. ἐς κόρακας*] Apost. VII, 96: v. sup. 24.

73. Append. Provv. I, 47. Suidas s. *βακτηρία καὶ σύμβολον. οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον, τὴν χρόαν ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὰ δικαστήριον. τὸ μέντοι σύμβολον μετὰ τὴν κρίσιν ἀποδιδόντες ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν.* Pluribus res, quae huc pertinent, Scholia ad Aristoph. Plut. 277 sq. ex Aristotele aliisque exponunt: disputat de eis Fritzschius de sortit. iudicum p. 14 sqq. Fortasse cohaeret cum nostro quod e codice Mediceo Plut. LVIII, 24 Walzius ad Arsen. p. 493 edidit: *Σχᾶμα καὶ τριώβολον* [scribe *σχῆμα*]: *τῷ εὑρόντι καινὸν ὀρχήσεως σχῆμα τριώβολον ἐδίδαυν ἆθλον.*

74. Apost. IV, 85: Diog. III, 56.

75. DV II, 8.

76. DV II, 9.

77. DV I, 98.

78. Apost. IV, 93: Zenob. I, 21: add. Suid. s. *βίον μεμαγμένον*: *ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.*

79. Apost. V, 11, ibiq. v. annott.

80. Greg. Cypr. M II, 47.

81. Zenob. II, 66.

82. Apost. V, 11ᵃ: Zenob. II, 86. 67.

83 *Βουλήσεταί τις μᾶλλον ἢ δυνήσεται*: ἐπὶ τῶν προαιρουμένων μὲν ἀδικῆσαι, οὐ δυναμένων δέ.

84 *Βορβόρῳ θ᾿ ὕδωρ λαμπρὸν λαμβάνων οὔποθ᾿ εὑρήσεις ποτόν*: ἐπὶ τῶν τὰ καλὰ μιγνύντων τοῖς αἰσχίστοις.

85 *Βοῦς ἐπὶ φάτνην*: ἐπὶ τῶν ἐς τὰ συνήθη καὶ ἥδιστα ἀφικνουμένων.

86 *Βοιώτια αἰνίγματα*: ἐπὶ τῶν ἀσυνέτων. ἐκ μεταφορᾶς τῆς Σφιγγός.

87 *Βοῦς ἐναύλιος*: ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων.

88 *Βοῦς ἐπὶ γλώσσῃ*: ἐπὶ τῶν μὴ δυναμένων ἐκ δωροδοκίας παῤῥησιάζεσθαι.

89 *Βοῦς ἕβδομος*: ἐπὶ τῶν ἀναισθήτων· οἱ γὰρ πένητες τῶν Ἀθηναίων ἓξ ἀεὶ θύοντες ἔμψυχα πρόβατον, ὗν, αἶγα, ὄρνιν, ** χῆνα, ἕβδομον ** ἐπέθυον, πέμμα τετράγωνον. ἐπειδὴ τοίνυν ἀναίσθητον ἐδόκει τὸ ζῶον, ἐπισκώπτοντες τοὺς ἀνοήτους ἐκάλουν βοῦν ἕβδομον.

ΤΟ Γ.

90 *Γαλῆ Ταρτησία*: ἐπὶ τῶν πονηρῶν καὶ λίαν ἀναιδῶν. Ταρτησσὸς γὰρ πόλις μεγάλη πρὸς τῷ ὠκεανῷ.

91 *Γαλῇ χιτώνιον*: ἐπὶ τῶν ἀχρήστων.

92 *Γαλλιστὶ τεμεῖν*: ἐπὶ τῶν ἀφροντίστως ἀπαλλαγὴν πραγμάτων ποιήσασθαι βουλομένων. Γάλλοι γὰρ καλοῦν-

---

3. λαμβάνων] μιαίνων recte Ds. 4. κάλλιστα Suidas. τοῖς in Suida deest. 10. ἐνάλιος male Suidas. 11. βοῦν Ds. ἐκ δωροδοκίας idem om. 15. ὄρνιν, βοῦν S: ὄρνιν, πετεινὸν K. ἕβδομον] locus hanc fere in speciem redintegrandus videtur: ἕβδομον τὸν βοῦν ἐπέθυον, πέμμα τετράγωνον, κέρατα ἔχον: Hesych. s. ἕβδομος βοῦς: εἶδος πέμματος κέρατα ἔχοντος: cf. nott. critt. ad Diog. l. c. 16. ἐπεὶ δὲ S. ζῶν S. 19. Ταρτησσία S. 20. μεγάλη] ἔξω τῶν Ἡρακλείων στηλῶν Suidas. ὠκεανῷ] ἔνθα μέγισται γίνονται γαλαῖ Suidas addit. 21. ἀχρήστων] ἀπρεπῶν C: ἐπὶ τῶν ἀδίκων καὶ μηδὲν ὀνιέντων dici adnotat Suidas.

83. C in Paroemiogr. T. I, p. 486, 2: Diog. VI, 74.

84. DV II, 7.

85. Append. Provv. I, 64. Orac. Sibyll. III, 728: σαρκοβόρος τε λέων ἄχυρον φάγεται ἐπὶ φάτνης Ὡς βοῦς.

86. Greg. Cypr. M. II, 46.

87. Append. Provv. I, 63. Cf. Apost. V, 10.

88. DV II, 2.

89. Apost. V, 8: Diog. III, 50, ubi add. versus proverbialis, quem affert Suid. s. ἑβδομαῖος: Τὸν ἕβδομον βοῦν ἡ σοφὴ παροιμία: cf. Arsen. XLIX, 100. Πήλινον βοῦ sacrificium Pythagoram exsolvisse narrat Greg. Nazianz. Epist. 68 (183).

90. Apost. V, 20: Diog. III, 71.

91. Apost. V, 21: Diog. III, 82. Cf. infr. VI, 65.

92. Append. Provv. I, 67.

ται οἱ ἀποτετμημένοι, ἤτοι ἀπὸ τοῦ ποταμοῦ Γάλλου ἢ ὅτι ἀποπεπτώκασιν εἰς ἑτέραν φύσιν.

93 *Γέρων ὁ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ:* ἐπὶ τῶν γεγηρακότων καὶ μηκέτι χρησιμευόντων.

94 *Γέλως Ἰωνικός:* ἐπὶ τῶν κιναίδων καὶ ἐκλελυμένων.

95 *Γενναῖος εἶ ἐκ βαλαντίου:* ἐπὶ τῶν διὰ πλοῦτον εὐδοκιμούντων.

96 *Γέλως συγκρούσιος:* ὁ ἄκοσμος καὶ ἄτακτος· ἀπὸ τοῦ κρούειν τὰς χεῖρας.

97 *Γέρων ἐρινὸς εὐφρανεῖ τοὺς γείτονας:* ὁ λόγος ἐπὶ γεγαμηκότος γέροντος.

98 *Γῆς βάρος:* ἤγουν ἄχρηστος.

99 *Γῆς ἔντερον:* ἐπὶ τῶν μηδενὸς ἀξίων.

100 *Γλαύκου τέχνη:* ἐπὶ τῶν λίαν ἐντέχνων.

1 *Γλυκὺς ἀπείρῳ πόλεμος:* δήλη.

2 *Γλαῦκες Λαυριωτικαί:* ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων· ἐν γὰρ Λαυρίῳ τῆς Ἀττικῆς χρυσοῦ μέταλλα ἦν. ἐχάραττον δὲ γλαῦκας ἐν τοῖς νομίσμασιν.

3 *Γνῶθι σαυτόν:* Χείλωνος εἶναί φασι τὸ ἀπόφθεγμα.

---

1. Γάλλου] ἡσύχως ῥέοντος C adficit. 2. μεταπεπτώκασιν VBC. 3. γέρων ὁ βοῦς] γηρᾷ βοῦς Gregorius. 7. εὐδοκιμούντων] εὐγενῶν εἶναι δοκούντων Suidas. 8. συγκρουστός S. ἀπὸ κτλ.] ἐκ μεταφορᾶς τοῦ μετὰ κρότου χειρῶν καὶ ποδῶν γενομένου γέλωτος Suidas. 10. εὐφραίνει S: correxit Meinekius Com. Gr. Fr. T. IV, p. 674. 12. Suidas explicat: ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. 13. ἔντερα Ds. 14. De Scholiasta Platonis v. nott. critt. ad Zenob. l. c.: post v. χειρουργεῖν pergit: καὶ ἀπὸ ταύτης τῆς πραγματείας ἔτι καὶ νῦν λέγεσθαι τὴν καλουμένην Γλαύκου τέχνην. μέμνηται δὲ τούτου Ἀριστόξενος ἐν τῷ περὶ τῆς μουσικῆς ἀκροάσεως [cf. Mahnius ad Arist. Rell. p. 141] καὶ Νικοκλῆς ἐν τῷ περὶ θεωρίας. ἔστι δὲ καὶ ἑτέρα τέχνη γραμμάτων, ἣν ἀνατιθέασι Γλαύκῳ Σαμίῳ, ἀφ' ἧς ἴσως καὶ ἡ παροιμία διεδόθη· οὗτος δὲ καὶ σιδήρου κόλλησιν εὗρεν, ὥς φησιν Ἡρόδοτος: I, 25. 15. ἀπείρων S. 17. χρύσεια Suidas. 18. ἐνεχάραττον idem. νομίσμασιν] χρυσοῖς idem.

93. Greg. Cypr. L I, 80.
94. Greg. Cypr. L I, 75.
95. DV II, 22. 96. DV II, 12.
97. Append. Provv. I, 73. Ad imitationem versus proverbialis poeta apud Plut. an seni sit administ. resp. 9, p. 789 A dixit: γαμῶ γέρων εὖ οἶδα καὶ τοῖς γείτοσιν: aliam sententiam exprimit versus Menand. Monost. 103: γαμεῖν δὲ μέλλων βλέψον εἰς τοὺς γείτονας.
98. Greg. Cypr. M II, 55.
99. Apost. V, 42: Diog. III, 91.
100. Apost. V, 45: Scholl. ad Plat. p. 381 Bekk., Zenob. II, 91. Glauci artem cum laude memorat Libanius Oratt. T. III, p. 354 R.: οὐχ αἱ μὲν πρῶται τῶν δικαίων οὐ διέφερον καλύβης, μικροῦ δεῖν, οὐδὲ ὀνομάζονται ... τί δέ; ἡ Γλαύκου τοῦ Χίου τέχνη κατ' ἀρχὰς ἦν;
1. DV II, 10.
2. Append. Provv. I, 75.
3. DV II, 10.

4 *Γραῦς βακχεύει:* ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων.

5 *Γραῶν ὕθλοι:* ἐπὶ τῶν μάτην ληρούντων.

6 *Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει:* ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

7 *Γυμνότερος λεβηρίδος:* ἀντὶ τυφλότερος. ἐπὶ τῶν πάνυ πενήτων.

8 *Γυμνότερος παττάλου:* ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.

9 *Γύγου δακτύλιος:* ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων.

10 *Γυπὸς σκιά:* ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

11 *Γυνὴ εἰς Ἡρακλέους οὐ φοιτᾷ:* πρὸς τοὺς ἀναξίους τινῶν πράξεων· παρόσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ.

12 *Γυνὴ στρατηγεῖ:* καί· *Γυνὴ στρατεύεται:* ἐπὶ τῶν παραδόξων.

13 *Γυναικὶ μὴ πίστευε μηδ' ἂν ἀποθάνῃ:* δήλη ἡ παροιμία.

ΤΟ Δ.

14 *Δαιδάλου ποίημα:* ἐπὶ τῶν τεχνικῶς κατασκευασθέντων.

15 *Δαιδάλου πτερά:* ἐπὶ τῶν διὰ τὸ ἄπορον τοῦ λόγου παρελκούσῃ χρωμένων προσθήκῃ.

16 *Δαναΐδων πίθος:* ἐπὶ τῶν ἀεὶ ἐκλιπόντων καὶ μὴ πληρουμένων.

---

4. Scribe *ἀνακορτήσασα*. 6. *ἀντὶ* corruptum est ex *Ἀριστοφάνης*, ut Suidas et Zenob. II, 95 docent. 13. *τινῶν*] *τῶν* Suidas. 19. *ποιήματα* Suidas. 21. *δι' ἀπορίαν προςθήκης χρωμένων παρελκύσει* Suidas. 23. *Δαναΐδων*] *Δαναιδῶν* S. Notavit accentum Suid. s. *Δαναΐς*: v. de eo Hemsterhusius ad Luc. Tim. 18.

4. DV II, 11.
5. Apost. V, 63: Diog. III, 79. *Παλαμναῖοι ὕθλοι* de Gregorii Palamae doctrina Gregorius Akind. dixit: v. Leonis Allatii Graec. Orthod. I, p. 756 vs. 11.
6. DV II, 18.
7. Greg. Cypr. L I, 77.
8. DV II, 19.
9. DV II, 20.
10. Apost. V, 74: Diog. III, 100.
11. Append. Provv. I, 88.
12. Greg. Cypr. M II, 60.
13. Greg. Cypr. M II, 61.
14. DV II, 36.
15. DV II, 37.
16. Proverbii originem narrat Zenobius II, 6, ubi v. annott.: add. Suid. s. *εἰς τετρημένον πίθον ἀντλεῖν*: εἴρηται ἡ παροιμία ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρόσον ἀπεμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί: et cf. Macar. III, 57. Plut. Provv. 4 Bois. Apud scriptores saepe invenitur: v. Lucian. Tim. § 18: ὥστε ἐς τὸν τῶν Δαναΐδων πίθον

17 *Δαφνίνην φορῶ βακτηρίαν*: τοῦτο εἰώθασι λέγειν οἱ ὑπό τινων ἐπιβουλευόμενοι, παρόσον ἀλεξιφάρμακον ἡ δάφνη.

18 *Δαίμων Κιλίκιος*: ἐπὶ τῶν ἀποτροπαίων. καὶ *Δαίμων Αἴνειος* ὅμοιον, ἀπὸ Αἴνου πόλεως Θράκης.

19 *Δέχεται καὶ βῶλον Ἀλήτης*: ἐπὶ τῶν πάντα δεχομένων.

20 *Δεύτερος πλοῦς*: ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων· παρόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλίζονται περὶ τὸν δεύτερον.

21 *Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι*: ἐπὶ τῶν σφόδρα κακουργοτάτων.

22 *Δελφικὴ μάχαιρα*: ἐπὶ τῶν φιλοκερδῶν.

23 *Δείλου μήτηρ οὐ κλαίει*: δημώδης καὶ φανερά.

24 *Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχει, δίψῃ δ' ἀπόλωλεν*: παρόσον οὗτοι διὰ μὲν τὸ ἱερᾶσθαι ἐστεφανωμένοι ἦσαν, τῶν δὲ ἐπιτηδείων ἠπόρουν.

25 *Δελφῖνα νήχεσθαι διδάσκεις*: ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηται.

---

1. *Δαφνιν* S. 6. *πάντα πρὸς τὸ κρεῖττον ἐκδεχομένων* Suidas. 9. *ἀσφαλίζοντες* S: *ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον· ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν Ἠθικῶν* [c. 9] *καὶ Μένανδρος Κεκρυφάλῳ καὶ Πλοκίῳ καὶ Θεοφορουμένῃ* Schol. Plat. 381 Bekk. 14. *δημο* S. 15. *δίψει δὲ ἀπόλλυται* Suidas. 16. *ἱερᾶσθαι τῷ θεῷ* idem. 17. *ἦσαν* Suidas om. *ἠπόρουν*] *ἀποροῦντες οὐκ ἀπαλλάσσουσι* Suidas.

ὑδροφορήσειν μοι δοκῶ καὶ μάτην ἐπαντλήσειν: Alciph. Epist. I, 2: *καὶ τὸ λεγόμενον δὲ τοῦτο εἰς τὸν τῶν Δαναΐδων τοὺς ἀμφορέας ἐγχέομεν πίθον*: Plaut. Pseud. I, 3, 134. Horat. Carm. III, 11, 25: Tibull. I, 3, 79: *et Danai proles, Veneris quod numina laesit, In cava Lethaeas dolia portat aquas*, ubi cf. Dissenius.

17. DV II, 28.

18. *Ἀποτρόπαιος* h. l. mala afferentem Deum significat: v. DV II, 51. Zenob. IV, 53. App. Provv. II, 7. Fortasse huc pertinet Pherecrateum: *ἀεί ποθ' ἡμῖν ἐγκαλεῖν εἰώθασ' οἱ θεοί*, de quo v. Meinekius Com. Gr. II, 1, 351. *Αἴνειος δ.*] de urbe v. Steph. Byzant. s. v. et Heynium in Exc. I ad Verg. Aen. III. Similis est *Ἀναγυράσιος δαίμων*: Diog. III, 31.

19. DV II, 38.

20. DV II, 45.

21. Greg. Cypr. L I, 88.

22. App. Provv. I, 94. Respexit Aristophanes Athen. IV, 173 D: *ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν Φοῖβε μαχαίρας*.

23. Corn. Nep. Thrasyb. 2, 3: *nec sine causa dici: Matrem timidi flere non solere*, quae, ni fallor, ex Theopompo sunt derivata: v. Lieberkuehnius de auct. vitarum, quae sub Corn. Nep. nomine feruntur 148.

24. Apost. V, 94: Georg. Lecapen. p. 58 Matth.: Diogen. IV, 26.

25. DV II, 43.

26 *Δειλότερος εἶ αὐτῆς τῆς δειλίας*: ἐπὶ τῶν σφόδρα δειλῶν.

27 *Δειλὸν ὁ Πλοῦτος*: παρόσον οἱ πλούσιοι τὰς οἰκίας ἀσφαλίζονται καὶ κύνας τρέφουσιν.

28 *Δεινὰ τὰ δεινά*: ἐπὶ τῶν σφόδρα χαλεπῶν. τὸ δὲ τέλειον, *Δεινὰ τὰ δεινὰ καὶ δεινότερα Δεινίου*.

29 *Δῆλόν ἐστι καὶ τυφλῷ*: ἐπὶ τῶν προφανῶν.

30 *Δικαιότερος σταχάνης*: ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· σταχάνη γάρ ἐστιν ἡ τρυτάνη.

---

6. τῶν Δεινίου C: Suidas s. *Δεινίας*: ὄνομα κύριον. 8. δικαιότερον Suidas.

26. Apost. V, 93a.

27. DV II, 33.

28. Suid. s. *ἔσχατα ἐσχάτων κακὰ διαπέπρακται*: ὁμοία ἐστὶ τῇ *Δεινότερα Δεινίου*, καὶ *Κύντερα Κύντωνος*. ἡ παροιμία ἐπὶ τῶν ἄκρων κακῶν: C in nott. critt. ad Zenob. III, 9. Apost. VII, 99 ibiq. annott. Similiter Plutarchus dixit adv. Stoic. 42, p. 1082 B: τὸ δὲ δεινῶν, φασί, δεινότατον. εἰ τῷ ζῶντι κτλ.: neque abludunt Sophoclea Antig. 332: πολλὰ τὰ δεινὰ κοὐδὲν ἀνθρώπου δεινότερον πέλει; Dionys. Hal. Arch. VII, 43: δεινὰ καὶ πέρα δεινῶν πεπονθότες.

29. Scholl. ad Plat. Sophist. p. 371 Bekk.: καὶ τυφλῷ δῆλον, ἐπὶ τῶν ἄγαν σαφεστάτων. μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι [T. IV, p. 103] καὶ Ῥαπιζομένῃ [T. IV, p. 200 Mein.] καὶ Ἀριστοφάνης Πλούτῳ [vs. 48]: ad quem locum, uti refert Boissonadus ad Theophyl. Simoc. Opusc. 189, in margine codicis 2720 additum est: τὰ γὰρ τοῖς τυφλοῖς δῆλα τοῖς βλέπουσι σαφέστατα σφόδρα: Scholl. ad Arist. Plut. l. c.: παροιμία δ' ἐστί, *τυφλῷ δῆλα τὰ μαρτύρια*: Eustath. ad Hom. Od. Θ, 195, p. 1591, 45: τὸ δὲ ὑπεραιτιασθῆναι τὰ τῶν ἄλλων σήματα τὸν τοῦ Ὀδυσσέως δίσκον, μετ' ὀλίγα διασαφεῖ ὁ ποιητὴς εἰπών· *Καί κεν ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα ἀμφαφόων*· ἤγουν διερευνώμενος ἁφῇ· φιλοκρινῶν· περιβλεπόμενος. δι' οὗ παροιμίαν παραφράζει τὴν λέγουσαν ὡς *καὶ τυφλῷ δῆλον*. Usurpant Arist. Plut. l. c., Plat. Soph. 241 F, Reip. V, 465 C, VIII, 550 D: Antigonus rex apud Plutarch. Sympos. II, 1, 9, p. 633 C: καὶ γὰρ Ἀντίγονος αὐτὸς μὲν ἑαυτὸν εἰς τὸν ὀφθαλμὸν ἔσκωπτε· καί ποτε λαβὼν ἀξίωμα μεγάλοις γράμμασι γεγραμμένον· Ταυτὶ μέν, ἔφη, καὶ τυφλῷ δῆλα: Philippus rex apud Polyb. XVII, 4, 4: ὁ δὲ Φίλιππος καίπερ ἐν κακοῖς ὢν ὅμως οὐκ ἀπέσχετο τοῦ καθ' αὐτὸν ἰδιώματος, ἀλλ' ἐπιστραφείς, τοῦτο μέν, ἔφησεν, ὦ Φαινέα, καὶ τυφλῷ δῆλον, quae Liv. XXXII, 34 sic reddidit: *violenter, Phaeneas interfatus, Non in verbis rem verti, ait: aut bello vincendum aut melioribus parendum esse.* *Apparet id quidem*, *inquit Philippus*, *etiam caeco*; *iocatus in valetudinem oculorum Phaeneae*: Iuncus Stobaei Floril. 116, 49: ἀλλ' οὐ γὰρ νεότητα βουλόμενος μακαρίσαι τούσδε τοὺς λόγους ἐποιησάμην· δῆλα γάρ ἐστιν οἶμαι καὶ τυφλῷ τὰ συνόντα αὐτῇ καλά τε καὶ ἀγαθά: Plutarch. num suav. vivi poss. sec. Epicurum 17, p. 1098 F: ὁ γὰρ οὕτω διατεθεὶς ἐπίμονος, ὥστε καὶ χαίρειν καὶ γάννυσθαι καὶ ποθεῖν ἅψασθαι καὶ προσαγορεῦσαι, δῆλός ἐστι καὶ τυφλῷ μεγάλας ἔχων ἐν ἑαυτῷ καὶ καρπούμενος ἡδονάς: Dio Cass. LXI, 5: τυφλῷ δὲ δῆλον, ὅτι ἐκ τοῦ πλήθους τῶν δαπανωμένων ταχὺ μὲν τοὺς θησαυροὺς ἐξήντλησε, ταχὺ δὲ κτλ.: Quint. I. Orat. XII, 7, 9: *caecis hoc, ut aiunt, satis clarum est*: add. Plut. Bois. 27 ibiq. nott., Macar. IV, 91.

30. DV II, 39.

31 *Δὶς παῖδες οἱ γέροντες:* ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων εἶναι δοκούντων.

32 *Δεωλύγιον κακόν:* ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων.

33 *Δι' ἀχύρου καὶ θύμου καὶ τρυτάνης:* ἐπὶ τῶν φειδωλῶν καὶ γλίσχρων.

34 *Διὰ κενῆς:* λείπει κώπης: οἱ δὲ νευρᾶς τόξου.

35 *Δουλότερος Μεσσήνης:* ἐπὶ τῶν ἐσχάτῃ καὶ πικρᾷ δουλείᾳ ἐνεχομένων. Λακεδαιμόνιοι γὰρ τοῖς Μεσσηνίοις ὡς δούλοις χρώμενοι καὶ ἐμαστίγουν καὶ τῶν ἄλλων πόλεων ὡς ἰδίους ὄντας δούλους ἀπῆγον.

36 *Δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα:* αὕτη τῶν περιφερομένων.

37 *Δοίδυκος σκιά:* ἐπὶ τοῦ μηδενός.

38 *Δόρυ κηρυκείου μᾶλλον δάκνει:* ἐπὶ τῶν αὐστηρότερον προσιόντων τοῖς μὴ διὰ πειθοῦς εἴκουσιν.

---

1. πρὸς τῷ γήρα S: ego Suidan secutus sum. 7. Suidas: *διακενῆς* ἄνευ τινὸς προφάσεως. 12. καὶ ἄδικα S. 14. τῶν μηδενός C. 15. δορὺ καὶ κηρύκιον Zenobius.

31. DV II, 31.

32. Greg. Cypr. L I, 92.

33. Thymum herba est vilis, qua soli pauperes vesci solebant: Scholl. ad Arist. Plut. 253. Theophr. Charact. IV, 1 ibiq. v. Astium: addo Antiphanem apud Athen. II, 60 C: οὐδεὶς κρέως παρόντος ἐσθίει θύμον, Οὐδ' οἱ δοκοῦντες πυθαγορίζειν: id. ibid. B: τὸ δεῖπνόν ἐστι μᾶζα κεχαρακωμένη Ἀχύροις, πρὸς εὐτέλειαν ἐξωπλισμένη.

34. Hesych. s. διὰ κενῆς: ματαίως: Zonar. 535. Suidas. Dictio saepe apud comicos invenitur: v. Alexis Athen. IV, 170 B, Timocles ibid. VIII, 339 E, Menander Stob. Flor. LXII, 10: ex aliis affero Aristid. ὑ. τ. τεττ. p. 175 Bind.: λαλιᾶς μὲν οἶμαι διὰ κενῆς ληρεῖν καὶ εἰς μηδὲν δέον καὶ διατρίβειν τηνάλλως: Arrian. Stob. Flor. LXXX, 14: οὐχὶ δὲ διὰ κενῆς πράγματα ἔχειν φατέον τοὺς ταῦτα ὡς ἀναγκαῖα τῷ τοῦ φιλοσόφου λόγῳ προσνέμοντας: Greg. Nazianz. Epist. 29 (18): οὐ γὰρ εἰκῇ ταῦτα φιλοσοφῶ οὐδὲ διὰ κενῆς καλλωπίζομαι. Singulari modo Aristophanes dixit Vesp. 929: ἵνα μὴ κεκλάγγω διὰ κενῆς ἄλλως ἐγώ, de quo v. Fritzschius ad Arist. Thesmoph. 830: add. Plato Athen. X, 442 A, vs. 20: εἰ δὲ μή, μάτην ἔξεστιν ὑμῖν διὰ κενῆς κινητιᾶν, nisi obsceni quid hic latet. Denique κατὰ κενοῦ παίειν dixit Clemens Homil. 18: v. Cotelleri PP. Apost. T. I, p. 745.

35. C in nott. ad Zenob. III, 39. Mant. Provv. s. δουλότερος. De re v. Tyrtaeus apud Paus. IV, 14, 3 coll. C. O. Muellero Dor. II, 48. Usurpavit Liban. Oratt. T. II, p. 70 R.: γίνεται δὴ κατὰ τὴν παροιμίαν ἀνὴρ ἐρῶν Μεσσηνίων δουλότερος, φίλους μὲν καὶ γονέας καὶ τὸν παρ' ἀνθρώπων ψόγον ὕθλον ἡγούμενος κτλ.

36. Append. Provv. I, 100.

37. Apost. VI, 33a: App. Provv. I, 99.

38. Cf. Zenob. III, 26. In mente habuit Eubulus comicus, ex quo affertur in Phot. Lex. 593: τὸ κηρύκειον ἢ τὴν μάχαιραν: λεγόμενόν τι. Quamquam de Eubulo res dubia est: v. Meinekius Com. Gr. Fr. T. III, p. 271 sq.

39 *Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται:* ἐπὶ τῶν ῥαδίως λαμβανόντων ἃ πρότερον μόλις ἠδύναντο.

40 *Δρυὸς καὶ πέτρας λόγοι:* ἐπὶ τῶν ἀδολεσχούντων καὶ μυθολογούντων παράδοξα.

---

1. *παρούσης* Schol. Theocr. V, 65.

39. Apost. VI. 36: App. Provv. II, 1. Expressit Publius Syrus 52: *arbore deiecta ligna quivis colligit.* Receptum est etiam in Menand. Monost. 123.

40. Scholl. ad Plat. Remp. 414 Bekk.: *τὸ ἐν τῇ τ' τῆς Ὀδυσσείας* [vs. 163] *ὑπὸ Πηνελόπης ῥηθὲν Ὀδυσσεῖ ἀναγνωριζομένῳ αὐτῇ ἐνταῦθα ἐπὶ τῶν πολιτειῶν παρῳδεῖται. ἔστι δὲ τό· Οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης. οἱ γὰρ παλαιοὶ ἐκ δρυῶν καὶ πετρῶν τοὺς πρὸ αὐτῶν γεννηθῆναι ὑπελάμβανον, διὰ τὸ τὰς τικτούσας εἰς στελέχη καὶ σπήλαια τὰ βρέφη ἐκτιθέναι, ἐπεὶ καὶ τὰς μίξεις κατὰ τὰς ἐρημίας ἐποιοῦντο οἱ πάλαι ἄνθρωποι, δρυῶν ἢ πετρῶν πλησίον*: hanc explicationem, quae eisdem fere verbis in Scholl. Ven. ad Hom. Il. *X*, 126 legitur, e Didymi Commentariis ductam esse Scholia vulgaria ad Hom. Il. l. c. docent, ubi in fine additum: *ἡ ἱστορία παρὰ Διδύμῳ.* Eidemque prolixae locorum Homericorum interpretationes superstructae sunt, quae in Eustathio reperiuntur: ad Il. *X*, 1262, 7: *ὁ δὲ νοῦς τοῦ λόγου τοιοῦτος· οὐκ ἔστιν ἀποίκιλος ὁ Ἀχιλλεύς, ἀλλ' ... ἀρτιεπὴς καὶ ἐπίκλοπος μύθων. οὔκουν ἁπλοῦς τὸ ἦθός ἐστι καὶ ἀρχαϊκὸς καὶ εὐήθης, ὁποῖοι πάλαι ποτ' ἦσαν ἐκεῖνοι, οὓς λόγος ἔχει ἀπὸ δρυὸς καὶ ἀπὸ πέτρας γίνεσθαι, ὅτε δηλαδὴ νομάδα βίον εἷλκον οἱ ἄνθρωποι καὶ ὠρεινόμουν καὶ δρυῶν καὶ λίθων κοιλότησιν ἐπίστευον τὰ νεογνὰ ἐκτιθέμενοι διὰ πενίαν τὰ φίλτατα·* [de hac antiquissimorum hominum vita v. Scholia ad Anth. Pal. IX, 312 et Iacobsius Annott. II, 1, 205] ... *οὕτω μὲν ἡ περὶ δρυὸς καὶ πέτρης παροιμία καθίσταται. εἰ δέ τις τό, ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης, ἐπὶ σκληρότητος ἤθους λάβοι ποτέ, ὅπερ ἐνταῦθα οὐδ' ὅλως συμβιβάζεται, ὁ τοιοῦτος παραχρᾶται τῇ Ὁμηρικῇ παροιμίᾳ καὶ εἰς ἄλλο τι μεθέλκει τὸν νοῦν ... σολοικίζων οὕτω κατὰ τοὺς παλαιοὺς τῷ νοήματι, καὶ γὰρ καὶ τοιοῦτοί τινες ἐλέγοντο σολοικισμοί, καθάπερ καὶ τὸ Ἵππος εἰς πεδίον ἀντὶ τοῦ εἰς πεδιάδα οἱ ἱππέται χρήσιμοι* [Apost. IX, 13], *ἐάν τις καὶ ἐπὶ ἑνὸς ἵππου νοήσῃ, ἐξεφαυλίζετο παρὰ τοῖς σοφοῖς· ... ἀλλ' οὕτω μὲν ὡς ἐῤῥέθη οὐκ ἔστι λαμβάνεσθαι νῦν εἰς σκληρότητα ἤθους τὴν .. παροιμίαν... ἄλλως μέντοι παραποιῆσαι ποτὲ τὸν νοῦν αὐτῆς, ὡς ἐπὶ σκληρότητος νοηθῆναι οὐχ ὑποδύσκολον, ἐπεὶ καὶ αὐτὸς ὁ ποιητὴς .. εἰπὼν τὸ* [Od. *T*, 163]· *Οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης, ἑτέρως ἐκεῖ χρῆται τῇ παροιμίᾳ· ... βούλεται γὰρ ἐκεῖ νοεῖν, ὅτι δεῖ δὲ εἰπεῖν τὸ σὸν γένος· οὐ γὰρ πάντως ἀγενεαλόγητος εἶ... Καὶ ὅρα ἐν τῷ λόγῳ τούτῳ, ὡς αἱ παροιμίαι πρὸς διαφόρους ἐννοίας ἀμέμπτως ἔστιν ὅτε στρέφονται, ὡς καὶ ἐπὶ τῆς Καδμείας νίκης* [Greg. Cypr. L II, 45] *γίνεται*: idem ad Odyss. l. c. 1859, 19: *καὶ νῦν δὲ εἰς τοσοῦτον ῥητέον, ὅτι τε παροιμιώδης ὁ λόγος καὶ ὅτι καταφατικῶς μὲν ἀπὸ δρυὸς ... εἶναί τις λέγεται, ὅτε οὐκ ἔστι γένος αὐτοῦ εἰπεῖν. ἀποφατικῶς δέ φαμεν ὡς οὐκ ἔστι τις ἀπὸ .. πέτρης, ὅτε οὐκ ἂν ἔχοι σιγῆσαι πόθεν ἐστίν· .. εἴληπται δὲ ἡ παροιμία ἐκ τοῦ παλαιοῦ βίου, ... νοῆσαι δὲ τὸ παροιμιῶδες τοῦτο ἐνταῦθα ἐπὶ ἀγριότητος οὐχ Ὁμηρικόν ἐστι· παραχρησάμενος δ' ἄν τις εὐφυῶς ποτὲ εἴποι ἂν αὐτὸ καὶ ἐπὶ ἀγρίου ἤθους, ἵνα τὸν μὲν τοιοῦτον ἐρεῖ ἀπὸ δρυὸς εἶναι ἢ ἀπὸ πέτρης, τουτέστι ξύλινον ἢ πέτρινον· .... Εἰς δὲ τὸ ἀπὸ δρυὸς εἶναι προσενθυμητέον ἐκ τῶν*

41 *Δυσριγότερος χελώνης:* ἐπὶ τῶν εἰς ὁτιοῦν γλισχρευομένων.

42 *Δωδωναῖον χαλκεῖον:* ἐπὶ τῶν ἀδολέσχων καὶ φλυαρῶν.

43 *Δῶρα καὶ θεοὺς πείθει:* Ἡσιόδου εἶναι φασίν.

TO E.

44 *Ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς:* παραπλησία τῇ· *Ἁλιεὺς πληγεὶς νοῦν φύσει.*

---

1. δυςριγώτερος S. 8. φύσεις Scholiasta, οἴσει Zenobius.

παλαιῶν καὶ τὸν ὥς φασιν ἐκεῖνοι βαλανίτην βίον, ὃς ὕστερον ἐξ ἐπιμελείας καὶ εὑρέσεως ἀλετοῦ ἐξήνεγκε παροιμίαν τὴν, ἀληλεσμένον βίον ζῇ, ἐξ ἀγρίου καὶ ἀκανθώδους τοῦ πρότερον [cf. sup. I, 83]· ὃν δηλοῖ τό· Οὐ γὰρ ἄκανθαι [v. annott. ad Greg. Cypr. M I, 21], ὑπομιμνήσκον τὴν τοῦ παλαιοῦ βίου μεταβολήν. ἐνθεῦτεν δὲ καὶ τό, Ἅλις δρυός [Greg. Cypr. L I, 39], ἐπὶ τῶν δυσχερῶς, φασί, καὶ ἀηδῶς ἐσθιόντων, ὕστερον δὲ κάλλιόν τι εὑρόντων. τῷ δὲ, οὐ γὰρ ἄκανθαι σύνδρομον καὶ τό, Μεῖξ οὐ πνίξ [cf. Mac. V, 83], ὡς καὶ ἀλλαχοῦ ἐγράφη. τὸ δέ γε, Ἄλλην δρῦν βαλάνιζε [Greg. Cypr. L I, 5], ἄλλως ἐναλλαγὴν βίου δηλοῖ, οὐ μὴν τὴν ἐκ πάντη ἀγρίου εἰς ἥμερον. ἔτι προςενθυμητέον καὶ ὅτι καθὰ τῷ, ἀπὸ δρυὸς ἢ πέτρης εἶναί τινα, ἔστι παραχρήσασθαι παροιμιακῶς ἐπὶ ἀγριότητι, οὕτω καὶ τῷ ἀπὸ τῆς ἅλμης [Greg. Cypr. M I, 25] λόγῳ, καθ᾽ ὃν ἐκ μὲν τῆς πικρᾶς ἀκράχολός τις ἄνθρωπος Ἁλμίων [cf. nott. ad Zenob. I, 63] ἐσκώφθη, ἐκ δὲ τῆς νοστίμου ἅλμην ἔχειν λέγεται ὁ ἡδὺς ἄνθρωπος: Tzetz. Chil. hist. 286. Ab his plane recedit Scholl. ad Hes. Theog. 35, qui versum: ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην explicans scribit: παροιμία ὅταν τις καιροῦ τινος αὐτὸν κατεπείγοντος περὶ ἄλλων λέγειν, ὁ δὲ ταῦτα ἀφεὶς ἄλλοις χρῆται: sed neque hic neque Eustathius Goettlingio satisfecit, qui ad Hes. Theog. l. c. novam explicationis viam instituit, quam vide apud ipsum. Denique singulari modo Lennepius ad Theog. l. c. interpretatus est proverbium: ita garrire, ut rure amantes solent iuxta umbrosam rupem vel quercum, afferens Theocr. Id. III, 8. Ovid. Heroid. V, 13. Porphyr. V. Plotini c. 22. Proverbium saepe respexit Plato: v. Apol. 34 D. Phaedr. 275 C ibique Astius, Plat. Reip. VIII, 544 D: add. Lucil. in Anth. Palat. XI, 253, 1: ἐκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν, Ἀρίστων, Ἢ ποίων σε μύλων κόψατο λατομιῶν; Ἦ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου ἢ ἀπὸ πέτρης Ὀρχηστής, Νιόβης ἔμπνοον ἀρχέτυπον: Palladas ib. X, 55, 1: alia intt. ad Iuven. Sat. VI, 12. Ungerus Parad. Theban. I, p. 446 dabunt.

41. *Aspera* dicta est testudo a Pacuvio Cicer. Divinat. II, 64, 133: κραταίρινος in oraculo apud Herod. I, 47: alia Vigerus ad Euseb. Praep. Evang. V, p. 212 A attulit.

42. Greg. Cypr. M II, 81.

43. Greg. Cypr. M II, 83.

44. Scholl. Plat. 378 Bekk.: ἐλέχθη δὲ ἐπὶ Τίμωνος τοῦ μισανθρώπου, μηκέτι προςιεμένου τοὺς κόλακας: cf. nott. ad Apost. XIII, 87. Synes. Oratt. 48 A Petav.: Ἀριστοτέλης ἀξιοῖ τοὺς τετελεσμένους οὐ μαθεῖν τι δεῖν ἀλλὰ παθεῖν καὶ διατεθῆναι γενομένους δηλονότι ἐπιτηδείους, quo de Lobeckius dixit Aglaoph. I, 144 sq. Ἁλιεὺς κτλ.] DV I, 61.

45 *Ἐγένετο καὶ Μάνδρωνι συκίνη ναῦς:* ἐπὶ τῶν παρ' ἐλπίδα καὶ ἀναξίως εὐπραγησάντων.

46 *Ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον:* ἐπὶ τῶν ὀρθῶς πάντα ποιούντων· ἦν γὰρ ὁ Νικόστρατος ὑποκριτὴς τραγικὸς ἄριστος.

47 *Ἐγγύα, πάρα δ' ἄτα:* ἐπὶ τῶν ῥαδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττόντων.

48 *Εἰ ἐγὼ ταῦτα ἐποίουν, ὅσος ἂν ἦν θόρυβος:* λύκος ἰδὼν ὑπὸ ποιμένος πρόβατον ἐσθιώμενον τοῦτο εἴρηκεν.

49 *Εἰπὼν ἃ θέλεις ἄκουε καὶ ἃ μὴ θέλεις:* δήλη.

50 *Εἰκῇ τὸν Ἄβυδον πατεῖς:* ἐπὶ τῶν μάτην τι φυλαττόντων. παρόσον ἐκεῖ αἱ γυναῖκες πρὸς τὴν τῶν ἀνδρῶν ὁμιλίαν καταφυλαττόμεναι οὐ ῥαδίως ἐξάγονται.

51 *Εἰς ἀρχαίας φάτνας:* ἐπὶ τῶν εἰς τὴν ἀρχαίαν ἐπανελθόντων δίαιταν.

52 *Εἷς ἀνὴρ οὐδεὶς ἀνήρ:* παρόσον ὑφ' ἑνὸς οὐδὲν κατορθοῦται.

53 *Εἰς πάγας ὁ λύκος:* ἐπὶ τῶν εἰς κίνδυνον πρόυπτον ἡκόντων.

---

1. ναῦς] *νηῦς* Meinekius emendat, de qua forma dixit ad Moschum II, 104. 2. *καὶ παρ' ἀξίαν εὐτυχησάντων, εἶτα θρυπτομένων ἐπὶ τοῖς παροῦσιν* Suidas: v. Apostolium. 4. *κωμῳδίας ἦν ὑποκριτὴς* Suidas: male: v. Meinekius Com. Grr. Fragm. I, p. 347. 8. Scholl. Plat.: *Λύκου ῥήματα* [cf. Macar. V, 73]: *ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. ἰδὼν γὰρ λύκος ποιμένα ἐαθίοντα προβάτεια εἶπεν Ἥλικος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτ' ἐποίουν*: Suid. s. *καὶ τὸ τοῦ λύκου: φασὶ λύκον ἰδόντα τὸν ποιμένα ἢ καὶ κύνα τῶν ποιμενικῶν προβάτων ἐσθίοντα εἰπεῖν, ἐγὼ τοῦτο εἰ ἐποίουν, πόση κραυγὴ ἐγίγνετο ἄν;* 11. *ἀντάκουε* C. 12. *εἰκεῖ* S. *τὴν Ἄβυδον* Stephanus Byzantius, alii: *τὸν* cum nostro BV, Grammaticus Bekkeri Anecd. I, 322, 32 servant, unde patet *Ἄβυδος* non secus ac *Κόρινθος*, *Ὀρχομενός*, *Πύλος*, *Σηστός* etiam masculini generis fuisse. Eadem libertas data est Latinis: v. Orellius Inscr. Latt. I, n. 563. Vossius Aristarch. I, 314 Hal. 16. *ἐξ εὐδαιμονίας* in fine C addit. 19. Suidas: *ἐπὶ τῶν πονηρῶν, ὅταν εἰς πρόυπτον ἐμπέσωσι κίνδυνον.*

45. Apost. VI, 45: Zenob. III, 44. »Mandro fortasse non diversus est ab archipirata isto a Polyaeno IV, 19 et Frontino III, 3, 7 commemorato.« Meinekius de Choliamb. p. 176. De sensu v. *σύκινος* v. Macar. VII, 82.
46. Append. Provv. II, 9[a].
47. Greg. Cypr. L II, 18.
48. Scholl. Plat. 318 Bekk. Anton. Sent. 67, p. 114 Fabr. Suidas: App. Provv. III, 77. Est fabulae Aesopiae fragmentum, de quo cf. Wyttenbachius ad Plutarchi Conv. Sept. Sap. 13.
49. App. Provv. II, 17.
50. C in nott. ad Diog. VI, 53: cf. Apost. XII, 53.
51. DV II, 53.
52. DV II, 52. 53. DV II, 55.

54 *Εἰσὶ καὶ κυνῶν Ἐριννύες: παρεγγυᾷ ὁ λόγος, μηδὲ κυνῶν ἀμελεῖν.*

55 *Εἰς ὕδωρ σπείρειν: ἐπὶ τῶν μάτην πονούντων.*

56 *Εἰς ὄνου πόκας: πρὸς τοὺς εἰς τὰ ἀδύνατα ἀναβαλλομένους.*

57 *Εἰς τὸν τετρημένον πίθον: ἐπὶ τῶν μάτην ἀναλισκόντων.*

58 *Εἴη μοι τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος: ἐπὶ τῶν τὰ κάλλιστα ἑαυτοῖς εὐχομένων.*

59 *Εἰς αἶγας ἀγρίας: ἐπὶ τῶν τὰ κακὰ ἀποτροπιαζομένων.*

60 *Εἰς οὐρανὸν τοξεύει: ἐπὶ τῶν διακενῆς πονούντων.*

61 *Εἰς πῦρ ξαίνεις: ἐπὶ τῶν μάτην κακοπαθούντων.*

62 *Εἰς τὸ δέον ἀπώλεσε: λείπει ὡς Περικλῆς. ἐκεῖνος γὰρ ἐν λογισμοῖς κατεχρῆτο τῇ εἰς τὸ δέον προφάσει.*

63 *Εἰς Τροφωνίου μεμάντευται: ἐπὶ τῶν ἀγελάστων.*

---

2. *μηδὲ κτλ.*] *μηδὲ τῶν μικρῶν καταφρονεῖν* C. 8. *τὸ*] *τὰ* Ds. 12. *ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων μάτην ἢ λεγόντων* Suidas. 13. Tres proverbii formae a Suida s. *εἰς δέον* et s. *εἰς τὸ δέον* memorantur, *εἰς δέον*, *εἰς τὸ δέον* et *ἐς τὸ δέον*: quarta ab Macario, quinta ab Apostolio affertur. Rem exponit ex Scholl. ad Arist. Nub. 857 Suidas s. *δέον*, cuius verba appono: *Περικλῆς Ἀθηναίων στρατηγός, λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων Κλεάνδρῳ τῷ ἁρμοστῇ Λακεδαιμονίων ἐπὶ προδοσίᾳ, τοῦτο οὐκ ἐδήλου. ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι αὐτά. οἱ δὲ ἄλλως φασί· πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδοὺς πεντήκοντα ταλάντων, ἁπλῶς εἰπεῖν, εἰς τὸ δέον ἀνηλωκέναι· μετὰ δὲ ταῦτα μαθόντες Λακεδαιμόνιοι Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ πέντε ταλάντοις* [*ιε' ταλάντοις* Schol. Aristoph.] *ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς καὶ τὸν Περικλέα, ἵνα μὴ γυμνῶς εἴπῃ, ὅτι δέδωκε τοῖς Λακεδαιμονίων βασιλεῦσι ταῦτα, οὕτως αἰνίξασθαι*: v. Plut. Pericl. 22.

54. Append. Provv. II, 20.

55. DV II, 59.

56. Append. Provv. II, 29.

57. Apost. VI, 79: Suid. s. *εἰς τὸν τετρημένον: λείπει, πίθον ἀντλεῖν· τάσσεται δὲ ἐπὶ τῶν εἰς κενὸν πονούντων. καὶ γὰρ μυθεύουσιν ἐν ᾅδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν*: cf. ann. ad Mac. III, 16. Usurpat Xenoph. Oecon. 7, 40: *οὐχ ὁρᾷς, ἔφην ἐγώ, οἱ εἰς τὸν τετρημένον πίθον ἀντλεῖν λεγόμενοι ὡς οἰκτείρονται, ὅτι μάτην πονεῖν δοκοῦσι*: add. Stob. App. Flor. IV, p. 30 Oxford.: *ἄνθρωπος ἐπιλήσμων εὐεργεσίας πίθος τετρημένος διαῤῥέων τὰς χάριτας*, et v. Wesselingius ad Diod. I, 96.

58. DV II, 60.

59. Adhibuit Aelian. Epist. Rust. 17, p. 421 Cuiac.: *εἰς αἶγας ἀγρίας τραπείη ταῦτα καὶ εἰς τοὺς ἐν δικαστηρίοις ῥήτορας*: cf. Eustath. in ann. ad Zenob. III, 87 et Apost. IX, 61.

60. DV II, 61.

61. DV II, 61.

62. Apost. VI, 74: Zenob. III, 91. Respexit Aristid. *ὑ. τ. τεττ.* II, 311 Iebb.: *Θεμιστοκλῆς οὐ μόνον τὰς τριήρεις τοῖς Ἀθηναίοις ἐξεῦρεν οὐδ' ... ὑπὲρ τῶν κοινῶν δικαίων καὶ εἰς τὸ δέον πᾶσι τοῖς Ἕλλησιν ἐχρήσατο αὐταῖς, ἀλλὰ κτλ.*

63. DV II, 50.

64 *Εἰς μακάρων νήσους:* ἐπὶ τῶν εἰς εὐδαίμονά τινα τόπον ἀποστελλομένων.

65 *Ἐκ τῆς πληρεστάτης εἰς τὴν κενοτέραν:* ὅτι χρὴ μεταλαγχάνειν τοὺς οὐκ ἔχοντας παρὰ τῶν ἐχόντων.

66 *Ἐκ τοῦ γεύματος γινώσκω:* ὁμοία τῇ· *Ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα.*

67 *Ἐκτὸς πηλοῦ πόδα ἔχεις:* ἐπὶ τῶν ἔξω κινδύνου καθεστηκότων.

68 *Ἐκ τῶν Διὸς δέλτων ὁ μάρτυς:* ἐπὶ τῶν τἀληθῆ μαρτυρούντων.

69 *Ἐκ τοῦ βοὸς ἡ μάστιξ:* λείπει· καὶ βοῦν δέρει.

70 *Ἐκ λύκου στόματος:* ἐπὶ τῶν ἐξ ἀνελπίστου τι λαμβανόντων.

71 *Ἐκ κοινοῦ πλείστη μὲν χάρις, δαπάνη δ' ὀλιγίστη.*

72 *Ἐκ τοῦ εἰςορᾶν γίνετ' ἀνθρώποις ἐρᾶν.*

---

14. μὲν] δὲ Hesiodus. δ'] τ' C. 16. Scribe ἐκ τοῦ γὰρ ἐςορᾶν γίγνετ' κτλ.

64. Macar. V, 81.

65. Append. Provv. II, 48.

66. Apost. VI, 90. 91: Diog. V, 15. Prius respexit Lucian. Hermot. §. 60: πῶς οὖν οἷόντε σοι ἦν, ἀπὸ τοῦ πρώτου γεύματος εἰδέναι τὰ πάντα: add. ibid. 58. 62. Alterum usurpat Ephraim de miraculo S. Clementis 4 in Cotell. PP. Apost. T. I, p. 812: .. θαυματουργιῶν, ὧν νοῦς μὲν τὸ μέγεθος ἐννοῆσαι ἀτονεῖ, λόγος δὲ τὸ πλῆθος εἰπεῖν καὶ χεὶρ διαχαράξαι τὸ ἄπειρον. ἵνα οὖν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα κατὰ τὴν παροιμίαν γνοίητε ἐν ὑμῖν, ὃ καὶ ὑπεσχόμην διηγήσομαι: Gregor. Nyssen. de vita Greg. Thaumat. Opp. T. II, p. 987 A ed. Morell.: ὡς ἂν κατὰ τὴν παροιμίαν ὅλον ἡμῖν γένηται καταφανὲς ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα.

67. DV II, 62.

68. Proverbio utitur Lucian. de Merc. Cond. §. 12, quem locum Arsenius in Violetum recepit: v. Apost. VI, 67e. Tetigit Valckenarius Diatr. Eurip. 185 Lugd.: add. ann. ad Diogen. III, 2. VII, 29. Erasm. I, 8, 24: »allusum est ni fallor ad diphtheram, in qua Iupiter omnia mortalium acta describere fingitur a poetis«.

69. Append. Provv. II, 49. Ex apologo natum: v. Apost. VII, 51b. Profecit ex eo Plut. non posse suav. vivi sec. Epic. 6, p. 1090 F: ἀρκεῖ γὰρ ἡ φύσις τῆς σαρκὸς, ὕλην ἔχουσα νόσων ἐν ἑαυτῇ, καὶ τοῦτο δὴ τὸ παιζόμενον, ἐκ τοῦ βοὸς τοὺς ἱμάντας λαμβάνουσα, τὰς ἀλγηδόνας ἐκ τοῦ σώματος. Sententiam similem Theognis 539 habet: οὗτος ἀνὴρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὐτῷ, Εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

70. Greg. Cypr. L II, 8.

71. App. Provv. II, 39.

72. Apost. VI, 89: Hesych. s. ὀμμάτειος πόθος: διὰ τοῦ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι. ἐκ τοῦ γὰρ ἐςορᾶν γίνεται ἀνθρώποις ἐρᾶν. καὶ ἐν Ἀχιλλέως ἐρασταῖς ὀμματοπάλογχα [VV. DD. de hac voce iudicia Elendtius Lex. Soph. II, 314. et Blomfieldus ad Aesch. Agam. 232 recensent.] φησίν: Diog. IV, 49. Hesychii loco ductus Sophocli versum in nott. ad Diog. l. c. adscripsi: n. Σοφοκλῆς enim cum fabulae ti-

73 *Ἕκτῃ ἡμέρα*: ἐπὶ τῶν ἀγαθῶν· ἐν ταύτῃ γὰρ οἱ θεοὶ τοὺς Γίγαντας ἐνίκησαν.

74 *Ἐλάφειος ἀνήρ*: ἐπὶ τοῦ δειλοῦ.

75 *Ἐλέφας μῦν οὐ διώκει*: ἐπὶ τῶν τὰ μικρὰ καὶ φαῦλα ὑπερορώντων.

76 *Ἐλεύθεραι αἶγες ἀρότρων*: ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων.

77 *Ἐμαυτῷ βαλανεύσω*: ἐπὶ τῶν ἑαυτοῖς διακονούντων.

78 *Ἓν ἀνθ' ἑνός*: ἐπὶ τῶν ποιούντων καλῶς ἀνθ' ὧν ἔπαθον.

79 *Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν.*

80 *Ἕνεκα ὄττης*: ὅ φασι νῦν οἰωνοῦ χάριν.

81 *Ἔνεστι κἂν μύρμηκι χολή*: ὅτι οὐδὲ τῶν μικρῶν δεῖ καταφρονεῖν.

82 *Ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι λόγοι.*

83 *Ἐγκαθιζόμενοι τρίποδι Μουσῶν*: ἐπὶ τῶν λόγους ἀσκούντων.

84 *Ἐν ἅλῳ δρασκάζεις*: τὸ δρασκάζεις ἀντὶ τοῦ κρύπτῃ. ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.

85 *Ἐν τοῖς ἐμαυτοῦ δικτύοις ἁλώσομαι*: ἐπὶ τῶν ὑπὸ τῶν ἰδίων πανουργιῶν ἁλισκομένων.

---

1. ἀγαθῶν ἡμερῶν C. 4. διώκει] οὐκ ἀλεγίζει Apost. VII, 8. 18. δρακάζεις bis S. 9. καλῶς] κακῶς C. 15. δειλοῖσι κἄνανδροι Zenobius.

tulo post v. ἱρῶν excidisse mihi persuaseram. Contradixit Meinekius Com. Graec. Fr. T. IV. p. 645 sq., comoediae potius hunc versum adscribendum esse censens.

73. Append. Provv. II, 46.

74. Greg. Cypr. L II, 11.

75. DV II, 66.

76. DV II, 68.

77. Greg. Cypr. M III, 5.

78. Append. Proverbb. II, 57.

79. DV II, 77.

80. Scholl. ad Plat. Legg. VII, p. 452 Bekk.: ὄτταν, φήμην, μαντείαν διὰ κληδόνος, καὶ ὀττεύεσθαι τὸ μαντεύεσθαι: Suid. s. ὄττα: φήμη, μαντεία, θεία κληδών, quocum Photius consentit: alia Ruhnkenius ad Tim. Lex. Plat. p. 197, Iacobsius ad Aelian. Nat. Anim. XVI, 16 de hac voce collegerunt. Κακὴν ὄτταν dixit Plat. Legg. VII, 800 C.

81. Greg. Cypr. M III, 8.

82. Zenob. III, 73.

83. Apost. VI, 45a. Fluxit e Plat. Legg. IV, p. 719 C: παλαιὸς μῦθος .. ἐστὶ .. ὅτι ποιητής, ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστὶν κτλ.

84. Greg. Cypr. L II, 16.

85. Fons dicti nobilissimum illud Aeschyleum est: τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς ἐμοῖς πτεροῖς, de quo vid. nott. ad Macar. VIII, 57: sententiam eandem expressam invenimus in Aesch. Choeph. 221: αὐτὸς κατ' αὐτοῦ τἄρα μηχανορῥαφῶ: Lucian. Piscat. §. 7: ὅς παρ' ἡμῶν τὰ τοξεύματα, ὡς φῄς, λαβὼν καθ' ἡμῶν ἐτόξευες ἕνα τοῦτον ὑποθέμενος τὸν σκοπόν, ἅπαντας ἡμᾶς ἀγορεύειν κακῶς: ei. Dial. Mort. VIII fin.: ὥστε σόφισμα κατὰ σαυτοῦ συντίθει-

86 *Ἐν κοινῷ κεῖται: ἐπὶ τῶν κοινὴν ψῆφον φερόντων.*

87 *Ἐν νυκτὶ λαμπρός, ἐν φάει δ' ἀνωφελής.*

88 *Ἐν τῷ σκάφει τῷδ' ἔνεστιν ἀγύρτης: λέγοιτ' ἂν ὅτι ἐν παντὶ πράγματι ἔνεστι καὶ συκοφαντικόν τι.*

89 *Ἐνδυμίωνος ὕπνος: ἐπὶ τῶν ἐπιπολὺ κοιμωμένων.*

90 *Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν: ἐπὶ τῶν ἐν τοῖς τελειοτέροις τὰ εἰςαγωγικὰ μανθανόντων.*

91 *Ἐν διχοστασίῃσι καὶ Ἀνδροκλέης πολεμαρχεῖ: ἐπὶ τῶν εὐτελῶν τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων.*

92 *Ἐν παντὶ μύθῳ καὶ τὸ Δαιδάλου μύσος: ἐπὶ τῶν ἐν τοῖς ἀλλοτρίοις κακοῖς καὶ τὰ οἰκεῖα διηγουμένων.*

---

1. Explicatio corrupta aut manca est. *Κοινὴ ψῆφος* quid sit patebit ex Aristid. T. II, p. 262 Dind.: *ἀλλὰ ταῦτα πάντα ἡ Θεμιστοκλέους, ὥς φησι Πλάτων, διακονία καὶ κολακεία, ὡς δ' ἡ κοινὴ ψῆφος τῶν Ἑλλήνων, σοφία καὶ πρόνοια διεκώλυσε.* 8. *ἐν δὲ διχοστασίῃ* Zenobius cum Suida, unde *ἐν δὲ διχοστασίῃσι* scribendum esse patet. 10. Suidae explicatio haec est: *Πασιφάην φασὶν ἐρασθεῖσαν ταύρου Δαίδαλον ἱκετεῦσαι ποιῆσαι ξυλίνην βοῦν καὶ κατασκευάσαντα αὐτὴν ἐνθεῖναι· ἣν ἐπιβαίνων ὡς βοῦν ὁ ταῦρος ἐγκύμονα ἐποίησεν. ἐξ ἧς ἐγεννήθη ὁ Μινώταυρος. Μίνως δὲ διά τινας αἰτίας ὀργιζόμενος τοῖς Ἀθηναίοις ἑπτὰ παρθένους καὶ ἴσους νέους ἐξ αὐτῶν ἐδασμολογεῖτο, οἳ παρεβάλλοντο τῷ θηρίῳ. εἰς Δαίδαλον οὖν ἀρχηγὸν τούτων τῶν κακῶν καὶ αἴτιον γενόμενον καὶ μυσαχθέντα ἐξηνέχθη ἡ παροιμία.* Fabulam Zenobius uberius exponit.

κας: add. Diogen. III, 18. IV, 66. Greg. Cypr. L II, 57. Macar. IV, 50. E Latinis appono Plaut. Amphit. I, 1, 170: *illic homo a me sibi malam rem arcessit iumento suo:* Terent. Adelph. V, 9, 1: *suo sibi gladio hunc iugulo*, ubi v. Westerhovium: Phorm. III, 2, 6: *metuo leonem, ne quid — G. suo capiti fuat:* Cic. or. pro Caec. 29, 82: *quid ad haec dicimus? aut tuo, quemadmodum dicitur, gladio, aut nostro defensio tua conficiatur necesse est:* ibid. 83: *hic est mucro defensionis tuae: in eum ipsum causa tua incurrat necesse est:* Liv. XXII, 16, 4: *nec Hannibalem fefellit, suis se artibus peti:* add. Wyttenbachius ad Plut. de sera num. vind. 548 B. Neque alienum est ab his e Plauto quod affert Servius ad Verg. Aen. VI, 205: *ipsa sibi avis mortem creat*, ubi recte v. *creat* in *cacat* mutavit Erasmus I, 1, 55: de visco enim cogitandum, quod quum non proveniat nisi semen in ventre avium maturatum earumque per alveum redditum sit, recte aves ipsae sibi mortem cacare dicuntur: v. Athen. IX, 394 E. Plin. N. H. XVI, 93, 247 ibiq. Harduinus.

86. *Κεῖται* dictum ut in proverbio: *θεῶν ἐν γούνασι κεῖται*, de quo v. Zenob. III, 64.

87. Apost. VII, 47ᵃ. Cf. Mac. II, 34. Max. Tyr. Diss. 40, 4, 265 R.: *οὐχ ὁρᾷς καὶ τὴν σελήνην, ἄστρον ἀμφίβιον πρὸς νύκτα καὶ ἡμέραν, ἐν μὲν νυκτὶ λαμπράν, μετὰ δὲ ἡλίου ἀμαυράν;*

88. De praestigiatoribus, qui *ἀγύρται* nominantur, v. Apost. I, 19a.

89. DV II, 48. Macar. VIII, 51.

90. DV II, 65.

91. Apost. VII, 16: Zenob. III, 77. Attigit Meinekius Com. Gr. IV, 698.

92. Zenob. IV, 6.

93 *Ἐξαιρῶ λόγου*: ἐπὶ τῶν διὰ τιμὴν ἐξαιρουμένων καὶ ἀτελείας τυγχανόντων.

94 *Ἐξ ἑνὸς πηλοῦ*: ἐπὶ τοῦ ὁμοίου καὶ παραπλησίου.

95 *Ἐξ ὄνυχος τὸν λέοντα*: ὁμοία τῇ· *Ἐκ τοῦ γεύματος ἡ πηγή*.

96 *Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον*: ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον ἀπατηθῇ.

97 *Ἐξ ἄμμου σχοινίον πλέκει*: ἐπὶ τῶν ἀδυνάτων.

98 *Ἑορτῆς κατόπιν ἡδύσματα φέρων*: ἐπὶ τῶν τινος ὑστεριζόντων.

99 *Ἐπαίνων σκιαί*: ἐπὶ τῶν μάτην ἐπαινουμένων.

---

1. ἐξαίρω S. 7. ἐξαπατηθῇ Suidas. 8. πλέκεις Gregorius. 9. φέρει C. 10. τινὸς C om.

93. Est Platonica dicendi formula: hinc ex Scholiis Platonicis a Macario explicationem huc translatam esse sponte apparet. E Platone huc pertinent Reip. VI, 492 E: *θεῖον μέντοι κατὰ τὴν παροιμίαν ἐξαιρῶμεν λόγου*, ubi vv. *κατὰ τὴν παροιμίαν* ad sola verba *ἐξαιρῶμεν λόγου* spectare locus noster docet: Sympos. 176 C *Σωκράτη δ᾽ ἐξαιρῶ λόγου*: Phaedr. 242 B: *Σιμμίαν Θηβαῖον ἐξαιρῶ λόγου*, ubi articulum *τοῦ* ob constantem Platonis usum recte cum codd. optt. Stallbaumius repudiavit. Formula saepe seriores utuntur modo addito modo omisso articulo: Aristid. *ὑπὲρ τ. τ.* 269, 3 Iebb.: *Πλάτωνα δὲ ἐξαιρῶ τοῦ λόγου· ἱκανὸς γὰρ καὶ ἀμφότερα*: id. *περὶ τοῦ παραφθ.* p. 393, 4: *Ὅμηρον δέ, εἰ βούλει, ποιητῶν ἐξαίρει λόγου*: Liban. Epist. 304 et 1522: *Σωκράτη γὰρ ἐξαιρῶ τοῦ λόγου*: id. Oratt. T. I, 379 R.: *Φοίνικα δ᾽ ἐξαιρῶ τοῦ λόγου*: Maxim. Tyr. Diss. X, 4: *Ἐπίκουρον δὲ ἐξελῶ λόγου καὶ ποιητικοῦ καὶ φιλοσόφου*: ibid. XXXIV, 2: *τρίχας δὲ καὶ ὄνυχας ἐξαιρῶ λόγου ὡς καὶ τῶν δένδρων τὰ φύλλα*. Cf. C. Fr. Hermannus Plat. Philos. I, 326.

94. Append. Provv. II, 60. Cohaeret sine dubio cum nostro quod affert Phot. Lex. s. *πηλὸς οὗτος*: *ἀντὶ τοῦ ἀναίσθητος εἰς ὑπερβολήν*.

95. Apost. VII, 57: Diog. V, 15. Anon. in Crameri Anecdd. Oxon. III, 215, 28: *ἐξ ὀνύχων μόνων εἰδέναι τὸν λέοντα*: add. Mich. Acumin. 79 Elliss. Aliter Max. Tyr. Diss. XXXIV, 2: *ἐκ γὰρ ὀνύχων, φασίν, ἐπὶ τὴν κεφαλὴν τὸ ἀλγεινὸν ἐν ἀκαρεῖ θεῖ*. *Ἐκ—πηγή*] alia forma proverbii a Macario III, 66 commemorati esse videtur.

96. Append. Provv. II, 71: DV III, 90.

97. Greg. Cypr. M III, 46.

98. C in nott. ad Diog. V, 73. Cf. Greg. Cypr. M III, 89.

99. Lucian. Harmon. §. 4: *πάντα ἐκεῖνα ὑπηνέμια ὀνείρατα, φασί, καὶ ἐπαίνων σκιαί*: v. Apost. XVII, 57a. Umbram rei Graeci nominant, quae talis non est, qualis esse debebat: hoc sensu *σκιὰν φίλου* Menander dixit, Plut. de frat. amore 3, p. 479 C: *ἄρτων σκιάς* Chaerephon apud Athen. VI, 246 A: Liban. Epist. 304: *ἀλλὰ τάγε τῶν ἄλλων σκιά*: id. Epist. 505 fin.: *ὡς οὐ κλέος εἰς ἡμᾶς ἀφῖχθαι λέγεις, σκιὰ λόγου μᾶλλόν ἐστιν ἢ λόγος*. Neque abludit plane quod ad Democritum a Plut. de educ. pueror. 14, p. 9 F et Diog. Laert. IX, 37 refertur: *λόγος γὰρ ἔργου σκιή*: de quo qui egerunt Bentleius Epist. Phalar. 104 et Mullachius ad Democr. Frr. p. 285 sq., Philonem neglexerunt de nom. mutat. T. I, 615 Mang.: *λόγος γὰρ ἔργου, φασί, σκιά, σκιᾶς*

100 *Ἐπὶ τἀλλότρια Παυσανίας*: ἐπὶ τῶν ἁρπαζόντων βίᾳ τὰ ἀλλότρια καὶ ληϊζομένων.

1 *Ἐπισκύθισον*: ἐπὶ τῶν ἀκράτῳ χρωμένων. οἱ γὰρ Σκύθαι ἀκρατοπόται.

2 *Ἐπ' αὐτὸν ἥκεις τὸν βατῆρα τῆς θύρας*: ἤτοι ἐπὶ τὴν ἀρχήν· ἢ ἐπὶ τὴν ἀλήθειαν.

3 *Ἐπὶ ῥιπὸς πλεῖν*: ἐπὶ τῶν εἰς κίνδυνον ἑαυτοὺς ἐμβεβληκότων.

4 *Ἐπὶ τέγει λήϊον*: ἐπὶ τῶν ἀνωφελῶν.

5 *Ἐπιδαύριος ἵππος*: καί· *Ἐρετριακὸς κύων*: ἐπὶ τῶν ἀξίων ἐπαίνου.

6 *Ἕπεσθε μητρὶ χοῖροι*: ἐπὶ τῶν κολακευτικῶς τισιν ἑπομένων τροφῆς ἕνεκα.

7 *Ἐπὶ ξυροῦ ἕστηκε τὸ πρᾶγμα*: ἐπὶ τῶν ἔσχατα κινδυνευόντων.

---

3. *ἐπισκυθίσαι* Athenaeus in Herodoto legisse videtur notante Valckenario ad Herod. l. c. 8. *ἐμβεβληκότας* S. 12. *κολατευτικῶς* S.

δὲ βλαπτούσης πῶς οὐ τὸ ἔργον βλαβερώτερον.

100. De Pausaniae, Cleombroti filii, rapacitate nota omnia: cf. Thucyd. I, 130 c. interpp.

1. Herod. VI, 84: *Κλεομένεα δὲ λέγουσι, ἡκόντων τῶν Σκυθέων ἐπὶ ταῦτα ὁμιλέειν σφι μεζόνως, ὁμιλέοντα δὲ μᾶλλον τοῦ ἱκνευμένου μαθέειν τὴν ἀκρητοποσίην παρ' αὐτῶν. ἐκ τούτου δὲ μανῆναί μιν νομίζουσι Σπαρτιῆται. ἔκ τε τοῦ, ὡς αὐτοὶ λέγουσι, ἐπεὰν ζωρότερον βούλωνται πιέειν, Ἐπισκύθισον λέγουσι*: ex Herodoto et Chamaeleonte Heracleota de hoc Lacedaemoniorum more Athen. IX, 427 B retulit. De Scythis avidissimis meri potoribus cf. Uckertus Geogr. T. III, 2, 299.

2. Est Amipsiae comici versus, fr. incert. V Mein.: v. Poll. II, 200 et cf. annott. ad Diog. III, 38.

3. Ex Sophocle desumptum est: v. Macar. IV, 69.

4. Simile est quod Lucian. Apolog. §. 11 profert: *μὴ γὰρ τοσοῦτός ποτε λιμὸς καταλάβοι τὸ Ἄργος, ὡς τὴν Κυλλάραβιν* — *κοίλην Ἀραβίαν* editt. vett. — *σπείρειν ἐπιχειρεῖν*: add. Ovid. Heroid. V, 115: *quid facis, Oenone? quid arenae semina mandas?* id. Trist. V, 4, 47: *plena tot ac tantis referetur gratia factis Nec sinit ille tuos litus arare boves:* ib. 6, 43: *his qui contentus non est, in litus arenas, In segetem spicas, in mare fundat aquas:* Auson. Epist. 4, 3: *quid geris, extremis positus telluris in oris, Cultor arenarum vates? Cui litus arandum, Oceani finem iuxta Solemque cadentem?* Quarum locutionum elegantiam illustrarunt Heinsius ad Ovid. Epist. ex Ponto II, 9, 29. Drakenborchius ad Sil. Ital. V, 160. XIV, 23: add. nott. ad Plutarch. Boiss. 1 et 10.

5. Strab. VIII, 9, 1, p. 388 Casaub.: *ἔστι δὲ καὶ τὸ γένος τῶν ἵππων ἄριστον τὸ Ἀρκαδικόν· καθάπερ καὶ τὸ Ἀργολικὸν καὶ τὸ Ἐπιδαύριον*: Verg. Georg. III, 44: *domitrixque Epidaurus equorum*: v. interpp. ad Horat. Carm. I, 7, 9. Item canes Eretriacae laudatissimae, quippe quae ab Apolline originem trahant: Poll. V, 40.

6. Append. Provv. II, 79.

7. DV II, 63.

8 *Ἐῤῥέτω μέλαιν' ὀπώρα· πᾶσι γὰρ χαρίζεται:* ἐπὶ τῶν ῥᾳδίως τυγχανόντων καὶ ἀποσκορακιζόντων αὐτὸ τὸ ῥᾳδίως τυγχάνειν. κυρίως ἐπὶ μάχλων γυναικῶν.

9 *Ἔῤῥει τὰ καλά· Μίνδαρος ἀπεσσύα:* ἐπὶ τῶν κακόν τι γεγονὸς βουλομένων συντόμως δηλῶσαι.

10 *Ἑρμῆν μήτ' ἀλείψῃς μήτ' ἀπαλείψῃς:* ἐπὶ τῶν διὰ προςποιητῆς χάριτος ἀφαιρουμένων τι μᾶλλον ἢ διδόντων. ἐν βαλανείῳ γάρ τινι Ἑρμῆς ἦν ἱδρυμένος, ὃν οἱ πολλοὶ τῶν λουομένων ἤλειφον· πένης δέ τις προφάσει τοῦ ἀλείφειν ἐκεῖνον περιαιρούμενος τὸ ἔλαιον ἑαυτὸν ἤλειφεν.

11 *Ἔργα νεῶν, βουλαὶ δὲ μέσων, πορδαὶ δὲ γερόντων:* τὸ δὲ λέγειν εὐχαὶ γερόντων κρεῖττον καὶ εὐφημιότατον.

12 *Ἐῤῥέτω φίλος σὺν ἐχθρῷ:* ἐπὶ τῶν δι' ἐχθρὸν καὶ φίλους βλαπτόντων.

---

1. *μέλαινα* S. *παντὶ* Walzius. Alexidi versum tribuendum esse et *Ὀπώρα* scribendum in Schneidewini Philol. III, 572 conieci. 4. *ἀπεσσούα* Eustathius: *ἀπέσστα* i. e. *ἀπέστη* ab Hippocrate scriptum esse Ahrensius de Dial. Dor. 147 probare studet.

8. Originem ab meretricibus accepit, quae *stant certo cuivis mercabiles aere*, ut ait Ovid. Amor. I, 10, 21: avarae enim esse solent et florente iuventa pecuniae colligendae studiosissimae: Alex. apud Athen. XIII, 568 A, Aelian. Epist. rust. 8, p. 418 Cuiac.: *ἕως οὖν ἀκμάζει* [sc. *τὸ κάλλος τῶν σωμάτων*] *καὶ τὴν ὑπὲρ αὐτοῦ χάριν προςῆκόν ἐστιν ἀνταπολαμβάνειν· ἐὰν δὲ ἀποῤῥεύσῃ, τί ἂν ἄλλο εἴη τὸ ἡμέτερον ἢ δένδρον καρπῶν ἅμα καὶ φύλλων γυμνόν· καίτοι γε ἐκείνοις μὲν ἡ φύσις δίδωσιν ἀναθῆλαι, ἑταίρας δὲ ὀπώρα μία. δεῖ τοίνυν ἐντεῦθεν ταμιεύεσθαι πρὸς τὸ γῆρας*: quo faciliores vero rogantibus sunt, eo acerbiore contemtu a viris repudiantur: Anaxil. Athen. XIII, 558 A, vs. 27 sqq.: add. Anthol. Palat. V, 46.

9. Apost. VII, 85: Diog. IV, 89. *Ἔῤῥει τὰ πάντα* poeta apud Cram. Anecd. Pariss. IV, 269, 13 dixit: Gregor. Nazianz. Epist. 80: *ἔῤῥει τὰ καλά, γυμνὰ τὰ κακά, ὁ πλοῦς ἐν νυκτί, πυρσὸς οὐδαμοῦ, Χριστὸς καθεύδει*: cf. Boissonadus ad Aen. Gaz. 163.

10. Non solum lapides sepulcrales sed etiam Mercurii et reliquorum Deorum statuas a veteribus unguento unctas esse res nota: Anacr. 33, 11 Bergk.: *τί σε δεῖ λίθον μυρίζειν*: Babr. fabb. 48, 3: *χαῖρε πρῶτον, Ἑρμεία· Ἔπειτ' ἀλεῖψαι βούλομαί σε, μηδ' οὕτω Θεὸν παρελθεῖν, καὶ θεὸν παλαιστρίτην*: Clem. Alex. Stromm. VII, 4, 26, p. 302 Sylb.: *οὗτοι πᾶν ξύλον καὶ πάντα λίθον τὸ δὴ λεγόμενον λιπαρὸν προςκυνοῦντες ἔρια πυῤῥὰ καὶ ἁλῶν χόνδρους καὶ δᾷδας, σκίλλαν τε καὶ θεῖον δεδίασι πρὸς τῶν γοήτων καταγοητευθέντες κατά τινας ἀκαθάρτους καθαρμούς*: hinc *θεῶν ἀγάλματα ἀλείφειν* ab Artemidoro Oneirocr. II, 33 inter somnia relatum est. Alia dabit Eschenbachius de unctionibus sacris gentilium in Diss. Acad. 378 sqq.

11. Append. Provv. IV, 6: cf. ann. ad Apost. VII, 90.

12. Plutarch. quom. ab amico adul. internosc. 5, p. 50 F: *ἡμεῖς*

13 *Ἐῤῥίφθω κύβος:* ἐπὶ τῶν διακινδυνευόντων.

14 *Ἔργον ὄνον ἀποτρέψαι κνώμενον:* ἐπὶ τῶν ἀπάγειν τινὰς βουλομένων, ἀφ' ὧν φιλοῦσιν ἔργων.

15 *Ἐρεβίνθινος ζωμός:* ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων.

16 *Ἐρετρικὸς κατάλογος:* ἐπὶ τῶν σφόδρα πλουσίων.

17 *Ἑρμώνιος χάρις:* ἐπὶ τῶν κατὰ χάριν ἐκεῖνα διδόναι δοκούντων, ὧν ἀσμένως ἀπαλλάττονται.

18 *Ἔσο καὶ λέων ὅπου χρὴ καὶ πίθηκος ἐν μέρει:* ἐπὶ τοῦ πρὸς τὰ πράγματα καλῶς μεταβαλλομένου.

19 *Εὐριπίδειος ὅρκος:* ἴσως τὰ κατὰ χηνὸς καὶ κυνός.

20 *Εὐγενέστερος Κόδρου:* ἐπὶ τῶν πάνυ εὐγενῶν.

---

4. Macarii verba tuetur Hesych. s. *Ἐρεβίνθινος Διόνυσος:* οὐδενὸς ἄξιος, παρά τινα παροιμίαν, *Ἐρεβίνθινος ζωμός*. Aliter Phot. s. *Ἐρεβίνθινος Διόνυσος:* ἀντὶ τοῦ ζωμός· παροιμία· τάττεται δὲ αὕτη ἐπὶ τῶν ἀφορμὰς τῶν εἴτε χρηστῶν εἴτε μοχθηρῶν ἐκβάσεων παρεχομένων. 6. Inter formas Ἐρετριακός et Ἐρετρικὸς saepe variatur: cf. Tzschuckius ad Strab. X, 1, 10, p. 447. 7. Ἑρμώνειος Zenobius. Suidas explicat: ἡ κατ' ἀνάγκην διδομένη, οὐκ ἐκ διαθέσεως ψυχῆς, ἀλλ' ἐπιπλάστως καὶ κατὰ προσποίησιν φιλίας, οὐ κατ' ἀλήθειαν. Ὁ γὰρ Ἕρμων ὁ Πελασγῶν βασιλεύς, Δαρείου ἐπὶ Θρᾴκην ἰόντος καὶ πάντα χειρουμένου, παρεχώρησεν Ἀθηναίοις τῆς Λήμνου, τῷ μὲν δοκεῖν χαριζόμενος, τῇ δὲ ἀληθείᾳ Δαρεῖον φοβηθείς. 11. Εὐριπίδιος S. χινὸς S.

δὲ, εἰ μηδαμῇ μηδαμῶς ἐπαινοῦμεν τὸ ἐῤῥέτω φ. σ. ἐ., διὰ πολλῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμπεπλεγμένου ἀποσπάσαι ζητοῦντες: est versus incerti poetae, quem Cicero latine posuit in or. pro Deiot. 9, 25: *de Domitio dixit verbum Graecum eadem sententia, qua etiam nos habemus Latinum: pereant amici, dum una inimici intercidant:* cf. Macar. VII, 95.

13. Macar. II, 8.

14. Simile proverbium in Apost. XII, 75a exstat, ubi v. notas. Nisi potius nexus aliquis proverbii cum Polygnoti asino statuendus est: cf. Zenob. V, 38.

15. Zenob. III, 83.

16. Phot. s. *Ἐρετρικὸς κ.:* ἐπὶ Διφίλου ἄρχοντος ἔγραψαν ψήφισμα τοὺς ὁμήρους καταλέξαι ἐξ Ἐρετριακῶν πλουσιωτάτων: Hesych. s. *Ἐρετριακὸς κ.:* ἐπὶ Διφίλου ψήφισμα ἐξ Ἐρετρίας ἐγράφη καταλέξαι ὁμήρους τοὺς τῶν πλουσιωτάτων υἱούς. τοῦτο οὖν τὸ ψήφισμα ἔχει ἐπιγραφήν, Ἐρετριακὸς κατάλογος. Rem Albertius ad Ol. 84, 3 refert.

17. Apost. VII, 88: Diod. Exc. Vat. c. 43: ὅτι οἱ Τυῤῥηνοὶ διὰ τὸν τῶν Περσῶν φόβον ἐκλιπόντες τὴν Λῆμνον ἔφασκον ὡς διά τινας χρησμοὺς τοῦτο ποιεῖν, καὶ ταύτην τῷ Μιλτιάδῃ παρέδωκαν. ταῦτα δὲ πράξαντος τοῦ προεστηκότος τῶν Τυῤῥηνῶν [Ἕρμωνος addidit Maius] συνέβη τὰς τοιαύτας χάριτας ἀπ' ἐκείνων τῶν χρόνων Ἑρμωνίους προσαγορευθῆναι: paulo aliter narrationem Hesychius et Arsenius instituerunt, quos v. in nott. ad Apost. l. c. Cf. Zenob. III, 85.

18. Apost. VII, 98a: cf. nott. ad Greg. Cypr. M I, 83 et v. Macar. VIII, 16. Fortasse colorem ex hoc proverbio Plato duxit Reip. IX, 590 B: ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι.

19. Append. Provv. II, 91.

20. Greg. Cypr. M II, 94. Apost. VIII, 6: Cram. Anecdd. Pariss. I, 398: Zenob. IV, 3. Dorev. DV III, 56.

21 *Εὐμεταβολώτερος κοθόρνου: ἢ εὐρίπου:* ἐπὶ τῶν εὐμεταβόλων καὶ εὐμεταθέτων.

22 *Εὖ πράττε· τὰ φίλων δ' οὐδὲν, εἰ σὺ δυςτυχῇς:* τοῦτο Εὐριπίδου ἐστὶ Φοινισσῶν.

23 *Ἐφέσια γράμματα:* ἐπὶ τῶν ἀσύνετα λεγόντων.

24 *Ἐχῖνος ἐν χειμῶνι:* ἐπὶ τῶν παρ' ὥραν φαινομένων ἢ πραττομένων.

25 *Ἐχῖνος τὸν τόκον ἀναβάλλεται:* ἐπὶ τῶν διὰ τὸ ἀναβάλλεσθαι κακῶς ἀπαλλαττόντων. οἱ γὰρ ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ' ὕστερον παχυτέρων γινομένων τῶν ἀκανθῶν ὑπὸ τοῦ ἐμβρύου χεῖρον ἀπαλλάττειν ἐν τῷ τόκῳ.

26 *Ἔχεται δ' ὥσπερ πολύπους πέτρας:* ἐπὶ τῶν ὀχυροῦ τινος ἐχομένων ἐπὶ σωτηρίᾳ.

27 *Ἐχθρὸς κἂν χρηστὰ ποιήσῃ κακά ἐστιν.*

28 *Ἐχίδνης καρδίαν ἐδήδοκεν:* ἐπὶ τῶν ὀργίλων καὶ χαλεπῶν.

ΤΟ Ζ.

29 *Ζαλεύκου νόμοι:* ἐπὶ τῶν ἀποτόμων. Ζάλευκος γὰρ Λοκροῖς ὠμότερον ἐνομοθέτησεν.

30 *Ζεῖ χύτρα, ζεῖ φιλία:* ἐπὶ τῶν ἀπὸ δείπνου συναρτώντων φιλίαν.

---

3. *τὸ* Walzius. *ἦν* C, Euripides. *τις δυστυχῇ* Euripides. 8. *ἀναβάλλει* Ds, *ἀναβάλλῃ* Suidas. 9. *καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι* Ds. Suidas. 11. *ὑπὸ*] praepositio delenda est: v. Diogenianum: Suidas sic locum exhibet: *εἶθ' ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κακίον ἀπαλλάσσειν ἐν τῷ τόκῳ*: consentit Photius. 16. *κραδίαν* S. 19. *νόμος* Walzius, Zenobius. 20. *Λοκροῖς τοῖς Ἐπιζεφυρίοις* Zenobius. 21. *ζῇ φιλία* Suidas, ubi v. Bernhardius.

21. Greg. Cypr. L II, 12. VV. *ἢ εὐρίπου* ad proverbium *εὐμεταβολώτερος εὐρίπου* spectant: cf. nott. ad Greg. Cypr. M I, 76.

22. Append. Provv. II, 91. Eurip. Phoen. 403.

23. Apost. VIII, 17: Diog. IV, 78. Copiose de his litteris Sextus Africanus egerat: v. Suidas v. *Ἀφρικανός*.

24. Append. Provv. II, 95.

25. Apost. VIII, 21: Diogen. IV, 91. Hesych. s. *ὡς ἐκεῖνος* [Salmasius et Iunius *ἐχῖνος*] *ἀναβάλλει τὸν τρόπον* [*τόκον* eidem]: *παροιμία ἐπὶ τῶν πρὸς τὸ χεῖρον χρονιζόντων*.

26. Macar. VII, 21.

27. Append. Provv. II, 94. Ad sensum cf. Zenob. IV, 4: Menand. Monast. 325: *λόγον παρ' ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον*.

28. Eodem sensu dictum invenitur *ἐχίδνης ὀργιλώτερον* apud Procl. in Plat. Alcib. T. I, p. 89 Cr., *τῆς ἐχίδνης τὰ δήγματα* ibid. T. II, p. 113: add. Eurip. Androm. 271: *ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω*, ubi Pflugkius confert Eurip. Alcest. 310 *ἐχίδνης οὐδὲν ἠπιωτέρα* de noverca, Ion. 1262 *οἵαν ἔχιδναν τήνδ' ἔφυσας* de Creusa dicentem.

29. Apost. VIII, 27: Zenob. IV, 10.

30. DV II, 79.

31 *Ζῶμεν οὐχ ὡς ἐθέλομεν, ἀλλ' ὡς δυνάμεθα.*

32 *Ζωπύρου τάλαντα: ἐπὶ τῶν φορτικά τινα διὰ πλοῦτον ὑπομεινάντων.*

ΤΟ Η.

33 *Ἡ ἅμαξα τὸν βοῦν πολλάκις ἐκφέρει: ἐπὶ τῶν πασχόντων, ἃ πολλάκις αὐτοὶ ἐποίουν.*

34 *Ἡβῶντος ἀνδρὸς οὐ βραδέα δρομήματα: ἐπὶ εὐσθενούντων.*

35 *Ἢ καλῶς ζῆν ἢ τεθνηκέναι.*

36 *Ἡ γλῶττ' ἀνέγνωχ', ἡ δὲ φρὴν οὐ μανθάνει: ἐπὶ τῶν ἀμαθῶν.*

37 *Ἡδὺ τἀπόῤῥητα λιχνεύειν: ἐπὶ τῶν πολυπραγμόνων.*

38 *Ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.*

39 *Ἡδὺ περίδειπνον πατρός: ἐπὶ τῶν μακρότερον γηρώντων πατέρων καὶ χαλεπῶν.*

---

1. *ζῶμεν γὰρ* Suidas. *θέλομεν* idem. 5. *πολλάκις ἐκφέρει* Apostolius om. 10. *γλῶττα* S. 14. *ἴδε ὅση λύπη* Plutarchus, *ἢ φόβος ἢ λύπη* Hermias. *χρόνον*] *βίον* Hermias. De vv. dd. coniecturis v. Wagnerus de Euenis poet. eleg. p. 22. 15. *περὶ δεῖπνον* S.

31. DV II, 81.

32. Apost. VIII, 35 ibiq. v. adnot.: Zenob. IV, 9. Alludit Dio Chrysost. Or. LXIV, p. 339 R.: *κρατήσει γὰρ Μήδων Κῦρος καὶ Βαβυλωνίων Ζώπυρος καὶ Σάρδεων Μάρδος καὶ Τροίας ὁ ἵππος.*

33. Apost. VIII, 41: cf. Greg. Cypr. M I, 74.

34. Homerus Il. *N*, 484: *καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.*

35. Soph. Aiac. 479: *ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή*, quem locum Scholl. Plat. p. 142 Ruhn., Suid. s. *ἀλλ' ἢ* et s. *εὐγενής* citant. Epictetus apud Max. et Anton. 248 et 273 Fabr. dixit: *ὁ αὐτὸς ἔφη ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον*, quod Democrito Arsen. XX, 41 tribuit: alia Lobeckius ad Soph. l. c. collegit: add. Apost. I, 67c.

36. Append. Provv. II, 100. Eur. Hipp. 612: *ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος*, ubi v. Valckenarius. Fluxit Macarii versus sine dubio e comoedia: v. Suid. s. *ἀναβάδην*.

37. *Οὐδὲν γλυκύτερον ἢ πάντ' εἰδέναι* Cicero ad Attic. IV, 11, 2: Themist. Or. XXI, 262 C: *οὐκ ἔστι γάρ, φασί, γλυκερώτερον ἢ πάντ' εἰδέναι.*

38. Plut. de am. prol. 4, p. 497 A: *ἐπαινεῖται καὶ μνημονεύεται τοῦ Εὐήνου τοῦτο μόνον, ὡς ἐπέγραψεν· ἴδε κτλ.*: Hermias in Plat. Phaedr. LI: *Εὐηνὸς καὶ τὸν ἴαμβον τοῦτον εἶπεν· ἢ φόβος κτλ.*: suppresso poetae nomine Artemid. Oneir. I, 16. *ἢ δέος κτλ.* Vide Ruhnken. ad Rut. Lup. I, 10, ubi Charisii haec laudantur: *Nimirum nullo consilio filios procreamus. Nam maiorem partem ex illis doloris et contumeliae capimus:* add. Schneidewinus Delect. p. 135.

39. Cf. Zenob. V, 28. Et quanta arte silicernium parari soleat narrat coquus Hegesippi apud Athen. VII, 290 B.

40 *Ἤθη φίλων γίνωσκε, μιμήσῃ δὲ μή*: ὅτι οὐ δεῖ παντὸς φίλου ἕπεσθαι τῇ γνώμῃ.

41 *Ἡ κέρκος τῇ ἀλώπεκι μαρτυρεῖ*: ἐπὶ τῶν δεικνύντων ἀπὸ μικρῶν πράξεων τὸ αὐτῶν ἦθος.

42 *Ἡ κύων ἐν τῷ γάμῳ*: ἐπὶ τῶν ἢ παρενοχλούντων ἢ ἀνοίκειόν τι πραττόντων.

43 *Ἡ κύων ἐν τῇ φάτνῃ*: ἐπὶ τῶν μήτε ** χρωμένων μήτε ἄλλους ἐώντων.

44 *Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.*

45 *Ἡλιάδων δάκρυα*: ἐπὶ τῶν πολλὰ ἐχόντων χρήματα· παρόσον αἱ τοῦ Φαέθοντος ἀδελφαὶ ἀποδενδρωθεῖσαι καὶ δακρύουσαι ἀπέσταζον τὸ ἤλεκτρον.

46 *Ἠλιθιώτερος Λευκολόφου*: οὗτος ἀποδόμενος τὴν οἰκίαν ἀντεποιεῖτο τοῦ φρέατος.

47 *Ἧλον ἥλῳ ἐκκρούει*: ὅμοιον τῇ· *Πάσσαλος πασσάλῳ ἐκκρούεται.*

48 *Ἧλιξ ἥλικα τέρπει.*

49 *Ἠλίβατον κακόν*: ἐπὶ τῶν σφόδρα δεινῶν.

50 *Ἣν τις ἔμαξε μᾶζαν ταύτην καὶ ἐσθιέτω.*

51 *Ἡ Περγαία Ἄρτεμις*: ἐπὶ τῶν ἀγυρτῶν καὶ πλανητῶν.

52 *Ἡ πεῖρα διδάσκαλος.*

53 *Ἡρακλῆς καὶ πίθηκος*: ἐπὶ τῶν ἀνομοίων.

---

4. αὐτῶν a Diogeniano abest. 7. Excidit αὐτῶν. Idem mendum in Photio invenitur. 11. ἀδεφαὶ S. ἀποδεδρωθεῖσαι S.

40. Append. Provv. III, 4, ubi quae composui Menandro versum tribuendum esse docent.
41. DV II, 87.
42. Non. Marcell. p. 60 M.: inde et Sallustius: *canina, ut ait Appius, facundia exercebatur*: Plin. N. H. XXIX, 5, 102: *minus hoc miretur qui cogitet, lapidem a cane morsum usque in proverbium discordiae venisse.*
43. DV II, 83.
44. Greg. Cypr. M III, 61.
45. Append. Provv. III, 8.
46. Append. Provv. III, 10.
47. Greg. Cypr. M III, 60.
48. DV II, 88.
49. Append. Provv. III, 9.
50. Ad sententiam cf. Macar. III, 85 ibiq. annott.
51. Apost. VIII, 62: Diog. V, 6.
52. Phot. Epist. 186, p. 274 Mont.: ἡ γὰρ τῶν ἐν βίῳ πεῖρα σαφὴς τῶν τοιούτων διδάσκαλος: add. Scholl. ad Pind. Isthm. I, 56: Ἀλκμάν· πεῖρά τοι μαθήσιος ἀρχά· καὶ Ὅμηρος [cf. nott. ad Diog. II, 31]· παθὼν δέ τε νήπιος ἔγνω: et Maxim. Tyr. Diss. I, 5, 4, p. 73: κἂν ἐπὶ τοὺς λιμένας ἔλθῃς, κυβερνήτην λήψῃ, οὐ τὸν ἄπειρον χειμῶνος, ... ἀλλ' ἐκ πολλῶν σφαλμάτων ἀθροίσαντα τὴν τέχνην, ἐκ πείρας κακῶν.
53. Greg. Cypr. M III, 66.

54 *Ἡρακλεία λίθος*: πρὸς τοὺς ἑαυτοῖς τι ἐπαγομένους, παρόσον καὶ ἡ λίθος ἐπισπᾶται τὸν σίδηρον.

55 *Ἠρινὸς πόκος*: ἐπὶ τῶν καθ' ὥραν δρεπομένων.

56 *Ἡρακλεία νόσος*: ἐπὶ τῶν μετὰ πολὺν κάματον ἐμπιπτόντων εἰς νόσον. ὁ γὰρ Ἡρακλῆς μετὰ μυρίους καμάτους τῇ ἱερᾷ ἐνέπεσεν.

57 *Ἡράκλειος ψώρα*: ἐπὶ τῶν δυςαποτρέπτοις συνεχομένων κακοῖς.

58 *Ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι*: ἐπὶ τῶν ἀδοξησάντων.

59 *Ἡ Συρακούσιος δεκάτη*: ἐπὶ τῶν σφόδρα πλουσίων καὶ πολυτελῶν.

60 *Ἡ Φάνου θύρα*: ἐπὶ τῶν μεγαλοφώνων.

ΤΟ Θ.

61 *Θάλασσα καὶ πῦρ καὶ τρίτον κακὴ γυνή.*

---

1. Ἡράκλειος Apostolius. 4. Ἡράκλειος idem. 11. Συρακουσῶν Suidas, Συρακουσίων recte B. 15. καὶ γυνὴ τρίτον κακόν Menander, et sic poeta incertus in Crameri Anecdd. Pariss. IV, 320, 14: καὶ τρίτον γυνὴ κακόν Monost. cod. Guelferb. et Vind. 3. Ante Meinekium quum καὶ γυνὴ, κακὰ τρία legeretur, G. Hermannus apud Erfurdtium ad Soph. Aiac. p. 630 iambographi hunc versum esse suspicatus est.

54. Apost. VIII, 67: Zenob. IV, 22 ibiq. v. ann., quibus addas grammat. apud Tittmannum ad Zonar. T. I, praef. CVI. De lapide v. annott. ad Diog. V, 2 et qui accuratius de eo quaesiverunt, Boissonadus ad Nicet. Eugen. IV, 137, Schneiderus ad Theophr. T. IV, 541 sq. Proverbio usus est Eubulus Athen. III, 112 F: μαγνῆτις γὰρ Λίθος ὣς ἕλκει (panis Cyprius) τοὺς πεινῶντας: add. Lucian. Imagg. §. 1: ἀπάξει γάρ σε ἀναδησαμένη ἔνθα ἂν ἐθέλῃ, ὅπερ καὶ ἡ λίθος ἡ Ἡρακλεία δρᾷ τὸν σίδηρον: Pisid. fr. 106 Fogg. e Suid. s. Ἡρακλεία: πάντας δ' ὑφέλκων, οἷα μαγνῆτις λίθος, Ἢ μᾶλλον εἰπεῖν Ἡρακλείαν τὴν λίθον, Φύσιν γὰρ αὐτὸς ἑλκτικωτέραν ἔχει. Cf. Macar. V, 79.

55. Recte coniungi videtur cum nostro locus Hesychii a Meinekio Comm. Grr. T. IV, p. 637 emaculatus: ἠρίνου πόκου: ἀπὸ τῶν ποιμνίων, τῶν συμμάχων κατ' ἔτος φόρους τελούντων ἔαρι: add. Phot. s. ἠρινοῦ πόκου: ἐπεὶ ἔαρος οἱ φόροι ἐφέροντο. Etiam ad lites sociorum, quae Athenis tractabantur, referri poterit: Scholl. ad Aristoph. Av. 1465: τῷ γὰρ Μουνιχιῶνι μηνὶ τοῦ ἔαρος δικάζονται αἱ πρὸς τοὺς ξένους δίκαι: add. Arist. Av. 1043. Theophr. Char. III, 2. Platnerus de litib. Att. I, 113.

56. Apost. VIII, 64: Zenob. IV, 26. De morbo v. Erotiani Expos. Voc. Hippocr. 176 ibiq. Eustachium.

57. Apost. VIII, 68: Diog. V, 7.

58. Greg. Cypr. M III, 63.

59. Append. Provv. III, 14.

60. DV II, 84.

61. Est Menandri: v. Monost. 231: similes sunt versus eiusd. ibid. 264: ἴσον ἐστὶν ὀργῇ καὶ θάλασσα καὶ γυνή: 575: ἴσον ἐστὶν εἰς πῦρ καὶ γυναῖκας ἐμπεσεῖν. Mare cur nominatum sit ex Hesiod. Ἔργ. κ. Ἡμ. 101 claret: πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα: Eurip.

62 *Θάλατταν σπείρειν:* ἐπὶ τῶν μάτην πονούντων.

63 *Θάσιος παῖς Ἀγλαοφῶντος:* ἐπὶ τῶν θαῤῥούντων ἐφ' οἷς λέγουσιν ἢ πράττουσιν· ὁ γὰρ Ἀγλαοφῶντος παῖς Θάσιος τὸ γένος ἄριστος ἦν γραφεύς.

64 *Θαλάττης χόες:* ἐπὶ τῶν ἀμέτρων καὶ ἀνεφίκτων.

65 *Θεὸς ἡ Ἀναίδεια:* ἐπὶ τῶν δι' ἀναίδειαν εὐδοκιμούντων.

66 *Θετταλὸν σόφισμα:* ἐπὶ τῶν τι σοφιζομένων ἢ τεχναζομένων.

67 *Θετταλικὴ ἔνθεσις:* ἐπὶ τῶν ἀδηφαγούντων.

68 *Θετταλικὰ πτερά:* ἐπὶ τῶν εὐπαρύφων καὶ καλλωπιζομένων ἐσθῆτι· παρόσον αἱ Θετταλικαὶ χλαμύδες πτερὰ εἶχον.

69 *Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.*

---

3. ἐν S. 8. *Θετταλῶν* Zenobius, Suidas s. *Θετταλῶν*: sed Suidas s. *Θεσσαλὸν* habet *Θεσσαλὸν σόφισμα* cum hac explicatione: *ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν ταῖς παρατάξεσιν, ἀλλὰ κακουργούντων*: *Θετταλικὸν* C. Causam proverbii Suidas s. *Θεσσαλῶν* sic rettulit: *Ἀρατίῳ γὰρ κατιόντι ὁ θεὸς ἔφη φυλάξασθαι, μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. ὁ δὲ ἑκατόμβην ἀνδρῶν εὔξετο θύσειν τῷ Ἀπόλλωνι. κατορθώσας δὲ ἃ ἐβούλετο τὴν θυσίαν διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι ἀεὶ ἀνεβάλλετο*: v. Zenobius. 11. *Θετταλικαὶ πτέρυγες* Suidas. 14. *πλέεις* S.

Iphig. Taur. 1193: *θάλασσα κλύζει πάντα τἀνθρώπων κακά*, ubi v. Porsonem et Gaisfordum.

62. Plutarch. Boiss. 41.

63. Hesych. s. *Θάσιος*. Quae in Hesychio explicationis gratia addita leguntur, ea, ut Hemsterhusius vidit, cum proverbio nostro connexum nullum habent. Thasius Aglaophontis filius Polygnotus est, cuius arti et gloriae etiam alia proverbia originem debent: v. Mant. Provv. s. *Πολυγνώτου*.

64. Fluxit e Plat. Theaet. 173 D, cuius verba in Greg. Cypr. L II, 76 exstant. Imitatur Themist. Oratt. 262 B: *οὐδὲ γὰρ εἰ κακῶς τι γέγονεν ἐν τῇ πόλει ἢ τὸ τί κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ πρὸς γυναικῶν μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες*: ei. Or. VII, 97: *διὰ τοῦτο ἄρα ὁ Πύθιος τῆς μὲν ψάμμου τὸν ἀριθμὸν οὐκ ἐδίσταζεν ὁπόση εἴη οὐδὲ τῆς θαλάσσης τοὺς χόας*: alia indicat Iacobsius in Lectt. Stobens. 6. Add. DV I, 38.

65. DV II, 91.

66. Mant. Provv. s. *Θετταλόν*: Zenob. IV, 29.

67. Photius s. *Θεσσαλικὴ ἔνθεσις*: *ὁ μέγας ζωμός*, quocum Poll. VI, 43 consentit: Eustathium aliosque in annott. ad Diog. V, 20 laudavi. Commemoravit Hermipp. Athen. X, 418 D, *ὁ Ζεὺς ... μύων ξυνέπλαττε Θετταλικὴν τὴν ἔνθεσιν*: eodem loco Athenaeus plura de Thessalorum luxuria exponit, quae ab Voemelio in prolegg. ad Demosth. Philipp. II, p. 13 illustrantur: add. Antiphanes Athen. II, 47 B: *ἓν νόσημα τοῦτ' ἔχει. Ἀεὶ γὰρ ὀξύπεινός ἐστι. B. Θετταλὸν λέγεις κομιδῇ τὸν ἄνδρα*: quae de Hercule dicta esse Meinekius Com. Gr. III, p. 142 coniecit.

68. Apost. VIII, 88: Diog. V, 20.

69. Apost. VII, 64a. Adhibuit Lucian. Hermot. §. 28: *ἡμᾶς δὲ ..*

70 *Θρᾷκες ὅρκια οὐκ ἐπίστανται:* ἐπὶ τῶν τοῖς ὅρκοις οὐκ ἐμμενόντων.

ΤΟ Ι.

71 *Ἴδε πῦρ, ἴδ' ἀφύη:* ἐπὶ τῶν ὀξὺ τέλος λαμβανόντων· παρόσον ἀφύη ταχέως ἕψεται.

72 *Ἱερὸν συμβουλή:* ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων.

73 *Ἱερὰ ἄγκυρα:* ἤγουν ἰσχυρὰ καὶ γενναία.

74 *Ἴθι ὀρθός:* ἐπὶ τῶν ἐκτρεπομένων τοῦ δικαίου.

---

1. *ὅρκι'* scribit et dictum ad iambographum auctorem refert Meinekius de Choliamb. 176. 4. *ἴδε πῦρ ἀφύας* Ds. 6. *ἡ συμβουλή* Suidas; cf. infr. 81. Suidas explicat: *ἐπὶ τῶν δεινῶν συμβουλεύειν.*

οὐκ οἶμαι δεῖν .. ἐς στενὸν κομιδῇ κατακλείειν τὴν ἐλπίδα ἐπὶ ῥιπός, ὡς ἡ παροιμία φησί, τὸν Αἰγαῖον ἢ τὸν Ἰόνιον διαπλεῦσαι θέλοντας, ubi Scholia: *εἴρηται ἐπὶ τῶν πάνυ ἀπόρων καὶ θεῷ μόνῳ εἰς λύσιν ἐπιτρεπομένων.* De versus auctore veterum sententiae variant: Pindaro non sine dubitatione Plutarchus de Pyth. Orac. 22, p. 405 B adscribit, cui plures ob causas Boeckhius ad Pind. II, 2, p. 554 fidem denegare debebat: Menandro tribuit, qui inter Men. Monost. 671 recepit: Orion denique Anthol. V, 6 *ἐκ τοῦ Θυέστου* sumptum asserit, unde Schneidewinus Coniect. Critt. p. 78 sq. Sophoclis Thyestae recte vindicavit. Aliam proverbii formam cognoscimus e Scholl. ad Eur. Phoen. 395: *μαρτυρεῖ δὲ καὶ ἡ παροιμία λέγουσα Κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοις, ἐπὶ τῶν εἰς κινδύνους κέρδους χάριν ἑαυτοὺς ῥιπτούντων λαμβανομένη. Ἔστι δὲ ῥίψ πλέγμα τι ψιαθῶδες. ἐκφέρεται δὲ οὕτως. Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις:* haec ab Aristophane profecta videtur, Pac. 698: *ὅτι γέρων ὢν καὶ σαπρὸς* [Simonides] *Κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι*, ubi Scholia: *λέγεται δὲ καὶ ἄλλως. θεοῦ θέλοντος ... πλέοις:* recepit Arsenius: v. Apost. IX, 76a: add. Suid. s. *ῥιπός, σαπρόν.* Breviore forma affert Macar. IV, 3. Similis dictio est quam e Pindaro Libanius Epist. 144 decerpsit: *μηδ' οὕτως οἴου τὰ ἡμέτερα κατὰ Πίνδαρον Ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν, ἀλλά τι καὶ ἀδάμαντος μετέχειν:* cf. nott. ad Zenob. III, 47, ad Apost. X, 55.

70. Apost. VIII, 91i: Zenob. IV, 32, ubi *Μένανδρος* in *Μαίανδρος* mutandum esse Meinekius de Choliamb. 177 contendit: add. eiusd. Philol. Exercc. in Athen. Deipn. Sp. II, 16. Potuit enim Maeander in Milesiacis de proverbio agere.

71. DV I, 64.

72. DV II, 92.

73. Greg. Cypr. M III, 77.

74. Append. Provv. III, 26. Ex apologo natum videtur: v. Aesop. fabb. 205 Fur., Babr. fab. 109 ibiq. Boissonadi annotationem. Ante oculos fuit Menandro: v. Monost. 62: *βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ᾖς:* Plauto Casin. II, 8, 34: *nunc pol ego demum in rectam redii semitam:* Philoni de Human. T. II, 383 Mang.: *ὁδὸν γὰρ οἷα λεωφόρον ἄγουσαν ἐφ' ὁσιότητα ταύτην ἠπίστασο:* add. Macar. VI, 79. Proprio sensu accepit Aristid. ὑ. τ. τεττ. T. II, 118 Iebb.: *ἐκεῖνος* [Pericles] *τοίνυν λέγεται ... οὕτω δὲ εἶναι σώφρων ὥστε καὶ βαδίζειν τεταγμένα καὶ τὴν ὀρθὴν ὁδὸν σώζειν κατὰ τὴν παροιμίαν, διαίτης δὲ τάξιν τὴν μέσην προῃρῆσθαι:* recte tamen Scholl. ad h. l. p. 289 Fromm.: *δηλοῖ δὲ ἡ παροιμία καὶ τὸν δίκαιον, οὐχ ὅτι δὲ τὰς ἄλλας*

75 *Ἰλιὰς κακῶν*: ἐπὶ τῶν πολλῶν καὶ σφοδρῶν.

76 *Ἴμβριος δίκη*: ἐπὶ τῶν προφασιζομένων ἐν ταῖς δίκαις. οἱ γὰρ τὰς δίκας φεύγοντες ἐν Λήμνων † Ἴμβρον ἐσκήπτοντο.

77 *Ἴμβριος ἢ Λήμνιος*: οἱ τὰς δίκας ἀποφεύγοντες Ἀθήνησιν ἐσκήπτοντο ἐν Ἴμβρῳ ἢ ἐν Λήμνῳ εἶναι.

78 *Ἱππόλυτον μιμήσομαι*: ἐπὶ τῶν σωφρονεῖν ἐπαγγελλομένων.

79 *Ἱπποδάμου νέμεσις*: πρὸς τοὺς ἐπὶ τὸ χεῖρον μεταβάλλοντας.

80 *Ἵππου γῆρας*: ἐπὶ τῶν πρὸς τῷ γήρᾳ δυστυχούντων.

81 *Ἰσχυρὸν ἡ ἀλήθεια.*

82 *Ἰσότης φιλότης.*

---

2. εἰς Λῆμνον ἢ εἰς Ἴμβρον ἐσκήπτοντο ἀποδημεῖν corrigi debet ex Poll. VIII, 81, ubi legitur: Σκυρίαν δὲ δίκην ὀνομάζουσιν οἱ κωμῳδοδιδάσκαλοι τὴν τραχεῖαν. οἱ γὰρ φυγοδικοῦντες ἐσκήπτοντο εἰς Σκῦρον ἢ εἰς Λῆμνον ἀποδημεῖν. 7. σωφροσύνην Suidas. 9. Scribe νέμησις ex Hesychio: Ἱ. νέμεσις ἐν Πειραιεῖ Photius.

ὁδοὺς ἠγνόει, ἀλλ' εἰδὼς σωφρόνως διῆγεν.

75. DV II, 93.

76. Eodem sensu Σκυρία δίκη dicebatur: Poll. VIII, 81: Suid. s. Σκυρίαν δίκην: οἱ σκηπτόμενοι ἐν ταῖς δίκαις ἔφασκον εἰς Σκῦρον ἀποδημεῖν. Σκῦρος δὲ νῆσος ἐστί: cf. infr. 77 et Zenob. I, 32.

77. Eustath. ad Hom. Il. Φ, 43, p. 1222, 33: ἐκ τῆς τοιαύτης Ἴμβρου τοὺς φυγοδικοῦντας Ἰμβρίους παροιμιακῶς ἐκάλουν. φησὶ γοῦν Αἴλιος Διονύσιος οὕτως· Ἴμβριοι οἱ τὰς δίκας ὑποφεύγοντες, ἐπεί τινες εἰς δίκην καλούμενοι ἐσκήπτοντο ἐν Ἴμβρῳ εἶναι: Hesych. s. Ἴμβριος ἢ Λήμνιος: οἱ τὰς διαίτας [scr. δίκας] ἀποφεύγοντες ἐσκήπτοντο ἐν Λήμνῳ ἢ ἐν Ἴμβρῳ εἶναι· Ἴμβρος δὲ νῆσος Θρᾴκης: unde emendandus est Phot. s. Ἴμβριος. Isaeum proverbio usum esse Rhodius Rer. Lemnic. 50 coniecit: errorem aperuit Schoemannus ad Isaei Oratt. p. 329. De re v. Harpocr. s. ὑπωμοσία, Meieri et Schoemanni libr. de litib. Att. 695 sq. Cognatum est quod habet Suidas: Λημνία δίκη: ἡ κακίστη.

78. Greg. Cypr. M III, 74.

79. Hesych. s. Ἱπποδάμου νέμησις: τὸν Πειραιᾶ Ἱππόδαμος Εὐρυβόωντος [recte Εὐρυκόωντος C. F. Hermannus de Hippod. Milesio disput. p. 5] παῖς, ὁ μετεωρολόγος, διεῖλεν Ἀθηναίοις. οὗτος δὲ ἦν καὶ ὁ μετοικήσας εἰς σατυρικοὺς [Θουρίους Valesius, Σαμίους C. F. Hermannus l. c. 7: fortasse εἰς Σαμίους καὶ Θουρίους], Μιλήσιος ὤν: Phot. s. v. De Piraeo ab Hippodamo viis distincto Aristot. Pol. II, 5, 1 narrat: Ἱππόδαμος .. ὃς καὶ τὴν τῶν πόλεων διαίρεσιν εὗρε καὶ τὸν Πειραιᾶ κατέτεμε, γενόμενος κτλ.: cf. C. F. Hermannum haec l. c. 27 accurate illustrantem.

80. Append. Provv. III, 29. Adhibet Dio Chrysost. Oratt. VI, p. 212 R.: χαλεπὸν δὲ τυράννου γῆρας, οὐχ οἷον ἵππου φασίν.

81. Aeschines orat. c. Timarch. §. 84, p. 107 R.: ἴσμεν, .. ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον, ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖ τῶν ἀνθρωπίνων λογισμῶν: Stob. Flor. XIII, 2: τἀληθὲς γὰρ ἰσχυρὸν τρέφω, quod ad Soph. Oed. Tyr. 356 refertur: τἀληθὲς γὰρ ἰσχῦον τρέφω.

82. DV II, 94.

83 Ἰχθὺν νήχεσθαι διδάσκεις: ὡς τό· Ἀετὸν ἵπτασθαι διδάσκεις.

ΤΟ Κ.

84 Καδμεία νίκη: ἐπὶ τῶν ἑαυτοῖς ἀλυσιτελῆ τὴν νίκην ποιουμένων.

85 Καθ' αὑτοῦ Βελλεροφόντης: ἐπὶ τῶν ἐπ' ὀλέθρῳ οἰκείῳ διακονούντων.

86 Καὶ κεραμεὺς κεραμεῖ κοτέει: ἐπὶ τῶν ὁμοτέχνων διαφθονουμένων.

87 Κακοῦ γὰρ ἀνδρὸς δῶρον ὄνησιν οὐκ ἔχει: ὅμοιον τῷ παρὰ Σοφοκλεῖ· Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.

88 Κακοῦ κόρακος κακὸν ᾠόν: ἐπὶ τῶν κακῶν καὶ ἐκ γονέων κακωτέρων.

89 Κακὸν Τενέδιον: ἐπὶ τῶν πάνυ σκληρῶν καὶ ἀπαραιτήτων.

90 Κανθάρου σοφώτερος: ἐπὶ τῶν σφόδρα σοφῶν καὶ πανούργων· Κάνθαρος γάρ τις ἐγένετο κακοῦργος καὶ πονηρός, ὃς ἐπὶ προδοσίᾳ κριθεὶς Ἀθήνησιν ἀπέθανεν.

91 Καὶ τυφλῷ δῆλον: ἐπὶ τῶν ἄγαν σαφεστάτων.

92 Κανθάρου σκιά: ἐπὶ τῶν εὐτελῶν.

93 Καρπὸν ὃν ἔσπειρας θέριζε: ἐπὶ τῶν τοιαῦτα πασχόντων, οἷα ἔδρασαν.

94 Καρπάθιος τὸν λαγώ: ἐπὶ τῶν ἐφ' ἑαυτοῖς ἐφελκομένων τὰ κακά.

95 Καθ' ὕδατος γράφει: ἐπὶ τῶν ἀνόητα πονούντων.

96 Κάθιζε ἐπὶ κώπην: παρεγγυᾷ ἔνεργον εἶναι.

97 Κατὰ ποδὸς βάσιν: ἐπὶ [τῶν] κατὰ μικρόν τι πραττόντων.

---

10. δῶρον] δῶρ' **Euripides.** 28. τῶν **e Suida inserui.**

83. Greg. Cypr. L II, 31. Ἀετὸν κτλ.] Greg. Cypr. L I, 9.
84. Greg. Cypr. L II, 45.
85. Greg. Cypr. L II, 46.
86. Append. Provv. III, 36.
87. Menand. Monost. 292: est Eurip. Med. 618. Ἐχθρῶν κτλ.] Greg. Cypr. L II, 15. Apost. VIII, 22.
88. Greg. Cypr. L II, 34.
89. Mant. Provv. s. κακόν: cf. nott. ad Diog. VIII, 58. Similiter Τήνια κακά: DV III, 78.
90. DV II, 97.
91. Macar. III, 29.
92. Greg. Cypr. L II, 50.
93. Greg. Cypr. L II, 57.
94. Mant. Provv. s. Καρπάθιος: Zenob. IV, 48.
95. DV II, 59: Macar. V, 50. Apost. VI, 80.
96. Arist. Ran. 197.
97. Apost. IX, 48: Diog. V, 95.

98 *Καὶ ἀσχολίας ὑπέρτερον*: ἐπὶ τῶν τἆλλα μὲν παραιτουμένων, ἓν δέ τι προκρινόντων.

99 *Κἂν τοῖς λειψάνοις ἔνεστιν εὐωχία*: ὅτι καὶ τὸ μικρὸν ἀντάξιον μείζονος.

100 *Κακὸν ἐπὶ κακῷ*.

1 *Κάμηλον ἐπὶ καμήλῳ*: ἐπὶ τῶν μεγάλοις μεγάλα προςτιθέντων.

2 *Κανθαρίδας ἐδήδοκας*: ἐπὶ τῶν δυςῶδες ἐχόντων στόμα καὶ κάκοσμον.

3 *Κατὰ ῥοῦν τἀγαθά*: ἐπὶ τῶν εὐδαιμονίᾳ πολλῇ χρωμένων.

4 *Καπνοῦ σκιὰν δεδοικέναι*: ἐπὶ τῶν τὰ μηδενὸς ἄξια φοβουμένων.

5 *Καὶ χειρὶ καὶ ποδὶ βοηθεῖ*: ὁμοία τῇ· *Πάντα κάλων σείειν*.

6 *Καὶ βοῦς ἀρότης γέγονα*: καὶ ἐπὶ πολυμαθοῦς καὶ ἐπὶ πολλὰ πονήσαντος.

---

5. κακὸν ἐπὶ κακόν (ῷ) S. 6. καμήλῳ] κάμηλον S.

98. Pind. Isthm. I, 2: τὸ τεὸν .. πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι: quo postquam Plat. Phaedr. 227 B usus est, usi sunt permulti: v. Dissenius ad Pind. l. c.

99. Comparari quodammodo potest Aristid. Panathen. 175 D Iebb.: ἀλλὰ ταῦτα μὲν ἐστιν ὥσπερ ἀπὸ τῶν τραγημάτων τὴν εὐωχίαν σεμνύνειν, ubi v. Scholia p. 328 Fromm.: add. Scholl. ad Arist. Plut. 190: τὰ μετὰ τὴν εὐωχίαν τῇ τραπέζῃ τιθέμενα καλοῦσι τραγήματα· ὅθεν καὶ παροιμία, *Ἐκ τραγημάτων τὴν εὐωχίαν*. λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀπὸ τῶν ἡττόνων τὰ μείζω θαυμαζόντων.

100. Zenob. V, 69. Liban. Epist. 653: καὶ νῦν δὴ κακῷ τὸ κακόν φασι, τῷ μὴ γράφειν, τὸ μὴ γεγραφέναι. Similiter oraculum in Herod. I, 67, 3: καὶ τύπος ἀντίτυπος καὶ πῆμ' ἐπὶ πήματι κεῖται: Hom. Il. *Π*, 111: πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο: add. ib. *Τ*, 290. Cf. Macar. V, 11.

1. Camelus de permagno homine dicebatur: Philyllius comicus in Scholl. ad Arist. Plut. 179: περὶ δὲ τοῦ μεγέθους [sc. Φιλωνίδου] Φιλύλλιός φησιν· Ἦ τις κάμηλος ἔτεκε τὸν Φιλωνίδην.

2. Scholl. ad Nicand. Alexiph. 115: κανθαρίδες εἰσὶ τὰ κοπροφόρα καὶ σιτοφόρα ζῷα, οἱ λεγόμενοι κάνθαροι. ὧν ἡ μὲν ὀσμὴ ὁμοία ἐστὶ πίσσῃ χυτῇ, ὅ ἐστι τῷ ὑγροπίσσῳ, ἡ δὲ γεῦσις κεδρίσι: v. Schneiderum ad h. l. et ad vs. 117.

3. Greg. Cypr. L II, 38. 55.

4. Append. Provv. III, 44: add. e Suida s. καπνοῦ σκιά: .. καὶ παροιμία· *Καπνὸν εἶναι ἡγούμην*: ἐπὶ τῶν οὐδαμινῶν καὶ οὐδενὸς ἀξίων, quod ex Arist. Nub. 330 ductum videtur: Soph. Antig. 1170: ἐὰν δ' ἀπῇ Τούτων τὸ χαίρειν, τἆλλ' ἐγὼ καπνοῦ σκιᾶς Οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν. Cf. Macar. VII, 67.

5. Append. Provv. III, 38. Soph. Elect. 1195: τί δρῶσα; πότερα χερσὶν ἢ λύμῃ βίου; Ἠλ. καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς. Πάντα κτλ.] Macar. II, 15.

6. Cf. DV II, 6. Βοῦς ἀρότης dicitur in Anthol. Planud. IV, 101, 2.

7 Κακὸν ἀναγκαῖον τὸ πείθεσθαι γαστρί: ἐπὶ τῶν ἐξ ἀνάγκης καὶ οἷς οὐ χρὴ πειθομένων.

8 Κακὸς μὲν κόρος, δεινὸς δὲ λιμός.

9 Κάριος αἶνος: ἐπὶ τῶν ἀπορούντων τι διαπράξασθαι· ἁλιέα γάρ φασι τροφῆς ἀποροῦντα χειμῶνι εἰπεῖν· Κολυμβήσω, ἀλλὰ ῥιγήσω· μὴ κολυμβήσω, ἀλλὰ πεινάσω.

10 Κακῶν ἐόντων δεῖ κύμινα πριστεῖν †: ὅτι δεῖ τὸν ἐν κακοῖς ὄντα ἀκριβολογεῖσθαι.

11 Κακὸν κακῷ ἕπεται.

12 Κενὴν ψάλλεις: ἐπὶ τῶν μάτην πονούντων.

---

7. πριστεῖν corruptum est: et sensus et metri causa aut κύμινα διαπρίειν aut κύμινα πρίεσθαι scribendum est. 10. πρὸς κενὴν Ds.

7. Hom. Odyss. *H*, 216: *οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο Ἔπλετο, ἥτ' ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ*: ib. O, 344: est enim durus tyrannus venter, nc optimas quidem adhortationes respiciens, quippe auribus carens, ut Cato dixit apud Plut. Apophth. Regg. cett. 198 D, ubi v. Wyttenbachius: hinc etiam Menand. Monost. 321: *λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος*: add. Macar. VI, 73. Proverbii speciem verba *κακὸν ἀναγκαῖον* nacta sunt: Hybreas Strab. XIV, 2, 24, p. 659 fin.: *Εὐθύδημε, κακὸν εἶ τῆς πόλεως ἀναγκαῖον*: Menand. Monost. 305: *καὶ κτώμεθ' αὐτὰς* [feminas] *ὡς ἀναγκαῖον κακόν*: Severus Alexander in Ael. Lamprid. V. Sev. Al. 46: *rationales cito mutabat, ita ut nemo nisi annum compleret: eosque vel si boni essent oderat, malum necessarium vocans*: similia habet Welckerus ad Theogn. 275. 1202.

8. Cf. annott. ad Diog. VIII, 22. Menand. Monost. 310: *λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ*: Callimachus ut videtur apud Suid. s. *λιμός*: *Γαστέρι μοῦνον ἔχοιμι κακῆς ἀλκτήρια λιμοῦ.*

9. Diogen. Provv. praef. T. I, p. 179.

10. Indolem hominum, qui *Κυμινοπρίσται* dicebantur, accuratius definiit Aristot. Eth. ad Nicom. IV, 3, ad quem locum Aspasius similia vocabula collegit, quorum numerus ex Poll. III, 112. Eustath. ad Hom. Od. *P*, 1828, 10 et ex Casauboni comm. ad Theoph. Char. X init. augeri potest: add. Hemsterhusius ad Arist. Plut. 590. Lobeckius ad Phryn. 399. Versus ex iambographo desumptus: cum eo contendo Theocr. Id. X, 54: *κάλλιον ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἕψειν. Μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον*, ubi Scholia: *καθὰ εἰώθαμεν τοὺς ἄγαν φειδωλοὺς κυμινοπρίστας καλεῖν*: Alex. Athen. VIII, 365 B: *ἀλλ' εὖ οἶδ' ὅτι Κυμινοπρίστης ὁ τρόπος ἐστί σου πάλαι*: Phot. s. *κύμινον: ἐπὶ μικρολόγου· Μένανδρος*, de quo loco v. Meinekius Men. et Phil. Fr. p. 285: Iulian. Caesar. 312 A: *εἷς εἶναί μοι δοκεῖ τῶν διαπριόντων τὸ κύμινον.*

11. Cf. Macar. IV, 100.

12. *Νευρὰν* supplendum est: v. Suid. s. *ψάλλω*. Diog. VII, 60. App. Provv. V, 38: Macar. VIII, 91. Eurip. Melan. in Eurip. Vita ab Rossignolo edita, p. XIX Witsch.: *μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος Ψάλλει κενὸν τόξευμα καὶ κακῶς λέγει*: Lycoph. Cass. 1454: *εἰς ἀνηκόους πέτρας ... βάζω, κενὸν ψάλλουσα μάσταχος κρότον*: Theophanes Conf. I, p. 13, 16: *κενὴν τὸ δὴ λεγόμενον κατὰ τὴν παροιμίαν ἔψηλαν, ἀνθρώπου ἐντυχόντες στέρνοις*: Ioann. in Boiss. Anecd. IV, 316: *καὶ πρότερον γὰρ ... τί μὲν οὐ λέγων, τί δὲ οὐ ποιῶν, ὥστε τοῦτον ἐπανυαγαγέσθαι, κενὴν ψάλλειν*

13 *Κέρδος αἰσχύνης ἄμεινον.*

14 *Κηφῆνες μόχθους ἄλλων κατέδονται: ἐπὶ τῶν ἀργῶν καὶ τὰ ἀλλότρια δαπανώντων.*

15 *Κιλίκιοι τράγοι: ἐπὶ τῶν δασυτάτων καὶ θρασυτάτων καὶ ἀγροίκων.*

16 *Κλειτοριάζειν: ἐπὶ τῶν παιδεραστούντων. οἱ γὰρ Κλειτόριοι εἰς αὐτὸ διεβάλλοντο.*

17 *Κοττᾶς Μάξιμος: ἐπὶ τῶν ὑπὲρ τὸ δέον φρονηματιζομένων.*

18 *Κορινθιάζειν: ἐπὶ τῶν πορνευομένων· ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν.*

---

1. Totum affert Zenob. IV, 67: *κέρδος αἰσχύνης ἄμεινον. ἕλκε μοιχὸν ἐς μυχόν*, de quo v. quae dixi in Schneidewini Philol. III, 570. 6. *οἱ γὰρ κτλ.* Ds ignorat: recte: nam negligentia huc relata sunt ex male intellecta grammatici de voce *κλειτόριον* explicatione: Etym. M 519, 50: *Κλιτόριον: ὄνομα πόλεως· ... σημαίνει δὲ καὶ τὸ αἰδοῖον τῆς γυναικός· ὅθεν καὶ κλιτοριάζειν λέγεται, τὸ αἰσχρῶς ἅπτεσθαι.* 7. *Κλητόριοι* S.

ἐῴκει καὶ εἰς ὦτα λέγειν μὴ ἀκουόντων. Dicebatur etiam *κενὰ ψάλλω*: Theophyl. Instit. Reg. 1 in Banduri Imper. Orient. I, 165 A: *ἀκούεις, Αὐτοκράτορ, οὐ γὰρ μάτην ταῦτά μοι ῥαψῳδηται οὐδ' ἵνα κενὰ ψάλλω τοῦτο δὴ τῆς παροιμίας.*

13. Apost. IX, 68: Diog. V, 42.

14. Suid. s. *κηφήν· ... λέγεται δὲ ἐκ τούτου καὶ ἄνθρωπος* [sc. *κηφήν*], *ὁ μηδὲν δρᾶν δυνάμενος*: quem usum Ruhnkenius ad Plat. Tim. Lex. 158 Lugd. illustravit. »Fuci apud Latinas aures ut *κηφῆνες* apud Graecos proverbialiter dicuntur, quicunque alienis insidiantur laboribus. Procopius de bello Goth. [II, 7] Belisarii dictum referens: *σὺν γέλωτι εἶπεν, Οὐ δίκαιον, τοὺς κηφῆνας μὲν ὑφ' ἑτέρων πόνῳ μεγάλῳ ἀπόλλυσθαι, ἄλλους δὲ τοῦ μέλιτος οὐδεμιᾶς ταλαιπωρίᾳ ὀνίνασθαι*: Theophyl. Simoc. Epist. (23): *οὐδὲν κηφήνων ἡμῖν διενήνοχας*: Hippocrates in praeceptis medicis [I, p. 85 Kuehn.] de ambitioso: *περιποιήσῃ γὰρ κηφῆνος μετὰ παραπομπῆς ἑτοιμοκοπίην*: Hesiodus in opere cui titulus Opera et Dies [304]: *κηφήνεσσι κοθούροις εἴκελος ὀργήν*: quo loco *κόθουρος* epitheton elegans residem denotat, qui tempus observet, quo egressis apibus clam subeat alvearia mel depasturus. Virgilius de apibus [Georg. IV, 168]: *ignavum fucos pecus a praesepibus arcent*, ubi Donatus: *fucus genus animalis non tantum iners et desidiosum, verum etiam aliena bene parta consumit.*« Iunius Adag. V, 15. Add. Liban. Epist. 351: *νῦν μὲν γὰρ κἂν σκῶμμα δέξαιτο, τρεφόμενος ἐκ βασιλέως ἐν ἀργίᾳ, πάντως δὲ οὐκ ἀγνοεῖς, ὅ τι τοὺς τοιούτους καλοῦμεν*, sc. *κηφῆνας*.

15. DV III, 2.

16. Apost. IX, 84: Diog. V, 77.

17. Diog. V, 46 ibiq. VB, ubi *Κοττᾶς* restitui debet.

18. Steph. Byz. s. *Κόρινθος*: .. *καὶ κορινθιάζομαι τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν· ἢ τὸ μαστροπεύειν· Ἀριστοφάνης ἐν Κωκάλῳ* [fr. 133 Dindf.]: Eustath. ad Hom. Il. *B*, 572, p. 290, 22: *εὐθήνησε δέ ποτε τῇ τῶν ἑταιρίδων εὐφορίᾳ. ὅθεν καὶ κορινθιάζεσθαι τὸ μαστροπεύειν ἢ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν*: eadem fere in formam breviorem redacta repetunt Scholl. Leid. ad Hom. l. c. et Hesych. s. *κορινθιάζειν*. De re cf. infr. 26 et adnott. ad Zenob. V, 37. Verbum iis, quae in nott. ad App. Provv. IV, 73 collegi, addendum est.

19 *Κορώνη τὸν σκορπίον:* λείπει ἥρπασεν. ἐπὶ τῶν κακὰ σφίσιν αὐτοῖς ἐπαγομένων.

20 *Κοσκίνῳ ἀντλεῖς:* ἐπὶ τῶν ἀνηνύτως καὶ μάτην πονούντων.

21 *Κοινὰ τὰ φίλων.*

22 *Κόπος κόπον λύει:* ἐπὶ τῶν ἄγαν κεκοπωμένων.

23 *Κολοφῶνα ἐπέθηκεν:* ἐπὶ τοῦ ἰσχυροῦ καὶ ἀδυνάτου· Κολοφώνιοι γὰρ σύνταγμα εἶχον πολεμικὸν, ὃ τοῖς δεομένοις ἐπικουρεῖν ἔπεμπον.

24 *Κολοφωνία ὕβρις:* ἐπὶ τῶν διὰ πλοῦτον ὑβρίζειν ἐπαιρομένων.

25 *Κοσκίνου γῆρας:* ἐπὶ τοῦ ἀχρήστου καὶ φαύλου.

26 *Κορίνθιον κακόν:* ἴσως διὰ τὰς ἑταίρας.

---

7. *καὶ ἀδυνάτου* dele.

19. Greg. Cypr. M III, 85.

20. Plut. Boiss. 8. 50: add. Dionys. Hal. Ant. Rom. II, 69, p. 383 R. de Tuccia narrans: *ταῦτα δ' εἰποῦσαν καὶ τὴν θεὸν ἐπικαλεσαμένην ἡγεμόνα τῆς ὁδοῦ γενέσθαι, προάγειν ἐπὶ τὸν Τίβεριν, ἐπιτρεψάντων μὲν αὐτῇ τῶν ἱεροφαντῶν, τοῦ δὲ κατὰ τὴν πόλιν ὄχλου συμπροπέμποντος· γενομένην δὲ τοῦ ποταμοῦ πλησίον τὸ παροιμιαζόμενον ἐν τοῖς πρώτοις τῶν ἀδυνάτων τόλμημα ὑπομεῖναι, ἀρυσαμένην ἐκ τοῦ ποταμοῦ κενῷ κοσκίνῳ καὶ μέχρι τῆς ἀγορᾶς ἐνέγκασαν παρὰ πόδας τῶν ἱεροφαντῶν ἐξερεῦσαι τὸ ὕδωρ.*

21. Greg. Cypr. L. II, 54.

22. Citat Theophrast. fr. *περὶ κόπων* 7, 6 Schn.: *αἱ δὲ θεραπεῖαι δόξαιεν ἐναντίαι πως εἶναι καὶ τῶν παθῶν καὶ ἑαυταῖς οἷον ἥ τε καθυγραίνουσα καὶ λουτροῖς καὶ ποτοῖς, εἴπερ ἐν ὑγρότητι καὶ συντήξει τὸ πάθος, καὶ τῷ κόπῳ λύουσα τὸν κόπον κατὰ τὴν παροιμίαν*: ubi apte Schneiderus Antiphanem Athen. II, 44 A comparat: *οἴνῳ ** τὸν οἶνον ἐξελαύνειν ... κόπῳ κόπον, ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην*: Galenum *ὑγιεινῶν* III, 8, 250 Basil., T. VI, 204 Kuehn.: *ἀκοῦσαι γοῦν ἐστι τῶν μὲν φασκόντων, ὡς κόπῳ χρὴ λύειν τὸν κόπον, ἑτέρων δὲ, ὡς ἀνάπαυσις ἰῦται τὸν κάματον*: ibid. 204 Kuehn.: *ἀληθὲς γοῦν ἐστι καὶ τὸ κόπῳ λύεσθαι τὸν κόπον, ὅταν γε δὴ φαίνηταί ποτε δέον εἶναι τοῖς ἐν τῇ προτεραίᾳ γυμνασίοις ἴσα κατὰ τὴν ὑστεραίαν γυμνάζεσθαι καὶ τὸ τὴν ἴασιν κόπων ἡσυχίαν ὑπάρχειν.*

23. Greg. Cypr. M III, 91: Macar. VIII, 54.

24. Apost. IX, 94: Diog. V, 79.

25. Compara Mac. IV, 80.

26. Cf. Mac. V, 18. »Nam ab avita Heraclidarum virtute, quam usque ad bellum Persicum integram servaverant, desciscentes Corinthii *φιλήδονοι* dicti (Max. Tyr. Diss. 10, p. 44 R. coll. Herod. IX, 105) adeoque mores suos leves fieri, corrumpi et depravari passi sunt, ut Euthymus dicaciter inversa Euripidis sententia (Med. 217) milites Corinthios feminas dicere non vereatur (Plut. Timol. 32), atque in ipsa lingua mollitiei et libidinis eorum extet in omni posteritate monumentum. Urbs enim ipsa audit u n c t a (Iuven. VIII, 113), Corinthia verba idem valent ac mollia, facta, calamistrata (Virg. Catal. II, 1), Corinthia puella apud Platonem (Reip. VIII, 404 D) significat *πόρνην, ἑταίραν*: *κορινθιάζεσθαι* denique, quod omnium turpissimum est, idem est atque *ἑταιρεῖν, μαστροπεύειν*:« W a g n e r u s Rer.

27 *Κολοφώνιος χρυσός*: ἐπὶ τῶν δοκιμωτάτων.

28 *Κρὴς πρὸς Αἰγινήτην*: ἐπὶ τοῦ ὁμοίου κατὰ τὴν πανουργίαν.

29 *Κράμβην ἀλείφειν*: ἐπὶ τοῦ μικρολόγου καὶ φειδωλοῦ.

30 *Κρητίζει ὁ κριτής*: ἐπὶ τῶν ἐν τῷ κρίνειν ψευδομένων.

31 *Κριὸς τὰ τροφεῖα*: ἐπὶ τῶν ἀχαρίστων. ἐπειδὴ τοὺς τρέφοντας ἐνίοτε κυρίττουσιν οἱ κριοί.

32 *Κύων σπεύδουσα τυφλὰ τίκτει*: ἐπὶ τῶν διὰ σπουδὴν ἁμαρτανόντων.

33 *Κρότωνος ὑγιεινότερος*: ἐπὶ τῶν πάνυ ἐῤῥωμένων καὶ ἰσχυρῶν.

34 *Κύων ἐν φάτνῃ*: ἐπὶ τῶν μήτ' ἀπολαυόντων μήτ' ἄλλους ἐώντων.

35 *Κύων ἐν ῥόδοις*: ἐπὶ τῶν ἐν μείζοσιν ἢ καθ' ἑαυτοὺς διαιτωμένων.

36 *Κύων κυνὸς οὐχ ἅπτεται*: ἐπὶ [τῶν] τοὺς ὁμοίους φυλαττομένων.

37 *Κυνὸς οὖς*: ἐπὶ τῶν ὀξέως ἀκουόντων.

---

2. *Αἰγινίτην* S. 6. *κριὸς τροφεῖα ἀπέτισε* M. 8. *ἐπισπεύδουσα* Apostolius. *τίκτει*] *γεννᾷ* idem. 10. *ὑγιέστερος* C et Crameri codex. 12. *ἡ κύων* Ds. *ἐπὶ φάτνην* Suid. v. *κύων*. *ἀπολαυνόντων* S. 14. *τῶν ἐν*] *ἐν* S om.: adiecit Emperius. 16. *τῶν* S om.: inseruit Walzius.

Corinth. Spec. 26. Add. *Κορινθία παῖς* ab Euripide apud Poll. X, 35 [Sciron. fr. 1] dicta: *Κορίνθιαι ἑταῖραι* Max. Tyr. Diss. III, 3.

27. Greg. Cypr. L III, 38.

28. Apost. X, 6: Diog. V, 92.

29. Proverbium attigi in annott. ad Plut. 48 Boiss.

30. Cf. Schneidewinus ad Zenob. IV, 62: add. Macar. VII, 35

31. Greg. Cypr. M III, 97.

32. Apost. X, 23. Aristoph. Pac. 1078: *ὡς ... χἠ κώδων ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει*, ubi recte Scholia: *παρὰ τὴν παροιμίαν ἡ κύων σπεύδουσα τυφλὰ τίκτει*: Galenus *περὶ σπέρματος* II, 5, T. IV, 639 Kuehn.: *τὰς δὲ κύνας ἤδη που ἡ παροιμία φησὶ τυφλὰ τίκτειν ὑπὸ σπουδῆς*: v. App. Provv. I, 12. Respexit etiam Plutarchus in Max. Conf. Serm. 19, p. 593 Combef.: *οἱ θυμοί, καθάπερ αἱ κύνες, τυφλὰ τίκτουσιν ἐγκλήματα*: nam Democrito hunc locum abiudicandum esse Mullachius ad Democr. Rell. p. 328. demonstravit. Natum est ex Aesopi fab. 69 Cor. Quod doctrinam de canum natura in proverbio proditam attinet, recte dixit Greg. Nazianz. in Ioannis Damasc. Parall. Sacr. T. II, Opp. 531 A: *τετήρηνται οἱ τῶν λεόντων σκύμνοι καθάπερ καὶ οἱ κύνες τίκτεσθαι τυφλοί.*

33. Append. Provv. III, 51: Crameri Anecdd. Pariss. I, 398, 17.

34. Macar. IV, 43.

35. Append. Provv. III, 54.

36. Append. Provv. III, 55.

37. Dicebatur de eis, qui ut Plautus Mil. Gl. III, 1, 176 dixit, *perpurgatis auribus* alicui *operam dant*: add. Hor. Epist. I, 1, 7, ubi v. Obbarius.

38 *Κυνικὸς θάνατος*: ἐπὶ τοῦ χαλεποῦ· παρόσον οἱ κύνες οὐ θάπτονται.

39 *Κύων παρ' ἐντέροις*: ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρόντων· ἄχρηστα γὰρ ταῦτα καὶ δύςβρωτα καὶ δυςκατάποτα τοῖς κυσί.

40 *Κύκνειον μέλος*: ἐπὶ τῶν τὰς τελευταίας φωνὰς ἀφιέντων.

41 *Κύλλου πήρα*.

42 * * *: ἐπὶ τῶν μὴ δυναμένων ὧν ἔχουσιν ἀπολαύειν.

43 *Κύματα μετρεῖ*: ἐπὶ τῶν ἀνωφελῶς τι διαπραττομένων.

44 *Κυκλώπιος βίος*: καὶ ἐπὶ ἀγρίου καὶ ἐπὶ ἑτοίμου.

---

1. *κύνειος* Hesychius. 3. Accuratius Suidas explicat: *παροιμία ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρακειμένων· ἢ ἐπὶ τῶν ἀχρήστων σφόδρα καὶ ἀνωφελῶν· δύςβρωτα γὰρ τῷ κυνὶ καὶ δυςκατάποτα.* 5. *τῷ κυνὶ* Walzius. 6. *κύκνιον* S. 8. *Κύλλου* recte S: male *Κυλλοῦ* Suidas, alii: v. Arcad. de Accentt. 56, 23. Suid. s. *Κυλλοῦ πήραν*: *ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ· ἐν ᾧ ἱερὸν Ἀφροδίτης, καὶ κρήνη, ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσιν, καὶ αἱ ἄγονοι γόνιμοι γίνονται. Κρατῖνος δὲ ἐν Μαλθακοῖς Καλλίαν αὐτήν φησιν. οἱ δὲ Κυλλουπήραν* [v. de his nominibus Photium s. *Κυλλοῦ πήραν* et Meinekium Com. Grr. II, 1, 79]· *τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως.* Hinc patet quae ab Macario proponitur explicatio, eam huc non pertinere. Igitur lacunae signa posui. Excidit *κύων παρ' ἐντέροις*: v. sup. 39. Aut *κύων ἐν βαλανείῳ*: Lucian. de Parasito §. 51: *καὶ ἔμοιγε δοκεῖ, ἐν συμποσίῳ φιλόσοφος τοιοῦτόν ἐστιν οἷον ἐν βαλανείῳ κύων*: add. Lucian. adv. Indoct. §. 5. Macar. VIII, 34.

38. Hesychius. Arist. Vesp. 893: *θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῷ*, ubi Scholia: *παίζει ὡς ἐν κωμῳδίᾳ καταδικάζων τὸν Λάβητα κυνείῳ θανάτῳ. ἅμα δὲ ὅτι καὶ χαλεπός ἐστι ὁ τοῦ κυνὸς θάνατος· δυσχερῶς γὰρ ἀφίησι τὸ πνεῦμα.*

39. Diog. V, 67a, ubi monui, intestina canibus pabulum gratissimum esse: idem monstrat proverbium, quod in DV III, 97 legitur.

40. Greg. Cypr. M III, 84.

41. Append. Provv. III, 52.

42. Cf. notae criticae.

43. Plutarch. Boiss. 17. Anonym. in Anth. Palat. XII, 156, 5: *τυφλὰ δ', ὅπως ναυηγὸς ἐν οἴδματι, κύματα μετρῶν Δινεῦμαι κτλ.*

44. Apost. IV, 92b. Eustath. ad Hom. Od. *I*, 109, p. 1617, 35: *Κύκλωπες αὐτοφυεῖς νέμονται καρπούς· καὶ οὕτω τὴν ἰδιότητα φράσας τῆς γῆς ὁ ποιητής, ὡς εἰ καὶ νῆσος μακάρων* [Macar. III, 64] *ἦν τις καὶ αὕτη, περιᾴδεται γὰρ ἐν παροιμίαις ἐπ' εὐδαιμονίᾳ καὶ ἡ τῶν Κυκλώπων ὡς καὶ ἡ τῆς Αἰγύπτου γῆ καὶ ἡ τῶν Ἀράβων, ἐκτίθεται κτλ.*: Suid. s. *Κύκλωπες: ἄγριοι ἄνθρωποι· καὶ Κυκλώπειον βλέμμα*: utraque ratio ex Homeri Od. *I*, 105 sqq. ducta est. Ad beatam vitam retulit Strab. XI, 4, 3, p. 502 de Albanis exponens: *τυγχάνει δ' ἐπιμελείας [ἡ γῆ] οὐδὲ μικρᾶς, ἀλλά τ' ἀγαθὰ ἄσπαρτα καὶ ἀνήροτα* [de his vocibus v. nott. ad Diog. I, 18: add. Iacobsius ad Philostr. Imagg. I, 9, p. 256. II, 18, p. 502] *ἅπαντα φύονται, καθάπερ οἱ στρατεύσαντές φασι, Κυκλώπειόν τινα διηγούμενοι βίον*, quae Eustath. ad Dionys. Perieg. 730 expilavit: Dio Chrysost. Oratt. 64, p. 330 T. II R.: *τοῦτο ἦν ἄρα καὶ χρυσοῦν γένος καὶ νῆσοι μακάρων τινὲς αὐτομάτας ἔχουσαι τροφὰς*

45 *Κωφότερος καὶ ἀφωνότερος κίχλης.*

ΤΟ Λ.

46 *Λαγὼς καθεύδει:* ἐπὶ τῶν προσποιουμένων.

47 *Λάθε βιώσας:* παρεγγυᾷ ἰδιοπραγμονεῖν. ἔστι δὲ Δημοκρίτου.

48 *Λαγὼν κατὰ πόδας χρὴ διώκειν:* ἐπὶ τῶν κατὰ τρόπον ὀφειλόντων γίνεσθαι.

49 *Λαλίστερος χελιδόνος:* καί· *Λαλίστερος τρυγόνος.*

---

1. Suid. κωφότερος κίχλης: παρ' Εὐβούλῳ ἐν Διονυσίῳ λέγεται ἀφωνότερος κίχλης. 3. καθεύδων Suidas. προσποιουμένων καθεύδειν (ος) idem. 4. σιώπας Arsenius Walzii p. 494. 8. χελιδόνων S. γρυγόνος S.

καὶ Ἡρακλέους κέρας [Greg. Cypr. L I, 8.] καὶ Κυκλώπων βίος, ὅτι τοῖς κοινήσασι τὸν βίον ἐπὶ τῆς δεξιᾶς χειρὸς δεδήλωκεν, ὡς αὐτομάτη λοιπὸν ἡ τῶν ἀγαθῶν ἀφθονία παραγίνεται. At de infelici vita dixit Maximus Tyrius Diss. 21, T. I, 410 R.: πρὸς ταῦτα ἀπιδὼν ὁ φιλόσοφος, μὴ τὸν Δία μιμείσθω, ... ἀλλὰ βιούτω βίον ἀνδρὸς ἐν ἐρημίᾳ γεννηθέντος, μονωτὴν βίον, οὐκ ἀγελαστικόν, Κυκλώπειον βίον, οὐκ ἀνθρώπινον.

45. Greg. Cypr. L II, 49.

46. DV III, 16.

47. Bianti tribuit Anon. in Walzii Arsen. 514: Pythagoreis Marinus V. Procli c. 15: καὶ ταῦτα πάντα δρῶν καὶ κατὰ ταῦτα ζῶν τοσοῦτον ἐλάνθανεν, ὅθεν οὐδὲ οἱ Πυθαγόρειοι τὸ λάθε βιώσας παράγγελμα τοῦ καθηγεμόνος ἀσάλευτον φυλάττοντες. Usurpat Damascius apud Suid. s. λάθε et s. Σαραπίων. Sententiam examinat Plutarchus in libello qui inscribitur εἰ καλῶς εἴρηται τὸ λάθε βιώσας.

48. Xenoph. Memor. II, 6, 9: θηρατέος ... οὐ κατὰ πόδας, ὥσπερ ὁ λαγώς, οὐδ' ἀπάτῃ ὥσπερ αἱ ὄρνιθες, οὐδὲ βίᾳ, ὥσπερ οἱ ἐχθροί.

49. Theophr. Charact. VII, 5: καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν ἂν εἶναι λαλίστερος: ubi v. Casaubonus. Teste Diog. Laert. VIII, 17 symbolum Pythagoricum fuit χελιδόνα ἐν οἰκίᾳ μὴ ἔχειν aut ὁμορόφιους χελιδόνας μὴ ἔχειν, quod contra loquaces dici Clemens Alexandrinus Stromm. V, 5, 27, p. 238 Sylb. contendit: παραινεῖ γοῦν ὁ Σάμιος χελιδόνα ἐν .. ἔχειν, τουτέστι λάλον καὶ ψίθυρον καὶ πρόγλωσσον ἄνθρωπον μὴ δυνάμενον στέγειν ὧν ἂν μετάσχῃ μὴ δέχεσθαι: eodem fere modo explicant Porphyr. de V. Pyth. 42 Ritt., Procl. ad Hesiod. Op. et D. 742, probante ut videtur Cyrillo in Ioann. Damasc. Sacr. Parall. δ, 1, T. II, Opp. p. 422: μὴ χελιδόνας εἰς οἰκίας δέχεσθε, τουτέστι λάλους ἀνθρώπους καὶ τοὺς περὶ γλῶσσαν ἀκρατεῖς ὁμορόφιους μὴ ποιεῖσθε: discrepant quidem sententiae Plutarchi Q. Symp. VIII, 7 et Iamblichi Adhort. ad Philos. 22: sed Clementis rationem a Graecorum consuetudine non recedere probant haec: Nicostratus Stob. Floril. XXXVI, 8: εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν Ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες Ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ: Philemon apud Schol. ad Ar. Av. 39: ἡ μὲν χελιδὼν τὸ θέρος, ὦ γύναι, λαλεῖ: κωτίλη χελιδὼν Anacr. XII, *garrula hirundo* Virg. Georg. IV, 307: Demoph. Simil. 11 Orell.: οἱ ἀδολέσχαι, ὥσπερ αἱ χελιδόνες, τῷ συνεχεῖ τῆς λαλιᾶς τὴν ἡδονὴν τῆς ὁμιλίας ἀποβάλλουσιν, quem locum Max. Conf. Sent. 47, p. 648

50 *Λέοντα ξυρεῖν: ὁμοία τῇ Αἰθίοπα ῥύπτειν καὶ Εἰς ὕδωρ γράφειν.*

51 *Λευκὴ ἡμέρα: ἤγουν ἀγαθή.*

52 *Λευκὰς κορώνας: ἐπὶ τῶν ἀδυνάτων.*

53 *Λευκὸς Ἑρμῆς: ἐπὶ τῶν ἄδικα μηχανωμένων καὶ λανθάνειν μὴ δυναμένων.*

54 *Λέων ξίφος ἔχων: ἐπὶ τῶν προςθήκην λαβόντων ἧς εἶχον ἀνδρίας.*

55 *Λευκῶν ἀνδρῶν οὐδὲν ὄφελος.*

---

7. *λαβόντος* S. 9. *οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος* Apostolius.

Comb. Lyconi adscribit: Nonn. Dionys. III, 13: Eustath. ad Hom. Od. *Φ*, 406 p. 1914, 32: *ὁποῖος δή τις καὶ ὁ τῆς χελιδόνος βατταρισμὸς* [Diog. III, 68], *ὅτε πρὸς μνήμην Τηρέως κατὰ τὸν μῦθον ῥοιζήσει, οὐ γλυκὺ ᾄδουσα, λαλαγοῦσα δὲ ἀκαλλὲς ὡς οἷα Θρᾷσσα* [Arist. Ran. 680.] *κατὰ τὸν μῦθον. διὸ καὶ ὁ κωμικὸς, οὓς ἐκεῖνος ψέγει ὡς τὰς Μούσας ἀφανίζοντας, χελιδόνων μουσεῖα* [Apost. VII, 66, ubi v. nott.] *καλεῖ, ὅ ἐστι ὑποβαρβάρους χελιδόνων δίκην, οὐ μὴν ἐμμούσους, ὡσεὶ καὶ Σειρήνων* [nott. ad Apost. XV, 36.] *καὶ ἀηδόνων μουσεῖα, ὅπου γε αὐτὸ τὸ κατὰ σειρῆνας ᾄδειν, εἰ μὴ τὰ τοῦ μύθου νοεῖ τις, ἀλλὰ τὰς τῆς ζωϊκῆς ἱστορίας, οὐ λαλεῖται πρὸς ἔπαινον*: quibus adiungas, epistolas loquaces et bene longas a Libanio, Iuliano aliisque *χελιδόνων* nomine insigniri, ut Wolfius ad Liban. Epist. XLIV, 6 docte demonstrat. Quamquam haec ostendunt omni fere tempore Graecis non dispares visas esse propter molestum garritum hirundines hominibus obstreperis et inepte loquacibus, tamen non desunt auctorum loci, ubi hirundinum cantus de suavi et pulchro ponitur: Moschus Id. III, 47: *ἀδονίδες, πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν, Ἃς λαλέειν ἐδίδασκε κτλ.*: cf. Menagius ad Diog. Laert. VI, 78 et v. quae dixi in Schneidewini Philol. I, 131. *Τρυγ. λαλ.*] Macar. VIII, 59. Coniunxit Macarius haec proverbia propter Ierem. 8, 7.

50. DV II, 61. *Αἰθ. ῥ.*] Haec proverbii forma nata videtur ex Aesopi fab. 204 Fur. Ceterum v. DV I, 19. *Εἰς ὕδ. γρ.*] Macar. IV, 95.

51. Append. Provv. III, 60. Tibull. I, 3, 93: *hoc precor, hunc illum nobis Aurora nitentem Luciferum roseis candida portet equis.* Cf. Macar. VIII, 21.

52. Galen. *περὶ δυναμ. φυσ.* I, 17, T. II, p. 71 Kuehn.: *ὥσθ' ὁ Λύκος οὔτ' ἀληθῆ λέγων φαίνεται, . . . πολὺ δὲ μᾶλλον οὔθ' Ἱπποκράτειῳ λευκῷ τοίνυν, κατὰ τὴν παροιμίαν, ἔοικε κόρακι, μήτ' αὐτοῖς τοῖς κόραξιν ἀναμιχθῆναι δυναμένῳ διὰ τὴν χρόαν, μήτε ταῖς περιστεραῖς διὰ τὸ μέγεθος.* Cf. Zenob. III, 87.

53. *Λ. Ἑρμῆς* oppositus est *νυκτὸς ὀπωπητῆρι*, quem genuit Iupiter ex Maia *νυκτὸς ἀμολγῷ*: Hom. hym. 3, 15. 18, 7. Ex comoedia sumptum videtur.

54. Append. Provv. III, 64. Fabulae originem debere videtur.

55. Append. Provv. IV, 35: cf. Apost. XIII, 34. »*Ἄνδρες λευκοὶ* dicuntur homines molles et delicatuli: Arist. Ran. 1091. Thesmoph. 191. Sosicrates apud Poll. IX, 57: *ὅταν γὰρ, οἶμαι, λευκὸς ἄνθρωπος, παχύς, Ἀργός, λάβῃ δίκελλαν εἰωθὼς τρυφᾶν κτλ.*: Plutarch. de discern. adul. p. 56 D: *ὥς που καὶ Πλάτων* [Polit. V, 474 D] *φησί, τὸν ἐραστὴν κόλακα τῶν ἐρωμένων ὄντα τὸν μὲν σιμὸν καλεῖν ἐπίχαριν, τὸν δὲ γρυπὸν βασιλικὸν μέλανας δὲ ἀνδρικοὺς, λευκοὺς δὲ θεῶν παῖδας*: Lucian. de Gymnas. 25. 29. Plutarch. Ages. 9. Caes. 17. Eodem modo utuntur Latini v. albus: Hor. Serm. II, 2, 21:

56 *Λέων ἐν πέδαις.*

57 *Λευκὴ ψῆφος: ἐπὶ τῶν νικώντων.*

58 *Λερναία χολή: ἐπὶ τῶν ὀργίλων καὶ τραχέων. ἀπὸ τῆς Ὕδρας.*

59 *Λήθαργος κύων: ἐπὶ τῶν λάθρα καὶ σιωπῇ κακῶς τινα διαπραττομένων.*

60 *Λήμνιον κακόν: ἐπὶ τῶν σφόδρα ὠμῶν. καί· Λήμνιον βλέπεις: τῇ πρὸ αὐτῆς ὁμοία.*

61 *Λίθῳ λαλεῖς: ἐπὶ τῶν ἀναισθήτων.*

62 *Λιβυκὸν θηρίον: ἐπὶ τῶν ποικίλων καὶ δολίων.*

63 *Λίθον ἕψειν: ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.*

---

1. *ἐπέδαις* S. 3. *Ἡρακλείη ὀργή* Schottus: v. annott. ad Zenob. IV, 86 coll. p. 471, 4. Explicatio ab Hesychio abest. 7. Fortasse post *Λήμνιον κακόν* excidit: *καὶ Λημνίᾳ χειρί*: Hesych.: *Λήμνια· φοβερά· μοχθηρά. Λημνίᾳ χειρί. ὠμῇ καὶ παρανόμῳ· ἀπὸ τῆς μοχθηρίας. Λήμνιον βλέπει. ἐπειδὴ τὸ πῦρ Λήμνιον. Λήμνιον κακόν. παροιμία, ἣν διαδοθῆναί φασιν ἀπὸ τῶν παρανομηθέντων εἰς τοὺς ἄνδρας ἐν Λήμνῳ ὑπὸ τῶν γυναικῶν.* Et sic fere reliqui. 11. *ἑψῆν* Walzius: *ἑψῆσαι* Scholl. ad Platon. 466 Bekk.: *ἕψεις* Suidas cum reliquis.

pinguis vitiis albusque, ubi v. Heindorfius. Walzius ad Arsen. 391. Add. Dion. Chrysost. Or. IV, p. 177 R.: *ὁ δ' ἐκ μέσων ἀναβοάτω τῶν γυναικῶν ὀξύτερον καὶ ἀκρατέστερον λευκὸς ἰδεῖν καὶ τρυφερός, αἰθρίας καὶ πόνων ἄπειρος, ἀποκλίνων τὸν τράχηλον κτλ.*

56. Fortasse huc pertinet Aesopi fab. 148 Schn., 98 Fur.

57. Apost. X. 62: Diog. VI, 9. E Thracum moribus ortum: Plin. N. H. VII, 40, 131: *vana mortalibus et ad circumscribendum se ipsam ingeniosa, computat more Thraciae gentis, quae calculos colore distinctos pro experimento cuiusque diei in urnam condit ac supremo die separatos dinumerat atque ita de quoque pronuntiat. Quid quod iste calculi candore illo laudatus dies originem mali habuit?* Hinc Latini potissimum varias dicendi formulas derivaverunt: v. Horat. Carm. I, 36, 10 ibiq. intt., O. Iahnius ad Pers. Sat. II, 1 et add. quae notata sunt ad Zenob. VI, 13. App. Provv. III, 60. Mant. Provv. s. *μία*.

58. Hesychius. Proverbii originem indicat Diod. IV, 11 fin.: *οὕτως οὖν χειρωσάμενος τὸ ζῷον εἰς τὴν χολὴν ἀπέβαπτε τὰς ἀκίδας, ἵνα τὸ βληθὲν βέλος ἔχῃ τὴν ἐκ τῆς ἀκίδος πληγὴν ἀνίατον.*

59. Greg. Cypr. L II, 62.

60. Greg. Cypr. M IV, 13. 22.

61. Append. Provv. III, 68.

62. Greg. Cypr. L II, 60.

63. Apost. VIII, 26. X, 68. XIV, 17: Append. Provv. III, 67. »Usurparunt Aristid. *ὑπὲρ τ. τεττ.* 230: *ἐλελήθεις δὲ ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων καὶ λίθον ἕψων καὶ σπείρων τὰς πέτρας.* Aristoph. Vesp. 278: *ἀλλ' ὁπότ' ἀντιβολοίη τις κάτω κύπτων ἂν οὕτω, Λίθον ἕψεις, ἔλεγεν.*« Walzius ad Arsen. 336. Addo Iulianum Oratt. VIII, 249 A: *ἢ τοῦτο μέν ἐστι ἤδη καὶ προσόμοιον τῷ γράφειν ἐφ' ὕδατος* [sup. 50] *καὶ τὸν λίθον ἕψειν καὶ τῶν ὀρνίθων ἐρευνᾶν ἴχνη τῆς πτήσεως*: Greg. Nyssen. Vit. St. Ephraemi T. III, 603 Paris.: *μελλούσης ἀνταποδόσεως λίθον ἕψεις, ἣ τῶν ἔξω παροιμία ἐπὶ τῶν ἀδυνάτων περιείληφεν*: Theod. Metoch. c. 46, p. 275 Kiessl.: *τίς γὰρ τὸν μὴ παρόντα καταδραμεῖται; τίς διώξεται τὸν μὴ φεύγοντα; τίς κατὰ τοῦ*

64 *Λιμοῦ πεδίον*: ἐπὶ τῶν ὑπὸ λιμοῦ πιεζομένων.

65 *Λοκροὶ τὰς συνθήκας*: ἐπὶ τῶν παραβαινόντων τὰς συνθήκας.

66 *Λοκρικὸς βοῦς*: ἐπὶ τῶν εὐτελῶν.

67 *Λόγοι λόγους τίκτουσιν*: ἐπὶ τῶν ἐκ πολυλογίας εἰς ἔριν καθισταμένων.

68 *Λύκου πτερά*: ἐπὶ τῶν μηδενὸς ὄντων ἀξίων καὶ ἀδυνάτων, ὅταν μέχρι τῶν λόγων ὁ φόβος στῇ.

69 *Λύκου στέγη*: ἐπὶ τῶν πενομένων.

70 *Λύκων φιλία*: ἡ προςποιητός.

71 *Λύκος ἐν αἰτίᾳ γίνεται κἂν φέρῃ κἂν μὴ φέρῃ*.

72 *Λύκων αὐλή*: ἐπὶ τῶν πονηρῶν καὶ λεπτῶν.

73 *Λύκου ῥήματα*.

74 *Λύκου δεκάς*: ἐπὶ τῶν πονηρῶν καὶ προδοτῶν.

75 *Λυδία λίθος*: ἐπὶ τῶν ἀκριβῶς ἐξεταζόντων καὶ διακρινόντων τὰ πράγματα.

76 *Λύκος ἔχανεν*: ἐπὶ τῶν μάτην ἐλπισάντων.

---

4. S εὐγενῶν. 8. στῇ] ῃ Ds. 11. αἰτίᾳ] φιλίᾳ Walzius. Fortasse scribendum est: λύκος ἐν αἰτίαισίν ἐστι, κἂν κτλ. 12. λεπτῶν] κλεπτῶν Walzius. 15. ἐξεταζόν S.

μὴ πράγματ' ἔχειν αὐτὸς αἱρήσεται κατὰ σκιᾶς ἀνασπῶν λόγους, ὥς φησιν ἡ ποίησις [Soph. Aiac. 299], καὶ λίθους ἔψων τῆς παροιμίας καὶ ἀνδριάσι προςδιαλεγόμενος.

64. Zenob. IV, 93.

65. Apost. X, 76: Zenob. V, 4: add. Eustath. ad Hom. Il. *B*, 529, p. 275, 44: φέρεται δὲ ἀπ' αὐτῶν παροιμία ἥδε· Λοκρῶν σύνθημα, ἐπὶ ἀπατεώνων. δοκοῦσι γὰρ Λοκροὶ Πελοποννησίοις συνθέμενοί ποτε εἶτα Ἡρακλείδαις βοηθῆσαι.

66. Apost. X, 78: Zenob. V, 5.

67. Greg. Nazianz. in Georg. Gnomol. apud Boiss. Anecd. I, 55: λόγοι λόγους ἤλαυνον· οἱ δ' ἦσαν λόγοι.

68. DV III, 7.

69. App. Provv. III, 78. Natum videtur ex Aesopi fab. 154 Schneid., 103 Fur.: cf. infr. 72.

70. Ortum ex Aesopi fab. 257 Fur. aut simili. Alludit Menander apud Eustath. ad Hom. Il. *K*, 334, p. 809, 44: διὸ παρὰ Αἰλίῳ Διονυσίῳ κεῖται τὸ λυκοφιλίως ἀντὶ τοῦ ὑπόπτως, ὑπούλως, ὃς φέρει καὶ Μενάνδρου χρῆσιν ταύτην· Λυκοφίλιοι μέν εἰσιν αἱ διαλλαγαί: cf. Gatacker ad Marc. Anton. 328 B. Meinekius ad Menand. Rell. p. 254.

71. Append. Provv. III, 74.

72. Macar. V, 69.

73. Greg. Cypr. L II, 66: cf. Mac. III, 48.

74. Apost. X, 93. VIII, 49.

75. Hesych. Photius: v. Greg. Cypr. L I, 64. Apost. X, 99[a]. Bacchylides Stob. Flor. XI, 7: Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν, ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατής τ' ἐλέγχει Ἀλάθεια: Theocr. Id. XII, 35: Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, ubi v. Scholia: Auct. incert. in Crameri An. Oxon. III, 158: ἢ τὰς Λυδίας, τὸν κίβδηλον χρυσὸν καὶ τὸν μὴ τοιοῦτον ἐξελεγχούσας: alia praebebit Boissonadus ad Nicet. Eugen. T. II, 414. Cf. Macar. IV, 54.

76. Greg. Cypr. M IV, 15. Apost. X, 85. Cf. Fritzschius ad Arist. Thesmoph. p. 620.

77 *Λύλλος εἶ:* ἤγουν μωρός· τοιοῦτος γὰρ ὁ Λύλλος ἦν.

78 *Λυδὸς ἀποθνήσκει σοφὸς ἀνήρ:* ἐπὶ Κροίσου τοῦτο εἴρηται.

ΤΟ Μ.

79 *Μαγνῆτις λίθος:* ἐπὶ τῶν πρὸς ἑαυτοὺς ἐπισπωμένων τινάς.

80 *Μαντικὸν ψυχή:* ἐπὶ τῶν τὰ μέλλοντα προορωμένων.

81 *Μακάρων νῆσοι:* ἐπὶ τῶν ἔκπλεα τἀγαθὰ δοκούντων ἔχειν.

82 *Μελαμπύγῳ συντύχοι:* οἱ δὲ, δασυπρώκτῳ.

83 *Μερὶς οὐ πνίγει.*

---

1. *Μύλλος* Meinekius Com. Gr. Fr. I, 27: sine causa: v. Theognostus in Cram. Anecdd. Oxon. II, 61: *Λύλλος: ὄνομα κύριον.* 7. *μαντικὴ* C. 10. *βαδυπρώκτῳ* S: explicatio omnino male habita. Ceterum Gregorius *μὴ μελαμπύγου τύχης* et alii aliter. 11. Suidas: *μερὶς οὐ πνίξ. τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων, καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ἐπεὶ ἄρα αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ διαμερισμός· καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων*

77. Phot. s. *Λύλλος· ποιητὴς ἐπὶ μωρίᾳ κωμῳδούμενος*: rectius Hesych. s. *Λύλιος ἢ Λύλλος: οὗτος ἐπὶ μωρίᾳ ἐκωμῳδεῖτο.* Lyllus numerum auget hominum stultitia insignium: cf. annott. ad Apost. X, 3.

78. Proverbium Croesum spectat in ipso mortis discrimine Solonis sapientiam mente percipientem.

79. De lapide cf. nott. ad Macar. IV, 54. Pertinet huc Euripidis locus ex Oeneo a Suida s. *Ἡρακλεία λίθος* allatus: *τὰς βροτῶν Γνώμας σκοπῶν* † *ὥστε μαγνῆτις λίθος Τὴν δόξαν ἕλκει καὶ μεθίστησιν πάλιν*: de quo loco v. Welckerum in libro de trag. Gr. II, 587: add. Dio Chrys. Or. IV, 170 R.: *οὐχ ὥσπερ τὴν μαγνῆτιν λίθον ἕλκειν φασὶ πρὸς αὐτὴν τὸν σίδηρον.*

80. Append. Provv. III, 80.

81. Macar. III, 64: Zenob. III, 86. »Pind. Ol. II, 77: *μακάρων νᾶσος.* Herod. III, 26. Ubi de sing. et plur. v. annott. intt. et saepe Plato aliique. *Μακαρίων νήσοις* scriptum ap. Hierocl. in Pythag. p. 310, quod nisi vitiosum, parum certe usitatum est. Demosth. 1400, 1: *τὴν αὐτὴν τάξιν ἔχοντες τοῖς προτέροις ἀγαθοῖς ἀνδράσιν ἐν μακάρων νήσοις.* Ap. Plin. quoque 4, 22: *Ex regione Arrotrebarum promontorii sunt Deorum sex insulae, quas aliqui fortunatas appellavere.* Eust. (Od. p. 1509, 23 sqq.) ex Strab. refert *τὰς τῶν μακάρων νήσους* s. *τὸ ἠλύσιον πεδίον* esse sitas *οὐ πόλυ ἄπωθεν τῶν ἄκρων τῆς Μαυρουσίας τῶν ἀνακειμένων Γαδείροις*: esse autem *εὔπνουν τὸν τόπον καὶ εὐάερον, διὰ τὸν ζέφυρον.* Huc pertinet, quod apud Arist. Ran. 85 Herculi quaerenti *ποῖ γῆς ὁ τλήμων* Bacchus respondet: *ἐς μακάρων εὐωχίαν*, quamvis nonnulli sint [v. quae monui in Schneidewini Philol. T. II, 32.] qui per *μάκαρας* ibi accipiant Aulicos opulentos et beatos, inter quos in regia Archelai consenuit. Plat. Phaedon. 115 D: *ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας.*« Stephanus et L. Dindorfius in Thes. L. Gr. T. IV, 511. Add. Greg. Nazianz. Epist. 4: *ἃ μὲν οὖν ἡμεῖς σύνισμεν, ταῖς τῶν Μακάρων νήσους ταύταις, εἴτ' οὖν τῶν μακαρίων ὑμῶν, ταῦτά ἐστι*: et v. nott. ad Greg. Cypr. L I, 8.

82. Greg. Cypr. L II, 73.

83. Apost. XI, 27: Zenob. V, 23. Adhibuit Eustath. Opusc. 22, 43

84 *Μέλιτος μυελός:* ἐπὶ τοῦ πάνυ ἡδέος.

85 *Μετὰ τὴν ἐν Μαραθῶνι μάχην:* καί· *Μετὰ τὸν πόλεμον ἡ συμμαχία.*

86 *Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ:* ἐπὶ τῶν ἐπὶ τοῖς τιμίοις μεγαλαυχούντων· παρόσον σωφροσύνης ἕνεκα παρὰ θεῶν ἡφαιστότευκτος ἐδωρήθη τῷ Πηλεῖ μάχαιρα.

87 *Μεγαρέων δάκρυα:* ἐπὶ τῶν σφόδρα κλαιόντων.

88 *Μηδὲν ὑπὲρ τὸν καλάποδα:* παρεγγυᾷ, μηδὲν ὑπὲρ τὸ μέτρον πράττειν.

89 *Μὴ σπεῦδε πλουτεῖν καὶ † ταχέως πλουτεῖς.*

90 *Μηδὲν ἄγαν:* ἑνὸς τῶν ἑπτὰ σοφῶν τὸ ἀπόφθεγμα.

91 *Μὴ κινεῖν κακὸν εὖ κείμενον:* ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων.

92 *Μὴ μεγάλα λέγε:* κατὰ παραίνεσιν.

ἐπεφώνει, Μερὶς οὐ πνίξ. ἢ οὕτω γράφε, *Μερὶς οὐ πνίγει.* ὅτε οὖν οἱ δυνατοὶ ἥρπαζον, ἦν πνίξ· ὅτε δὲ ἐπενοήθη ὁ μερισμὸς, ἔλεγον οἱ πένητες, Μερὶς οὐ πνίξ.

2. Suidas explicat: *ἐπὶ τῶν ἐπὶ ὑποθέσει τινὶ καθυστερησάντων.* 4. μεγαφρονεῖ S, μεῖζον φρονεῖ ἢ Apostolius. τὴν μάχαιραν S: τῇ Apostolius om. Hesychius: *Πηλέως μάχαιρα:* παροιμία ἣν ἐκ *πλήρους* Ἀριστοφάνης ἀναγράφει οὕτω *Μέγα φρονεῖ μᾶλλον ἢ ὁ Πηλεὺς τῇ μαχαίρᾳ·* ἐδόκει γὰρ σωφροσύνης γέρας εἰληφέναι: v. Nauckius Arist. Byz. Fr. p. 240. De v. ἐκ πλήρους significatione v. quae dixi in Schneidewini Philol. III, 568. 9. τὰ καλάποδα C. 11. μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺς πένης γένῃ Menander. 14. ἀνοίας S.

Taf.: πνὶξ οὐ μερὶς ἀναστρόφως παροιμιαζόμενοι: ibid. 16, 21: οὐκέτι πνίγες ἦσαν, ἀλλὰ μερίδες, τὸ παροιμιαζόμενον. Cum similibus ab Eustathio compositum invenies in annott. ad Macar. III, 40.

84. DV III, 20.

85. Apost. XI, 31: Suidas. De Diogene Cynico narrat Diog. Laert. VI, 50: νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, «Ὁ τοῦ Διὸς παῖς Ἡρακλῆς Καλλίνικος ἐνθάδε κατοικεῖ, μηδὲν εἰσίτω κακόν,« ἐπέγραψε,« Μετὰ τὸν πόλεμον ἡ συμμαχία «: de quo inscriptionum genere egerunt Welckerus in Ritschl. Mus. Rhen. I, 219, O. Iahnius Symbol. Archaeolog. 148 sq. Proverbialiter alterum adhibuit Greg. Nazianz. Epist. 217 [224]: μετὰ τὸν πόλεμον ἡ συμμαχία, μετὰ τὴν ζάλην ὁ κυβερνήτης, καὶ δέον βουλεύσασθαι πρότερον, εἶτα πρᾶξαι, τὴν τάξιν ἀντεστρέψαμεν· μετὰ τὴν πρᾶξιν βουλευόμεθα.

86. Apost. XI, 18: Zenob. V, 20. Secundum alios ensem dono dederat Peleo Vulcanus: Scholl. ad Pind. Pyth. III, 167: cf. Roulez ad Ptolem. Hephaest. 138.

87. Apost. XI, 10: Zenob. V, 8. Proverbii originem tetigit Meierus de Crantore disput. 30.

88. Provv. Append. III, 90.

89. Menand. Monost. 358.

90. Greg. Cypr. L II, 79.

91. DV III, 23.

92. Apost. XI, 39[a]: Diog. VI, 70[b]. Hom. Il. *P*, 19: Ζεῦ πάτερ, οὐ μὲν καλὸν, ὑπέρβιον εὐχετάασθαι.

93 *Μὴ πῦρ ἐπὶ πῦρ:* παρεγγυᾷ, μὴ κακοῖς ἐπισωρεύειν κακά.

94 *Μὴ παιδὶ ξίφος:* ἐπὶ τῶν τὰ ἀσύμφορά τισι διδόντων.

95 *Μηδὲ μέλι, μηδὲ μελίσσας:* ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φαῦλον μετὰ ἀγαθοῦ.

96 *Μὴ πρὸς ἐμὲ τὰ ποικίλα:* ἀντὶ τοῦ, τὰς τέχνας.

97 *Μὴ λόγους ἀντ᾽ ἀλφίτων.*

98 *Μὴ κινεῖν ἀκίνητα.*

99 *Μικρὸς ὄνος ἀεὶ πῶλος:* ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νέων ἀεὶ λογιζομένων.

100 *Μία μέλισσα μέλι οὐ ποιεῖ.*

1 *Μία χελιδὼν ἔαρ οὐ ποιεῖ.*

2 *Μικρὸν κακὸν, μέγα ἀγαθόν.*

3 *Μυσῶν ἔσχατος:* ἐπὶ τῶν ἐσχάτων καὶ ἀδόξων.

4 *Μῦθοι Καμαριναίων:* οἱ μακροὶ λόγοι καὶ ληρώδεις.

5 *Μυσῶν λεία:* ἐπὶ τῶν εὐαρπάκτων.

6 *Μῦς πίττης γεύῃ:* ἐπὶ τῶν νεωστὶ κακοῖς ἐντυγχανόντων.

7 *Μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται.*

8 *Μωρότερος προβάτου:* καί· *Μωρότερος Μορύχου:* ἐπὶ τῶν εὐηθῶν καὶ ἀλογίστων.

---

1. *ἐπισωρεύειν* S. 3. *ξίφος*] *μάχαιραν* Gregorius, alii: cum Macario Hesychius facit. 8. *Μὴ κινεῖν ἀκίνητα, μηδ᾽ ἄκρῳ δακτύλῳ* Suidas. 9. *ὄνος*] *ὁ σὸς* Ds, Suidas. 10. *νέων κτλ.*] *νεάζειν λεγόντων* Suidas. 13. Suidas explicat: *ἐνίοτε γὰρ τὸ μικρὸν κακὸν μεγάλων αἴτιον γίνεται ἀγαθῶν· ὥσπερ καὶ τὸ ἀνάπαλιν.* 15. *λόγοις* S. 16. *ἐπὶ τῶν κακῶς διαρπαζομένων* Suidas. 17. *γεύει* Photius, *γεύεται* Suidas s. *Μῦς*, apud quem explicatio haec legitur: *ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων μετὰ κόπου.* 20. *εἶ Μωρύχου* Zenobius. Suidas: *Μ. Μ.*: *παροιμία. Πολέμων φησὶ λέγεσθαι ταύτην παρὰ Σικελιώταις οὕτως· Μωρότερος εἶ Μορύχου, ὃς τἄνδον ἀφεὶς ἔξω τῆς οἰκίας κάθηται. Μόρυχος δὲ παρ᾽ αὐτοῖς ὁ Διόνυσος, κατ᾽ ἐπίθετον· διὰ τὸ μολύνεσθαι αὐτοῦ*

93. Greg. Cypr. L II, 74.
94. Greg. Cypr. L II, 70.
95. DV III, 25.
96. Mant. Provv. a. *μὴ πρός*: Diog. VI, 70a. Cf. Macar. VIII, 32.
97. Apost. XI, 56: Diog. VI, 60.
98. Scholl. ad Plat. 456 Bekk.: *παροιμία ἐπὶ τῶν καλῶς δοξάντων ἢ γεγονότων λεγομένη*: Suidas. Cf. nott. ad Diog. VI, 54 et v. DV I, 25.
99. Apost. XI, 61: Diog. VI, 64.
100. VB in nott. ad Zenob. V, 12. Greg. Cypr. L II, 71.
1. Greg. Cypr. L II, 71.
2. Diod. VI, 62.
3. DV II, 47.
4. Ex hoc Macarii loco lucem accipit Hesychii glossa: *Καμαρινῶς λέγει: παροιμιακῶς· λέγει ἀποτόμως, ἀνδρείως.*
5. DV III, 16.
6. Macar. II, 36.
7. Greg. Cypr. M IV, 42.
8. Arist. Hist. Anim. IX, 3: *τό τε γὰρ τῶν προβάτων ἦθος, ὥσπερ λέγεται, εὔηθες καὶ ἀνόητον·*

ΤΟ Ν.

9 *Ναῦς παλαιὰ πόντῳ οὐχὶ πλωΐμη*: ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

10 *Νεκρῷ λέγουσα μύθους εἰς οὖς*: ἐπὶ τῶν ἀναισθήτων.

11 *Νόμος καὶ χώρα*: ἐπὶ τῶν ἰδίοις κεχρημένων ἤθεσι.

12 *Νοῦς οὐ παρὰ Κενταύροις*: ἐπὶ τῶν ἐπιλησμόνων.

13 *Νὺξ ὑγρά*: ἐπὶ τῶν συμβαινόντων χαλεπῷ.

14 *Νῷ πείθου*: ὁμοία τῇ· *Θεῷ ἕπου*.

ΤΟ Ξ.

15 *Ξένον ξένιζε κἀπιχώριον ποίει*: πρὸς τοὺς δεξιοὺς καὶ φιλοξένους.

16 *Ξυνὸς Ἐνυάλιος*: ἐπὶ τῶν κοινῇ τι εὑρισκομένων.

τὸ πρόσωπον ἐν τῇ τρύγῃ γλεύκει τε καὶ σύκοις. μορῦξαι δὲ τὸ μολῦναι. Ὅμηρος γοῦν τὸ μεμολυσμένος μεμορυχημένος φησίν. εὐήθειαν δὲ τούτου καταγνωσθῆναι, παρόσον ἔξω τοῦ νεὼ ἐν ὑπαίθρῳ αὐτοῦ τὸ ἄγαλμα καθίδρυται παρὰ τῇ εἰσόδῳ. τάττεται δὲ ἐπὶ τῶν εὐηθές τι διαπραττομένων.

2. *πόντον* recte Suidas. *πλώσει* idem: v. Diogenianum. 4. λέγοιν μῦθος S. 6. Suidas: διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι. 7. οὐ παρὰ Κ.] οὐκ ἔνι Κενταύροισι Suidas, qui explicat: παροιμία ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνοήτων ταττομένη. 8. χαλεπῶν Ds, Walzius. 11. *πόει* S.

- πάντων γὰρ τῶν τετραπόδων κάκιστόν ἐστι καὶ ἕρπει εἰς τὰς ἐρημίας πρὸς οὐδὲν κτλ. Cui communi Graecorum iudicio sese applicans Aristophanes de stulto Plut. 922 προβατίου βίον ζῆν dixit, ubi Scholiasta: *προβατίου βίον ζῆν*] ἐπὶ τῶν μωρῶν καὶ ἀνοήτων. διὰ τὸ ἀδρανὲς τῆς διανομῆς τῶν πραγμάτων. τὰ γὰρ πρόβατα οὐδὲν ἐργαζόμενα ζῇ: sic certe ego locum scribendum esse puto: v. Suid. s. προβατίου. Neque praetereundum hoc loco, quod Aristophanes Vesp. 32 Atheniensium vecordiam taxans ausus est: ἐν τῇ πνυκὶ Ἐκκλησιάζειν πρόβατα συγκαθήμενα: add. Diogenes Cynicus apud Diog. Laert. VI, 47: τὸν πλούσιον ἀμαθῆ πρόβατον εἶπε χρυσόμαλλον: Plaut. Bacch. V, 2, 5: B. *quid hoc est Negoti? nam amabo quis has huc oves adegit?* N. *Oves nos vocant pessimae.* Denique confine est quod legitur de stulto apud Demetr. de Elocut. §. 172: *θαλάσσιον πρόβατον*, a pisce tractum, quem ex Oppiano I, 146. III, 139. Aelianus N. A. IX, 36 commemorat. Idem latine expressum memoriae prodidit Seneca de Constantia Sap. 17: *Chrysippus ait quendam indignatum, quod illum aliquis vervecem marinum dixerat*: v. Baguetius de Chrys. V. 250 et Paroem. T. I, praef. V. *Μωρότ. Μ.*] Apost. XI, 91: Zenob. V, 13. Mant. Provv. s. τοῦ Μορύχου.

9. Apost. XI, 96: Diog. VI, 78.

10. DV III, 34.

11. Apost. XII, 12a: Suidas. Cf. Zenob. V, 25.

12. Apost. XII, 12. XV, 100. XVII, 37b: Diog. VI, 84.

13. Apost. XII, 15a. XVII, 39: Diog. VI, 89.

14. DV III, 31.

15. Menand. Monost. 400: ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ: praeivit Hom. Od. *Ε*, 447.

16. Apost. XII, 28. Hom. Il. *Σ*,

17 *Ξύλον ἀγκύλον οὐδέποτ᾽ ὀρθόν.*

ΤΟ Ο.

18 *Ὁ βωμὸς πρὸς τὸ ἱερόν:* ἐπὶ τῶν ἀλλήλοις ἀξίων καὶ ὁμοίων.

19 *Ὀβολοῦ τάριχος, δύο δ᾽ ὀβολῶν ἀρτύματα:* ἐπὶ τῶν ἵνα μικρὰ κατορθώσωσι πλείονα δαπανώντων.

20 *Ὀδυσσεὺς Σισύφῳ συνῆλθεν.* ἐπὶ τῶν ἐν πανουργίᾳ ὁμοίων.

21 *Ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς:* ἐπὶ τῶν προδήλων.

22 *Ὁ ἐν Πάρῳ βωμός:* ἐπὶ τῶν πολυτελῶς κατεσκευασμένων.

23 *Ὁ ἐκ διαμέτρου βίος.*

---

1. *ξύλον — ὀρθόν:* ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθοὺς ἀπεργάσασθαι Suidas. 9. τὸν S. μὴ ζήτει C. 11. Scribe *Παρίῳ* et v. Rathgeberum in Erschii et Gruberi Encycl. III, 3, 134.

309: *ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα*, ubi Eustath. 1144, 43: *τὸ δὲ, ξυνὸς Ἐνυάλιος, ἀντὶ τοῦ κοινὴ ἡ τοῦ πολέμου τύχη καὶ ὁ κατ᾽ αὐτὸν κίνδυνος καὶ οὐ μᾶλλον τούτου ἢ ἐκείνου.* Ab Aristot. Rhet. II, 21 inter vulgaria proverbia refertur. Alia v. in nott. ad Diog. V, 38. Cf. Apost. VII, 94.

17. Greg. Cypr. M IV, 50.

18. Mant. Provv. s. *ὁ βωμός.*

19. Mant. Provv. s. *ὀβολοῦ.* Diogenes Cynicus apud Diog. Laert. VI, 57: *διαλεγομένου ποτὲ αὐτοῦ τάριχον προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δέ, τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν.* Ad originem enodandam confert Demosth. Prooem. 53, 1459 R.: *νῦν δὲ δραχμῇ καὶ χοῖ καὶ τέτταρσιν ὀβολοῖς ὥσπερ ἀσθενοῦντα τὸν δῆμον διάγουσιν:* Lucian. Hermot. §. 61: *οἶνον μὲν γὰρ φαῦλον πρίασθαι ἐν δυοῖν ὀβολοῖν ὁ κίνδυνος:* v. Boeckhius Oecon. Att. I, 113.

20. Sisyphi astutia inde ab Hom. Il. *Z*, 153 celeberrima: v. Theogn. 703. Arist. Acharn. 390, ubi Scholia: *δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ᾽ Ὁμήρου δεδιδαγμένοι Ἔνθα δὲ Σίσυφος κτλ.:* cf. Nitzschius Ann. ad Hom. Od. *Λ*, 597. Idem valet de Ulysse: hinc nata proverbia plura: Suid. s. *Ὀδύσσειος μηχανή: ἐπὶ τῶν πανούργων: Ὀδυσσέως συνετώτερος* Cram. Anecdd. Paris. I, 398, 17: Euripidis ex Telepho versum [Stob. Flor. 29, 55] *οὐ τἄρ᾽ Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος* proverbii loco adhibuit Plut. Lysand. 20: add. Liban. Epist. 78: *καὶ ταῦτα οὐκ ὢν νήπιος, ἀλλ᾽ οὐδὲ Ὀδυσσέως λειπόμενος ἐν δόλοις.* Cf. Macar. VII, 90.

21. Apost. XII, 34: Append. Provv. IV, 12.

22. Append. Provv. IV, 13.

23. Lucian. Catapl. §. 14: *ἄλλως τε οὐδ᾽ ὅμοια τἀμὰ τοῖς τῶν πλουσίων· ἐκ διαμέτρου γὰρ ἡμῖν οἱ βίοι, φασίν:* ubi Scholia: *τὸ λόγιον ἐπὶ τῶν πάνυ διαφερόντων. εἴληπται δὲ ἐν τῷ ἐπιπέδῳ* [*ἐκ τοῦ ἐπιπέδου* Solanus] *σχήματος τοῦ κύκλου· ἐπ᾽ ἐκείνου γὰρ πασῶν τῶν τεμνουσῶν αὐτὸν εὐθειῶν μείζων ἡ διὰ τοῦ κέντρου, ἥτις καὶ διάμετρος λέγεται. ἀπὸ τούτου οὖν τὰ πάνυ διαφέροντα λέγεται ἐκ διαμέτρου:* Athanas. de decret. Synodi Nic. 26, T. I, p. 231

24 *Οἰδίποδος ἀραί:* αἱ σφοδραί.

25 *Οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν.*

26 *Οἶνος καὶ ἀλήθεια:* ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων.

27 *Ὅλῃ χειρί:* λείπει ἢ εὐεργετεῖν ἢ ἀδικεῖν.

28 *Ὁ Λυδὸς τὴν ὄνον ἐλαύνει:* ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων· παρόσον ἱππικώτατοι οἱ Λυδοί. ὁμοία δὲ ταύτῃ καὶ ἡ *Ἀφ' ἵππων ἐπ' ὄνους.*

29 *Ὁ λαγὼς καθ' ἑαυτοῦ τὰ ἡδύσματα:* ἐπὶ τῶν καθ' ἑαυτῶν πραγματευομένων· ἐπείπερ ὁ λαγὼς αὐτὸς ἑαυτῷ γίνεται ἥδυσμα.

30 *Ὄμφακας βλέπει:* ἐπὶ τῶν δριμὺ βλεπόντων καὶ ὀργιζομένων.

31 *Ὄνος εἰς Ἀθήνας:* ἐπὶ τῶν ἀπαιδεύτων καὶ πλησιαζόντων σοφοῖς.

---

7. τὸν C: τὴν ὄνον Babr. fab. 55: ἡ ὄνος Aesop. fab. 371 Fur. 8. ἱππικώτεροι S.

D ed. Paris.: οἳ κατὰ διάμετρον, ὡς ἔπος εἰπεῖν, ἀντίκεινται τῇ Σαβελλίου γνώμῃ: Anonym. in Haas. ann. ad Leon. Diacon. 257 B: νῦν δ' ὥσπερ ἐκ διαμέτρου ἀδικία τούτοις καὶ ἀμετρία κατὰ τῶν ὑπηκόων ξυνέστηκε.

24. Macar. I, 59.

25. Athen. X, 428 A.

26. Greg. Cypr. L II, 83. Apost. VII, 37.

27. *Ὅλαις χερσὶ ποταμοὺς ἀπαντλεῖν* dixit Nicephor. Chunn. in Boissonadi Anecd. Nov. 178: *τὰς βασιλίσσας ἐκζητοῦν ὅλαις χερσὶ καὶ γνώμαις* Constant. Manass. Comp. Chron. 6197: *magna voce sonas manuque tota* Martial. Ep. VI, 19, 8. Cf. Apost. XII, 62.

28. Apost. XII, 65a: App. Provv. IV, 18. *Ἀφ' ἵπ.*] Macar. II, 19.

38b *Ἀεὶ γὰρ ἄνδρα σκαιόν, ἰσχυρὸν φύσει,*
ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ:· Εὐριπίδου.

38c *Ἀεὶ Διὸς κρείσσων νόος αἰγιόχοιο.*

38d *Ἀεὶ Διὸς κρείσσων νόος ἠέπερ ἀνδρῶν.*

38e *Ἀεὶ νομίζονθ' οἱ πένητες τῶν θεῶν,*
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς σώφροσι:· Μενάνδρου.

38f *Ἀεὶ τὸ λυποῦν ἀποδίωκε τοῦ βίου·*
μικρόν τι τοῦ βίου, καὶ στενὸν ζῶμεν χρόνον:· τοῦ αὐτοῦ.

38g *Ἄελπτον οὐδέν· πάντα δ' ἐλπίζειν χρεών:· Εὐριπίδου.*

38h *Ἀεὶ γὰρ ἀπουσίᾳ τῶν κρειττόνων τιμᾶται τὰ χείρονα, τὴν*

---

1. *ἔρχονται μὲν κατὰ* As. *ἐὰν δὲ* As. 2. *Ἔνετοί* As. 10. *ἱερακίζοντες*] *ὡς ἐκεῖνος λέγει*, addit As: Aristotelem intellegit. 13. *δὲ ἐν* Stobaeus. 14. *τοιούτοις* idem. 15. *Ὀβρίμου Πρωτογόνου κρινομένου φαρμάκων* idem. 18. *ἀλλ' αἰεί τε* Homerus. 19. *ἀλλ' αἰεί τε* idem. 21. *Μενάνδρου Λευκαδίᾳ· Ἀεὶ . . θεῶν. Εὐριπίδου Φοινίσσαις· ἐπεὶ κτλ.* Stobaeus. *τοῖς γε* Euripides. 22. *ἐκδίωκε* Ab. *τὸ βίου* Stobaeus. 23. *τοῦ αὐτοῦ*] *Μενάνδρου* Ab, *Μενάνδρου Πλοκίῳ* Stobaeus. 24. *Εὐριπίδου Ὑψιπύλης* Stobaeus.

σιν ἵπποι μάλιστα χαίρουσιν; δῆλον, ὡς ἵπποις. ἀετοὶ δὲ τίσιν; οὐκ ἄλλοις ἢ ἀετοῖς. κολοιὸν δὲ ποτὶ κολοιὸν ἱζάνειν, καὶ τὸ παροιμίας ἀκούεις. τοῖς κολοιοῖς — ἀνιχνεύοντες] Aelian. H. An. XVII, 16. *Οἱ κολοιοὶ κτλ.*] Aelian. l. c. VII, 7.

38a. Arsen. I, 77: Stob. Floril. 46, 69.

38b. Arsen. I, 78: Stob. Floril. 54, 7. Eurip. Belleroph. fr. 10.

38c. Arsen. I, 79: Hom. Il. *P*, 176.

38d. Arsen. I, 80: Hom. Il. *Π*, 688.

36e. Arsen. I, 81: XLIV, 74: Stob. Flor. 95, 4. 5. Menand. Leucad. fr. 3. *ἐπεὶ κτλ.*] Eurip. Phoen. 557.

38f. Arsen. I, 82. XXXIV, 62: Stob. Flor. 108, 32. Menand. Ploc. fr. 9.

38g. Arsen. I, 83: Stob. Flor. 110, 16. Eurip. Hyps. fr. 9.

38h. Arsen. I, 84.


39 *Ἀεὶ γεωργὸς ἐς νέωτα πλούσιος*: ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλαγῆναι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.


40 *Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι*: ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων. οἱ δέ, ἐπὶ τῶν ἀξίως τιμωρουμένων, μεταγεγραμμένου τοῦ εὖ πίπτουσιν εἰς τὸ ἐμπίπτουσιν.

ἐκείνων κληρονομοῦντα τάξιν, ἐπιφανέντα δὲ ὑποστέλλεται δευτερείοις ἄθλων ἀρκούμενα:. Φίλωνος.

38i *Ἀεὶ τὸ πλουτεῖν* συμφορὰς πολλὰς ἔχει,
φθόνον τε κἀπήρειαν καὶ μῖσος πολὺ
πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν
ἄλλοις καταλείψας ἐς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτόν με μήτε πράγματα.
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά:. Φιλήτου.

38k *Ἀεὶ γὰρ τὰ ἐναντία* τῶν ἐναντίων εἰσὶ φθαρτικά· ὡσαύτως καὶ ὅμοια τούτοις.





40a *Ἀεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί*: Καλλιμάχου.

1. εἰς AZ. πλούσιος] Φιλήμονος addunt AZ. 2. ἀπαλλάττεσθαι Suidas. 4. τῶν ἀξίως καὶ εἰς Suidas. 6. μεταγεγραμμένου κτλ. in Suida desunt. 11. τ' ἐπήρειάν τε Stobaeus. 15. εἰς idem. 19. καλά A. 22. μικκοῖς μικκά Callimachus: v. Blomfieldus ad Callim. 254.

38i. Arsen. I, 85: Stob. Flor. 97, 19. Philet. fr. p. 62 Bach.

38k. Arsen. I, 86. Cf. Aristot. Topic. II, 8.

39. Suidas: Arsen. I, 75. Greg. Cypr. L I, 28. Macar. I, 34. Philem. Hypobol. fr. 1.

40. Suidas: Arsen. I, 73. Greg. Cypr. M I, 18.

40a. Arsen. I, 74: Stob. Flor. 96, 12. Callim. fr. 179 Bentl.

41 *Ἀετὸν ἵπτασθαι διδάσκεις*: ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινάς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

42 *Ἀετὸν κορώνη ἐρεσχελεῖ*: ἡ παροιμία σαφής:. Ταῖς γὰρ κορώναις ἔργον ἐστὶ τοὺς ἀετοὺς ἐρεσχελεῖν· οἱ δὲ ὑπερφρονοῦσιν αὐτῶν καὶ ἐκείνας μὲν ἀπολείπουσι τὴν κάτω φέρεσθαι πτῆσιν, αὐτοὶ δὲ τὸν αἰθέρα ὑψηλότερον ὄντα τοῖς ὠκίστοις τέμνουσιν αὐτῶν πτεροῖς· οὐ δέ που δεδιότες, πῶς γὰρ ἂν τοῦτο εἴποι τις, τὴν τῶν ἀετῶν ἀλκὴν ἐπιστάμενος; ἀλλ' ἰδίᾳ τινὶ μεγαλονοίᾳ ἐῶσιν ἔῤῥειν ἐκείνας κάτω.

43 *Ἀεὶ Λεοντῖνοι περὶ τοὺς κρατῆρας*: ἐπὶ τῶν ἀεὶ τοῖς αὐτοῖς ἐγκειμένων. Οἱ γὰρ ἐν Σικελίᾳ Λεοντῖνοι περὶ πότους ἐσχόλαζον· Φάλαρις δ' αὐτοὺς καταπολεμήσας εἰς τοὺς κρατῆρας ἔῤῥιψεν. ἀφ' οὗ ἡ παροιμία.

44 *Ἀετὸς μυίας οὐ θηρεύει*: καὶ τὸ ἀναπάλιν· ἐπὶ τῶν σμικρολόγων. λέγεται ἀετὸς καὶ τῶν οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον, ὅ τινες ἀέτωμα καλοῦσιν. Ἀριστοφάνης Ὄρνισι·

Τὰς γὰρ ἡμῶν οἰκίας ἐῤῥέψομεν πρὸς ἀετόν.

45 *Ἀετὸς ἐν νεφέλαις*: ἐπὶ τῶν δυσαλώτων. οὐ γὰρ ἁλίσκεται ἐν νεφέλαις:. Ὁ ἀετὸς καὶ δίψους ἀμείνων ἐστί, καὶ καμάτου φάρμακον οὐκ ἀναμένει πορισθὲν ἔξωθεν· ὑπερφρονῶν δὲ καὶ τῶν ὑδάτων καὶ τῆς ἀναπαύσεως τὸν ἀέρα τέμνει πολύ, καὶ ὀξύτατα ὁρoῦ ἐκ πολλοῦ τοῦ αἰθέρος· τῶν δὲ νεοττῶν αὐτοῦ ἐὰν μὲν σκαρδαμύξῃ τις τὴν αὐγὴν τῆς τοῦ Ἡλίου ἀκτῖνος δυςωπούμενος, ἐξεώθη τῆς ἑστίας. εἰ δ' ἀντιβλέψῃ καὶ μάλα ἀτρέπτως, ἀμείνων

5. γὰρ As om. αἰετοὺς As. 7. πτῶσιν R. 8. αὐτὸν As. δή As. 9. αἰετῶν As. 10. ἀλλὰ As. 14. τοὺς πότους Ds. 17. καὶ Harpocratio om. 20. ὑμῶν Aristophanes. ἐρέψομεν idem. 21. ὁ ἀετὸς Ds. οὐ κτλ. N om. 22. Οὐδέποτε αἰετὸς οὔτε πηγῆς δεῖται οὔτε γλίχεται κονίστρας, ἀλλὰ καὶ As. 25. πολὺν As. ὁρᾷ R As. 26. ἐθέρος R: αἰθέρος καὶ ὑψηλοῦ As, in quo quaedam de alarum strepitu et de pullis sequuntur. τῶν δὲ νεοττῶν As non agnoscit. 27. ἀκμὴν As. τοῦ ἡλίου hic As om. ἐξεώσθη τῆς καλιᾶς καὶ ὑπεκρίθη τῆςδε τῆς ἑστίας As. 28. ἐὰν As. ἀντιβλέψει AR.

41. Suidas: Arsen. I, 62. Greg. Cypr. L I, 9.
42. Arsen. I, 63. ταῖς γὰρ κτλ.] Aelian. N. A. XV, 22.
43. Diog. II, 50: Arsen. I, 72. Macar. I, 33.
44. Arsen. I, 64. λέγεται κτλ.] Harpocr. 7, 5. Ὄρνισι] 1110.
45. Diog. I, 67: Arsen. I, 65. Greg. Cypr. M I, 20. Ὁ ἀετὸς κτλ.] Aelian. N. A. II, 26. τῶν δὲ κτλ.] cf. adn. ad Apost. XII, 32.

ἐστὶν ὑπονοίας, καὶ τοῖς γνησίοις ἐγγράφεται, ἐπεὶ αὐτῷ πῦρ τὸ οὐράνιον ἢ τοῦ γένους ἀδέκαστός τε καὶ ἄγραπτος ἀληθῶς ἐγγραφή ἐστιν.

46 *Ἀετοῦ γῆρας, κορύδου νεότης*: παρόσον καὶ γηράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος. Λέγεται τὸν βίον ἀετὸς καταστρέφειν, τῆς καμπῆς τοῦ ἄνω χείλους πρὸς τὸ κάτω χρόνῳ συγκαμψάσης.

47 *Ἀετὸς θρῖπας ὁρᾷ*: ἐπὶ τῶν καταφρονούντων τῶν μικρῶν.

48 *Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν*: ἐπὶ τῶν καταφρονούντων τινῶν. ὁμοία τῇ· *Ἐγὼ πολλῶν θηρίων ψόφους ἀκήκοα.*

49 *Ἀεὶ φέρει Λιβύη κακόν*: ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

50 *Ἀετὸν κάνθαρος μαιεύεται*: ἐπὶ τῶν κακῶς ὑπό τινων πασχόντων. Τὰ γὰρ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζει κυλίων ὁ κάνθαρος.

Τὸ α̃ μετὰ τοῦ η̃.

51 *Ἀηκίζεσθαι μοι δοκεῖς*: Ἀκὼ γυνή τις ἦν ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥτις ἐσοπτριζομένη τῇ οἰκείᾳ σκιᾷ ὡς ἑτέρᾳ διελέγετο.

52 *Ἀηδόνες λέσχαις ἐγκαθήμεναι*: ἐπὶ τῶν ἀδολεσχούντων.

Τὸ α̃ μετὰ τοῦ ζ̃.

53 *Ἄζηλος πλοῦτος ὅτι τυφλός*: ἐπὶ τῶν κεκτημένων τι καλὸν ἄδηλον.

47a *Ἀετὸς εἰς θήραν*: ἐπὶ τῶν ἐπιτηδείως περί τι ἐχόντων.

---

1. ἐγγέγραπται As. 5. ὁ ἀετὸς Suidas. ἐστὶ παντὸς idem. 6. δὲ τὸν Zenobius. καταστρέφεσθαι idem. 7. χρόνῳ in Zenobio deest: habet B. συνκαψάσης N. 10. πολέμιοι Suidas. 11. Scribe πολλῶν ἐγὼ θρίων. 13. φέρει τι A Ds. 14. νεώτερον Ds. 19. ἀκκίζεσθαι Ds. μοι δοκεῖς Ds om. Ἀκκὼ W Ds. ἦν Ds om. 20. οἰκίᾳ R.

46. Zenob. II, 38: Arsen. I, 66. Greg. Cypr. L I, 2. Greg. Cypr. M I, 27: add. Apost. X, 59.
47. K in nott. ad Diog. I, 71: Arsen. I, 67. Greg. Cypr. M I, 24.
47a. Arsen. I, 68. Plut. Boiss. 33.
48. Diog. I, 70: Arsen. I, 70. Greg. Cypr. M I, 23. Ἐγὼ] Apost. XV, 17.
49. Diog. I, 68: Arsen. I, 71.
50. Diog. II, 44: Arsen. I, 69. DV I, 65.
51. Diog. II, 4: Arsen. I, 89. Cf. DV I, 24 et Apost. VII, 67.
52. Diog. II, 48: Arsen. I, 90. Greg. Cypr. M II, 29.
53. Arsen. I, 87. Est Lycurgi

54 *Ἀζαναῖα κακά:* ἐπὶ τῶν κακοῖς διηνεκῶς προςπαλαιόντων. Ἀζάνη γὰρ τόπος σκληρὸς καὶ τοῖς γεωργοῖς ἀπροςπόριστος.

Τὸ ᾱ μετὰ τοῦ ϑ̃.

55 *Ἀθηνᾶ τὸν αἴλουρον:* ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται. ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλλοι.

56 *Ἀθύρωτον στόμα:* ἐπὶ τῶν πολυλόγων.

57 *Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός:* ἐπεὶ ἐν Λήμνῳ βοῦν λευκοῦ πεποιημένην λίθου ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει. λέγεται δὲ ἐπὶ τῶν λυπούντων τινὰς ἢ βλαπτόντων.

Τὸ ᾱ μετὰ τοῦ ῑ.

58 *Αἰθέρα νήνεμον αἱρήσεις:* ἐπὶ τῶν μάτην πονούντων.

57a *Ἀθάνατόν* ἐστι κακὸν ἀναγκαῖον γυνή:· Φιλήμονος.

57b *Ἀθανασία* δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.
ἀλλ' ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί:· Μενάνδρου.

58a *Περὶ ἀναλογίας* τῶν τεσσάρων στοιχείων. Αἰθὴρ τὸ καὶ πῦρ ἀναλογεῖ τῷ θέρει, τὸ δὲ, τῇ ξανθῇ χολῇ. Ἀὴρ ἀναλογεῖ

---

1. *Ἀζάνια* Zenobius. 2. Ἀζάναι idem. 8. συμβάλλει Suidas: συμβάλοι commendat Bernhardius. 10. Suidas verba melius collocavit. 13. βλαπτόντων] A in margine haec habet ab Arsenio, ut videtur, scripta: ἀπο ἀργο(λλ). ἦρι δὲ [ν]ισσομένοισιν, ἄθω ἀνέτειλε κολ... [κολώνη] Θρηϊκίη, ἢ τόσσον ἀπόπροθι λῆμνον ἰοῦ.. [ἰοῦσαν,] Ὅσσον ἐς ἔνδιοκεν [ἔνδιόν κεν] ἔΰστολος ὁλκὰς [sic] ἀνύσσι.. [ἀνύσσαι,] Ἀκροτάτη κορυφῇ σκιάει, καὶ ἄχρι μυρί.. [μυρίνης]: sunt versus Apoll. Rhod. Arg. I, 601 sqq. 15. πονήσεις A, αἱρέσεις E: *ἐρέσσεις* Suidas. 18. *ἀθανασίας* Meinekius. 19. *τάλαντ' ἐκεῖνα* Stobaeus. 20. *ἀποθανεῖ* Meinekius. *τισίν* idem.

apophthegma: cf. Plut. V. Lyc. 10. 24. ei. Apophth. 226 E. Cf. Macar. VIII, 60.

54. K in nott. ad Diog. I, 24: Arsen. I, 88. Macar. I, 44.

55. Suidas: Arsen. I, 91. DV I, 63.

56. Arsen. I, 92. Sumptum videtur ex Arist. Ran. 862, ubi v. Scholia cum G. Dindorfii annotatione. Dictionem illustrat Suicerus Thes. Eccles. I, 111: add. Theogn. 421: πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται ἁρμόδιαι: Soph. Phil. 188. Eurip. Orest. 903. Poll. On. II, 109. VI, 119.

57. Suidas: Arsen. I, 93. Greg. Cypr. M I, 70.

57a. Arsen. I, 94: Stob. Flor. 68, 3: Philem. fab. inc. fr. 103.

57b. Arsen. I, 95. XXX, 30: Stob. Flor. 118, 10. Menandr. *Κυβερν.* fr. I, 5.

58. Diog. I, 38: Arsen. I, 97. DV I, 15.

58a. Arsen. I, 98.

59 *Αἰγιεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι:* ἐπὶ τῶν παντελῶς εὐτελῶν καὶ μικρῶν. ἐρωτώντων γάρ τινων, τίνες κρείττους τῶν Ἑλλήνων, τοῦτο ἀπεφθέγξαντο· Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι.

60 *Αἰγὸς τρόπος:* ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακά· ἀπὸ Κορινθιακῆς παροιμίας· ἡ Αἴξ δοῦσα τὴν μάχαιραν· οὕτω γὰρ λέγεται, Κορινθίων Ἥρᾳ Ἀσκραίᾳ θυόντων, ἣν λέγεται ἱδρῦσαι Μήδειαν, οἱ ἐν τῇ παρόχῳ μεμι-

τῷ ἔαρι, τὸ δὲ τῷ αἵματι. Γῆ ἀναλογεῖ τῷ φθινοπώρῳ, τὸ δὲ τῷ φλέγματι. Ὕδωρ ἀναλογεῖ τῷ χειμῶνι, ὁ δὲ τῇ μελαίνῃ χολῇ.

58b *Αἰγιστέου πήδημα:* ἐπὶ τῶν μεγαλοψύχων. Καλλισθένης ἐν δευτέρῳ μεταμορφώσεως ὧδέ πη περὶ τούτου φησίν· ὅτι κατὰ Κελαινὰς πόλιν τῆς Φρυγίας διὰ μῆνιν Ἰδαίου Διὸς χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε· τοῦ δὲ δήμου κινδυνεύοντος Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε, συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ· τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων καὶ μηδ' οὕτω τοῦ κακοῦ λήγοντος, Αἰγισταῖος ὁ υἱὸς Μίδα, λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς, ἀναπηδήσας καὶ δοὺς περιπλοκὰς τῷ γεννήσαντι καὶ ἀποταξάμενος τῇ γυναικὶ Τιμοθέᾳ, μεθ' ὁρμῆς ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη.

58c *Αἱ δεύτεραί* πως φροντίδες σοφώτεραι.

60a *Αἰδοῦς παρὰ πᾶσιν* ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰσχύνεσθαι. Μουσωνίου.

---

1. Scribe *Αἰγιέες*. 3. *τοῦτό τινες* Z. *ἀντεφθέγξαντο* Ds. 5. *τρόπον* Suidas. 6. *ἡ* et *δοῦσα* Gregorius Cyprius cum aliis om.: *αἴξ δοῦσα τὴν μάχαιραν* antiquam proverbii formam esse in Schneidewini Philol. III, 571 conieci. 7. *Ἀκραίᾳ* e Suida et Zenobio emendat Wesselingius ad Diod. IV, 54. 8. *παροχῇ* postulat Bernhardius. 12. *Αἰγισταίου* a. *τῶν προχείρως* E. 13. *μεταμορφώσεων* A Stobaeus. *ὧδε — ὅτι*] Stobaeus om. 20. *Αἰγίστειος* Z, *Ἀγχοῦρος* Stobaeus et Plutarchus. *τοῦ Μίδα* Z. 21. *ψυχῆς ἀνθρωπίνης* Stobaeus. 23. *ἠνέχθη*] addunt nonnulla Stobaeus et Plutarchus. 25. *ἄρξῃς* Stobaeus. 26. *αἰσχύνεσθαι* (δι superscr.) A.

58b. Arsen. I, 99. *Καλλισθένης κτλ.*] Stob. Flor. 7, 69. Plutarch. Parall. Gr. et Minor. 5. De Callisthene Metamorphoseon auctore cf. Geier Alex. M. Hist. Scriptt. 218.
58c. Arsen. I, 100: Eurip. Hippol. 436.
59. Diog. I, 47: Arsen. II, 1. DV I, 21.
60. Arsen. II, 2. *αἰγὸς — μάχαιραν*] Suidas: similia in annot. ad Apost. VIII, 19b indicavi. *Κορινθίων — ἀνεσκάλευεν*] Suid. v. αἴξ: Greg. Cypr. M I, 13. *Πτύελον — προσάψαιτο*] Aelian, N. A. VII, 26. *Αἴγουσιν κτλ.*] id. ibid. 27.
60a. Arsen. II, 3: Stob. 31, 6.

σθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν, ἐσκήπτοντο ἐπιλελῆσθαι. ἡ δὲ αἶξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευεν:. **Πνεῦλον ἀνθρώπου** θανατηφόρον εἶναι ζώῳ ἑτέρῳ, καλῶς ἴσασιν αἶγες καὶ φυλάττονται. μέλλουσα δὲ ἡ αἶξ ἀποσφάττεσθαι σοφῶς οἶδε· καὶ τὸ μαρτύριον, οὐκ ἂν ἔτι τροφῆς προςάψαιτο:. **Λέγουσιν Ἄραβες**, ὅτι τὰ παρ' αὐτοῖς ποίμνια πιαίνεται ὑπὸ μουσικῆς μᾶλλον ἢ ὑπὸ τοῦ χιλοῦ· τῶν δὲ ἁλμυρῶν ἐσθίειν ἥδιον· ποιεῖται γὰρ τὴν τοιαύτην τροφὴν ποτοῦ ὄψον. Τά γε μὲν πρόβατα κἀκεῖνο οἶδεν, ὅτι αὐτοῖς ὁ βοῤῥᾶς καὶ ὁ νότος συμμάχονται πρὸς τὸ τίκτειν, οὐ μεῖον τῶν ἀναβαινόντων αὐτὰ κριῶν· οἶδε δέ, ὅτι ὁ μὲν βοῤῥᾶς ἀῤῥενοποιός ἐστιν, ὁ δὲ νότος θηλυγόνος. καὶ ἐὰν δέηται τοῦ γόνου τοῦδε ἢ τοῦδε ὀχευομένη ἡ ὄϊς πρὸς τὸν ἀπέβλεψεν ἢ πρὸς τόν. Ἀχιλλεὺς μὲν οὖν, ἵνα ὁ φίλος αὐτῷ κείμενος ἐπὶ τῆς πυρᾶς καυθῇ καὶ εὐχῆς ἐδεῖτο καὶ ἡ Ἶρις παρεκάλει τοὺς ἀνέμους αὐτῷ, ᾧ καλὲ Ὅμηρε. αἱ δὲ ὄϊς ἀπραγμόνως τοὺς ἀνέμους εἰς ὠδῖνα σφετέραν ὑπηρέτας ἀκλήτους ἔχουσι. σκοποὶ δὲ ἄρα τούτων καὶ ποιμένες ἀγαθοί.

61 **Αἲξ Σκυρία**: πολυγάλακτοι δὲ αὗται. ἐν τῷ καιρῷ δὲ τῆς ἀμολγῆς ἀνατρέπουσι τὰ ἄγγη.

62 **Αἱ Οἰδίποδος ἀραί**: ἐπὶ τῶν μεγάλως δυστυχούντων.

63 **Αἵματι κλάειν**: ἀφ' ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες οὕτως ἔλεγον οἱ παλαιοί· Οὐδ' ἂν πείσῃ

60b **Αἲ γὰρ ἄτερ** νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου:. Μιμνέρμου.

60c **Αἱ μὲν χελιδόνες** εὐδίαν ἡμῖν προσημαίνουσιν, οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν:. Δημώνακτος.

---

4. αἶγες in Aeliano deest. φυλάττονται sequuntur in Aeliano enuntiata nonnulla, quae epitomator non attigit. 6. λέγουσι δὲ As. ὅτι ἄρα As. 9. καὶ ἐκεῖνο As. 11. κριῶν ἀναβ. αὐτά. οἶδε καὶ τοῦτο, ὅτι ἄρα As. 12. θηλυγ. εἶναι πέφυκεν As. 13. τοῦδε τοῦ ἐκγόνου ἢ As. 14. οὖν As om. 17. Ὅμηρε, καὶ ὑπισχνεῖται ἥκουσιν ἱερουργίαν οἱονεὶ μισθόν. Καὶ ὁ τοῦ Νεοκλέους δὲ Ἀθηναίους ἐδίδασκε θύειν τοῖς πνεύμασιν As. ἀπραγμ. καὶ ἄνευ τινὸς τερατείας As. ὠδῖνας σφετέρας A, τὴν σφετέραν As. 18. ἑτοίμους καὶ ἀκλήτους ἔχουσιν As. 19. εἰσὶ καὶ οἱ π. As. 23. κλαίειν A N Suidas. καθ' ὑπερβολήν, οὐ δάκρυσιν addit Suidas. ἐφ' A Suidas. 24. ἀρχαῖοι Suidas. πείσει N. 27. σημαίνουσιν Orellius. ἐκ Orellius om. 28. τὴν ἀλυπίαν Orellius.

60b. Arsen. II, 4: Diog. Laert. I, 60. 60c. Arsen. II, 5: Demophili Sent. 40 Orell. 61. Arsen. II, 7. DV I, 62. 62. Diog. II, 51: Arsen. II, 8. DV I, 67. 63. Suidas: Arsen. II, 6. Greg. Cypr. L I, 14.

αὐτὸν οὐδ' αἵματι κλαίων. λέγουσι δὲ καί, *Οὐδ' ἂν αἵματι στένων πείσειεν.*

64 *Αἶρε πλῆκτρον:* ἐπὶ τῶν εἰς ἄμυναν ἀντικινδυνευμένων.

65 *Αἴρειν ἔξω πόδα πηλοῦ:* ἐπὶ τῶν βουλευομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καί· *Αἴρειν ἔξω πόδα αἰτίας.*

66 *Αἴτει καὶ τοὺς ἀνδριάντας ἄλφιτα:* ἐπὶ τῶν ἀσυμπαθῶν.

67 *Αἰζωνιεὺς ἄλλος:* Αἰζωνεῖς δῆμος ἦν φυλῆς τῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ εἰς βλασφήμους, ἀφ' οὗ καὶ τὸ κακῶς λέγειν αἰζωνεύεσθαι ἔλεγον. Μένανδρος ἐν Κανηφόρῳ. Πλάτων δ' ἐν τῷ περὶ ἀνδρείας φησίν· *Οὐδὲν ἐρῶ πρὸς ταῦτά γε ἔχων εἰπεῖν, μή με εἴπῃ Αἰζωνέα εἶναι·* ἤτοι βλάσφημον. ἐντεῦθεν ἡ παροιμία.

63a *Αἰδομένων ἀνδρῶν* πλέονες σῶοι, ἠὲ πέφανται.

67a *Αἰεὶ τὰ πέρυσι βελτίω:* ἐπὶ τῶν πρῶτον μὲν εὐδαιμονούντων, ὕστερον δὲ δυστυχούντων.

67b *Αἱρήσω τάχα:* οἱ πειρώμενοι μετελθεῖν ἔργῳ τινὰς εἰώθασι ταύτην λέγειν.

67c *Αἱρετώτερον* καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου.

67d *Αἰσχύνομαι τὴν φιλότητα γηράσκων:* ἐπὶ τῶν διὰ γῆρας διακοσμιῶν.

---

3. *ἀντικεινομένων* am. 7. *αἴτει καί*] *αἰτήσεται* Nauckius in Schneidewini Philologo II, 158 et totum interrogatorio sono legi vult: *αἰτεῖ γε καί* Erasmus III, 2, 89. 9. *Αἰξωνεῖς δ.* W, *Αἰξωνῆς δ.* Harpocratio. 10. *ὡς βλάσφημοι* Harpocratio Bekkeri. 11. *αἰξωνεύεσθαι* Harpocratio. 13. *ἵνα μή* Platon. *εἴπῃς* Harpocratio, *φῇς ὡς ἀληθῶς* Plato. *Αἰξωνέα* Plato. 15. *δ' ἀνδρῶν* Homerus. *σόοι* idem. 18. *ἔργῳ* Suidas om. 19. *τοῦτο* Suidas. 20. Corruptum videtur ex Isocr. ad Nicocl. p. 22 sive Max. Conf. Sent. T. II, 627 Comb.: *αἱροῦ καλῶς τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς.* Nisi subest versus: *βίου γὰρ αἰσχροῦ θάνατος αἱρετώτερος*: cf. Men. Monost. 193: *ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος*: Aeschylus Stob. Flor. 121, 17: *ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος.* 22. *κοσμιῶν* A. Misere ex Diogeniano excerptum est.

63a. Arsen. II, 6a: Hom. Il. *E*, 531. *O*, 563.
64. Arsen. II, 9. Ex Aristoph. Av. 760. 1365, ubi v. Scholl. et cf. Suid. v. *αἶρε* et v. *πλῆκτρον.*
65. Suidas: Arsen. II, 10. Greg. Cypr. M II, 32.
66. Arsen. II, 18. Huc facit Diogenis Cynici dictum a Plutarch. de vit. pudore 7, 531 F. et Diog. Laert. VI, 49 servatum: *ᾔτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖς; Μελετῶ, εἶπεν, ἀποτυγχάνειν.*
67. Arsen. II, 19. *Αἰζωνεῖς — εἶναι*] Harpocr. 9, 1. *Αἰξωνεύεσθαι*] Hesychius explicat *κακηγορεῖν*: cf. nott. ad Append. Provv. IV, 73, ad DV II, 51. *Μένανδρος*] fr. V. *Πλάτων*] Lachet. 197 C.
67a. Arsen. II, 20: cf. Apost. II, 73. Greg. Cypr. L I, 17.
67b. Arsen. II, 21: Suidas.
67c. Arsen. II, 22. De sententia cf. ann. ad Macar. IV, 35.
67d. Arsen. II, 23. Diog. II, 53.

68 *Αἰθίοψ οὐ λευκαίνεται: ἐπὶ τῶν ἀμεταβλήτων.*

69 *Αἱροῦντες ᾑρήμεθα: ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν, εἶθ' ὑπ' ἐκείνων ἁλόντων.*

70 *Αἰσχύνη πόλεως πολίτου ἁμαρτία: ἐξ ἀποφθέγματος.*

71 *Αἰθίοπα σμήχεις:· ὁμοία τῇ· Χύτρας ποικίλλεις. Ὠὸν τίλλεις.*

72 *Αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι: ἐκ τῶν Ὁμήρου.*

73 *Αἰσώπειον αἷμα: ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων· οὐ γὰρ ἐνδίκως ἐκτείναντο Αἴσωπον οἱ Δελφοί.*

74 *Αἴρειν μασχάλην: ἐπὶ τῶν ὀρχουμένων ἀγροίκως.*

75 *Αἶρε δάκτυλον: ἐπὶ τῶν νενικηκότων. ἐπαίρουσι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι.*

67e *Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ἄνθρωποι τῶν συμφορῶν:· Ἡροδότου.*

67f *Αἱ ἐπιφανεῖς τύχαι καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων μεγάλα ποιοῦσι ναυάγια:· Πλουτάρχου.*

67g *Αἱ ἐκ φίλων εἰς φίλους γενόμεναι λῦπαι δυςθεράπευτοι λίαν τυγχάνουσι καὶ μείζους τῶν ἐχθρῶν ἔχουσι τὰς ἐπηρείας.*

67h *Αἱ πονηραὶ ἐλπίδες ὥσπερ οἱ κακοὶ ὁδηγοὶ ἐπὶ τὰ ἁμαρτήματα ἄγουσι:· Σωκράτους.*

---

2. *ἠρώμεθα* N. 3. *εἶθ'*] *καὶ* Suidas. *ἁλόντων. αἱροῦντες οὖν ᾑρήμεθα: δοκοῦντες κρατεῖν ἐλήφθημεν* Suidas: de quo additamento v. Bernhardium. 4. *ἐξ ἀπ.* Suidas ignorat. 11. *ἐνδίκως*] *ἀδίκως* N. 11. *ἔκτειναν τον* a: *ἀπέκτειναν τὸν* Suidas. Addunt AWm: *ἐπὶ τῶν δυςαπονίπτοις ὀνείδεσιν ἐνεχομένων, ἐπειδὴ τοὺς Δελφοὺς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον ὠργίσθη ὁ θεός*: sunt Diogeniani I, 46. 12. *μασχάλην*] *ἀντὶ τοῦ εὐωχεῖσθαι* P addit. *ἐπὶ*] *ἀπὸ* P. *ἀγροικικῶς* P Hesychius. 13. *τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ* Suidas. 15. *οὐκὶ*] *οὐχ οἱ* Stobaeus.

67e. Arsen. II, 24: Stob. Floril. 98, 64. Herod. VII, 49.

67f. Arsen. II, 25: Max. Conf. Serm. 18, 589 Combef. Plut. fr. ξδ Wytt.

67g. Arsen. II, 26: Maxim. Conf. Serm. 6, 550 Comb., ubi *Libanio* adscribitur.

67h. Arsen. II, 27. 45: Stob. Flor. 110, 21. Maxim. Conf. Sermon. 38, 630 Comb. Socrati cum Arsenio codex A Stobaei et Maximus tribuunt.

68. Arsen. II, 14. DV I, 19.

69. Suidas: Arsen. II, 13. Greg. Cypr. L I, 43.

70. Suidas: Arsen. II, 17. Aeschin. adv. Ctesiph. §. 241: *ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων*: Lucian. Paras. §. 51.

71. Diog. I, 45: Arsen. II, 15. DV I, 19.

72. Arsen. II, 16. Hom. Il. *B*, 298.

73. Suidas. DV I, 20: infr. 77. Proverbium Aristoteles tractaverat: cf. Schneidewin. ad Heracl. Polit. 91.

74. Greg. Cypr. P I, 12: Arsen. II, 11. Greg. Cypr. L I, 6.

75. Arsen. II, 12: Suid. Bekk.

76 *Αἰγιθάλου τολμηρότερος*: σαφὴς ἡ παροιμία:. Ὁ δὲ *αἰγιθάλας* ζῶον ἐστί· καὶ τῶν μὲν μικρῶν ὀρνίθων ὑπερφρονεῖ, ἐπιτίθεται δὲ ταῖς αἰξὶ κατὰ τὸ καρτερόν, καὶ μέντοι τοῖς οὔθασιν αὐτῶν προςπετόμενος εἶτα ἐκμυζᾷ ἐκ τοῦ γάλακτος καὶ τὴν τιμωρίαν τὴν ἐκ τοῦ αἰπόλου οὐ δέδοικε, καίτοι πονηρὸν αὐταῖς μισθὸν ὑπὲρ τῆς πλησμονῆς ἀποδιδούς· τυφλοῖ γὰρ τὸν μασθὸν ὅταν σπάσῃ, καὶ ἀποσβέννυσι τὴν ἐκεῖθεν ἐπιῤῥοήν.

77 *Αἰσώπειον αἷμα*: ἐπὶ τῶν δυςαπονίπτοις ὀνείδεσιν ἐνεχομένων. ἐπειδὴ τοῖς Δελφοῖς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον, ὠργίσθη ὁ θεός.

78 *Αἰέτιον χάριν ἐκτίσω*: ἐπὶ τῶν ταχέως μεγάλαις δωρεαῖς ἀντιχαριζομένων:. Ἀλοῶντες ἄνθρωποι τοῦ ἡλίου καταφλέγοντος, δίψει πιεζόμενοι, τὸν ἀριθμὸν ἑκκαίδεκα, ἕνα ἑαυτὸν ἀπέστειλαν ἐκ πηγῆς γειτονούσης κομίσαι ὕδωρ. οὐκοῦν ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν

---

1. ὁ δὲ — ὑπερφρονεῖ] τολμηρότερον ἄρα ζῴων ὁ *αἰγιθήλας* ἦν· τῶν μὲν γὰρ ὀρνίθων ὑπερφρονεῖ τῶν μικρῶν As, ut ex Aeliano compositum proverbium videri possit. 2. αἰγιθάλας vox nihili: ut apud Aelianum libri fluctuant: v. I, 38 et Iacobsius ad n. l.: sic etiam apud Atticos: v. Munckerus ad Anton. Liber. 20 fin. et Meinekius ad Com. Gr. fr. II, 2, 826, cui αἰγίθαλος praestare videtur. 6. πονηρότατον As. 12. *Ἀετοῦ* Z. 14. δίψῃ As. 15. αὐτὸν R, *ἑαυτῶν* AZW As. γειτνιώσης As. 16. ὁ *ἀπιὼν* As.

Anecd. I, 357, 30. Veteres Graeci duplici modo αἴρειν δάκτυλον posuerunt: de re levissima: Antiphanes Athen. VI, 222 B: ἔπειθ' ὅταν μηδὲν δύνωντ' εἰπεῖν ἔτι, Κομιδῇ δ' ἀπειρήκωσιν ἐν τοῖς δράμασιν, Αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανήν, i. e. tam facile quam digitulum homines tollunt, tragici per machinamenta Deum admovent: hinc usus ille Stoicorum, de quo docte O. Iahnius ad Pers. Sat. V, 119 exposuit. Tum quotidiano, ut videtur, vitae usu factum est, ut de iis diceretur, qui ultimo subiecti periculo *manus* tendunt deditionem aut obedientiam aut simile quid significantes: Aristot. apud Dion. Chrysost. II, 225 R.: ὁ δ' οὖν Ἀριστοτέλης ἐπιστέλλων γέγραφεν ὡς τοῖς πράγμασιν ἀπειρηκώς· φησὶ γὰρ αἴρειν τοὺς δακτύλους [τοὺς Ἰδαίους]· κἀμὲ νομίζετε καὶ εἴ τινές εἰσιν ἕτεροι: vv. τοὺς Ἰδαίους quum nullum plane sensum fundant, cum Emperio deleri debent; Lobeckii enim explicatio in Aglaoph. II, 1180 proposita quibus difficultatibus laboret, iam Geelius ad Dion. Chrys. Olymp. p. 388 et Meinekius Com. Gr. Fr. III, p. 107 aperuerunt. Seriores demum Romanorum mores Latinorumque scriptorum usum secuti ad eos qui victos sese faterentur, transtulerunt: ad hos Suidae atque Apostolii explicatio pertinet, de qua v. Tiraquellius ad Alex. ab Alex. D. Gen. T. I, p. 944. Boissonadus ad Eunap. T. I, 570.

76. Arsen. II, 28. ὁ δὲ κτλ.] Aelian. N. A. III, 39.

77. Diog. I, 46: Arsen. II, 35. Cf. sup. 73.

78. Arsen. II, 36. ἀλοῶντες — μισθόν] Aelian. N. A. XVII, 37.

διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν· ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντος ἀποπνιγόμενον ἤδη. ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετὸς, οὐ μὴν κρείττων γενόμενος οὐδὲ τῆς ἐπιβουλῆς κρείττων γενόμενος, οὐδὲ, τοῦτο δὴ τὸ Ὁμηρικόν, τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν, ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἕρμασιν ἔμελλεν οὐ μὰ Δί' ἀπολεῖν, ἀλλ' ἀπολεῖσθαι· εἰδὼς οὖν ὁ γεωργὸς ἢ καὶ ἀκούων, τὸν μὲν εἶναι Διὸς ἄγγελον, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ διακόπτει τὸν θῆρα· καὶ μέντοι τῶν ἀφύκτων δεσμῶν τὸν αἰετὸν ἀπολύει· ἀρυσάμενος δὲ τὸ ὕδωρ ἧκε, καὶ πρὸς τὸν οἶνον κεράσας ὤρεξε πᾶσιν· οἱ δὲ ἄρα ἐξέπιον καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ· ἔμελλε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι· ἔτυχε δὲ ὑπηρέτης κατ' ἐκεῖνο τοῦ καιροῦ, ἀλλ' οὐ συμπότης ὤν. ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προςῆγεν, ὁ σωθεὶς αἰετὸς ζωάγρια ἐκτίνων οἱ, καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἐκχεῖ τὸ ποτόν. Ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν, καὶ λέγει· εἶτα μέντοι σὺ ἐκεῖνος ὤν, καὶ γὰρ τὸν ὄρνιν ἐγνώρισε, τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἂν καὶ ἄλλος σπουδὴν κατάθοιτο εἴς τινα αἰδοῖ Διὸς χαρίτων ἐφόρου τε καὶ ἐπόπτου; καὶ τῷ μὲν ταῦτα εἴρητο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας. ἦν δὲ ἄρα, ὡς συμβαλεῖν, ἐμημεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις, καὶ κεράσας αὐτὴν τῷ ἰῷ. Οὕτως ὁ ἀετὸς τῷ σώσαντι ἀμοιβῇ τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν:. Τὸν δὲ χρυσάετον, ὡς δ' ἄλλοι φασίν, ἀστερίαν, οὐ μόνον νεβροῖς, ἀλλὰ καὶ ταύροις ἐπιτίθεται κατὰ τὸ καρτερόν· ὁ μὲν γὰρ κεκυφὼς κάτω

---

5. *ἐπιβουλῆς — γενόμενος*] *ἐπιβουλῆς ἐγκρατὴς ἐγένετο* As. 8. *ἔμενεν* RZ. 9. *ἢ καὶ*] *καὶ* As om. 10. *ἄγγελον καὶ ὑπηρέτην* As. 11. *δρεπάνῳ τῷ προειρημένῳ* As. *καὶ τῶν ἀφύκτων ἐκείνων εἱργμῶν τε καὶ δ. τ. ἀετὸν ἀπ. Ὁδοῦ μέντοι πάρεργον τῷ ἀνδρὶ ταῦτα καὶ δὴ διεπέπρακτο, ἀρυσάμενος* As. *δὲ*] *γὰρ* As. 15. *ἐκεῖνό πως* As. 17. *ἀετὸς* As. 19. *κύλικι, καὶ ἐκταράττει αὐτὴν καὶ* As. 20. *σὺ μὲν* As: *σὺ* A om. 21. *καὶ γὰρ καὶ* As. 22. *ἀλλὰ πῶς ἔτι ταῦτα καλά; πῶς δ' ἂν καὶ* As. *καταθέσθαι θελήσει* As. 24. *καὶ ἐφρύγετο· ὁρᾷ* As. 25. *συμβάλλειν* As. 27. *οὕτως ὁ*] *ὁ μὲν* As. *ἀμοιβὴν* As. 28. *τὸν — καρτερὸν*] *ἀκούω δέ τι καὶ γένος αἰετῶν, καὶ ὄνομα αὐτῷ χρυσαίετον ἔθεντο, ἄλλοι δὲ ἀστ. τὸν αὐτὸν καλοῦσιν· ὁρᾶται δὲ οὐ πολλάκις.*

τὸν δὲ — λυπεῖν] id. ib. II, 39. *ζηλοτυπώτατος κτλ.*] id. ib. II, 40.

νέμεται ὁ ταῦρος· ὁ δὲ ἀετὸς ἐπὶ τῷ τένοντι τοῦ ζῴου καθίσας ἑαυτὸν παίει τῷ στόματι συνεχέσι καὶ καρτερικαῖς ταῖς πληγαῖς· ὁ δὲ ὥσπερ οἰστρηθεὶς ἐξάπτεται, καὶ ᾗ ποδῶν ἔχει φυγῆς ἄρχεται. καὶ ἕως μὲν σὺν ἅλλεται, ὁ ἀετὸς ἥσυχός ἐστι καὶ ἐπιποτᾶται παραφυλάττων· ὅταν δὲ τὸν ταῦρον θεάσηται πλησίον κρημνοῦ γενόμενον, κυκλώσας τὰ πτερὰ καὶ ὑπερτείνας αὐτοῦ τῶν ὀφθαλμῶν ἐποίησε τὰ ἐν ποσὶ μὴ προειδόμενον κατενεχθῆναι βιαιότατα· εἶτα ἐμπεσὼν καὶ ἀναῤῥήξας τὴν γαστέρα ῥᾳδίως χρῆται τῇ ἄγρᾳ εἰς ὅσον ἐθέλει. θήρας δὲ ἀλλοτρίας οὐχ ἅπτεται κειμένης, ἀλλὰ χαίρει τοῖς ἑαυτοῦ πόνοις, κοινωνίαν τε τὴν πρὸς ἄλλον ἥκιστα ἐνδέχεται· κορεσθεὶς δὲ εἶτα τοῦ λοιποῦ πονηρὸν ἆσθμα καὶ δυςωδέστατον καταπνεύσας, ἄβρωτα τοῖς ἄλλοις τὰ λείψανα ἐᾷ. καὶ μέντοι ἀλλήλων ἀπῳκισμένας οἰκοῦσι καλιάς, ὑπὲρ τοῦ μὴ διαφθείρεσθαι ὑπὸ θήρας, καὶ λυπουμένους λυπεῖν:. Ζηλοτυπώτατος δέ ἐστιν ὁ ἀετὸς πρὸς τὰ νεόττια. ἐὰν γοῦν θεάσηταί τινα προςιόντα, παίει τοῖς πτεροῖς αὐτὸν καὶ τοῖς ὄνυξι λυμαίνεται.

79 *Αἰτναῖος κάνθαρος: ἐπὶ τῶν μεγάλων τῷ σώματι.*

80 *Ἄϊδος κυνῆ: ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων. ταύτῃ Περσεὺς χρησάμενος τὴν Γοργὼ ἐδειροτόμησεν.*

81 *Αἴθεις ἐν πέπλῳ: καὶ· αἴθης πέπλος: ἐπὶ τῶν στάσεις ἐγειρόντων καὶ ὑπεκκαιόντων· ἡ γὰρ Διϊάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ' οὗ ἐκαύθη.*

Λέγει δὲ Ἀριστοτέλης αὐτὸν θηρᾶν καὶ νεβροὺς καὶ λαγωοὺς καὶ γεράνους καὶ χῆνας ἐξ αὐλῆς. Μέγιστος δὲ αἰετῶν εἶναι πεπίστευται, καὶ λέγουσί γε εἰς τοὺς Κρῆτας καὶ τοῖς ταύροις ἐπιτίθεσθαι αὐτὸν κατὰ τὸ καρτερὸν καὶ περιηγοῦνται τὸ ἔργον τὸν τρόπον τοῦτον As. 30. *γὰρ* As om.

1. *αἰετὸς* As. 2. *τε καὶ καρτεραῖς* As. 3. *ἐξάπτεται* A. 4. *ἐνήλαται* A: *ἐστιν εὐήλατα* As. *αἰετὸς* As. 6. *γεγενημένον* As. 8. *προιδόμενον* A. 11. *τε*] *δὲ* As. 14. *καὶ ἀλλήλων* As. 15. *διαφθείρεσθαι ὑπὲρ* As. 16. *λυπεῖν πολλάκις* As. *καὶ ζηλοτ. δὲ ἦν ζῴων αἰετὸς πρὸς* As. 18. *ἀπελθεῖν ἀτιμώρητον οὐκ ἐπιτρέπει· παίει γὰρ τοῖς* As. 21. Diogeniani explicationem Apostolius in breviorem formam redegit. 22. *ταύτῃ κτλ.* N om. 24. *αἴθης*] *αἴθων* Z: *αἰθὴς* Hesychius: quam formam in Zenobio restitui, ubi v. nott. Consentit Meinekius Com. Gr. Fr. II, 1, 69. 25. *Δηϊάνειρα* A.

79. Diog. I, 59: Arsen. II, 41. Greg. Cypr. M II, 24.

80. Diog. I, 39: Arsen. II, 42. DV I, 16.

81. Arsen. I, 37. Zenob. I, 33.

82 *Αἱ Χάριτες γυμναί*: ὅτι δεῖ τὴν δωρεὰν ἀφειδῶς ἢ ἀκενοδόξως χαρίζεσθαι.

83 *Αἴολος ἀνὴρ εἰς βόθρον ἐμπεσεῖται*: ἤτοι ὁ πανοῦργος καὶ πονηρός. Αἴολος δὲ σημαίνει τρία. τὸν πονηρόν, ὡς ἐνταῦθα· τὸν ποικίλον, ὡς παρ' Ὁμήρῳ κορυθαίολος Ἕκτωρ· καὶ ὄνομα κύριον. ὅστις ἦν ἀνὴρ εὐστοχώτατος τὰ περὶ ἀνέμους, κἀντεῦθεν καὶ θεὸς τῶν ἀνέμων ὑπείληπται· οὗτος Τηλεπώραν γήμας τὴν Λαιστρυγόνα, ἐγέννησε θυγατέρας ἕξ, καὶ ταύταις ἴσους υἱούς· εἰσὶ δὲ τοῖς μὲν ἄρσεσι τὰ ὀνόματα Ἰοκάστος, Ξοῦθος, Φαρακλός, Χρύσιππος, Φερήμων καὶ Ἀνδροκλῆς· ταῖς δὲ παρ-

82a *Αἱ Χάριτες οὐκ ἐν οὐρανῷ*: συνυπακούεται τό, κἂν τῇ γῇ. λέγεται ἐπὶ τῶν ἄγαν εὐεργετούντων. τρεῖς δέ εἰσιν αἱ Χάριτες, Ἀγλαΐα, Εὐφροσύνη καὶ Εὐτέρπη.

83a *Αἱ μὲν τῆς ἀρετῆς ἐλπίδες ἴδιαι εἰσὶ τῆς ψυχῆς· αἱ δὲ τῆς κακίας νόθοι*:· Πλουτάρχου.

83b *Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοί, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν*:. Σωκράτους.

83c *Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσι*:· Δημοκρίτου.

83d *Αἰνῶ· διδάξαι δ', ὦ τέκνον, σε βούλομαι.*
ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν·
ἐν παρθένοις δέ, παρθένου τρόπους ἔχειν.
ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,
τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσι:· Εὐριπίδου.

---

8. Τηλεπύραν l, Τηλεπάτραν Scholiasta: Apostolii lectionem invenit in codd. etiam Gyraldus de Diis Synt. 5: lege Τηλεπόραν. Λαιστρυγόνου Scholiasta: scribe Λαιστρυγόνος. 10. Ἰόκαστος Z, Ἰοκάστης Scholiasta. Φαρακρὸς R, Φαλακρὸς Scholiasta. 11. καὶ Ἀνδροκλῆς R om. 20. Δημοκράτους Stobaeus Trincavelli, Σωκράτους Gaisfordi. 24. Post versum quartum notante Matthiaeo haud dubie versiculus excidit. 25. ἀνδράσιν Stobaeus.

82. K in nott. ad Diog. I, 34: Arsen. II, 38. Greg. Cypr. M I, 33.

82a. Arsen. II, 39. Liban. Epist. 364: καὶ τῷ δοῦναι χάριν ἔλεγχε τὴν παροιμίαν, ὡς ἄρα καὶ ἐν γῇ Χάριτες.

83. Arsen. II, 43. Respicit proverbium Eustath. ad Hom. Od. *K*, 2, p. 1645, 4: ὁ δὲ ὡς εἰκὸς ἱστορικὸς λόγος ἄνθρωπον συνετὸν καὶ εὔπορον τὰ εἰς βουλὴν καὶ εἰς λοιποὺς λόγους τὸν Αἴολον παραδίδωσι διὰ περιουσίαν φρονήσεως· διὸ καὶ ἡ παροιμία Αἴολον τὸν ποικίλον καὶ πανοῦργον φησίν. ὅστις κτλ.] Schol. Q. ad Hom. Od. *K*, 6: Eustath. ad Hom. l. c., 37: τῶν δὲ παίδων Αἰόλου καὶ ὀνόματα ἐκτίθενται οἱ παλαιοί. Est sine dubio totus hic locus ex Scholiis Homericis desumptus.

83a. Arsen. II, 44. VIII, 55. XXVI, 63: Max. Conf. Sermon. 38, 630 Combef. Plut. fr. οβ' Wytt.

83b. Arsen. II, 45: cf. sup. 67b.

83c. Arsen. II, 46: Stob. Flor. 93, 30. Plutarcho tribuit Anton. Mel. 224 Fabr.

83d. Arsen. II, 47: Stob. Flor. 74, 26. Eurip. Peliad. fr. 6 Matth.

θέτοις Ἴφθη, Αἰόλη, Περίβοια, Δία, Ἀστυκράτεια καὶ Ἡφαιστία.

84 *Αἰγιαλῷ λαλεῖς: ἐπὶ τῶν ἀνηκόων.*

85 *Αἱ Ἰβύκου γέρανοι: ἐπὶ τῶν ἀπροσδοκήτως κολαζομένων ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος γεράνους ἰδὼν ἐμαρτύρατο. εἶτα οἱ λῃσταὶ ἐν θεάτρῳ γεράνους θεώμενοι, Αἱ Ἰβύκου γέρανοι, ἔλεγον, καὶ ἀνακριθέντες ἐκολάσθησαν.*

86 *Αἱ λαχάνων προςθῆκαι: ἐπὶ τῶν μηδὲν ὠφελούντων.*

87 *Αἰάντειος γέλως: ἐπὶ τῶν παραφρόνως γελώντων.*

88 *Αἲξ οὔπω τέτοκεν, ἔριφος δ' ἐπὶ δώματος παίζει: ἐπὶ τῶν οὔπω τεχθέντων ἢ γεγονότων, ἀλλ' ἀτελῶν ὄντων καὶ τὰ τῶν τελείων θελόντων ποιεῖν.*

89 *Αἰεὶ γέροντι νέα προςβάλλει κόρην: ἐπὶ τῶν πρεσβυτέρων, βουλομένων δὲ νέαις συνευνάζεσθαι.*

Τὸ ᾱ μετὰ τοῦ κ̃.

90 *Ἀκεσσαίου σελήνη: ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαί τι. ἦν δὲ κυβερνήτης, ὃς ῥᾴθυμος ὢν ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένοιτο.*

91 *Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει: Ἱππόλυτος εἶπε τοῦτο πρὸς τὴν Φαίδραν, λέγουσαν αὐτὸν φιλεῖν ὑπὲρ ὅλους.*

92 *Ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι: ὅμοιον*

---

1. *Ἔφθη* m, *Ἔφη* Scholiasta. *Ἀστυακράτεια* m, *Ἀρτικρώτεια* Scholiasta. 2. *Ὑφαιστία* Z, *Ἡφαίστεια* Scholiasta. 11. *δώματα* Z: *δώματι* W. N explicat: *ἐπὶ τῶν τὰ οὔπω τεχθέντα ἢ γεγονότα προλεγόντων.* 12. *ἢ γεγονότων* R om. 14. *νέαν* N. *προβάλλει* Aa. Suidas: *αἰεὶ δὲ γέροντι νέαν ποτιβάλλεο κούρην*, unde Kusterus scribendum esse coniecit: *αἰεὶ δ' ἀνδρὶ γέροντι κτλ.*: v. nott. critt. ad Diog. l. c. *ἐπὶ κτλ.* R om. 20. *γένηται* Ds. 21. Scribe *εὔνοι'*.

84. Diog. I, 37: Arsen. II, 30. DV I, 14.
85. K in nott. ad Diog. I, 35: Arsen. II, 31. Macar. I, 50.
86. Diog. II, 52: Arsen. II, 32. DV I, 68.
87. Diog. I, 41: Arsen. II, 29. DV I, 17.
88. Diog. I, 40: Arsen. II, 34. Macar. I, 54.
89. Diog. II, 72: Arsen. II, 33. Greg. Cypr. L I, 52.
90. Diog. I, 57: Arsen. II, 48. Cf. Apost. XVI, 93.
91. Arsen. II, 49. Greg. Cypr. L I, 40.
92. Zenob. II, 46: Arsen. II, 50. Greg. Cypr. M I, 78.

αὐτῷ ἐστι τό, Ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἴασιν· ἐπὶ τῶν αὐτομάτως πορευομένων που.

93 Ἄκουε τοῦ τέτταρα ὦτα ἔχοντος: αὐλητὴς ἦν, περὶ οὗ εἶπεν ἡ Πυθία τισὶν ὡς παραφυλάττοιντο· οἱ δὲ ἀμελήσαντες ἀπώλοντο. ἔνιοι μὲν ἐπὶ τοῦ πολλὰ εἰδότος ἢ ἀκούοντος· οἱ δὲ ἐπὶ τῶν ἀληθευόντων· ὡς ἐπὶ τοῦ Ἀπόλλωνος, ὃν τετράχειρα καὶ τετράωτον καλοῦσιν.

94 Ἀκεσίας ἰάσαιτο: ἐπὶ τῶν ἐπὶ χεῖρον ἰωμένων. καὶ Ἀριστοφάνης: Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

95 Ἀκρὶς δυσκίνητος χλωρά: ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι προστρέχουσι καὶ μαντείας ἐξ αὐτῶν ποιοῦνται. τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευομένων.

96 Ἄκις ποταμός: ἐπὶ τῶν ἄγαν ψυχρῶν. ψυχρὸς γάρ ἐστιν οὗτος.

97 Ἄκρον λάβε καὶ μέσον ἕξεις: οἱ τὴν Αἴγιναν οἰκοῦντες, ἐκπεσόντες αὐτῆς διὰ πόλεμον, ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ τὸν χρησμὸν τοῦτον εἶπε. καὶ συμβαλόντες, ἀκρωτήριόν τι κατασχόντες, κατὰ μέσον ᾤκησαν. λέγεται δὲ ἐπὶ τῶν δυσνοήτων.

98 Ἀκούσατε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον.

98a Ἀκούετε λεώς, Σουσαρίων λέγει τάδε·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,

---

1. αὐτόματοι δ' ἀγαθοὶ ex Zenobio Pantinus. 2. ἐπὶ τῶν κτλ. in Zenobio non comparent. 3. αὐλητὴς ἦν] supersunt ex ἦν δὲ οὗτος λῃστὴς Φοῖνιξ. 4. τισὶ] Entimo Cretensi et Antiphemo Rhodio: v. Zenobium. 5. μὲν] δὲ W. 7. τετράχειρον W. Ceterum v. Zenobius. 8. ἰάσατο Diogenianus. τὸ χεῖρον idem. 9. Ἀριστοφάνης] grammaticum celeberrimum significari in Schneidewini Philol. III, 567 sqq. uberius demonstravi. 10. K: Ἀρουραία μάντις: ἀκρίς ἐστι δυσκίνητος χλωρά, λεγομένη μάντις, ἧς ταῖς κινήσεσι κτλ.: Apostolius, quum proverbium in codice, quo utebatur, casu excidisset, explicationis ope damnum haud cunctanter conatus est resarcire. ταῖς quod Apostolius scripserat postea in τῆς mutavit: τῆς N. 13. Ἀκις Ds. 17. συμβάλλοντες Z. 18. ὤκισαν Z. 21. λεῴ Meinekius.

93. Arsen. II, 51: Zenob. I, 54.
94. Diog. II, 3: Arsen. II, 52. DV I, 23.
95. Arsen. II, 53: App. Provv. I, 40.
96. Diog. II, 74: Arsen. II, 54. Cf. Apost. III, 12.
97. Arsen. II, 55: Zenob. I, 57. DV I, 27.
98. Plut. Apophth. Reg. 207 E, id. de Republ. seni ger. 2, 784 D, ubi ad Caesarem Augustum refertur: Caio Caesari adscribitur in Stob. Flor. Append. Florent. 5 Oxf.
98a. Arsen. II, 65: Stob. Flor. 69, 2. Meinekius Com. Gr. Fr. II, 1, p. 3 sq.

99 *Ἀκεσαίου καὶ Ἑλικῶνος ἔργα:* ἐπὶ τῶν θαύματος ἀξίων. οὗτοι γὰρ πρῶτοι τὸν τῆς Ἀθηνᾶς πέπλον ἐδημιούργησαν.

100 *Ἄκουε τὰ ἀπὸ καρδίας:* ἐπὶ τῶν ἀπαρακαλύπτως ἃ φρονοῦσι διεξιόντων.

1 *Ἀκαδημιῆθεν ἥκεις:* ἤτοι σοφὸς καὶ σπουδαῖος ὑπάρχεις. Ἀκαδημία δὲ ἦν γυμνάσιον ἐν Ἀθήναις ἀλσῶδες, ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἀκαδήμου τινὸς ἥρωος. πρότερον δὲ Ἀκαδημία ἐκαλεῖτο, ὡς καὶ Ἀριστοφάνης. ἔτι δὲ καὶ Ἁρποκρατίων· Ἀκαδήμια τρία ὑπῆρχον γυμνάσια, Λύκιον, Κυνόσαργες, Ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτοῦ Ἀκαδημοῦ.

2 *Ἀκέφαλος μῦθος:* ἐπὶ τῶν ἀτελῆ λεγόντων. Πλάτων· *Ἀκέφαλον καταλίποιμι μῦθον.*

3 *Ἀκίνητα κινεῖς:* ἐπὶ τῶν λίαν παράνομα πραττόντων. ὅτι οὐ δεῖ κινεῖν τύμβους, μὴ τάφους, μὴ ὀροφήν.

4 *Ἄκισσος μετ' Ἀνθεστήρια:* ἐπὶ τῶν βραδέων.

οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι κακόν:. Σουσαρίωνος.

98b *Ἄκουσον, ὥς σοι τέρψιν ἐμβάλω φρενί·*
τὸ μὴ γενέσθαι τοῦ θανεῖν ἴσον λέγω:. Εὐριπίδου.

100a *Ἀκάνθιος τέττιξ:* ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων. οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες. Ὡς καὶ τό, *Βάτραχος Σερίφιος.*

---

1. *Ἀκεσίως* Zenobius. 2. *Πολιάδος Ἀθηνᾶς* Ds. 4. *τἀπὸ* Ds. 7. *προάστειον ἀλσῶδες* Suidas. 8. *Ἐκαδήμου* Z Suidas. *ἥρωος ὀνομασθὲν* Suidas. 9. *Ἀκαδήμεια* R, *Ἑκαδημία* Z, *διὰ τοῦ ε̄ Ἑκαδημία* Suidas. *ὡς καὶ* ut *ἔτι .. Ἁρποκρατίων* Suidas om., sed post v. *Ἀριστοφάνης* locum e Nub. 1005 sqq. adscripsit. *πρότερον δὲ Ἀκαδήμεια* [sic] *ἐκαλεῖτο, ὡς καὶ Ἀριστοτέλης* N. 10. *Ἀκαδημία* et *Λύκειον* Harpocratio. 12. *αὐτοῦ*] *αὐτὸ* idem, *αὐτὴν* W cum Suida. Scribe *Ἀκαδήμου.* 13. *Πλάτων κτλ.* N om. 14. *ἀκέφαλον ἐκὼν* Ds. 15. *ἐπὶ — πραττόντων*] hanc explicationem Apostolius solus exhibet. 16. *ὅτι κτλ.*] v. K in nott. critt. ad Diog. II, 6. *ὀρόφους* KZ. 17. *Ἀκισσὸς* RZ: v. Ammonius. Explicationem R om. 21. *τοῦ*] *τῷ* Stobaeus, Euripides. 23. *ὡς — τὸ*] *ὅμοιον* Ds.

98b. Arsen. II, 66: Stob. Flor. 120, 1. Eurip. Troad. 630.
99. Diog. II, 7: Arsen. II, 56. DV I, 25.
100. Diog. II, 59: Arsen. II, 62. Macar. I, 65.
100a. Arsen. II, 63: Diogen. I, 49. DV I, 22. *Βάτ. Σερίφ.*] Apost. IV, 77.
1. Arsen. II, 57. *Ἀκαδήμια — Ἀριστοφάνης*] Suidas. *Ἀκαδήμια κτλ.*] Harpocr. 9, 6. Max. Tyr. Diss. XXXIII, 5, p. 142 R.: *λέξω δὲ οὐκ ἐμαυτοῦ λόγον, ἀλλ' ἐξ Ἀκαδημίας ὁρμηθέντα καὶ ἐπιχώριον τῆς Πλάτωνος μούσης τε καὶ ἑστίας.*
2. Diog. II, 9: Arsen. II, 58. Macar. I, 70. *Πλάτων*] Phaedr. 264 C.
3. Arsen. II, 59. DV I, 25: add. Macar. V, 94. Apost. XI, 41.
4. Arsen. II, 60. XXXII, 46.

5 Ἄκρῳ ἅψασθαι δακτύλῳ: ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων.

6 Ἄκμων μέγιστος οὐ φοβεῖται τοὺς ψόφους·
Καὶ νοῦς ἐχέφρων πᾶσαν ἕλκουσαν βίαν.

7 Ἄκων μὲν, ὡς Ζεὺς οἶδεν: ἐπὶ τῶν ἀκόντων ὑπισχνουμένων τι.

8 Ἀκόνην σιτίζεις: ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν δὲ εἰς σῶμα ἐπιδιδόντων. Ἄλλοι δὲ ἐπὶ τῶν ἀδυνάτων.

Τὸ ᾱ μετὰ τοῦ λ̄.

9 Ἅλας ἄγων καθεύδεις: ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων· ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, εἶτα καθεύδοντος, τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. Ὁ δὲ Διογενιανὸς οὕτω φράζει τήνδε τὴν παροιμίαν· ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: ἔμπορος γάρ τις ἅλας ἄγων καὶ ἀποκαθευδήσας ἀπώλεσεν αὐτὸ τῆς ἀντλίας ἐπαναβάσης. Λέγεται οὖν ἐπὶ τῶν ἅπερ προςεπόρισαν ἀπολλύντων.

10 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: δήλη ἡ παροιμία. φίλοι γὰρ ἐκ τούτων γινόμεθα.

7a Ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός: Σοφοκλέους.

8a Ἀλλ' ἔν γε χέρσῳ τὰς λέοντος ᾔνεσα
καὶ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας,
ὃς εὖτ' ἂν ἄλλων θηρίων ὀσμὴν μάθῃ
στρόβυλος ἀμφ' ἄκανθας εἰλίξας δέμας,
κεῖται, δάκνειν δὲ καὶ θίγειν ἀμήχανος:.

---

5. ἀκόντως Matthaeius. 6. τι] ὡς καὶ τό· Ἑκὼν ἀέκοντί γε θυμῷ Z addit: Homer. Il. Δ, 43: cf. App. Provv. II, 51. 8. εἰς τὸ Ds. ἄλλοι κτλ. N Ds om. 10. μεγάλῳ τινὶ Z. 13. ἐπαναβῆναι συνέβη Zenobius. 15. γάρ Ds om. 16. καθευδήσας Ds. 17. τῶν τὰ Ds. προςεπόρισαν καὶ ἐχαρίσαντο Ds. Peculiari modo alterum Suidas explicat: ἐπὶ τῶν καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσι καὶ μηδενὶ μεταδιδόντων. 21. τε Zenobius. 23. λάβῃ idem. 24. στρόβιλος idem. ἄκανθαν idem. 25. θιγεῖν τε καὶ δακεῖν idem.

Apost. praef. §. 5: Ammon. de differ. vocabb. 8 Lugd.
5. Diog. II, 10: Arsen. II, 68. DV I, 29.
6. Arsen. II, 67.
7. Diog. II, 82: Arsen. II, 69.
7a. Arsen. II, 70: Stob. 46, 6. Soph. Tyr. fr. 582 Df.
8. Diog. II, 8: Arsen. II, 61. DV I, 28. Apost. X, 72a.
8a. Arsen. II, 71: Zenob. V, 68. Ionis versus: v. Athen. III, 91 D ibiq. G. Dindorfius.
9. Zenob. I, 23. Diog. II, 34: Arsen. II, 72. Greg. Cypr. M I, 81.
10. Diog. II, 11: Arsen. II, 73.

11 *Ἄλλο ᾄδεις*: ἐπὶ τῶν μάτην πονούντων.

12 *Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ*: ἐπὶ τῶν ἀληθῶν, οὐ πιστευομένων δέ. Σάγρα τόπος τῆς Λοκρίδος. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους. τὸν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκόρους, οἰωνισαμένους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκόρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐθημερόν, καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μέν, οὐ πιστευομένοις δέ.

13 *Ἀλεκτρυὼν ἐπιπηδᾷ*: ἐπὶ τῶν ἀγεννῶς ἀναμαχομένων τὴν ἧτταν:. *Οἱ ἀλεκτρυόνες* ὑπεράγαν οὐκ ᾄδουσιν ἐν τοῖς ὑγροῖς χωρίοις καὶ ἔνθα νοτιώτερός ἐστιν ὁ ἀήρ. ψυχροὶ δὲ ἄρα ὄντες τὴν σύγκρασιν οἱ τέττιγες, εἶτα μέντοι πυρουμένου τοῦ ἡλίου ᾄδουσιν:. *Ἀλεκτρυόνες* γε μὴν καὶ ὄρνιθες οἱ ἐθάδες πτερυσσόμενοι καὶ φρυαττόμενοι καὶ ὑποτρύζοντες χειμῶνα δηλοῦσι. Πετόμενοι δὲ ὄρνιθες εἰς ἀλλήλους καὶ δι' ἀλλήλων θέοντες χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσιν.

14 *Ἁλμυρὰν ἀκοὴν ἀπεκλύσατο ποτίμῳ λόγῳ*: ἐπὶ τῶν ἀπό τινος φαύλου εἰς καλόν τι μετακλινάντων.

---

1. Scribe ἄλλως. 2. ἐπὶ Σ.] ἐν Σ. W. 3. μέν, οὐ Suidas. γὰρ τόπος idem. 8. Διοσκόρους, τοὺς Λοκροὺς idem. οἰωνησαμένους R. 14. εὐγενῶς Z. 15. οἱ — ἀήρ] As verba aliter collocavit: saltem ὑπεράγαν post v. ἀήρ poni debuisset. 16. ἀήρ] φησὶ Θεόφραστος addit As. 18. ᾄδουσιν, ἐκεῖνος λέγει As. 19. ἠθάδες As. 20. δηλοῦσι] omisit nonnulla epitomator. πετόμενοι κτλ.] χειμῶνος δὲ ὄντος, εἰς ἀλλ. ὄρ. πετ. καὶ δι' ἀλλ. θ. σημαίνουσιν εὐδίαν. Ὄρνιθες δὲ ἀθροιζόμενοι περί τε λίμνας καὶ ποταμῶν ὄχθας χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσι As.

11. Diog. II, 19: Apost. II, 31. Arsen. III, 22. Greg. Cypr. L I, 47.
12. Suidas: Arsen. II, 74. Macar. I, 84.
13. Arsen. II, 75. Οἱ — ᾄδουσιν] Aelian. N. H. III, 38. Ἀλεκτρυόνες κτλ.] id. ib. VII, 7.
14. Arsen. II, 78. Sine dubio e Scholiis Platonicis descriptum. Plat. Phaedr. 243 D: αὐτὸν τὸν Ἔρωτα δεδιὼς ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι: quem locum multi imitati sunt: Athen. III, 121 E: Κύνουλκος πιεῖν ᾔτησε δεκόκταν, δεῖν λέγων ἁλμυροὺς λόγους γλυκέσιν ἀποκλύζεσθαι νάμασι: Eunap. Excerpt. Vatic. 251 Mai.: διαφθείρειν ἁλμυρῷ λόγῳ πότιμον ἀκοήν: Hermog. π. δεινότ. μεθ. c. 6, p. 407 W.: alia contulit Creu-

15 ***Ἀληλεσμένος βίος καὶ μεμαγμένος:*** ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων, ἢ ἐπὶ τοῦ προχείρου καὶ ἑτοίμου. ὁμοία τῇ· ***Ἄσπαρτα καὶ ἀνήροτα.***

16 ***Ἄλλην δρῦν βαλάνιζε:*** ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι, ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων· οἱ παλαιοὶ γὰρ βαλάνοις ἔζων. πρὸς οὖν τοὺς περιοκοποῦντας δρῦς, εἴτε πλήρεις εἶεν εἴτε κενὲ, ***Ἄλλην δρῦν βαλάνιζε,*** ἔλεγον.

17 ***Ἀλώπηξ δωροδοκεῖται:*** ἐπὶ τῶν ῥαδίως δώροις ἁλισκομένων. Κρατῖνος Νόμοις·

Ὑμῶν εἰς μέσον ἕκαστος ἀλώπηξ δωροδοκεῖται.

Ἀλώπηξ οὐ δωροδοκεῖται: ἐπὶ τῶν μὴ ῥαδίως δώροις πειθομένων:. ***Τοὺς χερσαίους*** ἐχίνους καταγωνίσασθαι θέλουσαν τὴν ἀλώπεκα, ἀνείργουσιν αὐτῶν τὰ κέντρα, ἡ δὲ ἡσύχως καὶ πεφεισμένως τοῦ ἑαυτῆς στόματος ἀνατρέπει αὐτοὺς καὶ κλίνει ὑπτίους, ἀνασχίσασά τε ἐσθίει ῥαδίως. τὰ δὲ μικρὰ ἰχθύδια διαθηρῶσι πάνυ σοφῶς. παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἔρχονται καὶ τὴν οὐρὰν καθιᾶσιν εἰς τὸ ὕδωρ· τὰ δὲ προςνέοντα ἐνίσχεταί τε καὶ ἐμπλάσσεται τῷ δάσει τῶν τριχῶν· αἱ δὲ ἐνισχόμεναι τοῦ μὲν ὕδατος ἀναχωροῦσιν, ἐλθοῦσαι δὲ εἰς τὰ ξηρὰ χωρία διασείουσι τὰς οὐρὰς καὶ ἐκπίπτει τὰ ἰχθύδια καὶ ἐκεῖναι δεῖπνον ἁβρότατον ἔχουσι. πεῖράν δε ποιεῖται τοῦ μὴ σφαλεροῦ τόπου

---

2. ἢ ἐπὶ κτλ. N om. Ex nostro loco Diog. l. c. corrigendus est. 5. ἢ ἐπὶ τῶν συνεχῶς δανειζομένων Ds. οἱ γὰρ Ds. 6. βαλάνους ἔδον N omissis sqq. τὰς δρῦς Ds. 7. *κεναὶ* A Ds. 11. μέσον] *μὲν* Suidas. δωροδοκεῖται] καὶ τὸ ἀνάπαλιν AZ addunt. 13. ἀλώπηξ οὐ — πειθομένων] D ab Apostolii manu scripta in margine exhibet. ἀλώπηξ οὐ κτλ. N om. 14. τοὺς — ἡ] ἐπιβουλεύει [sc. vulpes] γοῦν τοῖς χερσαίοις ἐχίνοις τὸν τρόπον τοῦτον· ὀρθοὺς αὐτοὺς καταγωνίσασθαι ἀδύνατος ἐστί· τὸ δὲ αἴτιον, αἱ ἄκανθαι ἀνείργουσιν αὐτήν. ἡ As. 17. ῥαδίως τοὺς τέως φοβεροὺς As, addens tum descriptionem modi, quo vulpes otidas venetur. 18. σμικρὰ δὲ As. θηρῶσι As. 19. *τὴν* τοῦ π. As. ἐς As. 21. ἐνισχόμεναι] *αἰσθόμεναι* As. 22. ἐς As. 24. ἔχουσιν As, adiiciens, quo modo Thraces e vulpeculae arte commoda consequantur. δὲ αὐτὴ As. τόπου] *πόρου* As.

zerus ad Plot. de Pulchrit. 465 sq. Dicti fontem Wyttenbachius in annott. ad Plut. Op. Mor. I, 2, 151 D invenisse sibi visus est in Eurip. Hippol. 653: ἃ 'γὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι Εἰς ὦτα κλύζων.

15. Suidas et Diog. I, 17. 18: Arsen. II, 76. Greg. Cypr. M I, 21. Ἄσπ. κ. ἀν.] Hom. Od. *I*, 109.

16. Suidas et Diog. I, 19: Arsen. II, 77. Greg. Cypr. L I, 5.

17. Bekk. Anecd. I, 218, 29. Suid. v. ἀλώπηξ: Arsen. III, 17. Greg. Cypr. M I, 26. Κρατῖνος]

οὕτως· παραβάλλει τὸ οὖς ἐπὶ τῷ κρυστάλλῳ, κἂν μὲν αἴσθηται μὴ ὑπηχοῦν κάτω τὸ ῥεῦμα, μηδὲ ὑποψοφοῦν ἡσυχῇ εἰς βάθος, ἡ δὲ ὡς ἑστῶτι τῷ κρυστάλλῳ θαρσεῖ· εἰ δὲ μὴ, οὐκ ἂν ἐπιβαίη.

18 *Ἅλμη οὐκ ἔστιν ἐν αὐτῷ*: ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

19 *Ἀλιτήριος εἶ*: ἐπὶ τοῦ μετὰ βίας τι ποιοῦντος ἀπὸ σιτοδείας. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους. ἥρπαζον οὖν τινες ἀλούμενα τὰ ἄλευρα. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. ὁ δὲ λιμὸς ἐγένετο ἀπὸ τοῦ Αἰτωλικοῦ πολέμου.

20 *Ἀλκυονίτιδας ἡμέρας ἄγεις*: ἐπὶ τῶν ἀταράχων καὶ ἀνεπηρεάστων. περὶ τοῦ ἀριθμοῦ διαφέρονται. Σιμωνίδης γὰρ ἐν Πεντάθλοις ἕνδεκά φησιν αὐτὰς καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων· Δημαγόρας ἑπτά· Φιλόχορος ἐννέα. τὸν δὲ ἐπ' αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ Ὑπομνημάτων λέγει οὕτως· Ἀλκυονέως τοῦ Γίγαντος θυ-

---

1. οὕτως] τὸν τρόπον τοῦτον As. 2. κάτωθεν As. 3. θαρσεῖ, διαθεῖ τε πρώτη· εἰ As. 9. καταχρηστικῶς Lexicon Bekkeri non agnoscit: habet Suidas. 10. ἐκάλουν] apud Suidan post hanc vocem leguntur: παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μ. β. τι ποιούντων, ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης: quo in loco Sylburgius ad Etym. l. c. verba τὸν . . πόλεμον in κατὰ τὸν Εὐμόλπου π. mutare vult. 14. ἕνδεκα] ιβ' scribendum esse ex Aristotele elucet: idem tamen error in Eustathio et in Eudociae Viol. 35 exstat, quem ex prava siglorum explicatione ortum esse facile apparet. καὶ] scribendum est ὡς. 15. Δημαγόρας δὲ ὁ Σάμιος Lexicon Bekkeri. 16. ἐν τοῖς περὶ ὑπομνήματι Lexicon: latere numeri τῶν ὑπομνημάτων indicium Bernhardius censet: rectius Koepkius de Hypomnem. Gr. p. 37 ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασι reponendum esse iudicat.

II, 1, p. 87 Mein. Τοὺς χερσαίους κτλ.] Aelian. N. An. VI, 24.

18. Diog. II, 12: Arsen. II, 85. Greg. Cypr. M I, 25.

19. Arsen. II, 81. Aristoph. Equitt. 445: ἐκ τῶν ἀλιτηρίων. σέ φημι γεγονέναι τῶν τῆς θεοῦ: Andocid. π. μυστηρ. §. 51: ἀλιτήριοι τῶν θεῶν: Dionys. Hal. Arch. VIII, 28: μητροκτόνος κεκλήσῃ καὶ παιδοφόνος καὶ γυναικὸς ἀλιτήριος: Plut. Q. Graec. 25, p. 297: ἀλιτήριος δὲ [sc. κέκληται], ὃν ἀλεύασθαι καὶ φυλάξασθαι διὰ μοχθηρίαν καλῶς εἶχε: cf. Ellendtius Lex. Soph. s. v. Λιμὸς — ἐκάλουν] Bekk. Anecd. 1, 377, 11: similia Plutarch. de Curios. s. fin. Suid. s. ἀλιτήριοι, Etym. M. 65, 24. Zonar. 120. Scholl. ad Plat. 454 Bekk. proferunt, quae, ut Schol. ad Plat. Reip. V, 470 D, p. 406 Bekk. docet, ex Dionysio Halicarnassensi fluxerunt. Plane recedit Schol. ad Arist. Equitt. 443, qui Thucydidem I, 126 secutus ex Cylonei piaculi historia vocis notionem derivat.

20. Arsen. II, 82. Lemma ex Arist. Av. 1594 ductum videri possit: ἀλκυονίδας τ' ἂν ἤγεθ' ἡμέρας ἀεί. Περὶ τοῦ κτλ.] Lex. Bekk. Anecd. 1, 377, 26. Suidas. Σιμωνίδης] fr. XVIII, 8 Schneidew. Ἀριστοτέλης] H. An. V, 8, 2. Φιλόχορος] fr.

γατέρες ἦσαν Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλήνη, Δριμώ, Ἀστερίη. αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλήνης, ἔῤῥιψαν αὑτὰς εἰς τὴν θάλασσαν· Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε· καὶ ἀπὸ τοῦ πατρὸς Ἀλκυόνες ἐκλήθησαν· αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι, Ἀλκυονίδες καλοῦνται.

21 *Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: τάττεται ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων· ἢ ἐπὶ δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλα καταγωνιζομένων, ἄφρονας:. Αἱ ἀλώπεκες ὅταν θεάσωνται σφηκιὰν εὐθετουμένην, αὗται μὲν ἀποστρέφονται τὸν χηραμὸν ἐκνεύσασαι καὶ τὰς ἐκ τῶν κέντρων τρώσεις φυλαττόμεναι· καθιᾶσι δὲ τὴν οὐρὰν δασυτάτην τε οὖσαν καὶ μηκίστην τὴν αὐτὴν καὶ διασείουσαν τοὺς σφῆκας· οἱ δὲ προσέρχονται τῷ τῶν τριχῶν δάσει. ὅταν δὲ ἀναπλασθῶσιν αὐτῷ, προσαράττουσι τὴν οὐρὰν ἢ δένδρῳ ἢ τοίχῳ ἢ αἱμασιᾷ· παιόμενοι δὲ οἱ σφῆκες ἀποθνήσκουσιν· εἶτα ἦλθον ἐπὶ τὸν τόπον, καὶ τοὺς λοιποὺς προσαναλέξασαι καὶ ἀποκτείνασαι κατὰ τοὺς πρώτους, ὅταν ἐννοήσωσι λοιπὸν εἰρήνην εἶναι καὶ ἀπὸ τῶν κέντρων ἐλευθερίαν, καθῆκαν τὸ στόμα καὶ τὰ σφηκία ἐσθίουσι, μήτε θορυβούμενα μήτε τὰ κέντρα ὑφορώμενα:. Ἡ δὲ θαλασσία ἀλώπηξ δι' ἀκρασίαν τοῦ δελέατος οὐκ ἀπέχεται, καταφρονεῖ δὲ τοῦ ἀγκίστρου καὶ ἁλοῦσα ἀνέθορε καὶ ἀπέκειρε τὴν ὁρμήν:. Ὁ δὲ καλούμενος χηναλώπηξ, ἔχει*

1. *Ἀλκίππα* Suidas, *Ἀλπίππη* N. *Παλλήνη* Suidas; Lexicon *Παλλίνη*. 3. *Πελλήνης* Suidas, *Πελλόνης* Lexicon: scribe *Παλλήνης*. 6. *ἀλκυονίτιδες* AZ: hanc formam, quae in Scholl. ad Aristoph. Av. 250. Ran. 1344 legitur et in Tzetzam ad Lycophr. 750 reduci debet, Lobeckius Paralip. Gr. Gr. 50 sqq. defendit. 9. *μὴ* N om. *ἢ ἐπὶ κτλ.* N om. 10. *μεγάλους* Ds. *ἄφρονας* e textu eiiciendum esse, in ann. ad Diog. l. c. monui. *αἱ δὲ ἀλώπεκες εἰς ὑπερβολὴν προήκουσαι κακουργίας καὶ τρόπου δολεροῦ, ὅταν* As. 11. *εὐθηνουμένην* As. 15. *προσέχονται* As. 16. *ἀναπλαθῶσιν* m, *ἀναπλησθῶσιν* Z. 18. *αὐτὸν τόπον* As. 22. *θορυβούμεναι — ὑφορώμεναι* As. 25. *ὁρμιάν* As; ceterum Aelianus uberius rem exsequitur. *ὁ δὲ — ἔχει*] *ὁ δὲ χηναλώπηξ, πέπλεκται οἱ τὸ ὄνομα καὶ εἰκότως ἐκ τῶν τοῦ ζῴου ἰδίων τε καὶ συμφυῶν. Ἔχει* As.

p. 93. Eodem fere modo de fabula disserit Pausanias apud Eustath. ad Hom. Il. *I*, 563, p. 776, 34: alia Bodius ad Mythogr. Lat. T. II, 175 comportavit.

21. Suidas et Diog. II, 73: Arsen. III, 18. DV I, 75. *αἱ — ὑφορώμενα*] Aelian. H. An. IV, 39. *ἡ δὲ — ὁρμήν*] id. Var. Hist. I, 5. *ὁ δὲ — αἴλουρον*] id. N. An. V, 30. *οἱ δὲ χῆνες κτλ.*] id. N. An. V, 29.

μὲν τὸ εἶδος τὸ τοῦ χηνός, πανουργίᾳ δὲ δικαιότατα ἀντικρίνοιτο τῇ ἀλώπεκι· καὶ ἔστι μὲν χηνὸς βραχύτερος, ἀνδρειότερος δὲ καὶ χωρεῖν ὁμόσε δεινός. ἀμύνεται γοῦν καὶ ἀετὸν καὶ αἴλουρον:. Οἱ δὲ χῆνες διαμείβοντες τὸν Ταῦρον τὸ ὄρος δεδοίκασι τοὺς ἀετούς, καὶ ἕκαστός τε αὐτῶν λίθον ἐνδακόντες, ἵνα μὴ κρώζωσιν, ὥσπερ οὖν ἐμβαλόντες σφίσι στόμιον, διαπέτονται σιωπῶντες, καὶ τοὺς ἀετοὺς τὰ πολλὰ ταύτῃ διαλανθάνουσι. θερμότατός τε ἄρα ὢν καὶ τὴν φύσιν διαπυρώτατος ὁ χὴν φιλόλουτρός ἐστι καὶ νήξεσι χαίρει καὶ τροφαῖς μάλιστα ταῖς ὑγροτάταις. εἰ δὲ καὶ ἐξαναίνοιτο ὑπὸ λιμοῦ, δάφνης φύλλον οὐκ ἂν φάγοι οὐδ' ἂν σπάσαι ῥοδάφνης· οἶδε γὰρ ὅτι τεθνήξεται τούτων τινὸς ἐμφαγών.

22 *Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων. ὥσπερ καὶ ὁ πληγεὶς ἁλιεὺς εὐκόλως μετὰ τὴν τρῶσιν τοὺς ἰχθύας μεταχειρίζεται.*

23 *Ἁλμυρὸν γειτόνημα ἔμβλεπε πόῤῥω: δηλοῖ δέ, ὅτι κακόν ἐστι τὸ γειτόνημα τῆς θαλάσσης ἔχειν ἢ χρῆσθαι. αὕτη ὁμοία ἐστὶ τῇ· Ἐὰν δύνῃ ὁδεῦσαι, μὴ πλεύσῃς. Ἁλμυρὸν δὲ γειτόνημα λέγεται ἡ θάλασσα.*

22a *Ἁλιεὺς ὤν, εἶτα τραγῳδοὺς ἐμισθώσω: ἐπὶ τῶν μὴ προσήκοντα ἑαυτοῖς δρώντων, ἀλλ' ἀνόμοια.*

---

1. *μὲν γὰρ* As. 2. *ἂν τῇ* As. 4. *αἴλουρον καὶ τὰ λοιπά, ὅσα αὐτοῦ ἀντίπαλα ἐστίν* As. 5. *ἕκαστός γε* As. 6. *κλάζωσιν* As. 8. *αἰετοὺς* As. *τε* As om. 9. *ὢν ἄρα* As. *διαπυρώτατος τὴν φύσιν* As. 10. *ὑγροτάταις*] *καὶ πόαις καὶ θριδακίναις καὶ ταῖς λοιποῖς, ὅσα αὐτοῖς ἔνδοθεν ψῦχος ἐργάζεται* As addit. 11. *οὐδ' ἂν πάσαιτο ῥοδοδάφνης, οὔτε ἑκὼν οὔτε ἄκων· οἶδε* As. 15. *εὐκόλως ... τρῶσιν* K om. 19. *αὕτη — πλεύσῃς*] Scholiasta om.; R: *εἰς ὁδοιύνσεις* [sic] *μὴ πλεῖν μηδ' ὅλως θέλῃ.* 21. Scribe *Ἰλιεύς.*

22. K in nott. ad Diog. II, 31: Arsen. II, 83. DV I, 61. Apost. XII, 30a.

22a. Arsen. II, 84. Lucian. Pseudolog. §. 10: *ἐπεὶ γὰρ κατὰ τὴν παροιμίαν Ἰλιεὺς ὢν τραγῳδοὺς ἐμισθώσω, καιρὸς ἤδη σοι ἀκούειν τὰ σαυτοῦ κακά*: ei. Piscat. §. 38, ubi v. Solanus.

23. Arsen. II, 93. Est Scholium ad Aristid. *ὑπὲρ τ. τεττ.* 206, 1 Iebb., editis locupletius: v. Scholl. ad Arist. 635 Dindf. *ἐὰν — πλεύσῃς*] Alexandro Magno tribuitur in Sylloga ab Walzio ad calcem Arsenii edita p. 503. Simile dictum de Catone Censorio narrat Plut. Cat. mai. 9: *μεταμεληθῆναι δ' αὐτὸς ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας· μίαν μὲν ... ἑτέραν δὲ πλεύσας ὅπου δυνατὸν ἦν πεζεῦσαι, τὴν δὲ κτλ.*, quod ab Anton. Mel. Serm. 301 Fabr. ad Aristotelem refertur: dubitanter addo Antiph. apud Stob. Flor. 59, 6: *ἑκατὸν στάδι' ἐλθεῖν κρεῖττον ἢ πλεῦσαι πλέθρον*, de cuius loci scriptura v. Meinekium Com. Gr. T. III, p. 53. *Ἰλι-*

ἔστι δὲ ἡ λέξις Πλατωνική· ἐχρήσατο δὲ ταύτῃ καὶ Ἀλκμὰν ὁ λυρικός.

24 Ἄλλοι μὲν σπείρουσι, ἄλλοι δ' ἀμήσονται: ἐπὶ τῶν τὰ ἀλλότρια ἐσθιόντων.

25 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρα, ἄλλοτε μήτηρ: ἐπὶ τῶν ποτὲ μὲν εὐημερούντων, ἄλλοτε δὲ δυσημερούντων.

26 Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων: ἐκ τοῦ τραγῳδοῦ, καὶ σαφής.

27 Ἁλώνητον ἀνδράποδον: τὸ εὐτελὲς καὶ πρὸς ἅλας ὠνηθέν. ὅθεν καὶ Μένανδρος·

Θρᾷξ εὐγενὴς εἶ πρὸς ἅλας ὠνημένος.

28 Ἁλῶν μέδιμνον ἀποφαγών: ἐπὶ τῶν ἀχαρίστων.

29 Ἄλλοι κάμον, ἄλλοι δ' ὤναντο: ἐπὶ τῶν παρ' ἐλπίδα τὰ τῶν ἄλλων κληρονομούντων.

30 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.

31 Ἄλλως ᾄδεις: ἐπὶ τῶν μάτην πονούντων.

32 Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν ἀλλήλοις ἀσυμφωνούντων καὶ ἐριζόντων τοῖς κρείττοσιν.

33 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἥδ' ἐπιῤῥέει: ἐπὶ τῶν μάτην πονούντων.

---

1. Ἀλκμὰν ὁ λυρικὸς] εἴκμας ὁ λυρικὸς· καὶ Ἀλκμᾶνος τοῦ λυρικοῦ R. 3. μὲν om. RNh. 7. Scribe ἕλκεσιν. 9. καὶ] τὸ Ds. 10. ὅθεν κτλ. N om. 13. δ' N om. 14. τὰ τῶν ἄλλων] τὰ ἀλλότρια Ds. 15. ἀλωπεκίζειν Ds N. 20. ἡ δ' ἐπεισρέει Ds.

τωνική] Plat. Legg. IV, 704 A: πρόσοικος γὰρ θάλαττα χώρᾳ τὸ μὲν παρ' ἑκάστην ἡμέραν ἡδύ, μάλα γε μὴν ὄντως ἁλμυρὸν καὶ πικρὸν γειτόνημα, de quo loco v. quae laudat Creuzerus ad Cic. Reip. II, 3. Platonem imitatur Aristid. l. c.; add. Aelian. Ep. Rust. 13, p. 419 Cuiac.: καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων λύκον· καὶ ἀργαλέος εἶ· τοῦτο δὴ τὸ λεγόμενον ἁλμυρὸν γειτόνημα. Ἀλκμὰν] fr. 62 Welck.

24. Diog. II, 62: Arsen. II, 94. Greg. Cypr. M I, 53. Explicatio Apostolio propria.

25. Diog. II, 76: Arsen. II, 95. Greg. Cypr. M I, 59.

26. Arsen. III, 19: Suid. s. Εὐριπίδειον ἔπος. Eurip. fr. inc. tr. CCXI Matth. Usurpat Greg. Naz. Or. I, 7 B [II, 18 D]: ἢ τῆς παροιμίας μὴ πόῤῥω θέωμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες αὐτοὶ βρύοντες ἕλκεσι. Similes sententias Wyttenbachius ad Plut. Mor. 71 F indicat.

27. Diog. I, 100: Arsen. III, 20. DV I, 59. Θρᾷξ κτλ.] fr. inc. fabb. CCXIV: v. Apost. VIII, 91[1].

28. Greg. Cypr. L I, 23: Arsen. III, 21.

29. Diog. II, 13: Arsen. II, 90. DV I, 30.

30. Diog. II, 17: Arsen. III, 22. DV I, 32.

31. Cf. Apost. II, 11.

32. K in nott. ad Diog. II, 16: Arsen. II, 97. DV I, 31.

33. K in nott. ad Diog. II, 22: Arsen. II, 87. DV I, 34.

34 *Ἁλσὶ διασμηχθεὶς ὄναιτ' ἂν οὑτοσίν*: ἐπὶ τῶν παραπαιόντων. φησὶν οὖν οὐ τὰ τυχόντα οὗτος ὠφεληθήσεται διαβρεχθεὶς ἁλσίν· ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος, οἵτινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται. ἅμα δὲ καὶ παραφρονοῦντας ὑπὸ μέθης βρέχομεν ἐλαίῳ καὶ ἁλσὶ καὶ ὠφελοῦνται. ἢ ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται· ὄναιτ' ἂν οὖν, φησίν, ἀποβαλὼν τὴν παχύτητα· τὴν ἀρχὴν δέ φασιν εἰρῆσθαι τὴν παροιμίαν ἀπὸ τῶν κεραμείων, ὅσοις ἅλες βάλλονται ὑπὸ τοῦ μὴ ἐξίστασθαι τὸν οἶνον εὐχερῶς.

35 *Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος υἱός*: ἐπὶ τῶν ἐχόντων τοὺς λόγους ἀσυμφώνους τοῖς ἔργοις.

36 *Ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γομφίοι*: ἐπὶ τῶν λάλων καὶ φάγων.

37 *Ἀλλότριον ἀμᾷς θέρος.*

38 *Ἀλκήστιδος ἀνδρεία*: ἐπὶ τῶν καρτερῶν. Καί· *Ἀλκήστιδος ἀναβίωσις*: ἐπὶ τῶν ἀδυνάτων καὶ ἀπίστων:. *Λέγεται γὰρ* μῦθος τραγικώδης, ὡς δὴ μέλλοντος Ἀδμήτου θανεῖν αὕτη εἵλετο ὑπὲρ αὐτοῦ θάνατον, καὶ Ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀφελόμενος καὶ

37a *Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,*
ἀλλ' οὐδ' ὁρῶντες εἰςορῶσι τἀφανῆ:· Σοφοκλέους. ἐπὶ τῶν ἀφραινόντων.

---

1. *ἁλσὶν* Aristophanes. *οὑτοσί* idem. 2. *ὠφεληθείη* Suidas. 3. *ποιεῖται* Scholiasta. 5. *καὶ*] *ὅτι τοὺς* idem. *ὑπὸ μέθης* idem om. 7. *παχύτερα* Z. 8. *ὄναιτ' ἂν*] *ὄναιτο* Suidas. *ἀποβαλὼν*] *ἀποβάλλων* Z, *ἀποκαθαρθεὶς* Scholiasta cum Suida. 9. *τὴν π. — ὅσοις*] *μεταφορικῶς ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, ὅσοι* Suidas. 10. *ὑπὸ*] *ὑπὲρ* idem. 11. *τὸν οἶνον*] *μηδὲ ὀξίζειν* Suidas. 12. A proverbium hic non habet. *υἱὸς* corruptum ex *ὄνος*. 16. AZ hanc praebent explicationem: *ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς ἀλλοτρίοις ἢ τὰ ἀλλότρια καρπουμένων*: u in margine: *ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων*. Quae e Diogeniano hausta sunt. 19. *γὰρ* Palaephatus om. 20. *ποτε τοῦ Ἀδμήτου* Ps. *τὸν θάνατον* Fischerus coniecit. 23. *τἀμφανῆ* Stobaeus.

34. Suidas et Scholl. ad Arist. Nub. 1239: Arsen. III, 16. *ἁλσὶ — οὑτοσί*] est versus Aristophanis: v. Nub. l. c.

35. Greg. Cypr. M I, 40: cf. Apost. II, 46.

36. K in nott. ad Diog. II, 20: Arsen. II, 99. Greg. Cypr. M I, 38.

37. Diog. II, 75: Arsen. II, 100. Macar. I, 81. Apost. II, 51.

37a. Arsen. III, 1: Stob. Flor. IV, 1. Soph. fr. 663 Dindf.

38. Arsen. II, 92. *Λέγεται κτλ.*] Palaeph. Incred. 41.

ἀναγαγὼν αὐτὴν ἐκ τοῦ Ἅιδου ἀπέδωκεν Ἀδμήτῳ· ἐμοὶ δὲ δοκεῖ μηδένα ἀποθανόντα δύνασθαί τινα ἀναβιῶσαι. ἀλλ' ἐγένετό τι τοιοῦτον. ἐπειδὴ Πελίαν ἀπέκτειναν αἱ θυγατέρες, καὶ Ἄκαστος ὁ Πελίου ἐδίωκεν αὐτάς, οὐ λαμβάνει μέν, Ἄλκηστις δὲ καταφεύγει εἰς Φερὰς πρὸς Ἄδμητον ἀνεψιὸν αὐτῆς· καὶ καθεζόμενος ἐπὶ τῆς ἑστίας οὐκ ἐβούλετο Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ πολλὴν στρατιὰν παρακαταθίσας ἐπὶ τὴν πόλιν ἐπυρπόλει αὐτούς. ἐπεξιὼν δὲ ὁ Ἄδμητος ἔχων καὶ λοχαγοὺς νύκτωρ συνελήφθη ζῶν· ἠπείλει δὲ Ἄκαστος ἀποκτεῖναι αὐτόν. πυθομένη δὲ ἡ Ἄλκηστις ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι' αὐτήν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκε. τὸν οὖν Ἄδμητον ἀφίησιν ὁ Ἄκαστος, ἐκείνην δὲ συλλαμβάνει. ἔλεγον οὖν οἱ ἄνθρωποι, ἀνδρεία γε ἡ Ἄλκηστις, ἑκοῦσα ὑπεραπέθανεν Ἀδμήτου. Τοιοῦτο μέντοι οὐκ ἐγένετο, ὡς ὁ μῦθος φησί. κατὰ γοῦν τὸν καιρὸν τοῦτον Ἡρακλῆς ἧκεν ἄγων ἔκ τινος τόπου τὰς Διομήδους ἵππους. τοῦτον ἐκεῖσε πορευόμενον ἐξένισεν Ἄδμητος. ὀδυρομένου δὲ Ἀδμήτου τὴν συμφορὰν τῆς Ἀλκήστιδος ἀνακτησάμενος Ἡρακλῆς ἐπιτίθεται τῷ Ἀκάστῳ καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρει, καὶ τὰ μὲν λάφυρα τῇ αὐτοῦ στρατιᾷ διανέμει, τὴν δὲ Ἄλκηστιν τῷ Ἀδμήτῳ παραδίδωσιν. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὡς ἐντυχὼν Ἡρακλῆς ἐκ τοῦ θανάτου ἐρύσατο τὴν Ἄλκηστιν. τούτων γενομένων ὁ μῦθος προσανεπλάσθη.

39 *Ἄλλοτ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι:* ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν ἐν οἵοις ἂν τόποις γένοιτο. εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων· οὗτοι γὰρ ᾗ ἂν πλησιάσωσι πέτρᾳ φόβου κατεπείγοντος εἰς τὸ αὐτῆς εἶδος τὸ ἑαυτῶν μεταβάλλουσιν. ὅμοιον τῷ, *Πολύποδος πολυχρόου νόον ἔσχε.*

---

1. αὐτὴν ἐκ] αὐτὴν Ps om. 4. αὐτὰς — Ἄλκηστις] αὐτάς, ἀποκτεῖναι θέλων ἀντὶ τοῦ πατρός, καὶ τὰς μὲν ἄλλας λαμβάνει, Ἄλκηστις Ws. 6. *καθεζομένην* Ps. 8. *παρακαθίσας* Ps. 11. αὐτόν, εἰ μὴ παραδοίη τὴν ἱκέτιν οὖσαν Ws. 12. τὸν *μὲν* Ps. 14. ἡ Ps om. 17. ἔκ τινων τόπων Ps. 19. *ἀγανακτησάμενος* Ps. 21. αὑτοῦ Z Ps. 23. *ἐρρύσατο* N Ps. 26. οἷς ἂν γένοιτο τόποις Ds. 29. τῷ om. Ds. πολύποδος κτλ.] »Theognidis est hemistichium: in quo hodie editur vs. 215 Πολύποδος νόον ἴσχε πολύφρονος: in aliis *Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου.*« Pantinus. 30. ἴσχε Ds.

39. Diog. I, 23: Arsen. III, 2. Greg. Cypr. L I, 4.

40 *Ἄλλος οὗτος Ἡρακλῆς:* ἐπὶ τῶν ἰσχυρῶν καὶ κραταιῶν.

41 *Ἅλα καὶ κύαμον:* ἐπὶ τῶν εἰδέναι μὲν προςποιουμένων, οὐκ εἰδότων δέ· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασιν. ὅθεν καὶ τοὺς ἀποῤῥήτων κοινωνοῦντας τοὺς περὶ ἅλα καὶ κύαμον ἔλεγον.

42 *Ἅλις δρυός:* ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα μεταβαλλομένων· παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοὶ μετεῖχον σίτου καὶ οἴνου.

43 *Ἄλλος βίος, ἄλλη δίαιτα:* ἐπὶ τῶν ἐπ' ἀμείνονα βίον μεταβαλλομένων.

44 *Ἀλλ' οὐδὲν δεῖ περὶ τὸν βωμὸν τὰς ἐπινοίας:* ὅτι οὐ δεῖ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι· οἱ γὰρ τὰ ἱερεῖα προςάγοντες οὔκουν μετὰ τὸ καλλιερῆσαι βουλεύονται.

45 *Ἀλλ' οὐκ αὖθις ἀλώπηξ:* λείπει τὸ ἁλώσεται. ἐπὶ τῶν πονηρῶν.

46 *Ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων:* ἐπὶ τῶν ἀσυμφώνους τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν εἰς Ἀθήνας, κριθὰς τοῖς φορμοῖς ἐπιβαλὼν ὡς ὀλίγον εἰςπραχθησόμενος τέλος. τοῦ δὲ ὄνου πεσόντος οἱ τελῶναι βοηθῆσαι βουλόμενοι ἔγνωσαν ὅτι μέλι ἐστίν.

47 *Ἄλλο γένος κώπης:* ἐπὶ τῶν περὶ τὸ ἔθος ἐνηλλα-

47a *Ἀλλ' οὐ τὸ μέγα εὖ ἐστί, τὸ δὲ εὖ μέγα:* Δημοσθένης θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα, τοῦτ' ἔφη τἀπόφθεγμα.

---

2. ἡ παροιμία Ds in fine addit. 5. ὅθεν κτλ. N om. 13. οἱ γὰρ ἱερεῖς τὰ WZ. 17. πονηρῶν δὲ Ds. 22. ἐπιβαλὼν] ἐμβαλὼν Ds, ἐμβαλὼν (πι superscr.) A. 25. ἦθος Ds.

40. Diog. I, 63: Arsen. III, 3. Greg. Cypr. L I, 38.
41. K in nott. ad Diog. I, 50: Arsen. II, 89. Greg. Cypr. M I, 11.
42. Diog. I, 62: Arsen. II, 90. Greg. Cypr. L I, 39.
43. Diog. I, 20: Arsen. III, 4. Macar. I, 86.
44. Diog. II, 14: Arsen. III, 5. Greg. Cypr. M IV, 53.
45. Diog. II, 15: Arsen. III, 6: v. Apost. XIII, 73. Greg. Cypr. M IV, 54.
46. Diog. II, 21: Arsen. II, 88: cf. sup. 35.
47. Diog. II, 57: Arsen. III, 7.
47a. Arsen. III, 8: Stob. Floril. 4, 51.

γμένων. Ἡρακλῆς γὰρ διαπεραιούμενος ἐπὶ τὰς Ἐρυθείας βοῦς, ἱστίῳ τῇ λεοντῇ ἐχρήσατο, ἱστῷ δὲ τῷ ῥοπάλῳ· ἐφ' ᾧ καὶ ἐλέχθη.

48 Ἄλλη τορέλλη: σκῶμμα γερόντων· ἐκ τοῦ σορὸς γίνεται.

49 Ἀλλότρια βάλλειν: ἐπὶ τῶν ἀποτυγχανόντων ἢ ἐν τῷ κυβεύειν ἢ ἐν ἄλλῳ τινί.

50 Ἄλλως ἀναλίσκεις ὕδωρ: ἐπὶ τῶν ματαιολογούντων. ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων.

51 Ἀλλότριον ἀμᾷς θέρος: ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς ἀλλοτρίοις ἢ τὰ ἀλλότρια καρπούντων.

52 Ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι; ἐπὶ τῶν μεθυόντων. οἱ γὰρ Ἀθηναῖοι κατὰ γράμμα ἐκληροῦντο ἀπὸ τῶν φυλῶν. δέκα δὲ ἦσαν αἱ φυλαί. οἷον ἡ πρώτη, τὸ ἄλφα, ἡ δὲ δευτέρα τὸ βῆτα εἶχε σημεῖον, μέχρι τοῦ κάππα·

50a Ἀλόγιστός ἐστι πᾶς ὁ ἐν τοῖς συμβαίνουσι κατὰ τὴν φυσικὴν ἀνάγκην ἀχθόμενος:. Ἰσοκράτους.

50b Ἀλλ' οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίνονται· διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι:. Δημοσθένους.

50c Ἀλλ' εἰ χεῖρας ἔχον βόες ἠὲ λέοντες ἢ γράψαι
χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
ἵπποι μὲν ἵπποισι, βόες δέ τε βουσὶν ὅμοιοι,
καὶ θεῶν ἰδέας ἔγραφον καὶ δώματ' ἐποίουν
τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ὅμοιον:. Ὀρφέως.

---

1. τὰς ἐν Ἐρυθείᾳ Ds. 4. ἀλλ' ἢ σορέλλη Bergkius in Meinek. Com. Gr. II, 2, 1034. 8. ἐπὶ τῶν ματαιοπονούντων A reliquis om. 12. λαχοῦσα AZ. 14. τῶν — φυλαί] ἀπὸ τῶν ι' φυλῶν Suidas. 16. πᾶς Maximus om. 19. γίγνονται Demosthenes. 22. εἶτοι Clemens. γ' εἶχον Karstenius. 24. μὲν θ' Clemens. 25. καί κε idem. σώματ' idem. 26. καὐτοὶ idem. ὅμοιον] ἕκαστον Karstenius. Versum tertium in finem Karstenius posuit.

48. Diog. II, 58: Arsen. II, 91.
49. Diog. II, 60: Arsen. III, 9.
50. Diog. II, 61: Arsen. III, 24. Macar. I, 76.
50a. Arsen. III, 25: Maxim. Conf. Serm. 18, p. 591 Comb. Inter Epicteti fragmenta a Schweighaeusero relatum est: v. Epict. fr. 168.
50b. Arsen. III, 26: Stob. Flor. 21, 19. Demosth. c. Leptin. §. 162, 506 R.
50c. Arsen. III, 27. Xenophanes apud Clem. Alex. Strom. V, 14, 110, p. 256 Sylb. Cf. Karstenius ad Xenoph. Carm. Rell. p. 41.
51. Cf. Apost. II, 37.
52. Arsen. III, 10. ἀλλ' — γράμματι] versus Aristoph. Plut. 973. οἱ γὰρ κτλ.] Scholl. ad Aristoph. Plut. l. c., Suidas. τάχα κτλ.] de versus sensu dixerunt Fritzschius de sortit. iudic. 58 sqq. Meierus et Schoemannus de Litt. Att. 127 sqq.

δέκα γὰρ οὐσῶν φυλῶν δέκα ἐγίνοντο δικαστήρια. ὁ οὖν λαχὼν τὸ ἄλφα πρῶτος ἐδίκαζε, καὶ οἱ ἄλλοι ὁμοίως. τάχα οὖν σὺ λαχοῦσα, φησίν, οὐκ ἐδίκαζες ἀλλ' ἔπινες.

Τὸ ᾱ μετὰ τοῦ μ̄.

53 *Ἀμαλθείας κέρας: ἐπὶ τῶν ἀφθόνως καὶ εὐδαιμόνως ζώντων· ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσῃ αὐτὸν παρέσχε κέρας αἰγός, δι' οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὃ ἂν ᾐτήσατο. Καὶ ἄλλως. Λέγεται τὴν Ῥέαν τεκοῦσαν τὸν Δία δεδωκέναι τῇ Ἀμαλθείᾳ τρέφειν· ἡ δέ, μὴ ἔχουσα, αἰγὶ ὑπέβαλεν αὐτόν· ὅθεν Αἰγιοῦχος ἐκλήθη. Ὁ τοίνυν Ζεὺς τὴν μὲν αἶγα καθιστόρησεν ἐν τῷ οὐρανῷ· τὸ δὲ ἓν τῶν κεράτων ἀφελὼν τῇ Ἀμαλθείᾳ δέδωκε, παρασκευάσας αὐτῇ γενέσθαι πᾶν ὅπερ αἰτήσει διὰ τοῦ κέρατος:. Ὁ δὲ Παλαίφατος περὶ Ἀμαλθείας οὕτω φησίν· ὅτι Ἡρακλῆς ἀποδημῶν κατὰ Βοιωτίαν μετὰ Ἰολάου τοῦ ἀδελφιδοῦ καταλύει ἐν Θεσπιαῖς ἔν τινι πανδοχεῖ, ἐν ᾧ ἦν τις γυνὴ καλουμένη Ἀμάλθια, ὡραία καὶ καλή· ὁ δὲ Ἡρακλῆς ἡδόμενος αὐτῇ πλείονα χρόνον ἐξενί-*

52a *Ἀλλὰ πάντα μὲν ἄνθρωπον ὄντα προσδοκᾶν χρή:.* τοῦ Θάλεω.

52b *Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ:.* Ὁμήρου.

52c *Ἀλλ' ἴσθ' ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων:.* Σοφοκλέους.

52d *Ἀλλ' ἐὼν φίλος ἀμῖν, λέχος ἄρνυσο νεώτερον.*
οὐ γὰρ τλάσομ' ἐγὼ ξυνοκεῖν οὖσα γεγραιτέρα:. Σαπφοῦς.

52e *Ἀλάθεια θεῶν ὁμόπολις, μόνη θεοῖς συνδιαιτωμένη:.* Ὀλυμπιάδος.

---

5. *ἀφθόνως ζώντων καὶ εὐθυνούντων καὶ εὐπραγούντων* Suidas. 8. *Λέγεται — τῇ*] *ἡ Ῥέα τεκοῦσα τὸν Δία ἔδωκεν* Plutarchus. 10. *οὐκ ἔχουσα γάλα* Plutarchus. *Αἰγίοχος* idem. 11. *κατηστέρισε· τὸ δὲ ἕτερον* idem. 13. *δέδωκε*] *παρέσχε* idem. *γίγεσθαι* idem. *αἰτήσειε* Z: *ὃ ἂν παρὰ τοῦ κ. αἰτήσειε* Plutarchus. 14. *Ἀμαλθίας* A. 16. *πανδοκείῳ* Ps. 17. *Ἀμάλθεια* Ps. 19. *μὲν ἄρα* Stobaeus. *δεῖ* *χρὴ* A. 23. *ἄμμιν* Neuius. 24. *ξυνοικεῖν* Stobaeus, *ξυνοίκην νέῳ ἔοῖσα* Bergkius.

52a. Arsen. III, 11: Stob. Flor. 110, 25. Recte Stobaeus Xenophontem auctorem nominat: v. Xenoph. Anab. VII, 6, 11.
52b. Arsen. III, 12: Hom. Il. Σ, 328.
52c. Arsen. III, 13: Stob. Flor. 120, 7. Soph. fr. 626 Dindf.
52d. Arsen. III, 14: Stob. Flor. 71, 4. Sapph. fr. 27 Schneidew.
52e. Arsen. III, 15: Stob. Flor. 11, 2.
53. Arsen. III, 28. *Ἀμαλθείας — ζώντων*] Suidas. *ὅτι — ᾐτήσατο*] K in nott. ad Diog. I, 64. *Λέγε-*

ζετο. Ἰόλαος δὲ βαρέως φέρων ἐπινοεῖ τὴν ἐμπωλὴν τῆς Ἀμαλθείας ἐν κέρατι κειμένην ἀνελέσθαι· ἐξ ἧς ἐμπωλῆς, εἴτι ἤθελεν, ὠνεῖτο καὶ τῷ Ἡρακλεῖ. ἔλεγον οὖν οἱ συνέκδημοι, Ἡρακλῆς τὸ κέρας ἔσχε τῆς Ἀμαλθείας, ἐξ οὗ ὠνεῖτο ὅσα βούλοιτο ἐπ' αὐτῷ· ὅθεν ὁ μῦθος προςανεπλάσθη.

54 Ἀμαῖα τὴν Ἀζησίαν μετῆλθεν: ἐπὶ τῶν πολυχρονίοις ζητήσεσι χρωμένων· Ἀμαῖα γὰρ ἡ Δημήτηρ, Ἀζησία δὲ ἡ Κόρη.

55 Ἄμαξα τὸν βοῦν ἕλκει: ἐπὶ τῶν ἀντιστρόφως τι ποιούντων.

56 Ἀμφιδρομίαν ἄγεις: τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, τὸ δὲ βρέφος παραφέρουσι τὴν ἑστίαν τρέχοντες, καὶ δῶρα πέμπουσιν οἱ προςήκοντες, ὡς ἐπιτο-

53a Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονόει ποιεῖν:. Πυθαγόρου.

53b Ἀμήχανον μακρὰν συνήθειαν ἐν βραχεῖ λῦσαι χρόνῳ:. Μενάνδρου.

---

1. ἐμπολὴν Ps: in libris saepe forma vitiosa ἐμπωλή, ἐμπωλάω invenitur: v. Lobeckius ad Phrynich. 583. Iacobus ad Luc. Toxar. 28. 2. ἀφελέσθαι Ps. ἐμπολῆς Ps. 3. καὶ Ps om.: ὠνεῖτο ἑαυτῷ τε καὶ τῷ Ἡρ. Ws. 4. Ἀμαλθίας A. 5. προςανεπλάσθη] A ex Stob. Flor. 56, 16 addit: ὁ δὲ Σωκράτης τὸ τῆς Ἀμαλθείας κέρας ἐξηγούμενος τοιαύτης τινὸς ἀναφορᾶς ἠξίωσεν· εἶναι γὰρ σύμβολον, ἂν μή τις ᾖ μάλθων, ἀλλ' ἐργάτης, πάντα ἕξειν τὰ ἀγαθά. κατὰ μὲν τὴν Ἀμάλθειαν [ἀμαλθίαν Stobaeus] τοῦ μὴ μάλθωνος τικτομένου, κατὰ δὲ τὸ κέρας τοῦ βοὸς ἐργατικωτάτου ὄντος τὸν ἐργάτην ἐνασημαίνεσθαι· βότρυς δὲ ἐν τῷ κέρατι εἶναι καὶ τὰ ὅμοια, ὅτι ἐν τῇ γεωργίᾳ πάντα ἔνεστιν, ὧν χρείαν ἔχομεν· διὸ καὶ ἔχοντες αὐτὸ εἰσάγονται ὅτε Ἀγαθὸς δαίμων cf. annott. ad Apost. I, 10.] καὶ ἡ Ἀγαθὴ Τύχη: cf. Wesselingius ad Diod. IV, 35. 6. Ἀμαία bis Suidas. 9. τὸν N om. ἐπὶ τῶν ἀντιστρόφων καὶ ἀδυνάτων N. 11. Scribe Ἀμφιδρόμια: quod Apostolius scripsit fluxit ex Harpocr. l. c., ubi ABEF ἀμφιδρομία exhibent. τὴν Suidas om. 12. συνεφαψάμεναι Hemsterhusius ex Scholl. ad Plat. 360 Bekk. 13. τὸ δὲ] καὶ τὸ Scholia Platonica. περιφέρουσι Suidas. 15. ὑπονοοῦ Stobaeus. 16. ἀμήχανον] ἔργον ἐστί, Φανία Meinekius ex Stob. 43, 31. ἐν Gataker delevit.

ται — κέρατος] Plut. Provv. II, 27. Greg. Cypr. L I, 8. ὅτι κτλ.] Palaeph. Incred. 46, 2, ubi v. Fischerus.

53a. Arsen. III, 29: Stob. Flor. I, 20.

53b. Arsen. III, 30: Max. Conf. Serm. LXII, 674 Comb. Menand. fr. inc. fabb. 194b.

54. Suidas: Arsen. III, 32. Zenob. IV, 20.

55. Diog. III, 30: Arsen. III, 31. Apost. VIII, 41. Greg. Cypr. M I, 74.

56. Arsen. III, 49. τὴν — πολύποδας] Suid. v. ἀμφιδρόμια. καὶ Λυσίας κτλ.] Harpocr. 15, 6 ibiq. v. codd. BCG. Λυσίας] v. Hoelscherus de V. et Scr. Lys. or. p. 135 sq.

πλεῖστον πολύποδας. λέγεται ἐπὶ τῶν καθαιρομένων· καὶ Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως. ἡμέρα τις ἤγετο ἐπὶ ταῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος παρὰ τὴν ἑστίαν ἔτρεχον φέροντες καὶ παρὰ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον.

57 *Ἀμφιθέτῳ ἔπινες: ἐπὶ τῶν ζωροποτούντων. Ἀμφίθετος δέ ἐστι φιάλη, ἣ κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης ἀπύθμενος· οὐ τὸ παρ' ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν.*

58 *Ἀμφιθαλὴς Ἔρως ἐστὶν ἐν ὑμῖν: ὁ ἐν ἀμφοτέροις θάλλων ἢ φίλοις ἢ γονεῦσι, καὶ μηδενὸς ὠρφανισμένος.*

59 *Ἁμαρτίης αἰτίη, ἡ ἀμαθίη τοῦ κρέσσονος: ἐκ τῶν γνωμῶν τοῦ Δημοκράτους.*

60 *Ἄμυρις μαίνεται: ἐπὶ τοῦ φρενήρους. οὗτος θεωρὸς ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας, καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε, ὅτ' ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον πρὸς ἱερῷ μαστιγούμενον, καὶ προσφυγόντα τῷ ἱερῷ καὶ μὴ ἀπολλύμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα ἀπολυθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὴν οὐσίαν, ἀπῆρεν εἰς Πελοπόννησον· ὃ οὖν λογισμῷ πεποίηκε, τοῦτ' εἰς μανίαν Συ-*

---

1. *πολύποδας καὶ σηπίας. τῇ δεκάτῃ δὲ τοὔνομα τίθενται* Suidas. *καὶ* Harpocratio om. 2. *ἀμβλώσεως*] *εἰ γνήσιος ὁ λόγος* Harpocratio addit. 3. *παρὰ*] *περὶ* Harpocratio. 4. *ἔφερον τρέχοντες* Harpocratio Bekkeri et Lexicon in Crameri Anecdd. Ox. II, 489, 7: cum Apostolio faciunt BCG. *παρὰ*] *ὑπὸ* Harpocratio. 6. *ἀμφίθετος — οὐ*] *κατὰ πᾶν μέρος αὐτῆς τιθεμένην, ἀπύθμενον* Suidas. 10. *ἐν* Suidas om. 11. *ἢ φίλοις ἢ* in Suida desunt. *καὶ* Suidas om. 14. *φρενήρους*] *λέγεται ἡ παροιμία* Suidas addit. *οὗτος* Suidas om. *θεωρὸς γὰρ* idem. 17. *ὅταν* Suidas. 19. *ἀπολυόμενον* idem: *ἀπολύμενον* N. 21. *τὴν οὐσίαν*] *τὰ ἴδια* Suidas: *τὸν δία* N. 22. *γοῦν* Suidas: *δ' οὖν* Bernhardius. *πεποίηκεν Ἄμυρις* Suidas.

57. Arsen. III, 50. *ἀμφίθετος κτλ.*] Suidas. Accurate veterum doctorum de hoc poculi genere sententias Athen. XI, 468 D, 501 A, Eustath. ad Hom. Il. Ψ, 270 recensent: alia v. apud Bernhardium ad Suid. l. c. et Panofkam *sur les noms veritables d. vases grecs* p. 17. 49. ...

58. Arsen. III, 51. *ὁ ἐν κτλ.*] Suidas: Scholl. ad Aristoph. Av. 1735. De hoc Amoris epitheto v. Valckenarius Eurip. Dr. dep. Diatr. 160 Lugd., Ruhnkenius ad Tim. Lex. 28.

59. Democr. Sentent. 49 Orell.: Arsen. III, 52. Democr. fr. 116. Mullach. Democriti Abderitae tantum non omnia esse, quae in codd. sub nomine Democratis leguntur, Orellius Opuscul. Mor. T. I, praef. IX et Mullachius ad Democr. frr. p. 162 sqq. probaverunt.

60. Suidas: Arsen. III, 53. Greg. Cypr. L II, 27. Apost. VIII, 75.

βαρῖται μετέστρεψαν· ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη.

61 *Ἅμματα πλέκεις: ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους. ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἳ φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες.*

62 *Ἀμυστὶ πίνειν: λέγεται ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων. Τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστῆσαι.*

63 *Ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας: ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτούντων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.*

64 *Ἁμαρτεῖν οὐκ ἔνεστι δὶς ἐν πολέμῳ: παράσον οὐδ' ἅπαξ ἁμαρτεῖν δεῖ· οὐχ ὅτι ἐν τῷδε, ἀλλὰ καὶ ἐν ἄλλοις.*

65 *Ἀμνία θερίζειν: ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων. ὅταν γὰρ ἀμνία ᾖ, οὐκ ἀποκείρεται.*

66 *Ἄμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν ἀχαρίστων εὐεργετηθέντων μέν, ταχέως δὲ ἐπιλανθανομένων τῆς χάριτος.*

64a *Ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον λέγε: Ταύρου.*

---

1. *μετέτρεψεν* Suidas. 3. *πλέκεις* Suidas non agnoscit. 6. *πιεῖν* Suidas. Explicationi praemisit Suidas v. *ἐπίῤῥημα*. 8. *ἐξαμυστίσαι* Suidas, simul addens: *λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ. καὶ ἀμυστὶ* [*ἄμυστιν* coniecit Meinekius Com. Gr. II, 1, 358] *Φερεκράτης εἶπεν.* 16. *εὐεργετηθέντων κτλ.* K om.: v. DV l. c.

61. Suidas: Arsen. III, 33. Zonar. 153. Cf. Diog. V, 44.

62. Suidas: Arsen. III, 48. Zonar. 165. »Horat. Carm. I, 36: *Threicia vincat amystide:* Callim. fr. CIX: *καὶ γὰρ ὁ Θρηΐκιην μὲν ἀπέστυγε χανδὸν ἄμυστιν ζωροποτεῖν.* V. Spanhemius ad Iulian. Or. 1, 13 C.« Walzius. Add. intt. Hesych. v. *ἄμυστις*. *Ἐξαμυστίζειν* dixit Plato Comicus apud Athen. XI, 783 D.

63. Diog. I, 72: Arsen. III, 37. Greg. Cypr. M I, 42.

64. Arsen. III, 38. Lamacho dictum tribuitur a Plutarch. Apophth. Reg. 186 F. Stob. Flor. 54, 45. Anton. Mel. 56, p. 87 Fabr. Apost. XIII, 39b: Catonem auctorem nominat Vegetius de Re milit. I, 13 fin.: *deinde in aliis rebus, sicut ait Cato, si quid erratum est, potest postmodum corrigi: proeliorum delicta emendationem non recipiunt, cum poena statim sequatur errorem.*

64a. Arsen. III, 39. Gell. N. Att. XII, 5: *sed ut tibi a me mos geratur dicam ego* [Taurus] *indoctius ut aiunt et apertius: quae fuisse dicturum puto sinuosius atque sollertius, si quis nunc adesset Stoicorum. nosti enim, credo, verbum illud vetus et pervulgatum, ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον λέγε:* Suid. s. *ἀμάθητος: . . . καὶ αὖθις Ἀριστοφάνης* [Ran. 1466]· *ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον. παρὰ τὴν παροιμίαν, Σαφέστερόν μοι κἀμαθέστερον φράσον:* quae s. v. *σαφέστερον* repetuntur. Add. Eudoc. p. 29.

65. Diog. I, 69: Arsen. III, 54.

66. K in nott. ad Diog. II, 29. DV I, 39.

67 *Ἀμουσότερα Λειβηθρίων*: ἐπὶ τῶν ἀπαιδεύτων. Λειβήθριον γὰρ ὄρος Πιερικόν, οὔτε μέλους ἁπλῶς οὔτε ποιήματος ἔννοιαν λαμβάνον.

68 *Ἀμεινων οἰωνῶν τυχεῖν*: ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.

69 *Ἀμελοῦς γωνία*: ἐπὶ τῶν ῥαθύμως καὶ ἀργῶς καθημένων. ἔστι γὰρ χωρίον Λιβύης ἐν ἀποκρύφῳ ἀμελοῦς γωνία καλούμενον.

70 *Ἀμφικτυονικὸν συνέδριον*: τὸ Ἑλληνικὸν καὶ δίκαιον. συνήγετο δὲ ἐν Θερμοπύλαις. ὠνομάσθη δὲ ἤτοι ἀπὸ Ἀμφικτυόνος τοῦ Δευκαλίωνος, ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων, ὥς φησι Θεόπομπος ἐν ὀγδόῃ· ταῦτα δὲ ἦν δώδεκα· Ἴωνες Δωριεῖς Περῥαιβοὶ Βοιωτοὶ Μέδοντες Ἀχαιοὶ Φθιῶται Μηλιεῖς Δόλοπες Αἰνιᾶνες Δελφοὶ Φωκεῖς· ἢ ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας, ὡς Ἀναξιμένης ἐν πρώτῃ Ἑλληνικῶν.

68a *Ἄμεινον* τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

70a *Ἄμεινον δικαίως* κρίναντα πρὸς τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι, ἢ ἀδίκως κρίναντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι:. Μοσχίωνος.

70b *Ἀμαθία τε μετὰ* σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας:. Θουκυδίδου.

70c *Ἀμαθίαν ὥς φησιν* Ἡράκλειτος καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν, ἐν οἴνῳ δὲ χαλεπώτερον· καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίνεσθαι:· Πλουτάρχου.

---

4. *Ἀμεινόνων* Ds. 9. *Ἀμφικτυονικὸν — Θερμοπύλαις*] *Ἀμφικτυόνες συνέδριόν τί ἐστιν Ἑλληνικόν, συναγόμενον ἐν Θερμοπύλαις* Harpocratio et Suidas. 13. *Μέδοντες*] *Μάγνητες* eidem: *Μέδοντες* codex B Harpocrationis. 19. *κρίνοντα* Stobaeus. 21. *Μοσχίωνος* Stobaeus ignorat. 24. *ἀμαθίην* Stobaeus. 26. *γίγνεσθαι* idem. *Πλουτ. ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον* idem.

67. Diog. II, 26: Arsen. II, 47: Apost. X, 50. DV I, 37.

68. Diog. II, 23: Arsen. III, 43. DV I, 35.

68a. Arsen. III, 44: Stob. Flor. 5, 104.

69. Diog. II, 25: Arsen. III, 42.

70. Harpocr. 15, 10. Arsen. III, 55: add. Suidas. *Θεόπομπος*] fr. 80 Wichers. *Ἀναξιμένης*] fr. V Geier.

70a. Arsen. III, 56: Stob. Flor. 9, 45.

70b. Arsen. III, 57: Thucyd. III, 37, 3. Citat hunc locum Isidor. Epist. V, 186.

70c. Arsen. III, 58: Stob. Flor. 18, 32. De Heracliti sententia disputat Schleiermacherus in Fr. A. Wolfii Mus. Antiq. I, 327. Respicitur Plat. Sympos. 217 E, de quo v. ann. ad Diogen. VII, 28. Plut. fr. XXII.

71 *Ἄμμον μετρεῖν*: ἐπὶ τῶν ἀδυνάτων.

72 *Ἄμμες πότ' ἦμες ἄλκιμοι νεανίαι*: Λακωνικὴ ἡ παραβολὴ ἀντὶ τοῦ, ἡμεῖς ποτ' ἦμεν· τριῶν γὰρ χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος τοῦτ' ἔλεγεν· ὁ δὲ τῶν νεωτέρων καὶ ἀκμαζόντων·

Ἄμμες δέ γ' ἐσμέν, αἰ δὲ λῇς, πεῖραν λαβέ·

ὁ δὲ τῶν νηπίων καὶ οὔπω ἀκμαζόντων·

Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάῤῥονες.

73 *Ἄμμες ποτ' ἦμεν. ἀεὶ τὰ πέρυσι βελτίω*: ταπεινούμενοι Ἀθηναῖοι τοῦτ' ἔλεγον.

74 *Ἀμύνει ὡς ἔοικεν ἡ πάγη*: ἐπὶ τῶν διὰ τῆς ἄλλων ἀπωλείας σωζομένων.

70d *Ἀμηχανῶ δ' ἔγωγε, κοὐκ ἔχω μαθεῖν,*
εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους,
ὅσοισι δ' εἰσίν, οὐδὲν εὐτυχεστέρους.
καὶ γὰρ κακοὶ γεγῶτες, ἐχθίστη νόσος·
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα·
λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι:· Εὐριπίδου.

70e *Ἄμεινον ἐν μικροῖς οἰκήμασι* μεγάλας οἰκεῖν ψυχάς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα:· Ἐπικτήτου.

70f *Ἀμφίμακρος ἐστὶ* πούς συγκείμενος ἐκ μακρᾶς — καὶ βραχείας ∪ καὶ μακρᾶς οἷον ἡγεμών· τούτου ἐνάντιος ὁ ἀμφίβραχυς, συγκείμενος ἐκ βραχείας ∪ καὶ μακρᾶς — καὶ βραχείας ∪, οἷον σερηνός:·

74a *Ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν.*

---

2. Scribo ποκ'. 4. κατὰ — ἑορταῖς Ds om. 5. γερόντων] παλαιῶν Ds. ἀρχόμενος Ds om. 7. Scribe εἰμέν. πεῖραν λαβέ] αὐγᾶς δύο R, corruptum ex αὐγάσδεο Diogeniani. 10. Dele vv. ἄμμες ποτ' ἦμεν. Uberius Diogenianus explicat. 17. οὐκ ab alia manu illatum est.

70d. Arsen. III, 59: Stob. Flor. 76, 2. Eurip. Oenom. fr. II.
70e. Arsen. III, 60: Stob. Flor. 46, 81. Epict. fr. 81 Schweigh.
70f. Arsen. III, 61: Scholl. ad Hephaest. 159 Gsf.
71. Diog. II, 27. DV I, 38.
72. Diog. II, 30 et Plut. V. Lycurg. 21: Arsen. III, 41. Greg. Cypr. M I, 45. Compara Eurip. Troad. 581: πρίν ποτ' ἦμεν.
73. Diog. II, 54. Apost. XVI, 13. I, 67a: Arsen. III, 41. Greg. Cypr. L I, 17.
74. K in nott. ad Append. I, 26: Arsen. III, 45.
74a. Arsen. III, 46.

75 *Ἀμαθὴς ἀναξυρίδα περιθέμενος πᾶσι ταύτην ἐδείκνυ: ἐπὶ τῶν εὑρόντων τύχῃ τινά, ὧν οὐκ ἦσαν ἄξιοι.*

76 *Ἁμαξιαῖα ῥήματα: ἐπὶ τῶν μεγάλων λόγων.*

77 *Ἅμ' ἔπος, ἅμ' ἔργον: ἐπὶ τῶν ὀξέως ἀνυομένων.*

78 *Ἅμα δίδου καὶ λάμβανε: ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν.*

Τὸ ᾱ μετὰ τοῦ ν̄.

79 *Ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος: ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τοῦ προσώπου ποιουμένων.*

80 *Ἀντὶ χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς: ἐπὶ τῶν μὴ ταῖς ἰδίαις τέχναις ἀρκουμένων, ἀλλὰ καὶ παρ' ὧν οὐκ ἴσασι δόξαν ἐφελκομένων προσποίητον. Περίανδρος γάρ τις ἰατρὸς ἀξιόλογος κατὰ τέχνην ὢν καὶ ἐπαινούμενος ἐς τὰ μάλιστα φαῦλα ποιήματα ἔγραφεν.*

81 *Ἂν τοὺς φίλους μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας: ἐξ ἀποφθέγματος.*

82 *Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι: ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων παρὰ τοῖς φίλοις ὠφέλειαν.*

83 *Ἀνδραποδώδης θρίξ: ἐπὶ τῶν ἠλιθίων. Πλάτων·*

79a *Ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστι κακόν: Σοφοκλέους ἡ γνώμη.*

---

4. καὶ κομπασμάτων AZ addunt in fine. 5. ἅμα — ἅμα Suidas. 10. προσώπου] τρόπου Suidas. 13. ἐπὶ — προσποίητον] in Plutarcho non leguntur. 16. ἐς] δὲ Plutarchus. 18. φίλους] φιλοῦντας Plutarchus. 24. ἔστιν Sophocles.

75. Arsen. III, 34. De v. ἀναξυρίς v. ann. ad Macar. VI, 70.

76. K in nott. ad Diog. III, 41: Arsen. III, 36. Greg. Cypr. M I, 75.

77. K in nott. ad Diog. II, 24: Arsen. III, 40. DV I, 36.

78. Diog. II, 77: Arsen. III, 35. Greg. Cypr. M. I, 60.

79. Suidas: Arsen. III, 62. Aristoph. Ach. 491: ἀναίσχυντος ὢν σιδηροῦς τ' ἀνήρ.

79a. Arsen. III, 63: Stob. Flor. 43, 26. Soph. Antig. 672.

80. Arsen. IV, 18. Archidami, Agesilai filii, dictum: Plutarch. Apophth. Lac. 218 F.

81. Plutarch. Apophth. Regg. 189 C: Arsen. IV, 19. Cf. Wyttenbachius ad Plut. l. c.

82. Suidas: Arsen. III, 69. DV I, 45.

83. Diog. I, 73: Arsen. III, 70. Plat. Alcib. I, 120 B.

ἔχοντας ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπ' ἀμουσίας.

84 Ἀνδριάντα γαργαλίζεις: ἐπὶ τῶν ἀδυνάτων.

85 Ἀντ' εὐεργεσίας Ἀγαμέμνονα δῆσαν Ἀχαιοί: ἐπὶ τῶν ἀχαρίστων.

86 Ἄνθρακες ὁ θησαυρός: ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθά, κακουμένων δὲ ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς. ἢ ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων, ὡς Λουκιανός· Ἀνθρακάς μοι τὸν θησαυρὸν ἀπέφηνας.

87 Ἂν πολλὰ βάλῃς, ἄλλοτ' ἀλλοῖον βαλεῖς: ἐπὶ

84a Ἀνδρὸς γέροντος μήποτ' ἐς πηγὴν ὁρᾶν: ἐπὶ τῶν πρὸς ἔνια μὴ χρησίμων.

84b Ἀνάστα, ὦ βασιλεῦ, καὶ φρόντιζε πραγμάτων.

84c Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

84d Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων: τῆς Πυθίας ἡ γνώμη, ἣν εἴρηκε πρὸς Γλαῦκον τὸν Ἐπικυδίδην Σπαρτιάτην.

84e Ἀνὴρ ἀγαθὸς πλούτῳ χρώμενος φαιδρύνει πατρίδα καὶ τεμένη θεῶν κοσμεῖ καὶ φίλους πεπεδημένους ἐπιλύεται εὖ ποιῶν τὸν πλοῦτον ἅτε δὴ ἀγαθοεργὸν ἱστάμενον.

---

1. ἔχων τὰς Ds, ἔχοντες Plato. 4. εὐεργεσίης Zenobius. 8. ὁ Λουκιανὸς A. 10. βάλλῃς Aristoteles. 11. Scribe πυγὴν. 16. κατόπισθεν Z Stobaeus. ἀρείων Pausan. VIII, 7, 5.

84. Suidas: Arsen. III, 71. Plut. Boiss. 45.

84a. Arsen. III, 72: Diog. I, 86.

84b. Arsen. III, 74: Plut. ad princip. inerudit. 3, p. 780 C: ὁ μὲν γὰρ Περσῶν βασιλεὺς ἕνα τῶν κατευναστῶν εἶχε πρὸς τοῦτο τεταγμένον, ὥστε ἕωθεν εἰσιόντα λέγειν πρὸς αὐτόν· ἀνάστα κτλ.

84c. Arsen. III, 75. LV, 19: Stob. Flor. 40, 7. Macar. VI, 42: cf. Apost. III, 59b. Democriti sententia: v. Mullachius Democr. Fr. p. 200.

84d. Arsen. III, 75. Cf. oraculum apud Herod. VI, 86. Stob. Flor. 27, 14. Arsen. XLII, 61: versus exstat etiam Hesiod. Ἔργ. 285, unde affertur ab Orion. Anth. 3, 4 et Scholl. Plat. 398 Bekk. Utitur versu Paus. VIII, 7, 8: εἰ δὲ τοῦ ἐς Γλαῦκον τὸν Σπαρτιάτην ἐποιήσατο ὁ Φίλιππος λόγον καὶ τὸ ἔπος ἐφ' ἑκάστου τῶν ἔργων ἀνεμεμίμνησκεν αὑτόν, Ἀνδρὸς κτλ., οὐκ ἂν οὕτω δίχα λόγου δοκεῖ μοι θεῶν τις Ἀλεξάνδρου τε ὁμοῦ τὸν βίον καὶ ἀκμὴν τὴν Μακεδόνων σβέσαι: add. Plat. Polit. 364 D: παῖδας γὰρ παίδων φασὶ καὶ γένος κατόπισθεν λείπεσθαι τοῦ ὁσίου καὶ εὐόρκου: Pausan. II, 18, 2: τούτοις ἦν ἄρα ὁμολογοῦντα, ἡνίκα ἡ Πυθία Γλαύκῳ τῷ Ἐπικύδους Σπαρτιάτῃ, βουλεύσαντι ἐπίορκα ὀμόσαι, καὶ τοῦδε εἶπεν ἐς τοὺς ἀπογόνους κατιέναι τὴν δίκην: Iuven. Sat. XIII, 199, ubi v. Scholia.

84e. Arsen. III, 76.

85. Diog. I, 99: Arsen. IV, 20. Macar. II, 4.

86. Arsen. III, 94. Ἄνθρακας — ἐλπίς] Suidas. ἢ κτλ.] Diog. I, 90. Λουκιανὸς] Hermot. §. 71. DV I, 52.

87. Arsen. IV, 21. Aristot. περὶ

τῶν ἐπὶ πολλῶν καὶ παντοδαπῶν λόγων ἢ ἔργων ἐπιτυγχανόντων τοῦ ζητουμένου ἢ τοῦ σκοποῦ.

88 Ἄνθρωπος εὔριπος: ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

89 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σωζομένων.

90 Ἀντρώνιος ὄνος: καὶ Ἀχαρνικοὶ ἵπποι: ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων· τοιοῦτοι γὰρ οἱ ὄνοι ἐν Ἄντρωνι καὶ οἱ ἵπποι ἐν Ἀχαρναῖς, ὡς Φερεκράτης φησί:. Ἀκούω τῶν Σκυθῶν βασιλέα ἵππον σπουδαίαν ἔχειν πᾶσαν ἀρετήν, ὅσην οἱ ἵπποι ἀπαιτοῦνται, ἔχειν δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα. οὔκουν εὑρίσκοντα οὔτε ἐκείνην ἄλλῳ περιβαλεῖν ἀξίῳ, οὔτε ἐκεῖνον ἐπαγαγεῖν ἄλλῃ, συναγαγεῖν ἄμφω εἰς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς καὶ φιλοφρονεῖσθαι, οὐ μὴν ἐγχρίπτεσθαι. οὔκουν τῆς ἐπιβουλῆς τοῦ Σκύθου σοφώτερα ἦν τὰ ζῷα, ἐπηλύγασεν ἱματίοις καὶ τὸν καὶ τήν, καὶ ἐξειργάσατο τὸ ἔκνομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθέν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντε κατὰ κρημνοῦ.

87a Ἄνευ γὰρ ἀναγκαίης ἰσχυρᾶς πίστιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν:. Ἡροδότου ἡ γνώμη.

88a Ἀνθεῖ πρὸς ἐπιστήμην ψυχή, ὁπότε αἱ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνωνται.

---

5. καὶ δι' αὐτοῦ εὐδαιμονούντων Suidas in fine addit. 10. βασιλέα — τὸ δὲ ὄνομα εἰδὼς ἐῶ· τί γάρ μοι καὶ λυσιτελές ἐστιν; — ἵππον As. 11. οἱ As om. καὶ ἀπαιτοῦνται καὶ ἀποδείκνυνται As. 13. παραβάλλειν As. 14. ἄλλῃ] τὸ ἐξ αὐτοῦ λαβεῖν σπέρμα ἀγαθῇ, καὶ διὰ ταῦτα ἄμφω συναγ. As. 16. ἐγχρίμπτεσθαι A, As. οὐκοῦν ἐπεὶ As. 22. πίστιες] συμβάσιες Herodotus. 25. μαραίνονται W.

τῆς καθ' ὕπνον μαντικῆς 2 T. I, 463 Bekk.: ὥσπερ γὰρ καὶ λέγεται κἂν πολλὰ βάλλῃς, ἄλλοτ' ἀλλοῖον βαλεῖς, καὶ ἐπὶ τούτων τοῦτο συμβαίνει: unde mutuatus est Plutarchus quae scripsit de Oracul. defect. 50, p. 437 fin.: item Cic. de Divin. II, 59, 121: *quis est enim, qui totum diem iaculans non aliquando collineet:* Publ. Syr. Sent. 152: *crebro si iacias, aliud alias ieceris.*

87a. Arsen. IV, 22: Stob. Flor. 28, 17. Herod. I, 74.

88. Suidas: Arsen. III, 95: cf. Apost. III, 18. Greg. Cypr. M I, 76.

88a. Arsen. III, 96.

89. Suidas: Arsen. III, 97. Apost. III, 10. DV I, 46.

90. Arsen. IV, 23. Similia habet Diog. I, 26, ubi v. annott.: add. Macar. II, 3. Φερεκράτης] v. Meinekius Com. Gr. Fr. II, 1, p. 260. Ἀκούω κτλ.] Aelian. N. Anim. IV, 7.

91 *Ἀνέλπιστον βίον ζῆς:* τὸν κάλλιστον εἰρήκασιν Ἀττικοί, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεστιν ἤδη τὰ ἀγαθά. οὕτω Πίνδαρος.

92 *Ἄνω ποταμῶν: λείπει, χωροῦσι πηγαί:* ἐπὶ τῶν ἐναντίως λεγομένων: ὡς ὅταν ὁ πόρνος τὸν σώφρονα λέγῃ πόρνον.

93 *Ἀνεῤῥίφθω κύβος:* ἐπὶ τῶν ἀνελπίστοις ἑαυτοὺς ἐπιῤῥιπτόντων ὑπό τινος βίας συνωθουμένων.

94 *Ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ:* ὅτι οἱ βαρβάροις καὶ μοχθηροῖς συναναχρωννύμενοι ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος.

95 *Ἀνίπτοις χερσίν:* ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων.

96 *Ἀναγυράσιος δαίμων:* ὠμότατος ὁ Ἀναγύρασος οὗτος.

97 *Ἀνὴρ ἀτεχνὴς τοῖς πᾶσιν ἐστὶ δοῦλος.*

98 *Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐλ-*

93a *Ἀνενδεὴς ὁ θεός.*

93b *Ἄνευ τύχης γάρ,* ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς. Εὐριπίδου ἡ γνώμη.

97a *Ἀνοίκειον ἐν τῷ πένθει γεωμετρία:* ἐπὶ τῶν τὰ μὴ προσήκοντα ποιούντων.

98a *Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ·* ὁ μὲν κακῶς
πράττων τὸ λυποῦν ἤγαγ' εἰς παράστασιν,
ὁ δ' ἐμφρόνως δεξάμενος ἤνεγκε κακῶς. Ἀντιφάνους.

---

1. ζῆς Suid. om. 3. οὕτω Πίνδαρος Suidas ignorat. 4. λείπει Ds om. 5. γενομένων ἢ λεγομένων Ds. ὡς ὅταν] οἷον εἰ Ds. λέγει Ds. 8. ἢ ὑπό B. 9. παροικήσεις a. 25. ἤνεγκεν Stobaeus.

91. Lex. Seg. in Bekk. Anecd. I, 397, 15: Arsen. III, 84: Suidas. Πίνδαρος] fr. 276 Bergk.

92. Diog. I, 27: Arsen. IV, 24. Greg. Cypr. M I, 28.

93. K in Append. Provv. I, 28: Arsen. III, 85. Greg. Cypr. M III, 43. Macar. II, 8. Apost. XVII, 57.

93a. Arsen. III, 86: Zenob. I, 17. Clem. Alex. Strom. VII, 3, 14, p. 300 Sylb.: δι' ἣν αἰτίαν οὐ θύομεν εἰκότως ἀνενδεεῖ τῷ Θεῷ τῷ τὰ πάντα τοῖς πᾶσι παρεσχημένῳ.

93b. Arsen. III, 87: Stob. Flor. 29, 36. Eurip. Sthenob. fr. IX.

94. Arsen. IV, 25: Plut. de educ. liber. 4 A. Macar. VI, 90.

95. K in nott. ad Diogen. I, 43. DV I, 18.

96. Diog. III, 31: Arsen. III, 64. Explicationem petas ex Apost. IX, 79 coll. Bergkii disputatione in Meinekii Com. Gr. Fr. II, 2, 960.

97. Arsen. IV, 26.

97a. Arsen. IV, 27. »Sumptum ex illo Siracidae 22, 6: μουσικὴ ἐν πένθει ἄκαιρος διήγησις.« Pantin.

98. Diogen. I, 75: Arsen. III, 77. DV I, 42.

98a. Arsen. III, 78: Stob. Flor.

θῶν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. Κροῖσος γὰρ ἑαυτῷ πολέμιον ἀπεσπᾶτο Κῦρον.

99 *Ἀντλεῖ ἀμφοτέροις*: ἐπὶ τῶν σπουδῇ τι ποιούντων· ὁμοία τῇ· *Πάντα κάλων κινεῖ*.

100 *Ἀντιπελαργεῖν*: ἀντιδιδόναι χάριτας. λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. Ὁ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ· ὁμοίως δὲ αὐτοῖς φησι ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ἱπποπόταμον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. ὁ δὲ ἱπποπόταμός ἐστι ζῷον ἀδικώτατον.

98b *Ἀνδρῶν τάδ'* ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
κἂν τοῖσι δεινοῖς μὴ τεθυμῶσθαι θεοῖς:. Εὐριπίδου.

98c *Ἀνδριὰς μὲν ἐπὶ* βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστώς, ἀμετακίνητος ὀφείλει εἶναι:. Σωκράτους.

100a *Ἀνὴρ ὑπνώδης* εὑρετὴς ὀνειράτων·
μύστης γὰρ ὕπνος φασμάτων οὐ πραγμάτων.

100b *Ἄνθρωπος ὢν ἔπταικας*, ἐν δὲ τῷ βίῳ
τέρας ἐστίν, εἴτις εὐτύχηκε διὰ βίου:. Βάθωνος.

100c *Ἀνὴρ φιλοσώματος* καλλωπίστριαν γυναῖκα ποιεῖ· φιλή-

---

2. ἐπεσπᾶτο g: ἐπεσπάσατο Ds. 3. ἀντλεῖν ἀμφοτέραις: καὶ λείπει τὸ χερσίν Zenobius. 7. τὸν A. ἀληθῆ εἶναι Suidas. 8. ἀερόποδας] μέροπας Aristoteles, cui v. ἀερόποδας restituendum esse Schneiderus ad Arist. l. c. T. III, 399 demonstrat. 10. ποτάμιον ἵππον Suidas: Apostolius voluit ἱπποπόταμον. δικαιοπραγίᾳ] οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας Ze Suida addit. Scribe ἱπποπόταμος. In fine W adiecit: περὶ πελαργῶν δὲ καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν οὕτω φησίν: sequuntur versus Arist. Av. 1353—1357. 19. Scribe *Βάτωνος*, quamquam etiam Stobaeus *Βάθωνος*: verum vidit Grotius ad Stob. Flor. VI, 29: add. Meinekius Com. Gr. T. I, 480.

108, 28. Cf. Meinekius Com. Gr. Fr. III, p. 54.

98b. Arsen. III, 79: Stob. Flor. 108, 43. Eurip. fr. incert. XIV.

98c. Arsen. III, 80: Stob. Flor. 1, 34.

99. Zenob. I, 98: Arsen. IV, 28. DV I, 50. *Πάντα κτλ.*] cf. Apost. XIII, 87. 90.

100. Arsen. IV, 29. *Ἀντιπελαργεῖν — τρέφειν*] Greg. Cypr. L I, 49. *Ὁ κτλ.*] Suidas: Schol. ad Aristoph. Av. 1354. *Ἀριστοτέλης*] H. An. IX, 14.

100a. Arsen. IV, 30: Anton. Mel. LXIX, p. 117 Fabr. Est Gregor. Nazianz. Sent. distich. 66, T. II, 155 Bill.: priorem versum Auct. inc. in Crameri Anecdd. Oxon. IV, 254 Euripidi tribuit.

100b. Arsen. IV, 31. XXVI, 4: Stob. Flor. 98, 18. 105, 30. V. Meinekius Com. Gr. Fr. IV, 499. De sententia dixit Schneidewinus ad Orion. Anthol. 92.

100c. Arsen. IV, 32: Stob. Flor. 85, 10. Est Plutarch. Praec. Coniug. 17, 140 B: cf. Apost. XII, 53c.

1 Ἀντιόπης θρῆνος: ἐπὶ τῶν ἀδίκως πασχόντων, εἶτα τῶν δεινῶν ἀπαλλαγῆς τυχόντων. Ἀντιόπη θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει τῷ ἀδελφῷ κολάσαι. ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος ᾤκτειρεν· ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἔῤῥιψεν ὁ θεῖος· εἶχε δὲ γυναῖκα ὄνομα Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην, ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου, καὶ ἀνάψασα δᾷδας, ἀπὸ τῶν αὐτοῦ κεράτων ἔμελλεν αὐτὴν ἀπολύειν. ἡ δὲ ἐθρήνει, καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, καὶ οἷς καὶ Ζῆθος καὶ Ἀμφίων. καὶ γνωρίσαντες τὴν μητέρα αὐτῶν ἐῤῥύσαντο αὐτήν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος καὶ

δονος ἐρωτικὴν καὶ ἀκόλαστον· φιλάγαθος καὶ φιλόκαλος, σώφρονα καὶ κοσμίαν.

100d Ἀνὴρ γὰρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ:. Εὐριπίδου.

100e Ἀναμὶξ ἀγκύλων ἱππόται: ἐπὶ τῶν μὴ κωλυομένων ποιεῖν τινὰ ἀγαθά, ὑπὸ γραμμάτων ἀγκύλων καὶ σκολιῶν· οἱ δὲ ἀγκύλοι γένος φάλαγγος πεζικῆς, τῆς ἱππικῆς προμαχόμενοι.

1a Ἀνὴρ πανοῦργος πρᾷον ὑπεισελθὼν σχῆμα,
κεκρυμμένη πρόκειται παγὶς τοῖς πλησίον:. Μενάνδρου.

1b Ἄν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει. ἄν τι ποιήσῃς αἰσχρὸν μετὰ ἡδονῆς, τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει:. Μουσωνίου.

1c Ἀνθρωπίνως δεῖ τὰς τύχας φέρειν ξένε,
τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα:. Μενάνδρου.

---

1. Ἀντιόπης — τυχόντων] haec e Bernhardii sententia in Suida interciderunt, probante Ungero Parad. Theb. I, 82. 3. πέμπει αὐτὴν Suidas. 6. ὀνόματι idem. 10. ἀπολλύειν idem. 11. καὶ οἷς] σὺν οἷς Suidas A. 12. αὐτῶν dele cum Suida. 13. Ζῆθος δὲ καὶ Suidas. 14. δὲ ἐρωτικὴν Stobaeus. φιλάγαθος δὲ idem. 16. ἀνὴρ ὁ χρηστὸς emendat Boissonadus ad Philostr. Epist. p. 85. 20. κακοῦργος Maximus. πρᾷον κακοῦργος σχῆμ' ὑπ. ἀνὴρ Meinekius. 21. κεῖται Maximus. κ. τοῖς πλησίον κεῖται παγὶς Meinekius.

100d. Arsen. IV, 33. VII, 24. Menand. Monost. 28: ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε, quem Euripidis esse e Stobaei App. Florent. 20 Gsf. nobis compertum est.

100e. Arsen. IV, 34. Adhibuit Themist. Oratt. XXI, 256 D: ἐγὼ δὲ προςέτυχον Ἡσιόδῳ τῷ ποιητῇ χυτρέα χυτρεῖ κοτέειν καὶ ἱπνοποιὸν ἱπνοποιῷ. νῦν δὲ ἤδη τινὲς ὑπὸ θράσους μεταβαίνουσιν ἐκ τῶν τάξεων ἀναμὶξ δι' ἀγκύλων ἱππόται. τάττετε οὖν αὐτοὺς ὥσπερ καὶ ἐτάχθησαν ἐξ ἀρχῆς κτλ.

1. Arsen. IV, 35. Ἀντιόπη κτλ.] Suidas.

1a. Arsen. IV, 36. XXX, 84: Max. Conf. Serm. 19, p. 595 Combef. Mein. fr. inc. LXVII Mein.

1b. Arsen. IV, 37.

1c. Arsen. IV, 38: Stob. Flor. 124, 6, 2. Menand. fr. inc. 281 Mein. Sunt duo diversi loci fragmenta.

Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ μετακληθέντος Οἰδίποδος.

2 *Ἂν οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου: ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων· ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.*

3 *Ἀνέμους γεωργεῖς: πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας.*

4 *Ἄνους ὁ μακρὸς, κατὰ τὴν παροιμίαν· ἡ ἐναντία· Ἔννους ὁ μακρὸς λῆρος ἡ παροιμία.*

5 *Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον: ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων· πᾶν γὰρ τὸ σῶμα τοῦ γέροντος ἀσθενές.*

6 *Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται: ὁμοία, Τῇ ἀνάγκῃ χρὴ πείθεσθαι.*

7 *Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω ἀντὶ τῶν βελτιόνων αἱρουμένων.*

8 *Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.*
θνητὸς πεφυκὼς τἀπὶ σοι πειρῶ βλέπειν.

2a *Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγειν ἀεί,*
λέληθεν αὐτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

2b *Ἀνακυμβαλιάζεις τοὺς δίφρους: ἐπὶ ταραχῆς καὶ ζάλης λέγεται.*

6a *Ἂν μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον: παρεγγυᾷ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.*

---

11. *ἀσταφὶς*] *ἀσθενὴς* AZ. 12. *τῶν γερόντων* Ds. 14. *ὁμοία κτλ.* Suidas ignorat. Suid. s. *ἀνάγκη*: . . *καὶ παροιμία· ἀνάγκῃ οὐδὲ θ. μάχονται· παρεγγυᾷ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι. ὅμοιον τῷ· Ἂν μὴ παρῇ κρέα, ταρίχῳ στερκτέον.* 20. *λέγων* Stobaeus. 24. *κρέα* Suidas. *ἡ παροιμία, ὅτι* idem.

2. Diog. I, 81: Arsen. IV, 15. Greg. Cypr. L I, 42.

2a. Arsen. IV, 16: Stob. Flor. 36, 16. Sophocl. fr. 90 Dind.

2b. Arsen. IV, 17. Est hemistichium Hom. Il. *Π*, 379: *δίφροι δ' ἀνακυμβαλίαζον.*

3. Diog. I, 88: Arsen. III, 88. DV I, 55.

4. Arsen. IV, 14. »Hoc est quod vulgo dictitant, praelongis mentem deesse, pusillis nimium adesse amicorum. Sumptum videtur ex Soph. Aiac. 1250: *οὐ γὰρ οἱ πλατεῖς Οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστεροι, Ἀλλ' οἱ φρονοῦντες εὖ*:« Erasmus III, 4, 58.

5. Diog. I, 85: Arsen. III, 81. Greg. Cypr. M I, 39.

6. Suidas: Arsen. IV, 8. Greg. Cypr. M I, 50. *Τῇ κτλ.*] Liv. IX, 4 fin.: *pareatur necessitati, quam ne Dii quidem superant*: cf. nott. ad Zenob. I, 85.

6a. Arsen. IV, 9: Suid. s. *ἂν μή*. DV I, 40.

7. Diog. I, 76: Arsen. IV, 10. DV I, 43.

8. Priorem versum Stob. Flor. 22, 25. Maxim. Conf. Serm. 67, p. 684

9 *Ἀνδρὸς γέροντος οἱ γνάθοι βακτηρία:* ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

10 *Ἄνθρωπος ἀνθρώπου δαιμόνιον:* ἐπὶ τῶν ἀπροςδοκήτως ὑπ' ἀνθρώπου σωζομένων.

11 *Ἀνὴρ φεύγων οὐ μένει λύρας κτύπον:* ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

12 *Ἄντης ποτός:* ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γὰρ οὗτος ἐστίν.

13 *Ἄνεμον δικτύῳ θηρᾷς:* ἐπὶ τῶν ἀδυνάτων.

14 *Ἀνέμου πεδίον:* ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

15 *Ἄνευ ἀπὸ μείζονος ἀνδρός:* παραινετικὴ ἡ παροιμία.

16 *Ἄνευ ξύλου μὴ βάδιζε:* περὶ Κλεομένους λέγει· ὃς στρατιώτης ὢν Ἀθηναῖος προςεποιεῖτο πρὸς τοὺς ἄλλους κακοῖς καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι' ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ.

9a *Ἀνέμων στάσεις γινώσκουσιν οἱ ἐγχώριοι.*

12a *Ἂν στρουθὸς εἰς χάρακας:* πρὸς τοὺς οἰομένους λανθάνειν ἐν οἷς πράττουσι.

---

5. *δὲ φεύγων* Ds. 7. *Ἄκτις ποταμός* K in nott. ad Diog. II, 74: unde quod hoc loco Apostolius cum Arsenio profert ex *Ἄκις ποταμὸς* corruptum esse quivis concedet. Ne scrupulum iniiciat litterarum series, v. ann. ad Apost. III, 15. 9. *δικτύῳ ἄνεμον* Zenobius, *ἀνέμους θηρᾶν ἐν δικτύοις* Ds. 10. K *παιδίον*. 11. *ἄνευ* ex *ἄλευ'* depravatum esse monstrant vv. ll. in nott. critt. ad Diog. l. c. propositae. Similes depravationes v. in Greg. Cypr. M II, 95. Apost. I, 51. III, 12. V, 23. VI, 77. 13. *βαδίζων* Suidas. Scribe *Κλεογένους*. 14. *στρατιώτης*] *στρατηγὸς* Suidas.

Comb. Hippothoonti adscribunt, Menandro Doxopater in Rhett. Gr. IV, 294 W.: alterum Isidoro Stob. l. c. 27 et Maximus l. c. Exstat uterque in Menand. Monost. 8. 249.

9. Diog. I, 78: Arsen. III, 82. DV I, 44.

9a. Arsen. III, 83. Polyb. IX, 25: *ἐγχώριοι γὰρ οὐ μόνον τὰς τῶν ἀνέμων στάσεις, κατὰ τὴν παροιμίαν, ἀλλὰ καὶ τὰ τῶν ἐγχωρίων ἀνθρώπων ἤθη κάλλιστα γινώσκουσιν*: quae verba Suidas v. *ἐγχώριοι* in Lexicon suum recepit: add. idem s. *ἀνέμων* ibiq. v. intt.

10. Apost. III, 89.

11. Diog. I, 74: Arsen. III, 98. IV, 11. DV I, 41.

12. Arsen. IV, 12: cf. Apost. I, 96.

12a. Arsen. IV, 13.

13. Diog. II, 28: Arsen. III, 89. Zenob. III, 17. Apost. VI, 13.

14. Diog. I, 82: Arsen. III, 90. DV I, 47.

15. Arsen. III, 91: Diog. II, 56. Cf. Apost. III, 56. 22c.

16. Suidas: Arsenius Walzii p. 62. Aristoph. Ran. 715 de Cleogene: *ἵνα μή ποτε κἀποδυθῇ μεθύων ἄνευ ξύλου βαδίζων.*

17 Ἀνόητος νεοττὸς ἐκὼν δείκνυσι τὴν ἑαυτοῦ νοσσιάν.

18 Ἄνθρωπος εὔριπος: τύχη εὔριπος: διάνοια εὔριπος: ταῦτα ἐπὶ τῶν παλιμβόλων.

19 Ἀνεπαρίασαν: ἐπὶ τῶν μεταγινωσκόντων ἐπί τινι. οἱ γὰρ Πάριοι ὁμολογήσαντες παραδώσειν Ἀθηναίοις τὴν πόλιν ὕστερον μετέγνωσαν.

20 Ἀνίπτοις ποσὶν ἀναβαίνει ἐπὶ τὸ τέγος: ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.

21 Ἀναίμακτον ἔστησε τρόπαιον: ἐπὶ τῶν ἄνευ κινδύνων καὶ φόνων μέγα τι κατωρθωκότων.

22 Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς: ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀποδιδόντων.

19a Ἀνὴρ ὁ φεύγων καὶ πάλιν μαχήσεται: ἐπὶ τῶν ἑτεραλκεῖ νίκῃ χρωμένων ταχθείη.

21a Ἀναβάδην ἀναπαύομαι: ἐπὶ τῶν ἀμελῶν.

21b Ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν:. Εὐριπίδου ἡ γνώμη.

21c Ἀνδρὸς μείζονος μὴ κοινώνει: παραινετικὴ ἡ παροιμία.

---

12. σῦν D in margine. 13. ἀνταποδιδόντων Ds, ἀπαιτούντων (ττεται) D in margine, διδόντων A. 15. ταχθείη A. 17. ἀνδρὸς δ' Stobaeus.

17. Arsen. IV, 7.

18. Suidas: Arsen. III, 99. Cf. Apost. II, 88. Explicatio Apostolio propria.

19. Diog. II, 35: Arsen. III, 92. Zenob. II, 21.

19a. Arsen. III, 93. Gell. N. A. XVII, 21: *tum Demosthenes orator ex eo proelio salutem fuga quaesivit: cumque id ei quod fugerat probrose obiiceretur, versu illo notissimo elusit:* ἀνὴρ, *inquit,* ὁ φεύγων καὶ πάλιν μαχήσεται. Apte Walzius comparavit Vergil. Aen. II, 367: *quondam etiam victis redit in praecordia virtus.*

20. Diog. I, 29: Arsen. III, 100. DV I, 49.

21. Arsen. III, 65. Aristid. Panath. 180: μόνοι γὰρ ἁπάντων ἀνθρώπων τὸ λεγόμενον δὴ τοῦτο ἀναίμακτον τρόπαιον ἱστήσατε: Plut. Timol. 37. Agesil. 33; Flamin. 71: ὀλίγου δεῖν ἀναίμακτος αὐτῇ καὶ ἀπενθὴς φερομένη τὸ κάλλιστον καὶ περιμαχητότατον ἆθλον: Themist. Or. II, 37 C: ὑμνοῦσι μὲν οὖν Σπαρτιᾶται ἀναίμακτόν τινα καὶ ἄδακρυν νίκην: Walzius. Saepe ἀναίμακτα τρόπαια Gregorius Nazianzenus dixit: v. Oratt. IV, 93 B et cf. nott. ad Greg. Cypr. M I, 14. ad Apost. I, 29.

21a. Arsen. III, 66. Aristoph. Plut. 1123 ibiq. cf. Hemsterhusius.

21b. Arsen. III, 67: Stob. Floril. 47, 6. Eurip. Aegei fr. IV.

21c. Arsen. III, 68. »Sumptum autem e Siracide 13: ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει.« Pantinus. Manasse videtur ex Babrii Fab. 67, 9: μέτρει σεαυτόν· πρᾶγμα μηδὲν ἀνθρώπῳ δυνατωτέρῳ σύναπτε μηδὲ κοινώνει: Aesop. fabb. 299 Fur.: add. Apost. II, 15.

22. Diog. I, 89: Arsen. IV, 5. Greg. Cypr. L I, 57.

23 *Ἀνεῳγμέναι Μουσῶν θύραι: ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα ἐπὶ τῇ παιδείᾳ.*

24 *Ἂν μὴ λεοντῇ ἐξικνεῖται, τὴν ἀλωπεκῆν πρόςαψον: ὁ νοῦς· ἂν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι.*

Τὸ ᾱ μετὰ τοῦ ξ.

25 *Ἄξιος τριχός: ἐπὶ τοῦ εὐτελοῦς καὶ τοῦ τυχόντος.*

26 *Ἄξιος τοῦ παντός: ἐπὶ τῶν σφόδρα τιμίων.*

27 *Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδας: ἐπὶ τῶν εὐγενῶν καὶ εὐδαιμόνων· οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ἀσπίδας φέροντες πομπεύουσιν.*

28 *Ἀξία ἡ κύων τοῦ θρόνου: ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγχανόντων.*

22a *Ἄνοια θνητοῖς δυςτύχημα αὐθαίρετον:. Μενάνδρου.*

23a *Ἂν μὴ καθάρῃς καὶ ἀλέσῃς οὐ μὴ φάγῃς.*

24a *Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Χῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾔδειτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. Παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς οὖν ὁ Ἀρχίδαμος, Τί ἄν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;*

27a *Ἄξιος ὀβελίσκου.*

---

2. *ἐπὶ τῇ παιδείᾳ*] *τῶν ἐν παιδείᾳ* Ds, ubi v. notas. 3. *μὴ* Suidas om. *ἢ λεοντῇ μὴ ἐξικνῆται, πρόςαπτε καὶ τὴν ἀλ.* Suidas. 7. *τοῦ τυχόντος*] articulum Suidas om. A in fine addit: *ἄξιος οὐδενός*: cf. Macar. II, 17. Superesse tamen potest ex his Suidae verbis: *καὶ Ἄξιος οὐδὲ μόνου, ἀντὶ τοῦ οὐδενός. ἔστι δὲ ἀπὸ τῶν κύβων εἰρημένον.* Quae ex Plat. Theaet. 162 E in *ἄξιος οὐδὲ ἑνὸς μόνου* mutanda esse Abreschius Auct. Diluc. Thucyd. 281 monuit: confirmant Bekk. Anecd. I, 413, 8 et Scholl. Plat. 361 Bekk.: *ἐκ δὲ τῆς κυβευόντων συνηθείας ἔλαβε τὸ οὐδ' ἑνὸς μόνου, ὅταν ἐκεῖ πέσῃ ἐν τῷ παίζειν ἓν τὸ ἐλάχιστον.* 10. *καὶ αἰδημόνων* Ds. 15. Scribe *δυςτύχημ'*. 16. Scribe *ἢν* et *κἀλέσῃς*.

22a. Arsen. IV, 6: Stob. Flor. 4, 4. Menand. fr. inc. 116 Mein.
23. Diog. I, 77: Arsen. IV, 1. Greg. Cypr. L I, 24.
23a. Arsen. IV, 2. Cf. Apost. VIII, 56.
24. Suidas: Arsen. IV, 3: Apost. IV, 19a. XII, 95. Greg. Cypr. M I, 83.
24a. Arsen. IV, 4: Stob. Flor. 12, 20. Est Aelian. V. H. VII, 20.
25. Suidas Arsen. IV, 39. DV I, 54.
26. Zenob. II, 2: Arsen. IV, 40. Greg. Cypr. L I, 51.
27. Diog. I, 92: Arsen. IV, 41. DV I, 53.
27a. Arsen. IV, 41: App. Provv. I, 33.
28. Diog. II, 78: Arsen. IV. 42.

29 *Ἄξιος λαβεῖν ὁ μισθός·* ἐπὶ τῶν εἰς κάλλος ἠσκημένων.

Τὸ α̅ μετὰ τοῦ π̅.

30 *Ἀπαιδευτότερος Φιλωνίδου τοῦ Μελιτέως:* οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης· κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης ὡς παρασίτους ἔχοντα, καὶ διὰ τὸν Λαΐδος ἔρωτα. κωμῳδεῖται δὲ ὡς συώδης ἐν τοῖς ἑταίροις αὐτοῦ.

29a *Ἀξίωμα μέγιστόν* ἐστιν οὐ τὸ κεχρῆσθαι τιμαῖς, ἀλλὰ τὸ ἄξιον αὐτῶν εἶναι νομίζεσθαι:. Ἀριστοτέλους.

29b *Ἀξίως οὐδεὶς* τὸν θεὸν τιμᾷ, ἀλλὰ δικαίως μόνον, ὁπότε οὐδὲ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται· ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε τούτους:. Φίλωνος.

29c *Ἄξιον τούτους* ἐπαινεῖν τοὺς ἀνθρώπους, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. Χρήματα μὲν γάρ ἐστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥᾴδιον κτήσασθαι:. Δημοσθένους.

29d *Ἄξιον δέ ἐστιν* εἰς τὸν περὶ τῆς ἡδονῆς λόγον προσελθόντα μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν εὐδοκιμοῦσαν, ἣν ἡδονὴν ὀνομάζουσι, καὶ χαρὰν καὶ τέρψιν· περιγίνεται δ' ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων. Ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι πρὸς αὐτὸν ἀναμιμνήσκεσθαι, καὶ καθάπερ κτήμασι τέρπεσθαι, λογιζόμενον, ὅτι ἡ τύχη ἡ πάντων κυρία τούτων, ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι:. Φαβωρίνου.

29e *Ἄοινον μέθην* ὁ Θεόφραστος τὰ κουρεῖα ἐκάλει.

---

1. ἐπὶ] lege ἐστί: τοῦτο Suidas. Suidas addit: σημαῖνον τοιόνδε τι· ἄξιός ἐστιν ὁ μισθός, ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ: tum infinitivi usum exemplis illustrat. 7. ἔρωτα ἐν Κορίνθῳ διάγοντα Suidas. καὶ ὡς idem. 8. ἐν] σὺν idem. αὐτοῦ, οὓς κάπρους εἶπε· τὴν δὲ Λαΐδα Κίρκην, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν Suidas. 14. τῶν ἀνθρώπων Stobaeus. 15. κτήσασθαι] πρίασθαι idem. 20. περιγίγνεται Stobaeus. 22. ἑαυτὸν idem.

29. Suidas: Arsen. IV, 48. Bekk. Anecd. I, 412, 9. Cratin. fr. 169 Mein.

29a. Arsen. IV, 44: Maxim. Conf. Serm. 46, p. 645 Combef.

29b. Arsen. IV, 45: Maxim. Conf. Serm. 23, p. 605 Combef.

29c. Arsen. IV, 46: Stob. Flor. 9, 29. In Demosthenis orationibus haec non inveniuntur, ut Reiskius Ind. Graecitat. Demosth. 238 observavit.

29d. Arsen. IV, 47: Stob. Flor. 115, 23.

29e. Arsen. IV, 48: Plut. Sympos. VII, 10, 2, p. 716 A: ἀλλ' ὥσπερ Θεόφραστος τὰ κουρεῖα εἰώθει καλεῖν ἄοινα συμπόσια, οὕτως ἄοινος ἀεὶ μέθη καὶ σκυθρωπὴ ταῖς τῶν ἀπαιδεύτων ἐνοικεῖ ψυχαῖς.

30. Suidas: Arsen. IV, 49. De Philonide v. Hanovius Exercitt. Critt. in Com. Gr. I, 27 sqq.

31 *Ἀπιὼν ἐς Ἀπατούρια, ἐπανῆκες Θαργηλιῶνα:* ἐπὶ τῶν ἄγαν βραδυνόντων. Ἀπατούρια δὲ ἦν ἑορτὴ Ἀθήνησιν, ἣν ἦγον ἐπὶ τρεῖς ἡμέρας. ἐκάλουν δὲ τὴν μὲν πρώτην Δορπίαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο. τὴν δὲ δευτέραν Ἀνάῤῥυσιν ἀπὸ τοῦ θύειν· ἔθυον δὲ Διὶ Φατρίῳ καὶ Ἀθηνᾷ. τὴν δὲ τρίτην Κουρεῶτιν ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φατρίας· ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Μελαίνων, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτὸς προσεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην· οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν, Μεσήνιος γένος ἀπὸ Περικλυμένους τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. Μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξανθίου τραγῆν ἐνειμένος μέλαιναν. ἔφη οὖν αὐτὸν ἀδικεῖν δεύτερον ἥκοντα· ὁ δὲ ἀπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ Διονύσου Μελαναιγίδος βωμὸν ἐδομήσαντο. ὁ δὲ Θαργηλιὼν ἐστι μὴν Ἀθηναῖος, καθ᾽ ὃν καὶ ἑορτὴ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, Θαργήλια λεγομένη· ἐν ᾗ ἥψουν ἀπαρχὰς τῷ θεῷ τῶν πεφηνότων καρπῶν, ἵσταντο

31a *Ἅπαντα τοῖς καλοῖς ἀνδράσι πρέπει:* δήλη.

1. εἰς Θαργηλιῶνα Z. 2. Ἀπατούρια — ἐκάλουν] Ἀπατούρια. ἑορτὴ δημοτελής· ἤγετο δὲ παρ᾽ Ἀθηναίοις ἐπὶ τρεῖς ἡμέρας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκου, τοῦ Θρᾳκῶν βασιλέως. καλοῦσι Suidas, qui hausit e Scholl. ad Arist. Ach. 146. 4. Δόρπειαν Suidas: cum nostro faciunt Scholl. Plat. 424 Bekk., Grammaticus Bekk. Anecd. I, 417, 4: recte: veram enim Δορπία lectionem esse Philyllius Athen. IV, 171 D docet: ἡ τῶν προτενθῶν Δορπία καλουμένη: alia attulit Meierus de gentilit. Att. Comm. p. V. 6. Φρατρίῳ Suidas. 8. φρατρίας idem: v. variae lectiones e Suidae codd. enotatae. 9. Scribe Μελαινῶν: Κελαινῶν Suidas, Maussacus ad Harpocr. v. Ἀπατούρια: Μελαινῶν Holstenius ad Steph. Byz. v. Μελαινεῖς: Meursius de Regg. Athen. III, 10 eundem locum et Κελαινὰς et Μελαινὰς nominatum esse contendit. Nihil decernunt Marxius ad Ephori fr. p. 119 sq. Meierus l. c. IV. Naeckius Opusc. T. II, 188. Ξάνθος Psellus de Oper. Daem. 106, ubi v. Boissonadus. 10. προεκαλέσατο Suidas. 11. Θυμοίτην] Ὑπερθύμοιτος Psello nominatur. Μεσσήνιος Suidas. 12. Περικλυμένου N Suidas. 14. ἐνημμένος Suidas. 17. βωμὸν Suidas om. 18. δὲ Harpocration om. 21. καλοῦσιν Ds.

31. Arsen. IV, 60. Ἀπατούρια — ἐδομήσαντο] Suid. s. Ἀπατούρια. Ὁ δὲ — Θαργήλια] e Suida s. Θαργήλια, omissis eis, quae corrupta erant. Ἔφορος κτλ.] Harpocr. s. Ἀπατούρια.

31a. Arsen. IV, 51: Diog. III, 28. Cf. Macar. II, 25 et annott. ad Greg. Cypr. M I, 63.

δὲ ἐν αὐτῇ καὶ χοροὶ καὶ ἀγὼν Θαργήλια. Ἔφορος δὲ ἐν δευτέρᾳ φησίν, ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην ἐκλήθη. πολεμούντων γὰρ Ἀθηναίων πρὸς Βοιωτοὺς ὑπὲρ τῆς Μελανίας χώρας Μέλανθος ὁ τῶν Ἀθηναίων βασιλεὺς Ξάνθον τὸν Θηβαῖον μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.

32 Ἄπνοια ἐχίνου: ἐπὶ τῶν προσποιουμένων τεθνάναι:· Ὁ γὰρ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι ἑαυτὸν συνειλήσας ἄληπτον ἐργάζεται, εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα καὶ ἀκίνητος ἀτρεμεῖ καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.

33 Ἀπορία ψάλτου, βήξ: ἐπὶ τῶν προσχηματιζομένων τι ἀδυνασίᾳ.

34 Ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι: θέλει οὖν λέγειν· βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν.

35 Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις: ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

36 Ἀπόγλουτος ὑπάρχεις: ἀντὶ τοῦ ναυτικός. Ἀπόγλουτοι δὲ κυρίως ἐκαλοῦντο οἱ Ἀθηναῖοι ἕνεκα τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς καθέδρας· οἱ δὲ, διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς ᾅδου καὶ πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθιαθέντα σὺν τῷ Πειρίθῳ, Ἡρακλέους ἐπὶ τὸν Κέρβερον κατελθόντος, παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτουμένου, καὶ τῆς πέτρας ἀποσπῶντος, ἐγκαταλειφθῆ-

3. ἐκλήθη hic in Harpocratione deest. ὅτι Ἀθηναίων Harpocratio. γὰρ Harpocratio om. 5. Θηβαίων Harpocratio. 14. ὅτι βέλτιον Suidas. 17. μαλακευνίαις p. 18. ὑπὸ] διὰ p. 19. ἀπόγλουτοι — οἱ δὲ] λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι ἐπιθετικῶς λίσπαι [λισπόπυγοι corrigit Kusterus], διὰ τὸ ναυτικοὺς ὄντας ἕνεκα τῆς ἐπὶ τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας ἀπογλούτους εἶναι. ἔνιοι Suidas. 23. ἐπικαθεσθέντα Photius.

32. Arsen. IV, 72. Ὁ γὰρ κτλ.] Aelian. N. A. VI, 54.

33. Arsen. IV, 75: Suid. v. βήξ: . . καὶ παροιμία νέα· Ἀπορία ψάλτου βήξ: quae a librario male sedulo addita esse Bernhardius suspicatur. Natum est ex Diogen. III, 61. Ceterum haec laudat Phavor. 365, 4.

34. Suid. s. ἀπὸ καλοῦ et s. ἄξιον: Arsen. IV, 76. Usurpavit Aristophanes: v. Apost. VII, 54b: add. Publ. Syr. Sent. 911: *vel strangulari pulchro de ligno iuvat*: alia vide in ann. ad App. Provv. II, 67. Aesop. Provv. 15.

35. Suidas, p in nott. critt. ad Greg. Cypr. M I, 86: Arsen. IV, 52: Bekk. Anecdd. I, 4, 1: partem habet App. Provv. I, 34. Eupolidi adscripsit Meinekius Com. Gr. fr. IV, 661.

36. Arsen. IV, 77. ἀπόγλουτοι κτλ.] Suid. s. λίσποι. De re cf.

ναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος. διὸ καὶ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ἐπονομάζεσθαι.

37 Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι: οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης·

Ῥήματά τε κομψὰ καὶ παίγνια ἐπιδεικνύναι
πάντα ἀπ' ἀκροφυσίων τῶν ἀπὸ κινναβευμάτων·

λέγει γὰρ διὰ μὲν τοῦ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρὸς, διὰ δὲ τοῦ ἀπὸ κινναβευμάτων οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα· κίνναβος γὰρ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. Ἔστι δὲ εἴδωλον σκιῶδες ὁμοίωμα ἢ φαντασία σώματος ἀεροειδής τε σκιά. Ὡς δὲ Βακχυλίδης·

Μελεμβαφὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου.

Καὶ ὁ ποιητὴς, Ἀντικλείας·

Τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον.

αὐτὸς δὲ ἡ ὑπόστασις ἡ ἀληθής.

38 Ἀποῤῥὼξ Ἐριννύων: ἐπὶ τῶν ἄγαν τιμωρούντων.

39 Ἀπόλογος Ἀλκίνου: ἐπὶ τῶν φλυάρους καὶ μακροὺς ἐπιτεινάντων λόγους.

40 Ἀπίδων πανδαισία: ἐπὶ τῶν ἄγαν τρυφηλῶν. Ἄπιδες δὲ θεοὶ ἦσαν Αἰγύπτιοι, τιμώμενοι παρ' αὐτοῖς, σημεῖον ἔχοντες παρὰ τὴν οὐρὰν καὶ τὴν γλῶτταν, δηλοῦν

---

1. διὸ καὶ] διόπερ Suidas. 2. ἐπονομάζεσθαι idem. 6. Scribe παίγνι'. 7. Scribe πάντ'. τῶν ἀπὸ κ.] κἀπὸ κινναβευμάτων Brunckius. 13. γράφοντες] κέχρηνται πολλοί adiecit Suidas. ἔστι δὲ Suidas om. 14. τε] τις Suidas. 16. μελαμβαφὲς Suidas, μελαγχεθὲς Anecdd. Bachm. I, 208, 13, unde Neuius μελαγκευθὲς eruit. 17. ποιητὴς ἐπὶ τῆς Suidas. 21. φλυάρων Ds. 24. δὲ in Suida deest. Αἰγύπτιοι — αὐτοῖς] τιμώμενοι παρ' Αἰγυπτίοις Suidas. 25. παρὰ] περὶ Suidas.

Arist. Equitt. 1365 ibiq. Scholl.; alia suppeditant Meursius Thes. c. 27. Boettiger, Ideen zur Archaeol. der Mahlerei I, 347.

37. Arsen. IV, 53. Ἀπ' — γράφοντες Suid. v. ἀπό. Ἀριστοφάνης] fr. 561 Dind.: add. Bekk. Anecd. I, 415, 29. Ἔστι δὲ κτλ.] Suid. s. εἴδωλον. Βακχυλίδης] fr. 36 Bergk. ποιητὴς] Odyss. Λ, 206.

38. Arsen. IV, 79: Arist. Lysist. 811 de Timone: Ἐριννύων ἀποῤῥώξ. V. de v. ἀποῤῥὼξ usu figurato Suid. s. ἀποῤῥῶγας et Valckenarium de Aristob. 16: add. Lobeckius Paralipp. Gr. Gr. 283.

39. Diog. II, 86: Arsen. IV, 78. DV I, 79.

40. Arsen. IV, 80. Ἄπιδες κτλ.] Suidas.

εἶναι αὐτοὺς Ἄπιδας· οἷς γεννωμένοις διὰ χρόνου ὡς ἔλεγον ἐκ τοῦ σέλαος τῆς σεληνίδος ἑορτὴν ἦγον μεγάλην, καὶ ἱερεῖς τινες παρὰ τὸν τεχθέντα βοῦν ἱερῶντο παρατιθέντες πανδαισίαν ὡς εὐωχοῦντες αὐτούς.

41 *Ἀπὸ μηχανῆς θεὸς ἐπιφανείς*: ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ τινὶ ἀναφαινομένων. ἐν γὰρ ταῖς τραγῳδίαις θεοὶ ἐξ ἀφανοῦς ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο.

42 *Ἀπελθόντων τῶν ὀμμάτων* τὰ τῆς μνήμης ἄξια ἐκ τοῦ νοῦ ῥᾳδίως ἐκφεύγει.

43 *Ἅπανθ' ὅμοια καὶ Ῥοδῶπις ἡ καλή*: σημαίνει ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.

44 *Ἅπασαν τὴν οὐσίαν ἠμφίασται*: ἐπὶ τῶν μηδ' ὁτιοῦν ἄλλο κεκτημένων ἢ ὅπερ ἀμπίσχονται.

45 *Ἀποστολικὴν διάγεις πολιτείαν*: ἐπὶ τῶν ἐναρέτως καὶ θεαρέστως βιούντων. Ἔστι δὲ αὕτη· ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινόν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός· ἀγγαρευόμενος προστίθει, ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, βιαζόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, σταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν Κύριον.

46 *Ἅπερ οἱ γῦπες*: λείπει τὸ ποιεῖς. ἐπὶ τῶν διὰ κληρονομίαν ἢ ὅλως κέρδος οἱονοῦν παρεδρευόντων τισίν· οἱ γὰρ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσι.

43a *Ἅπαντα τῷ πλουτεῖν ἔσθ' ὑπήκοα.*

45a *Ἄπληστον τὸ διὰ παντὸς κέρδος*: ἀπόφθεγμα Πιττάκου.

---

1. *γενομένοις* A, Suidas. 2. *σελήνης* idem. 3. *παρὰ*] *περὶ* idem. 5. *ἐπεφάνης* A. 10. *σημαίνει δὲ* Suidas. 13. *ἀμπίσχεται* Suidas: de Apostolii lectione cf. Albertius ad Hesych. s. *ἀπαμφιάσαντες*. 14. *Ἀποστολικὴν — αὕτη*] *ἀποστολικὴ* [*εὐαγγελικὴ* Basilius.] *πολιτεία. τουτέστιν* Suidas. 19. *βιαζόμενος*] *διωκόμενος* Suidas. 22. *ἅπερ οἱ*] *ἄπειροι* Suidas: *ὑπερεὶ γῦπες* Bernhardius coniecit. *λείπει τὸ ποιεῖς* Ds om. 23. *διὰ κέρδος* Ds. 26. *ἀπόφθεγμα* Stobaeus ignorat.

41. Diog. II, 84: Arsen. IV, 81: DV I, 78: add. Kayserus Hist. crit. tragg. Gr. 96.

42. Arsen. IV, 73.

43. Suidas: Arsen. IV, 54. App. Provv. IV, 51: add. Bekk. Anecd. I, 416, 7.

43a. Arsen. IV, 55.

44. Suidas: Arsen. IV, 56. Bekk. Anecd. I, 418, 1.

45. Suidas: Arsen. IV, 82: attigit Zonar. 244. »Elegans hic locus excerptus est ex Homilia Basilii Magni in S. Baptismum [T. I, 484. T. II, 120. C.], ut monuit Ritterhusius in Isidor. Pelus. lib. IV, Epist. 33.« Kusterus.

45a. Arsen. IV, 83: Stob. Flor. 10, 48.

46. Diog. II, 88: Arsen. IV, 84.

47 *Ἀποῤῥαγήσεται τεινομένων τὸ καλώδιον:* ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων. καὶ Λουκιανός· Ὅρα μὴ κατὰ τὴν παροιμίαν ἀποῤῥήξωμεν διατείνοντες τὸ καλλώδιον.

48 *Ἀπὸ γραμμῆς:* οἷον, ἀπ' ἀρχῆς. εἴρηται δὲ ἀπὸ τῆς τῶν δρομέων γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα καλοῦσιν.

49 *Ἀπόλεμος:* τίθεται ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

50 *Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι:* ἐπὶ τῶν ἐν ἐσχάτῳ κινδύνῳ ὄντων.

51 *Ἀποφράδες ἡμέραι:* αἱ ἀνεπιτήδειοι πρὸς πράξεις, ἐν αἷς καὶ τοῖς κατοιχομένοις χοὰς ἐπέφερον.

---

1. τεινόμενον 1 Ds. καλλώδιον 1. 2. καὶ Λουκιανός] Ds. καὶ om. καὶ ὥρα Ds. 3. πάνυ τείνουσαι Ds Lucianus, 4. καλώδιον Ds. 5. εἴρηται — δρομέων] ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας καὶ Suidas. 10. ἐσχάτοις κινδύνοις Suidas. 11. αἱ — πράξεις Suidas post v. ἐπέφερον collocat et ἢ praemittit. 12. καὶ Suidas om. ἐπιφέρουσιν Suidas. AZE addunt: *ταύτας* [ἃς Zonaras] *οἱ παλαιοὶ* [καὶ Zonaras inserit] *ἐπεικάδας καλοῦσι, φθίνοντος τοῦ μηνὸς τετράδι·* [τετράσι Z: *τετράδα, τρίτην ἡμέραν* Zonaras: τετράδα, *τρίτην, δευτέραν* Etymologicum Magnum.] *ἄλλοι δέ φασι* [ἄλλοι Z om., nil nisi ἢ Zonaras.] *τὰς ἡμέρας, ἐν αἷς τὰς φονικὰς δίκας* [δίδας E.] *ἐδίκαζον, διὰ τὸ οἷον ἀποφράττεσθαι τὸ τῆς Σελήνης φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας* [ἐπιθετικῶς Zonaras addit] *ἐκάλουν·* [pergit Etym. M.: οἷον, ἀποφρὰς καὶ βλέπων ἀπιστίαν: sunt Eupolidis verba, de quibus v. Meinekius C. Gr. II, 1, p. 557: alia exempla intt. Hesych. s. v. et Boissonadus ad Marini V. Procli 106 indicant, quibus add. Synes. Ep. 79 p. 224 E a Thoma Magist. 16 R. citatus.] *Καὶ οὕτως· ἀποφράδας ἡμέρας καλοῦσιν, ὅταν μήτε ἀρχαὶ χρηματίζωσι μήτε τὰ ἱερὰ ἱερουργῆται μήτε αἱ δίκαι εἰσαγώγιμοι ὦσι μήθ' ὅλως τι τῶν αἰσίων τελεῖται* [τελῆται Lucianus], *ἀλλ' ἄπρακτον καὶ ἄκυρον τῶν ἐννόμων πράξεων εἶναι· φασὶ γὰρ ἐν ἡμέραις, ἐν αἷς πόλεμοι γεγόνασι καὶ ἡττήθησαν, ταύτας ἐκάλεσαν ἀποφράδας.*

47. Diog. II, 89: Arsen. IV, 85. Lucian. Dial. Meret. 3 fin. Cf. Apost. XI, 62.

48. Suidas: Arsen. IV, 86. Macar. II, 18. Apost. IX, 21.

49. Suidas: Arsen. IV, 87.

50. Suidas s. ἀπό: Arsen. IV, 88. Suid. s. μίτος. Usurpant Ennius apud Macrob. Saturn. I, 4: *hac noctu filo pendebit Etruria tota:* Synes. Epistol. 4, p. 164 A Petav.: τοῦς οὖν ἐν τῷ τοιῷδε πλέουσιν ἀπὸ λεπτοῦ φασι μίτου τὸ ζῆν ἠρτῆσθαι: alia suppeditant Hesselius ad Ennii Fragm. p. 55. Boissonadus Anecd. Gr. T. II, 228: add. annott. ad Zenob. III, 47. ad Macar. IV, 69.

51. Suidas: Arsen. IV, 89: cum Suida faciunt Scholl. ad Plat. 452 Bekk., Timaei Lex. Voc. Platon. 47. Bekk. Anecd. I, 438, 31: contractius Hesych. Bekk. Anecdd. I, 204, 31. Moerid. Att. 190, 13 Bekk. Ταύτας κτλ.] Zonar. 240, cuius expositionem ex variis variorum grammaticorum locis consutam esse Vaassenius in Animadv. hist. crit. ad Fast. Rom. fr. 14 demonstrare

52 *Ἀπὸ λύκου θύρας:* ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων.

53 *Ἄπλυτον πώγων' ἔχεις:* σκώπτων εἰπέ.

54 *Ἀπ' ὄνου καταπεσών:* ἀπὸ τῶν ἱππικῇ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι· Ἀριστοφάνης ἐν Νεφέλαις·

Τί δῆτα ληρεῖς, ὥσπερ ἀπ' ὄνου καταπεσών;

Ὁ δὲ Πλάτων· Ἀπ' ὄνου καταπεσὼν, ἐν τοῖς Νόμοις· *Καὶ μὴ καθάπερ ἀχάλινωτον στόμα βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον.*

51a *Ἀπὸ γλώττης φίλος:* ἐπὶ τῶν πράγματι μέν, οὐ λόγῳ δὲ εὐεργετούντων.

54a *Ἀπ' ὄνων ἐφ' ἵππους:* ἐπὶ τῶν ἀπὸ χειρόνων ἐπὶ τὰ κρείττω μεταβαλλόντων.

54b *Ἀπὸ νεκρῶν φορολογεῖ:* αὕτη ἂν ῥηθείη τοῖς ἀπὸ νεκρῶν κερδαίνουσιν· ὅθεν καὶ ὁ παρὰ τῷ Λουκιανῷ Χάρων πρὸς τὸν Ἑρμῆν ἀπαιτοῦντα τὰ χρήματα, ἃ κατηνάλωσεν εἴς τε ἄγκυραν καὶ τροπωτῆρα κἂν τοῖς λοιποῖς ὧν ἐδεῖτο τὸ σκαφήδιον, ἀδύνατον ἔφη ἀποδοῦναι, ἢν μὴ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς.

---

4. ἀπὸ] παροιμία. ἀπὸ Suidas. 8. Πλάτων — καὶ] φιλόσοφος Πλάτων ὡς οὐκ ἀπὸ τοῦ ζῴου τὴν παροιμίαν λέγεσθαι, ἀλλ' ἀπὸ τοῦ νοῦ οὕτως· Καὶ Suidas. 9. ἀχάλινον κεκτημένον Suidas cum Platone. 10. τοῦ A om. κατὰ τὴν παροιμίαν ἀπό τινος νοῦ καταπεσεῖν Suidas Z in fine addunt: sunt verba Platonis. 18. Scribe σκαφίδιον.

studet. Eadem fere leguntur in Etym. M. 131, 14 et Etym. Gud. 70, 4. Rem illustrat Schoemannus de Com. Athen. 50. καὶ οὕτως κτλ.] haec e Luciani Pseudolog. §. 12. 13 neglegenter et, ut videtur, e codice corrupto excerpta sunt. Breviter dierum nefastorum originem Sallust. de Diis et mundo c. 18 explicat: ex fonte ab eo quem Suidas et Etymologici Magni auctor sequuntur diverso derivata sunt quae Scholl. ad Lucian. Timoni §. 43. Pseudolog. §. 1. Anonym. in Crameri Anecd. Pariss. IV, 256, 23. verbose de eis exponunt: add. Tzetz. Chiliad. X, hist. 303, cuius titulus est: παροιμία ἡ λέγουσα, τὴν ἀποφράδα, ταύτην καὶ ἔκφυλον, et Poll. VIII, 141.

51a. Arsen. IV, 90. Fluxit ut videtur e Theogn. 63: ἀλλὰ δοκεῖ μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι: cf. ibid. 95 sq. et Soph. Antig. 543. Praeivit Homerus Il. *I*, 313. Od. Σ, 168. Cf. Apost. VII, 63.

52. Suidas: Arsen. IV, 91.

53. Suidas: Arsen. IV, 92. Lex. Seguer. Bekk. Anecd. I, 425, 15. Aliter Phrynich. Bekk. An. I, 4, 14 explicat: εἰ θέλοις ἀντεπαχθῶς σκῶψαί τινα πωγωνίαν. Comoediae adscribit Meinekius Com. Gr. Fr. IV, 662: ὄρχεις ἀπλύτους nominavit Aristoph. Pac. 759.

54. Suidas: Arsen. IV, 95. V. Zenob. II, 57 coll. Meinekio Com. Gr. Fr. II, 1, 571. Νεφέλαις] 1273. Πλάτων] Legg. III, 701 C.

54a. Arsen. IV, 96. DV I, 55. Cf. Apost. IV, 52.

54b. Arsen. IV, 98. Cf. Apost. I, 11 ibiq. nott. critt. Lucian. D. Mort. IV, 1.

55 *Ἄπληστος πίθος*: ἐπὶ τῶν γαστριμαργούντων· ἢ ἐπὶ τῶν ἀδυνάτων· τετρημένος γὰρ ἦν.

56 *Ἀπὸ μείζονος ἀνδρὸς ἄλευ*: ἤγουν φυλάττου. ἔστι δὲ ἰωνικόν.

57 *Ἀπὸ βραδυσκελῶν ὄνων ἵππος οὔρησεν*: ἐπὶ τῶν ἐξ εὐτελῶν ἐπὶ τὰ μείζω χωρούντων.

58 *Ἅπαντα σοφοῖς ῥᾷστα*: ἐπὶ τῶν διὰ φρόνησιν καὶ τῶν δυσκόλων περιγινομένων.

59 *Ἄπαγε μόθωνα ἀπὸ κώπης*: ἐπὶ τῶν διοχλούντων παρὰ καιρὸν τοῖς σπουδάζουσιν· ὁ γὰρ μόθων φορτικῆς ὀρχήσεως εἶδος.

60 *Ἀπώλεσας τὸν οἶνον, ἐπιχέας ὕδωρ*: αὕτη γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὥς φησι Χαμαιλέων

55a *Ἁπλοῦν θύλακον πατεῖ*: ἐπὶ τῶν εὐκαταφρονήτων Θεόδεκτος εἶπεν.

58a *Ἅπαντα βρωτὰ τοῖς πολιορκουμένοις.*

59a *Ἄπαγε ξένον ἐν χειμῶνι*: ἐπὶ τῶν ἀκαίρως ἐλθόντων.

59b *Ἅπας μὲν ἀὴρ ἀετῷ περάσιμος·*
ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

59c *Ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὑτοῦ ποιεῖ.*
πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

---

2. ἐφ' ὕδου Z in fine addit. 3. ἔστι δὲ K om. 5. ὤρουσεν Ds. 6. θαῤῥούντων K. 7. ῥᾷστα] εὔκολα K. φρονήσεως Ds. 8. τῶν A om. 9. μόθων' Ds. 12. αὕτη δὲ ἡ παροιμία Suidas. Ds verba alio modo collocat. 14. Θεοδε^κτ A, Θεόδεκτος E: scribe Θεοδέκτης et cf. Welckerum Tragg. Gr. III, 1070. Suidas de auctore silet. 16. ἅπαντα γάρ τοι Suidas. τοῖς Suidas om.: recte. 17. ξένων Suidas. ἀκαίρως ἐλθόντων] ὀχληρῶν Suidas cum reliquis. A in margine ab alia manu addita habet haec: Εὐριπίδης. Ἄρα τὸν ξένον Στυγνῶς δεχαίως ἐν κακοῖς ἀφιγμένον. Est Eurip. Alcest. 771.

55. Arsen. IV, 92. Greg. Cypr. L I, 19.
55a. Arsen. IV, 93: Suidas.
56. K in nott. ad Diog. II, 56: Arsen. V, 18. Cf. Apost. III, 15.
57. K in nott. ad Diog. I, 94: Arsen. IV, 94. DV I, 55.
58. K in nott. ad Diog. I, 97: Arsen. IV, 61. Greg. Cypr. M I, 63.
58a. Arsen. IV, 62: Suidas. Cf. nott. ad Macar. VII, 17.
59. Diog. III, 27: Arsen. IV, 63.
59a. Arsen. IV, 64: Suidas. Lex. Seguer. in Bekk. Anecd. I, 218, 27. Zonar. 255.

59b. Arsen. IV, 65: Musonius apud Stob. Flor. 40, 9, p. 234 Grot. Est Eurip. fr. inc. 37 Matth. Ad sententiam cf. annott. ad Macar. VI, 45. Apost. II, 84e et Ovid. Fast. I, 493: *omne solum forti patria est, ut piscibus aequor, Ut volucri vacuo quidquid in orbe patet.*

59c. Arsen. IV, 66. XLIV, 72: Stob. Flor. 95, 1, ubi Antiphani tribuitur.

60. Arsen. V, 6. Ἀπώλεσας — Σατύρων] Suidas. Καὶ κτλ.] Diog. II, 31. Zenob. II, 16.

ἐν τῷ περὶ Σατύρων. Καὶ Πολύφημος οὕτω φησὶ πρὸς Ὀδυσσέα ἐν Κύκλωπος δράματι λεγομένῳ. Λέγεται ἐπὶ τῶν τοῖς καλοῖς τὰ χείρω ἐπιμιγνύντων.

60a Ἀπάτη γὰρ εὐπρεπεῖ αἴσχιόν τι τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ:. Θουκυδίδου.

60b Ἀπό μοι θανεῖν γένοιτ᾽· οὐ γὰρ ἂν ἄλλη λύσις
ἐκ πόνων γένοιτ᾽ οὐδ᾽ ἅμα τῶνδε:. Ἀνακρέοντος.

60c Τίνες γεγόνασιν ἀρχηγοὶ τεχνῶν καὶ ἐπιστημῶν; Ἀπελλῆς βοτανικῆς. Δημοσθένης ῥητορικῆς τῆς τρίτης μετὰ τὰς δύο φοράς. Παπιανὸς νομοθεσίας. Ἄντινος λογχοποιΐας. Εὐρύνοος λογχοτοξοσύνης. Εὐρύδαμνος Μεσήνιος θώρακος πολεμικοῦ. Εὔανδρος κνημῖδος καὶ ἀσπίδος. Ὀππιανὸς ἁλιευτικῆς· Τριπτόλεμος σπορᾶς σίτου. Πάμφιλος ζωγραφικῆς. Τύφης ναυτικῆς. Ἄργος ναυπηγίας. Ἀρχιμήδης μηχανικῆς.

60d Ἀποτεθρυωμένος ἀνήρ: ἤτοι ἀπηγριωμένος. εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τεθρίων, ἅπερ ἐστὶν ἄγονα ἄγρια λάχανα.

60e Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθους·
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα:. Διφίλου.

60f Ἀπορίη ξυνὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης:. Δημοκρίτου.

60g Ἄπολλον, ὡς δυσάρεστον ἔστ᾽ ἀνιώμενος
ἄνθρωπος, ἐφ᾽ ἅπασί τε δυσχερῶς ἔχει:. Ἀμφιδος.

60h Ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος

---

7. λύσις secundo versui adde. 8. Scribe οὐδαμά. 10. τῆς — φοράς Moschopulus om. 11. Παπινιανὸς Titzius. Ἄντιλος Vindobonensis: Ἄντιλλος λοχιποιΐαν Bodleianus, Ἀντίνος [sic] λογοποιΐας Baroccianus: fortasse Ἀντίνοος. Εὔρυνος Bodleianus. 12. τοξοσύνης Moschopulus, Baroccianus. 14. Scribe Τίφυς. 15. Ὦργος Moschopulus, Baroccianus. ναυπηγικῆς Baroccianus: v. Apost. XVII, 56b. 16. ἀνὴρ Lexicon Seg. om. 17. ἀπὸ θρύων Ruhnkenius. καὶ ἄγρια φυτά Lex. Seguerianum. 18. παθοὺς [sic] A: scribe πάθος. 23. ἅπασιν Stobaeus.

60a. Arsen. V, 7: Stob. Flor. 54, 55. Thucyd. IV, 86.

60b. Arsen. V, 8: Hephaest. 69 Gaisf. Anacr. fr. 48, 2 Bergk.

60c. Moschopul. 59 Titz.: Arsen. V, 9. X, 76. Eundem fere recensum e codd. Barocciano et Bodleiano protraxit Cramerus Anecdd. Oxon. IV, 255, 18, e Vindobonensi Lambecius Biblioth. Caesar. T. VII, 198 A. Kollar. De Euandro et Eurydamante cf. Apost. VIII, 14 a. b.

60d. Arsen. V, 10: Lex. Seguer. in Bekk. Anecd. I, 437, 3. Suid. s. ἀποτεθριακεν. Timaeus Lex. V. Plat. 44. Est vox Platonica: v. Ruhnkenius ad Tim. l. c., Schneiderus ad Plat. Reip. VI, 495 E.

60e. Arsen. V, 11, XXVI, 9: Stob. Flor. 105, 5. Ζωγράφου fr. III Mein.

60f. Arsen. V, 12: Stob. Flor. 104, 20. Fr. 43 Mullach.

60g. Arsen. V, 13, XXXIV, 65: Stob. Flor. 100, 24. V. Meinekius Com. Gr. Fr. III, p. 316.

60h. Arsen. V, 14: Stob. Flor. 121, 13. Meinekius l. c. IV, p. 450.

61 *Ἀπὸ Δωρίου ἐπὶ Φρύγιον:* ἀπὸ τοῦ ἀνειμένου εἰς τὸ ἐντονώτερον· καὶ ἀπὸ τοῦ ἥττονος εἰς τὸ κρεῖττον.

62 *Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ:* ἐπὶ τῶν τῇ ἀληθείᾳ χρωμένων.

63 *Ἅπας ἐχῖνος τραχύς:* ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων. ἐξαιρέτως δὲ ἐπὶ κακωτικῶν ἢ εὐνούχων.

64 *Ἀπήντησε κακοῦ βολὴ πρὸς ὑπερτάτην ἄτην:* ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

καὶ σεμνός, ἐὰν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων·
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ
εἶναι πίθηκον, ὦ ταλαιπώρου βίου:· Ἀπολλοδώρου.

60i *Ἀποστρέφου τῶν κολάκων* τοὺς ἀπατηλοὺς λόγους. ἐξαμβλύνοντες γὰρ τοὺς ψυχῆς λογισμοὺς οὐ συγχωροῦσι τῶν πραγμάτων τὴν ἀλήθειαν· ἢ γὰρ ἐπαινοῦσι τὰ ψόγου ἄξια ἢ ψέγουσι τὰ ἐπαίνων κρείττονα:. Φίλωνος.

60k *Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας τἄπη.*

63a *Ἅπαν τὸ λυποῦν ἐστὶν ἀνθρώποις νόσος:·* Ἀντιφάνους.

63b *Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται:·* Μενάνδρου.

63c *Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε:.* Ἰσοκράτους.

63d *Ἅπας ὁ ὑπὸ γῆν καὶ ὑπὲρ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος:·* Πλάτωνος.

64a *Ἅπαντ' ἐρίζεις καὶ συνιεῖς οὐδὲ ἕν.*

---

3. ἔφυ] κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων addunt AZ: est Eurip. Phoen. 473. 6. κακῷ τινι ἢ εὐνούχῳ N. 7. κακοῦ] κεραυνοῦ Ds. βουλὴ N. ὑπέρτατον ἄτης Ds. Arsenius IV, 57 proverbium explicatione non addita sic profert: ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην βλάβην. 9. ἂν Stobaeus. 14. ψέγουσι πολλάκις Maximus. 17. ἀνθρώπῳ Stobaeus. 21. πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς Plato. 23. συντεὶς (sic) A, συνιεὶς Stobaeus.

60i. Arsen. V, 15: Maxim. Conf. Serm. XI, p. 567 Combef.

60k. Arsen. V, 16: Stob. Flor. 11, 8. Aeschyli fr. 162 Dindorf. Cf. Apost. III, 62.

61. Arsen. V, 18: Suidas. Usurpat Synes. Encom. Calv. 67 A: οὐ φανοῦμαι στρογγύλλων λογάρια, αὐτὰς δὲ τὰς φάσεις τῶν νοημάτων εἰς μέσον τιθέμενος, μόνον εἰ τῆς γλώττης τὸν τόνον ἀπὸ τῆς διαλέξεως εἰς ἐπιστροφὴν μεθαρμόσαιμι, ἀπὸ Δωρίου φασὶν ἐπὶ Φρύγιον: ad quem locum v. Krabinger 108 et cf. annott. ad App. Provv. I, 38. Ad Philoxenum proverbii originem rettulit Bergleinius de Philox. Cyth. disp. 24.

62. Diog. II, 85: Arsen. IV, 97. Euripides ab Aeschylo colorem duxit: cf. Apost. III, 60k.

63. K in nott. ad Diog. II, 87: Arsen. IV, 72. DV I, 81.

63a. Arsen. IV, 68: Stob. Flor. 99, 31. V. Meinekius Com. Gr. Fr. III, p. 57.

63b. Arsen. IV, 69: Stob. Flor. 3, 11. Menand. fr. inc. 276 Mein.

63c. Arsen. IV, 70: Stob. Flor. 5, 56. Isocr. Nicocl. p. 39.

63d. Arsen. IV, 71. Plat. Legg. V, 728 A.

64. DV I, 57: Arsen. IV, 99.

64a. Arsen. IV, 58: Stob. Flor. 35, 6. 7. Non sunt Philonidis: v.

65 *Ἀπὸ κώπης ἐπὶ βῆμα*: ἐπὶ τῶν ἀπὸ χειρόνων εἰς κρείττονα μεταβιβασθέντων. ἀθρόως καὶ μεγίστοις ἐγχειρούντων.

66 *Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον, καὶ ἡ γνάθος*: ἐπὶ τοῦ μὴ τυχόντος ὧν ἤλπισεν· ἐπὶ γάμου δὲ ἐῤῥέθη μὴ γενομένου.

67 *Ἀπ᾽ οἰνοχοέως σπάσον*: παρόσον οἱ μεθύοντες ἀληθεύουσιν.

γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.
οὐκ ἄν τις εἴπῃ πολλὰ θαυμασθήσεται·
ὁ μικρὰ δ᾽ εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα:. Φιλωνίδου.

64b *Ἅπαντ᾽ ἐν ἀνθρώποισι* γηράσκειν ἔφυ,
καὶ πρὸς τελευτὴν ἔρχεται τὴν τοῦ χρόνου,
πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνον.
αὕτη δ᾽ ὅσφπερ αὔξεται θνητῶν γένει,
τόσφδε μεῖζον γίγνεται καθ᾽ ἡμέραν.

64c *Ἅπαντα τὰ ζῷά* ἐστι μακαριώτατα
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι᾽ αὑτὸν οὐδὲν γίνεται,
ἃ δ᾽ ἡ φύσις δέδωκε ταῦτ᾽ ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ᾽ αὑτῶν ἕτερα προσπορίζομεν,
λυπούμεθ᾽ ἂν πτάρῃ τις, ἂν εἴπῃ κακῶς,
ὀργιζόμεθ᾽, ἂν ἴδοι τις ἐνύπνιον, σφόδρα
φοβούμεθ᾽, ἂν γλαῦξ ἀνακράγῃ, δεδοίκαμεν.
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ᾽ ἐπίθετα τῇ φύσει κακά:· Μενάνδρου.

65a *Ἀπελλῆς ὁ ζωγράφος* ἐρωτηθεὶς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, εἶπεν, Οὐχ ἕστηκε γάρ.

---

2. ἀθρόως καὶ] scribe: λέγεται δὲ καὶ ἐπὶ τῶν ἀθρόως τοῖς. 6. γινομένου N. 7. χοέως Ds, οἰνοχέως Z. 15. γένος Stobaeus. 16. μείζων idem. 17. ζῷ᾽ ἔστι idem. μακαριώτερα Grotius. 21. γίγνεται Stobaeus. 22. δέδωκεν αὐτὰ ταῦτ᾽ Meinekius. 24. αὑτῶν idem. 26. ἴδῃ Stobaeus: ὀργιζόμεσθ᾽, ἐὰν ἴδῃ τις ἐνύπνιον φοβούμεθ᾽ Meinekius.

Hanovius Exercitt. in Com. Gr. I, 18. Meinekius Com. Gr. Fr. IV, p. 690.

64b. Arsen. IV, 59. VII, 39. Stob. Flor. 32, 6, ubi Theodectae tragico adscribitur.

64c. Arsen. IV, 60. XIII, 86: Stob. Flor. 98, 8. Menand. fr. inc. 5 Mein.

65. Diog. I, 98 ibiq. KB, DV I, 74: Arsen. IV, 100.

65a. Arsen. V, 1: Stob. Flor. 105, 60.

66. K in nott. ad Greg. Cypr. P I, 80: Arsen. V, 2. Greg. Cypr. M I, 77.

67. Diog. II, 83b: Arsen. V, 3. Cf. Apost. VII, 80.

68 ***Ἀπόπληκτος ἄνθρωπος:*** *Μάρκος Ἀντωνίνου ἀδελφὸς βασιλέως Ῥωμαίων ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν ἀναπνοήν· ὃ δὴ πάθος ἀποπληξία καλεῖται καὶ ἀπόπληκτος ἄνθρωπος ὁ πεπονθώς.*

69 ***Ἀποτίσεις χοῖρε τὰ γίγαρτα:*** *οἷον ὧν κατέφαγες ἀποδώσεις πλείω.*

Τὸ ᾱ μετὰ τοῦ ῥ.

70 ***Ἀράβιος ἄγγελος:*** *Μένανδρος ἐν Ἀνατιθεμένῃ. ἢ Μεσσήνια παρὰ τὴν παροιμίαν.*

71 ***Ἀράβιος αὐλητής:*** *τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων. τὸ παλαιὸν δέ φασι τοὺς ἐλευθέρους μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον, τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια. ἐφ' ὧν ἐλέχθη·*

Δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται.

καὶ Κάνθαρος Μηδείᾳ·

Κιθαρῳδὸν ἐξεγείρατε Ἀράβιον τὸν χορὸν τοῦτον.

---

1. *ἀπόπληκτος ἄνθρωπος* in Suida desunt. *Μάρκος Βῆρος* Suidas. 2. *βασιλεὺς* idem. 3. *πνοὴν* idem. 4. *ἀπόπλ. κ.*] *ἀποπληξίαν παῖδες ἰατρῶν ὀνομάζουσι* idem. *ἄνθρωπος* in Suida non exstat. 9. *Ἀνατιθεμένη ἢ Μεσσηνίᾳ.* Suidas: v. Meinekius Com. Gr. Fr. IV, p. 80. 10. *παροιμίαν ἀράβιος αὐλητής· Ἀράβιον ἆρ' ἐγὼ κεκίνηκα αὐλόν; τίθεται δὲ κτλ.* Suidas: recte: proverbium enim *Ἀράβιος αὐλητὴς* arctissime cum vv. *παρὰ τὴν παροιμίαν* cohaerere vel *δὲ* post *τίθεται* positum commonstrat. 11. *Ἀράβιος κτλ.*] N cum antecedentibus coniunxit. 14. *ἐλέχθη παροιμία* Suidas. 15. *παύεται*] inserit Suidas: *Καὶ Ἀράβιος αὐλητὴς ἐπὶ τῶν ἀκαταπαύστων.* 17. *ἐξηγείρατ'* Suidas. *τὸν* et *τοῦτον* Meinekius delet.

68. Suid. v. *ἀποπληξία*: Arsen. V, 4.
69. Diog. III, 32: Arsen. V, 5. DV I, 95.
70. Suidas: Arsen. V, 19. Macar. II, 37. Fr. V Mein.
71. Suidas: Arsen. V, 20. Greg. Cypr. M I, 31. Steph. Byz. s. *Ἀραβία: ... ὡς ἡ παροιμία, Ἀράβιος αὐλητής, ἣν ἔταττον περὶ τῶν ἀπαύστως διαλεγομένων. ἢ διὰ τὸ μηδένα Ἑλλήνων διασκευάσασθαι τὴν αὐλητικὴν ὡς οὖσαν βάναυσον καὶ παντελῶς ἀνελεύθερον, ἀλλὰ βαρβάροις αὐληταῖς χρῆσθαι. Διὸ καὶ Ἀράβιος αὐλητής, ὃς Δραχμῆς μὲν κτλ.*: Eustath. ad Dion. Perieg. 939: *ἰστέον δὲ ὅτι ἀπὸ τοῦ τῶν Ἀράβων ἔθνους, μὴ πάνυ ὡς ἔοικεν εὐδοκιμούντων τὰ εἰς ᾠδήν, πεπαροιμίασται τὸ Ἀράβιος αὐλητής, ὃς κατὰ τὴν παροιμίαν Δραχμῆς μὲν ηὔλει, τεττάρων δ' ἐπαύετο. λέγεται δὲ τοῦτο ἐπὶ τῶν ἀπαύστως διαλεγομένων καὶ ἀδολεσχούντων, καὶ μόλις παυομένων τοῦ πολυλογεῖν, ἢ ἐπὶ τῶν ἀμούσων καὶ βαρβάρων ἐν τῷ αὐλεῖν*: Zenob. II, 39. 58. *δραχμῆς — παύεται*] cf. Apost. VI, 86a. *Κάνθαρος*] V. Meinekius Com. Gr. Fr. II, 2, 835.

καὶ πάλιν Μένανδρος Μεσσηνίᾳ,

Ἀράβιον ἄρ' ἐγὼ κεκίνηκα αὐλόν.

72 *Ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο:* συνυπακούεται τό, δεῖ πλεῖν.

73 *Ἀρκάδας μιμούμενος:* ταύτῃ κέχρηται Πλάτων ἐν Πισάνδρῳ. ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων. μαχιμώτατοι μὲν γὰρ ὄντες αὐτοὶ μὲν οὐδέποτε ἰδίαν νίκην ἐνίκησαν, ἄλλοις δὲ αἴτιοι νίκης πολλοῖς ἐγένοντο. καὶ ὁ Πλάτων οὖν διὰ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, *Ἀρκάδας μιμεῖσθαι* ἔφη.

74 *Ἀριστᾶν μὲν πολύ, δειπνεῖν δὲ ὀλίγον:* ἐπὶ τῶν ἐρεθιζόντων ἑαυτοὺς εἰς τὰ ἀφροδίσια.

75 *Ἄργους λόγος:* ἐπὶ τῶν σφόδρα συμφοραῖς ἐνεσχημένων· φόνος γὰρ πολὺς ἐκεῖ συνέβη.

76 *Ἀργεία φορά:* ἐπὶ τῶν συκοφαντούντων· οἱ γὰρ Ἀργεῖοι φιλόδικοι.

77 *Ἄρτι τὴν ἀρετὴν ζητεῖς:* ἐπὶ τῶν παρὰ καιρὸν πονούντων ἐπί τι.

71a *Ἀργυρὸς λιμός:* ἐπὶ τῶν ἐν σιτοδείᾳ καὶ σπάνει τῶν ἀναγκαίων πολὺ ἀργύριον κερδαινόντων.

---

1. Scribe *Μεσσηνίῳ.* 2. *κεκίνηκ' ἄγγελον* Meinekius. 5. *μιμήσομαι* Macarius, A infr. 81a: male: v. Naekius Opusc. I, 210. 6. Scribe *Πεισάνδρῳ.* 7. *μὲν* in Eustathio deest. *ἰδίαν νίκην* N, Eustathius om. 8. *πολλοῖς δὲ ἄλλοις* Eustathius. *νίκης*] *τοῦ νικᾶν* idem. *ἐγένοντο*] *ἦσαν* idem. *καὶ — οὖν*] *ὅθεν καὶ Πλάτων ὁ κωμικὸς* idem. 9. *παρέχειν*] *ἐκδιδόναι* idem. 13. *λόφος* Ds. 14. *ἐνισχομένων* A Ds. 15. *συκοφαντῶν* Ds. WA ab alia manu addunt: *ἢ ἐπὶ τῶν ἀλαζονικῶν.* 19. *ἀργυρὰν* B.

71a. Arsen. V, 21. Cf. nott. ad App. Provv. I, 39.

72. Arsen. V, 57. Respexit Aristot. Problem. 36, 27, p. 943 Bekk.: *ἢ οὐ μόνον τοῦτ' αἴτιον, ἀλλ' ὅτι καὶ μείζων λήγων ὁ νότος γίνεται; διὸ καὶ ἡ παροιμία εἰς αὐτὸν Ἀρχομένου τε νότου. οἱ δὲ μείζους ψυχρότεροι.* Similiter sonat Hesiod. Op. et D. 368.

73. Arsen. V, 43. *Ταύτῃ — Πεισάνδρῳ*] Suidas. De Pisandro cf. Dryander de Antiph. diss. 24. *ἐπὶ κτλ.*] Eustath. ad Hom. Il. *B*, 612, p. 302, 30. *Πλάτων*] v. Meinekius Com. Gr. Fr. I, 162. II, 2, 651. Macar. II, 41.

74. De re cf. ann. ad Diog. VI, 18. VII, 97a.

75. Diog. III, 10: Arsen. V, 22.

76. Diog. II, 79: Arsen. V, 23. De Argivorum mala fama v. App. Provv. III, 35. Macar. II, 38. Meinekius ad Com. Gr. Fr. IV, 427.

77. Arsen. V, 51. Ortum est, ut videtur, e Plut. Apophth. Lacon. 220 D: *Εὐδαμίδας ὁ Ἀρχιδάμου, ἀδελφὸς δὲ Ἄγιδος, ἰδὼν Ξενοκράτην ἐν Ἀκαδημίᾳ πρεσβύτερον ἤδη μετὰ τῶν γνωρίμων φιλοσοφοῦντα, ἐπύθετο τίς ὁ πρεσβύτης· φαμένου δέ τινος ὅτι σοφὸς ἀνὴρ καὶ τῶν ζητούντων τὴν ἀρετήν, Καὶ πότε, ἔφη, χρήσεται, ἐὰν ἄρτι ζητῇ;* cf. ibid. 192 A.

78 ***Ἀρχιδάμιος πόλεμος:*** *ἐπὶ τῶν λίαν πικρῶν πολέμων. Ἀρχιδάμιος δὲ ἐκλήθη ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθάπερ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης καὶ Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ Πυθίου ξενίας.*

79 ***Ἀρκάδιον βλάστημα:*** *ἐπὶ τῶν δειλῶν.*

80 ***Ἀρχὴ Σκυρία:*** *ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, παρόσον πετρώδης καὶ λυπηρά. ἀπὸ Θησέως ἐπιθεμένου τῇ Λυκομήδους ἀρχῇ, ὅτι πειρῶν τὴν γυναῖκα αὐτοῦ κατακρημνισθείη· ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος ἐν τοῖς πρώτοις καιροῖς.*

81 ***Ἄρτι μῦς πίττης γεύεται:*** *ἐπὶ τῶν νεωστὶ πεῖραν τῶν κακῶν λαμβανόντων. τὸ γὰρ ζῷον εἰς πίσσαν πῖπτον δεινὰ πάσχει.*

82 ***Ἁρμοδίου μέλος:*** *ἐπὶ τῶν σκολιῶν· σκολιὰ γὰρ μέλη ᾖδε· ταὐτὸν δὲ καὶ τὸ* ***Ἀδμήτου μέλος.***

77a ***Ἄρχε πρῶτον μαθὼν*** *ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν ἄρχειν ἐπιστήσῃ:. Σόλωνος ἡ ὑποθήκη.*

77b ***Ἀρχὴν δὲ θηρᾶν*** *οὐ πρέπει τἀμήχανα.*

80a ***Ἁρπακτικώτερος*** *γαλῶν.*

81a ***Ἀρκάδας μιμήσομαι:*** *ἐπὶ τῶν ἑτέροις πονούντων.*

---

1. *Ἀρχιδάμειος* WZ. Singulae periodi alio apud Harpocrationem ordine sese excipiunt. 4. *κατ' Αὐτάνδρου* Harpocratio Bekkeri. 8. *καὶ — ἀπὸ*] *καὶ λυπρὰ καὶ διὰ τοῦτο πενιχρὰ ἡ Σκῦρος, οὐδὲν φέρουσα λόγου ἄξιον. οἱ δὲ ἀπὸ* Suidas. *ἐπιθεμένου*] *ὅτι ἐπιθέμενος* Suidas. 11. *ἐν τῷ πρώτῳ περὶ καιρῶν* duce Pearsono Bernhardius ad Suid. l. c. correxit. Scripserat enim Theophrastus duos libros *περὶ καιρῶν*: Diog. Laert. V, 50. 15. *Ἁρμόδιον* A. 16. *ᾔδετο πρὸς Ἁρμόδιον* A.

77a. Arsen. V, 52. 72: Stob. Flor. 46, 22. Cf. Diog. Laert. I, 60, ubi Meibomius non immemor Stobaei fuit.

77b. Arsen. V, 53. Est Soph. Antig. 92.

78. Arsen. V, 54. *Ἀρχιδάμιος δὲ κτλ.*] Harpocr. 37, 1 Bekk.: similia habent Suid. s. v., s. *Βρασίδας*, Lex. Seguer. in Bekk. Anecd. I, 234, 31. 450, 1. Etym. M 254, 40. *Θουκυδίδης*] V, 26. *Ἔφορος*] p. 232 Marx. *Ἀναξιμένης*] p. 287 Geier. *Λυσίας*] p. 144 Hoelscher. De hoc prioris partis belli Peloponnesiaci nomine dixerunt Wesselingius ad Diod. XIII, 9. Kruegerus ad Dionys. Hal. Histor. 246. Ullrichius de Thucyd. hist. Melet. 15 sqq.

79. Diog. III, 42. Cf. Apost. III, 88.

80. Suidas: Arsen. V, 55. Macar. II, 43.

80a. Arsen. V, 56. Cf. Lucian. Piscat. §. 34 et v. Apost. XII, 99a.

81. Diog. II, 64: Arsen. V, 44. DV I, 72. Apost. XI, 89.

81a. Arsen. V, 45: cf. sup. 73. infr. V, 38a. Macar. II, 41.

82. Diog. II, 68: Arsen. V, 42. Macar. II, 32.

83 Ἀρκαδίην μ' αἰτεῖς: ἐπὶ τῶν μεγάλα ἢ ἀσύμφορα αἰτούντων.

84 Ἀρχαιότερος Ἰβύκου: ἐπὶ τῶν εὐήθων. οὗτος γὰρ τυραννεῖν δυνάμενος ἀπεδήμησεν.

85 Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον· φύντα δ' ὅμως ὤκιστα πύλας Ἀΐδαο περῆσαι: ἐπὶ τῶν δυστυχῶς βιούντων.

86 Ἀρχὴ πολέμων: ἐπὶ τῶν ἀδικεῖν ἐπιχειρούντων.

87 Ἀρχαϊκὰ φρονεῖς: ἐπὶ τῶν μωρῶν καὶ εὐήθων.

88 Ἀρκάδιον βλάστημα κατεσπάρη: ἐπὶ τοῦ δειλοῦ.

89 Ἄρκτου παρούσης ἴχνη ζητεῖς: ἐπὶ τῶν ἀδήλων:. Ἡ γὰρ ἄρκτος χειμῶνος μὲν ἀποτίκτει, καὶ φωλεύει τεκοῦσα, καὶ ὑφορωμένη τοὺς κρυμοὺς τὴν ἐπιδημίαν τοῦ ἦρος προσμένει, οὐδ' ἂν πρὶν ἢ πληρωθῆναι τρεῖς μῆνας ἐξαγάγοι τὰ βρέφη. ὅταν δὲ αἴσθηται ἑαυτῆς πεπληρωμένης, ὑφορωμένη τοῦτο ὡς νόσον, ζητεῖ φωλεόν· ἐντεῦθέν τοι κέκληται τῇ ἄρκτῳ φωλεία τὸ πάθος. εἰσέρχεται δὲ οὐδὲ βαδίζουσα, ἀλλ' ὑπτία, ἀφανίζουσα τοῖς θηραταῖς τὰ ἴχνη· ἑαυτὴν γὰρ ἐπισύρει κατὰ νῶτα καὶ παρεισελθοῦσα ἡσυχάζει.

88a Ἄρκευθός ἐστι φυτὸν ἀκανθῶδες, οὗ τὴν ὀδμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται· παρὰ τὴν ἀρὰν, ὅ ἐστι τὴν βλάβην, κεύθειν.

88b Ἀρκοῦ καθ' αὑτοῦ, καὶ μὴ διάρπαζε τὰ πλησίον, μηδ' αὖ προΐεσο τῶν σῶν, ὡς κατὰ τοῦτο μειονεκτῶν:· Ἱέραξ εἶπε.

---

3. *Λιβύκου* l m. 4. *τυραννεῖν* Am om. 6. *ὅμως*] *ὅπως* Ds. 9. *φρονεῖν* Ds. Explicatio Apostolio propria. 11. *προδήλων* N, *δήλων* B, *δειλῶν κυνηγῶν* Ds. 12. *ἡ γὰρ κτλ.*] N om. 15. *ποτὶ τὰ βρέφη* As. 17. *τῇ — φωλεία*] *τὰ ἀρκτοφώλεια* ZW: v. Iacobsius. *εἶτα εἰσέρχεται* As. *οὐδὲ*] *οὐ* As. 19. *τὰ νῶτα* As. 20. Zonaras in fine *ἀράκευθος καὶ ἄρκευθος* addit. 23. *καθ'*] *τοῖς* Stobaeus.

83. Diog. II, 69: Arsen. V, 38. DV I, 73.

84. Diog. II, 71: Arsen. V, 64. Cf. nott. critt. ad Apost. VIII, 53.

85. Diog. III, 4: Arsen. V, 49. Macar. II, 45.

86. Diog. III, 5: Arsen. V, 48. Lucianum Alex. §. 8 hoc proverbium respicere opinatur Erasmus II, 10, 75.

87. Cf. Diog. III, 40. Greg. Cypr. L I, 25: eIm edidit Walzius p. 78.

88. K in nott. ad Diog. III, 42: Arsen. V, 39. Cf. Apost. IIII, 79.

88a. Arsen. V, 40: Zonar. 299: similiter Etym. M. 144, 38. Scholl. ad Apoll. Rhod. IV, 156. Ceterum v. de iunipero Dioscor. I, 103.

88b. Arsen. V, 41: Stob. Flor. 9, 58, p. 249 Gsf.

89. Diog. II, 70: Arsen. V, 50. Greg. Cypr. M I, 54. *ἡ γὰρ κτλ.*] Aelian. N. An. VI, 3.

90 *Ἀρχὴν ἰᾶσθαι πολὺ λώϊον ἢ τελευτήν*: δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ δεινὰ μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα καὶ τελειωθέντα.

91 *Ἀργυραῖς λόγχαις μάχου, καὶ πάντων κρατήσεις*: ἀντὶ τοῦ, διὰ χρυσοῦ πάντα νικήσεις. Φιλίππῳ δὲ ἐδόθη τοῦτο χρησμὸς αἰνιττομένου τοῦ θεοῦ ὡς διὰ προδοσίας πάντων κρατήσει.

92 *Ἄριστα χωλὸς ὑφεῖ*: φασίν, ὅτι αἱ Ἀμάζονες τοὺς γεννωμένους ἄῤῥενας ἐπήρουν· ὅθεν πολεμοῦντες αὐταῖς οἱ Σκύθαι, καὶ βουλόμενοι αὐτὰς ἐξαπατῆσαι, ἔλεγον, ὅτι συνέσονται αὐταῖς ἐς γάμον ἀπήρωτοι καὶ οὐ λελωβημένοι, ὡς τῶν ἐκείνων ἀνδρῶν λελωβημένων ὄντων· ἐξ ὧν ἀποκριθεῖσα ἡ ἡγεμὼν τῶν Ἀμαζόνων, *ἄριστα*, φησί, *χωλὸς ὑφεῖ*· ἀντὶ τοῦ συνουσιάζει.

90a *Ἀρχὴν ἔχων* κόσμεε, αὐτὸς δὲ μὴ μεταβάλλεο.

90b *Ἀρχὴν λαβὼν* μὴ ἐπαίρεο, ὡυτὸς δὲ διατέλεε· οὕτω γὰρ καὶ ἀποθέμενος οὐκ ἀφῃρῆσθαι τοῦ σεμνύνοντός σε νομισθήσεαι:. Εὐσεβίου.

90c *Ἀρθεὶς* δ' ηὖτ' ἀπόλευ κάδος πέτρης,
εἰς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι:. Ἀνακρέοντος.

90d *Ἀργαλέος* γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι:· Ὁμήρου.

90e *Ἀρετῆς ἀτιμαζομένης*, πλοῦτος μοῦνος σπουδαζόμενος καὶ ἐνδυναστεύσας, ὕβριός τε καὶ ὑπερηφανίης ὑπηρέτης, καὶ πάντων κακῶν ὑπ' ἐξουσίης τε καὶ τοῦ ἀνεπιπλήκτου χορηγὸς γίγνεται:. Εὐσεβίου.

---

1. *πολὺ* Alm om. *ἤγε* Harpocratio Bekkeri: *ἢ ε* Suidas. 2. *δεινὰ δεῖ* Harpocratio. 6. *τοῦτο*] *οὗτος ὁ* Ds. 8. *οἰφεῖ* Ds. *ὑφεῖ*] addit u: *ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά*: v. Macarium. 14. *οἰφεῖ* Ds. 15. *Εὐσεβίου* Stobaeus praemittit. 19. *ἀρθεὶς δηὖτ' ἀπὸ λευκάδος Πέτρης ἐς κτλ.* Bergkius. 22. *ἀρετῆς γὰρ* Stobaeus. 24. *ἀνεπιπλήκτου*] *τὰς ἀπεσιώσης ἀρετῆς οὐδεὶς ἀνακαλέσεται* codex A Stobaei addit: v. Gaisfordus.

90. Harpocr. 36, 19: Arsen. V, 58: Suidas: *δηλοῖ δὲ ἡ παροιμία ὡς ἀρχομένου τινὸς καὶ πάθους καὶ ἄλλου τινὸς δεινοῦ μᾶλλον ἔστι κωλύειν, ἢ ἐνακμάσαντος καὶ τελειωθέντος*: Lexic. in Cram. Anecd. Oxon. II, 491, 1. Sententiam illustrat Theogn. 1133: *Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν, Ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ*, ubi v. Welckerus p. 25: add. Ovid. Rem. Am. 91. Pers. Sat. III, 64: *venienti occurrite morbo.*

90a. Arsen. V, 59: Stob. Flor. 46, 38.

90b. Arsen. V, 60: Stob. Flor. 46, 39.

90c. Arsen. V, 61: Hephaest. de Metr. 130 Gsf. Anacr. fr. 17 Bergk.

90d. Arsen. V, 28. 62: Hom. Od. *Δ*, 397.

90e. Arsen. V, 63: Stob. Flor. 43, 142.

91. Diog. II, 81: Arsen. V, 24. Greg. Cypr. M I, 64.

92. Diog. II, 2: Arsen. V, 34. Macar. II, 40.

93 *Ἀργύρου κρῆναι καλοῦσιν:* ἐπὶ τῶν ἀπαιδεύτων, δι' ὑπερβολὴν δὲ πλούτου παῤῥησιαζομένων.

94 *Ἄρνα προβάλλειν:* ἐπὶ τῶν πολεμεῖν αἱρουμένων· οἱ γὰρ πολεμεῖν βουλόμενοι κήρυκα ἔπεμπον ἄρνα ἐπιφερόμενον, ὃς ἠφίει ἔνδον τὸν ἄρνα, μηλόβοτον τὴν πόλιν αὐτῶν ἐκ τούτου δεικνύων ἔσεσθαι.

95 *Ἀρετὴ τριάς, σύνεσις καὶ κράτος καὶ τύχη:* ἐξ ἀποφθέγματος Ἀπολλωνίδου τοῦ Νικαέως. ἄλλοι δέ φασι Δημητρίου τοῦ Σκηψίου.

96 *Ἀρετὴν εἰ μὲν ἔχοις* πάνθ' ἕξεις· κακίαν δὲ, οὐδὲ σεαυτόν.

97 *Ἀρχὴ ἥμισυ παντός:* ἐπὶ τῶν εἴς τι προκοπτόντων.

97a *Ἀρετῆς οἰκεῖον* ἀδικίαν μισεῖν, εὐσέβειαν φυλάσσειν:. Κλεοβούλου.

97b *Ἄρχων* μὲν ἐπιτήδευε πρᾶος εἶναι, ἀρχόμενος δὲ μεγαλόφρων:. Ἰσοκράτους.

97c *Ἄρχεσθαι* μὴ μαθὼν ἄρχειν μὴ ἐπιχείρει:. Κλειτάρχου.

97d *Ἀρχικὸς εἶναι* βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας:. Ἰσοκράτους.

97e *Ἀργὸς γὰρ οὐδεὶς* θεοὺς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων:. Εὐριπίδου.

---

1. *λαλοῦσιν* Ds. 3. προβάλλει Ds. πολεμεῖν] πόλεμον αἴρειν Ds. 5. ὃς — ἄρνα] ὃς ἠφίει ἔνδον ἐνδεικνύμενος Ds. 6. δεικνύων Ds om. 10. εἰ μὲν ἔχοις] μὲν ἔχων Maximus: εἰ μὲν *ἔχεις* A. 13. οἰκεῖον] καὶ κακίας ἀλλότριον Stobaeus addit.

93. Diog. II, 93: Arsen. V, 25. DV I, 82.

94. Diog. II, 96: Arsen. V, 35.

95. Arsen. V, 36: Harpocr. 108, 16: ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται Τριαγμοί, καθὰ Δημήτριος ὁ Σκήψιος καὶ Ἀπολλωνίδης ὁ Νικαεύς. ἀναγράφουσι δὲ ἐν αὐτῷ τάδε· "ἀρχὴ ἥδε μοι τοῦ λόγου. πάντα τρία καὶ πλέον οὐδὲ ἔλασσον. τούτων τῶν τριῶν ἑνὸς ἑκάστου ἀρετὴ τριάς, σύνεσις καὶ κράτος καὶ τύχη". De Ionis libro, ex quo haec descripta, v. Lobeckius Aglaoph. I, 384. Koepkius de Ion. poetae V. et Scr. 79. Nieberdingius de Ion. Vita et Scr. p. 96.

96. Max. Conf. Serm. I, p. 532 Comb., Boisson. Anecd. I, 132. Arsen. V, 67 Clitarcho tribuunt. Respexit fortasse Philo de Vita Mos. T. II, 107 Mang.: ὁ δὲ σπουδαῖος ἄνθρωπος κέκτηται μὲν οὐδὲν κυρίως, ἀλλ' οὐδὲ αὐτόν, τῶν δὲ τοῦ θεοῦ κειμηλίων, καθ' ὅσον ἂν οἷός τε ῇ, μεταλαγχάνει.

97. Diog. II, 97: Arsen. V, 66. DV I, 83.

97a. Arsen. V, 68: Stob. Flor. 3, 79, 1.

97b. Arsen. V, 70: Anton. Mel. 104, p. 174 Fabr., Gramm. in Boiss. Anecd. I, 118, qui Clitarcho dictum adscribunt: nomen auctoris reticet Anon. in Boiss. Anecdd. I, 131.

97c. Arsen. V, 71: Anton. Mel. 104, p. 174 Fabr., Gramm. in Boiss. Anecd. I, 130, ubi editor haec annotavit: »Clitarcho tribuitur haec sententia in cod. 1168, p. 96, 2 et Coislin. 249, p. 1.«

97d. Arsen. V, 73: Anton. Mel. 104, p. 174 Fabr. Isocr. Nicocl. p. 19.

97e. Arsen. V, 75: Stob. Flor.

98 *Ἀρχαιότερα τῆς διφθέρας λέγεις:* ἐπὶ τῶν μακρὰ διηγουμένων. ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ὑπεγράφετο τὰ γινόμενα, παμπάλαιος ἦν.

99 *Ἀρᾶς ἱερόν:* ἐπὶ τῶν πολλὰ ἀρωμένων ἐπὶ χρηστοῖς ἢ φαύλοις.

100 *Ἀρετῆς τὸ βάρβαρον οὐ ξυνίησιν:* ἐπὶ τῶν ἀπαιδεύτων.

1 *Ἀρχὴ ἄνδρα δείκνυσιν:* ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιεικῶν δοκούντων, ἐν αὐτῇ δὲ κακῶν φαινομένων. Θεόφραστος ἐν τῷ παροιμιῶν· ἄλλοι δέ φασιν ἀπόφθεγμα εἶναι Σόλωνος.

2 *Ἀρχιλόχου πατρίς:* ἐπὶ τῶν λοιδορούντων· τοιοῦτος γὰρ Ἀρχίλοχος.

3 *Ἄρχων ἄκουε καὶ δικαίως κἀδίκως:* ἐκ τῶν τοῦ Σόλωνος ἐλεγείων παραινετική.

4 *Ἀργούντων χορός:* ἐπὶ τῶν κακὰ ποιούντων.

5 *Ἀρίγνωτος σμάραγδος ἐν μὲν τῷ φάει σκοτεινός:* πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτούς, ὅπου οὐ χρή.

6 *Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν:* εἰς ἀπαιδεύτους ἂν ῥηθείη.

7 *Ἄρεος νεοττόν:* ἐπὶ τῶν φιλοπολέμων.

100a *Ἀρεοπαγίτης:* ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων.

---

1. *μακρὰ*] *μωρὰ* Gregorius. 2. *ἐπεγράφετο* idem. 4. *ἢ ἐπὶ* Ds. 6. *συνίησιν* A. 12. *πατρίς*] *πατρὸς* I, *πατεῖς* Z: *πατρὶς* etiam Diogeniano reddendum est. 14. *ἀρχῶν* Z: recte: v. nott. ad Diog. l. c. et Schneidewinus Delect. Poett. Eleg. p. 468. *δίκαια κἄδικα* Meinekius Com. Gr. Fr. IV, p. 713. 19. *ἀγορεύειν*] *καὶ σιγᾶν ἀεί· τοῦτο γὰρ οὐ δυνατόν* Ab ex Theognide 626 adiecit. 20. *εἰς — ῥηθείη*] *φανερόν* Ds. Explicationem Ab om. 21. *νεοττός* Macarius.

30, 12. Eur. Elect. 80, ubi v. Barnesium.

98. K in nott. ad Diog. III, 2: Arsen. V, 65. Greg. Cypr. L I, 58.

99. Diog. II, 92: Arsen. V, 26. Macar. II, 33.

100. Arsen. V, 29.

100a. Arsen. V, 30: Diog. II, 91. Macar. II, 30.

1. Arsen. V, 47. *Ἀρχὴ — φαινομένων*] K in nott. ad Diog. II, 94. *Θεόφραστος κτλ.*] e corrupto Harpocrationis codice fluxisse videntur: v. Harpocr. 36, 15: *Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραστος δ' ἐν τῷ παροιμιῶν καὶ Ἀριστοτέλης Βίαντος.* Cf. Apost. XVIII, 27 et annott. ad Greg. Cypr. M I, 80.

2. Diog. II, 95.

3. Diog. II, 99: Arsen. V, 69.

4. K in nott. ad Diog. III, 6: Arsen. V, 31. Greg. Cypr. L I, 60.

5. Macar. II, 34: Arsen. V, 32.

6. Diog. II, 90: Arsen. V, 27. 37. Greg. Cypr. M I, 82.

7. Arsen. V, 33. Macar. II, 31.

8 *Ἀρότρῳ ἀκοντίζεις:* ἐπὶ τῶν ἀδιασκέπτως τι ποιούντων καὶ τὸ κατόπιν μὴ προορωμένων.

Τὸ ᾱ μετὰ τοῦ σ̄.

9 *Ἀσκὸν δαίρεις:* ἐπὶ τῶν ἀνοήτως τι ποιούντων.

10 *Ἀσκῷ μορμύττεσθαι:* ἐπὶ τῶν μάτην φοβούντων.

11 *Ἀσκὸν βαπτίζεις πνεύματος πλήρη:* ἐπὶ τῶν ἀδυνάτων.

11a *Ἀσκὸν λήψεται ὁ πρότερον πιών:* ἐπὶ τῶν γενναίως ὑπὲρ ἄλλων ἀγωνιζομένων.

11b *Ἀσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος.*

11c *Ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς.*
ἔχων γὰρ ἄμφω ταῦτα, μακάριός θ' ἅμα
κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται.

11d *Ἀσελγέστερος ὄνου.*

11e *Ἀσελγής ἐστιν ὁ ἀνήρ:* ἀντὶ τοῦ ἄγαν ὄζει. παρῆκται δέ, ὡς φασίν, ἐξ αἰτίας τοιαύτης· Σέλγος πόλις ἐστὶ τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν· κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν.

---

1. ἀπεριοσκέπτως Ds, ubi v. nott. criticas. 5. μορμολύττεσθαι Ds. 11. αἴτει Welckerus Trag. Gr. III, 1064. 13. δυνήσεται] Καρκίνου addit Ab, Καρκίνου Τυρεὺς Ac: Καρκίνου Τηρεύς Stobaeus. 16. Σέλγη Suidas. 17. ἔζων] quod scripserat Arsenius ὄζων, ipse postea in ἔζων mutavit: ὤζων a, ὦζον m W.

8. Diog. III, 33: Arsen. V, 46. Greg. Cypr. M I, 84.

9. Diog. III, 3: Arsen. V, 76. DV I, 84.

10. Diog. II, 65: a p. 81 Walz. Macar. II, 52.

11. Arsen. V, 77. Erasmus III, 4, 32 natum esse suspicatur ex Sibyllae de civitate Attica oraculo, quod exstat apud Plut. Thes. 24: ἀσκὸς βαπτίζῃ, δῦναι δέ τοι οὐ θέμις ἐστί, de quo dixit Lobeckius Aglaoph. II, 966.

11a. Arsen. V, 78. Aristoph. Acharn. 1000: κατὰ τὰ πάτρια τοὺς χόας πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ Πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται, ad quem locum Scholiasta haec annotat: ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν χοῶν ἑορτῇ, ἐφ' οὗ τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, τὸν πρῶτον πιόντα δὲ ὡς νικήσαντα λαμβάνειν ἀσκόν: eadem apud Suid. v. ἀσκὸς Κτησιφῶντος leguntur. Corrupte autem Hesych.: Ἀσκὸν λήψεται: ἀσκὸς νικητήριον ἐτίθετο. καὶ μετὰ σάλπιγγος ἔπινον. νικητήριον στέφανον.

11b. Arsen. V, 79: Hom. Od. Λ, 61.

11c. Arsen. V, 80. VIII, 50. XXV, 87: Stob. Flor. 103, 3.

11d. Arsen. V, 81. Cf. Luciani Piscat. 34.

11e. Arsen. V, 82. παρῆκται δὲ κτλ.] Suid. v. ἀσέλγεια. Bekk. An. I, 451, 6: docte Eustath. ad Dionys. Perieg. 858: ἱστορεῖται δὲ καὶ πάνυ ποτὲ τὴν πόλιν ταύτην εὐνομηθῆναι, Λακώνων ὡς εἴρηται μετοικησάντων εἰς αὐτήν· ὅθεν καὶ ἀσελγεῖς φασι κατὰ στέρησιν καλεῖσθαι τοὺς αἰσχροὺς καὶ οὐ ζῶντας εὐνόμως μηδὲ ἐοικότας τοῖς Σελγεῦσι κατὰ ἤθους χρηστότητα. καίτοι ἄλλο τὸ ἀνάπαλιν φαυλοτάτους τοὺς ἐκεῖ

12 *Ἄστροις σημαίνεσθαι:* ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων.

13 *Ἀστραπὴ ἐκ πυελίου:* ἐπὶ τῶν ἀδυνάτων καὶ εὐτελῶν· ἡ γὰρ ἐξ ὑδάτων ἢ ἀγγείων ἀστραπὴ ἐν τοῖς τοίχοις γινομένη οὐδὲν δύναται.

14 *Ἀσπίδος δῆγμα:* ἐπὶ τῶν ἀνιάτων:. *Ἀσπίδος ἀκούω* μόνον δῆγμα ἀνίατον εἶναι καὶ ἐπικουρίας κρεῖττον. καὶ μισεῖν ἄξιον τὸ ζῷον τῆς εὐκληρίας τῆς εἰς τὸ κακόν· ἀλλὰ καὶ τούτου θηρίον μιαρώτερον γυνὴ φαρμακίς, οἵαν ἀκούομεν καὶ τὴν Μήδειαν καὶ τὴν Κίρκην· τὰ μὲν γὰρ τῶν ἀσπίδων φάρμακα καὶ δήγματος ἔργα ἐστί, τὰ δὲ ἐκείνων ἀναιρεῖν καὶ ἐκ μόνης τῆς ἀφῆς φασίν:. *Ἔνθεν τοι καὶ* οἱ βασιλεῖς τῶν Αἰγυπτίων ἐπὶ τῶν διαδημάτων ἐφόρουν πεποικιλμένας ἀσπίδας, τῆς ἀρχῆς αἰνιττόμενοι τὸ ἀκίνητον. οἱ δηχθέντες δὲ ὑπὸ ἀσπίδος οὐ περαιτέρω βιοῦσι τετάρτης ὥρας· πνιγμὸς δὲ αὐτοὺς καὶ σπασμὸς διώκει καὶ λυγμός. τῆς δ' ἀσπίδος φασὶ τὸν ἰχνεύμονα τὰ ᾠὰ ἀφανίζειν, οἱονεὶ τοῖς ἑαυτῶν παισὶν

12a Πλάτωνος ἐπίγραμμα εἰς Φαῖδρον.
Ἀστέρας εἰςαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός· ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

12b Ἄλλο. τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.
Ἀστὴρ μὴν πρὶν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος·
νῦν δὲ θανὼν λάμπεις, ἕσπερος ἐν φθιμένοις.

13a *Ἀσύνετος, ὅστις* ἐν φόβῳ μὲν ἀσθενής,
λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα:. Εὐριπίδου.

---

9. *μιαρώτερον καὶ ἀφυλακτότερον* As. 13. *τοὺς βασιλεῖς ἀκούω* As. 14. *φορεῖν* As. 15. *αἰνιττομένους* As. *ἀνίκητον δὴ ἐκ τῆς τοῦ ζῴου μορφῆς τοῦ προειρημένου* As, in quo hic nonnulla de aspidis natura adiecta sunt. *ὑπ' ἀσπίδων* As. 17. *λυγμός, ὡς φασίν· Ἀκούω δὲ τὸν ἰχνεύμονα τῆς ἀσπίδος τὰ* As. 18. *ἑαυτοῦ* As. 21. *βλέπων* Schneidewinus. 26. *Εὐριπίδου Τημενίσιν* Stobaeus.

ἱστοροῦσιν, ὅθεν κατ' ἐπίτασιν λέγεσθαι τὴν ἀσέλγειαν ἐπὶ τῶν οὐ καθαρῶς ζώντων, ἀλλὰ τοῖς Σελγεῦσιν ἐοικότων. κρείττων δὲ ἡ πρώτη ἐπιβολὴ τῆς ἐτυμότητος. τάχα γὰρ οὐκ ἂν ὁ Διονύσιος μεγαλώνυμον εἶπε τὴν Σέλγην, εἰ φαύλους τοὺς πολίτας ἔτρεφεν: add. annott. ad Diog. V, 61. De urbe v. O. Muellerus Dor. I, 125. Bernhardius ad Dionys. Perieg. 860.

12. Diog. II, 66: Arsen. V, 83. Macar. II, 50.
12a. Arsen. V, 84: Diog. Laert. III, 29. Anth. Palat. VII, 669.
12b. Arsen. V, 85: Diog. Laert. III, 29. Anth. Palat. VII, 670.
13. Diog. III, 7: Arsen. V, 86.
13a. Arsen. V, 87: Stob. Flor. 4, 10. Eurip. Tem. fr. 16 Matth.
14. Arsen. V, 88. *Ἀσπίδος — ἀνιάτων*] potest comparari versus

ὑπεξαίροντα τοὺς μέλλοντας ἀντιπάλους:· Ὁ δὲ ἰχνεύμων ὁ αὐτὸς ἄρα καὶ ἄῤῥην καὶ θῆλυς ἦν, μετειληχὼς καὶ τῆςδε τῆς φύσεως καὶ τῆςδε, καὶ σπείρειν τε καὶ τίκτειν τοῖς αὐτοῖς ἡ φύσις ἔδωκεν. ἀποκρίνονται δὲ εἰς τὸ ἀτιμότερον γένος οἱ ἡττηθέντες μετὰ τὴν μάχην· οἱ γὰρ κρατήσαντες ἀναβαίνουσι τοὺς ἡττημένους καὶ εἰς αὐτοὺς σπείρουσιν. οἱ δὲ ἆθλον τῆς ἥττης φέρονται, ὠδῖνάς τε ὑπομεῖναι, καὶ τέως ἀντὶ πατέρων γενέσθαι μητέρας· τοῖς γε μὴν πολεμιωτάτοις ἀνθρώπῳ ζῴοις, ἀσπίδι καὶ κροκοδείλῳ, ἔχθιστον ὁ ἰχνεύμων:· *Λίβυσαν* δὲ ἄρα ἀσπίδα καὶ ἀποφαίνειν τυφλοὺς τῷ φυσήματι ἀκούω.

14a *Ἀσφαλὴς ἐστ'* ἀμείνων ἢ θρασὺς στρατηλάτης:. Εὐριπίδου.

14b *Ἀσφαλὴς πᾶς τόπος* τῷ ζῶντι μετὰ δικαιοσύνης.

14c *Ἀσφόδελος σκιλλῶδες* φυτόν, φύλλα ἔχον μακρὸν καὶ ἀνθερικὸν ἐσθιόμενον. καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον, καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην οὐ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσιν. προπαροξυτόνως δὲ ἀναγνωστέον. καὶ Ἡσίοδος·

οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

τὸν δὲ τόπον ἐν ᾧ φύεται, ὀξυτονητέον, ὡς παρ' Ὁμήρῳ·

κατ' ἀσφοδελὸν λειμῶνα.

14d *Ἀστοῖσιν δ'* οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστόν, Πολυπαίδη. οὐδὲ γὰρ ὁ Ζεύς
οὔθ' ὕων πάντας ἀνδάνει οὔτ' ἀνέχων.
σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομ', οἷάπερ αὐτὸς
Κύρν' ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον:. Θεόγνιδος.

---

4. δέδωκεν As. δὲ A om. 8. καὶ ὑπὲρ τοῦ τέως As. μητέρες As. 10. *Λίβυσσαν* As. 11. ἀκούω] λέγει τις λόγος As. 12. ἀσφαλὴς γάρ ἐστ' Euripides. 14. μακρὰ Suidas. 17. οὐ] καὶ Suidas. 18. καὶ Ἡσίοδος Suidas om. 20. ὡς καὶ Suidas. 23. *Πολυπαΐδη* Theognis. 24. πάντεσσ' idem. 25. ὑποθήσομαι idem.

inter Menand. Monost. 261 positus: ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή: similiter σκορπίου δῆγμα Eusebius dixit apud Ioann. Damasc. Sacr. Parall. 422 B, T. II Paris., ἰοβόλων δήγματα Socrates apud Max. Conf. Serm. 44, p. 640 Combef. *Ἀσπίδος — φασίν*] Aelian. N. An. I, 54. *ἔνθεν — ἀντιπάλους*] id. ib. VI, 38. *ὁ δὲ — ἰχνεύμων*] id. ib. X, 47. *Λίβυσσαν κτλ.*] id. ib. VI, 38 fin.

14a. Arsen. V, 88: Eurip. Phoeniss. 599.

14b. Arsen. V, 89: Anton. Meliss. p. 61 Fabr. Epicteti fr. 102 Schweigh.

14c. Arsen. V, 90: Suidas s. ἀσφόδελος: eadem in Bekk. Anecdd. I, 457, 5 et Crameri Anecd. Pariss. I, 398, 2. IV, 166, 24 leguntur. De asphodelo post Creuzerum Melet. I, 90 et Loczynskium ad Hermippi Rell. p. 71 sq. docte Goettlingius ad Hesiod. Op. et D. 41 egit. *Οὐδ' ὅσον*] Hesiod. *Ἔ. κ. Ἡ.* 41: cf. nott. ad Macar. VI, 77. *Ὁμήρῳ*] Od. *Λ*, 539.

14d. Arsen. V, 91: Theogn. 24 sqq.

Τὸ ᾱ μετὰ τοῦ τ̃.

15 *Ἀτρέως ὄμματα:* οἷον ἄτρεπτοι καὶ σκληροί. εἴρηται δὲ ἀπὸ τῆς Ἀτρέως παρανομίας· ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέστην μοιχεύειν τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας δειπνοῦντι παρέθηκε τῷ πατρί, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ ἄκρα παραθεῖναι.

16 *Ἄτεκτος ἄνθρωπος παρηγορήμασιν:* ὁ μὴ βρεχόμενος μηδὲ ἱέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος διαβρέχεσθαι.

17 *Ἀττικὸν βλέπος:* ἐπὶ τῶν κοσμίων καὶ σοφῶν· οἱ γὰρ Ἀττικοὶ ὑπέρσοφον καὶ ἔννουν εἶχον τὸ βλέμμα.

18 *Ἀτενὲς ὁρᾷς:* ἐπὶ τῶν φιληδούντων. ὥσπερ· *Αἲξ εἰς θάλασσαν.*

19 *Ἄτρωτος ὑπάρχεις ὡς ὁ Καινεύς:* λέγουσι γὰρ ὅτι οὗτος ἄτρωτος ἦν· ὃς δ' ὑπολαμβάνει ἄτρωτον ἀπὸ σιδήρου ἄνθρωπον, εὐήθης ἐστίν· ἡ δὲ ἀλήθεια ἔχει οὕτως·

16a *Ἀτὰρ θεὸς ἄλλοτ' ἐπ' ἄλλῳ Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ.*

---

2. ἄτρεπτα καὶ σκληρά Suidas. 4. μοιχεύειν *Ἀερόπην* τὴν Suidas. 5. συγκόψας *καὶ ἑψήσας* AZ Suidas. 8. *ἄτεγκτος* Suidas. 9. μήτε προσιέμενος Suidas. 11. βρέχεσθαι idem. 13. AZ post v. βλέμμα pergunt: ὁ δέ γε Ἀριστοφάνης ἐν Νεφέλαις [1176] ἐπὶ τῶν ἀναιδῶν ἐκλαμβάνει τὸ Ἀττικὸν βλέπος, σωφρονίζων τοὺς Ἀθηναίους ἀσχημονοῦντας τὸ τοτε: cf. Scholl. ad Arist. l. c. 14. φιληδούντων *τισίν* A Ds. 15. *τὴν* θάλασσαν Ds. 16. λέγουσι — οὗτος] Καινέα φασὶν ὅτι Ps. 19. ἄλλοτε ἄλλῳ Homerus.

15. Suidas: Arsen. V, 92. Macar. II, 53.

16. Suidas: Arsen. V, 98: Bekk. Anecd. I, 458, 18. De voce ἄτεγκτος v. Etym. M. 163, 33. Hesych. s. v. ibiq. Albertium, Wyttenbachium ad Plut. de recta aud. rat. 44 A. »Adde Plut. Alcib. 24: ταῖς δὲ καθ' ἡμέραν ἐν τῷ συσχολάζειν καὶ συνδιαιτᾶσθαι χάρισιν οὐδὲν ἦν ἄτεγκτον ἦθος οὐδὲ φύσις ἀνάλωτος: Callistr. Stat. 7: καὶ λεόντων ἄτεγκτος φύσις πρὸς τὴν ἁρμονίαν κατηυνάζετο:« Walzius. Proverbium ex Aeschylo manasse monstrat Phrynichus Bekk. 6, 13: ἄτεγκτος παρηγορήμασιν: Αἰσχύλος: fr. 405 Dindf.

16a. Arsen. V, 99: Hom. Od. Δ, 236 sq.

17. Arsen. V, 96. Apostolii explanatio ab recentioris aevi scriptorum usu profecta est, apud quos ἀττικὸν βλέμμα et similia de decantata Atticorum humanitate et doctrina poni solebant: Philostr. Imag. I, 16, p. 787 Ol.: αὐτὸς δὲ ὁ Δαίδαλος ἀττικίζει μὲν καὶ τὸ εἶδος, *ὑπέρσοφόν τι καὶ ἔννουν βλέπων·* ἀττικίζει δὲ καὶ αὐτὸ τὸ σχῆμα.

18. Diog. III, 8: Arsen. V, 95. DV I, 87.

19. Arsen. V, 93. λέγουσι κτλ.] Palaeph. Incred. 11.

Καινεὺς ἦν Θετταλὸς τῷ γένει, ἀγαθὸς τὰ πολεμικὰ καὶ ἐπιστήμων τοῦ μάχεσθαι· γενόμενος δὲ ἐν πολλαῖς μάχαις οὐδέποτε ἐτρώθη, οὔτε Λαπίθαις συμμαχῶν πρὸς τῶν Κενταύρων ἀπέθανεν, ἀλλὰ συλλαβόντες αὐτὸν μόνον κατέχωσαν, καὶ οὕτως ἐτελεύτησεν. ἔλεγον οὖν οἱ Λαπίθαι ἀνελόμενοι τὸν νεκρὸν αὐτοῦ καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα, Καινεὺς τόν γε ἄλλον βίον ἄτρωτος ἦν καὶ ἀπέθανεν ἄτρωτος.

20 *Ἀττικὸς εἰς λιμένα: ἐπὶ τῶν μετὰ σπουδῆς ὃ ἐπίστανται ποιούντων· οἱ γὰρ Ἀττικοὶ μέλλοντες ἀπαίρειν πρὸς μάχην καὶ τοῦ λιμένος ἐξιόντες, μετὰ σφοδρότητος ἤλαυνον πρὸς ἐπίδειξιν τῶν οἰκείων ὁρώντων.*

21 *Ἀττικοὶ τὰ Ἐλευσίνια: ἐπὶ τῶν τὰ ἀπόῤῥητα μυουμένων· οἱ γὰρ Ἀττικοὶ ἐν Ἐλευσῖνι ἐπετέλουν τὰ τῆς Δήμητρος μυστήρια.*

22 *Ἀτὰρ ἡ πάγη ἔοικε λήψεσθαι πάγην: ὡς μοιχὸς ἐπὶ μοιχῷ.*

23 *Ἄτλας τὸν οὐρανόν: ἐπὶ τῶν μεγάλοις τισὶ πράγμασιν ἐπιβαλλομένων καὶ κακοῖς περιπιπτόντων.*

19a *Ἃ τῇ λεοντῇ μὴ σθένεις, τὴν ἀλωπεκῆν πρόσαψον: ἐὰν μὴ φανερῶς δύνῃ, φησίν, ἀμυνόμενος βλάψαι, τῇ πανουργίᾳ χρῆσαι.*

23a *Ἀτύφου μοίρας εἷς: ἀντὶ τοῦ ἀβλαβοῦς. Ὅθεν καὶ ὁ Πλάτων ἄτυφόν φησι τὸν ἀβλαβῆ ἐν Φαίδωνι· ἐπεὶ τὸ τύφον βλάπτει. καὶ ἐπιτεθυμμένον τὸ καῖον, ὅπερ ἀπὸ τοῦ θύπτω τὸ ἐπικαίω λέγεται. ἐξ οὗ καὶ θυμάλωπες οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, ἤγουν οἱ ἡμίκαυτοι.*

23b *Ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς σου εὐφράνῃς:. Πλουτάρχου.*

---

7. τόν τε ἄλλον Ps. 16. αὐτὰρ Gregorius, a quo explicatio nulla adiecta. 18. οὐρανὸν] λείπει ὑπεδέξω Suidas addit. 19. κακῷ τινι Ds. περιπιπτόντων] ὅμως ἀνεχομένων addunt AZ. 24. Φαίδωνι] debebat Φαίδρῳ: v. Plat. Phaedr. 230 A.

19a. Arsen. V, 94: cf. Apost. III, 24.

20. Diog. I, 66: Arsen. V, 96: Apost. VI, 70d. Macar. II, 55.

21. Diog. I, 51: Arsen VI, 1. Macar. II, 54.

22. Greg. Cypr. M I, 85: Arsen. V, 100.

23. Diog. II, 67: Arsen. VI, 9. Macar. II, 57.

23a. Arsen. VI, 10: transcripta videntur e Suida sive e Lex. Seguer. 462, 8. De v. ἄτυφος Ruhnkenius ad Tim. Lex. V. Plat. 54 exposuit.

23b. Arsen. VI, 11: Maxim. Conf. Serm. 18, p. 589 Comb.: Plut. fr. ξέ Wyttenb.

24 *Ἀτρέμας βοῦς*: ἐπὶ τῶν βραδέως συντελούντων.

25 *Ἀττικὴ πίστις*: ἐπὶ τῶν πιθανῶν καὶ πιστῶν καὶ εὐόρκων· ἱδρύσαντο γὰρ οἱ Ἀττικοὶ ἱερὸν Πίστεως.

26 *Ἀττικὸς μάρτυρ*: ἐπὶ τοῦ πιστοτάτου καὶ ἀληθεστάτου.

27 *Ἀττικὸς ὑπέχει τὴν χεῖρα ἀποθνήσκων*: ἐπὶ τῶν φιλαργύρων· φιλοκερδεῖς γὰρ οἱ Ἀθηναῖοι.

28 *Ἀτὰρ ἐκ καθαρῶν ἀχύρων τετρύγηκας σῖτον*: ἐπὶ τῶν μηδενὸς ἀγαθοῦ μεταλαγχανόντων.

23c *Ἀτυχοῦντι μὴ ἐπιγέλα*· κοινὴ γὰρ ἡ τύχη:· Χίλωνος.

23d *Ἃ τοῖς ἄλλοισιν* ὡς φαῦλα ἐπιτιμᾷς, ταῦτα πρότερον αὐτὸς ποιέειν φυλάσσεο:. Εὐσεβίου.

23e *Ἀτραπὸν εἰς ἅδεω* ἤνυσα τὴν οὔπω τις ἐναντίον ἦλθεν ὁδίτης:· Φιλήτου.

23f *Ἄτοπόν ἐστι διώκοντα* τὰς τιμὰς φεύγειν τοὺς πόνους, δι᾽ ὧν αἱ τιμαί.

23g *Ἀτέκμαρτος ὁ πᾶς βίος*, οὐδὲν ἔχων πιστόν, πλανᾶται συντυχίαις· ἐλπὶς δὲ φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδεὶς ὁ θάνατος ὅπῃ φέρεται· θεὸς δὲ πάντας ἐν κινδύνοις θνατοὺς κυβερνᾷ· ἀντιπνεῖ δὲ πολλάκις ἀτυχίας δεινή τις αὔρα.

23h *Ἀτελέστατα καὶ* ἀμήχανα τοὺς θανόντας κλαίειν:· Στησιχόρου.

27a *Ἄττης λόφος*: ἐπὶ τῶν σφόδρα βαρυσυμφορωτάτων.

27b *Ἀτεχνῶς τὸν σωρόν*: ἐπὶ τῶν εὐηθιζομένων.

---

4. μάρτυς Ds, A. 8. *σῖτον τετρύγηκας* Meinekius Com. Gr. Fr. IV, 699. 10. Χείλωνος Stobaeus. 11. πρότερος Stobaeus. 13. *Ἀΐδεω* Stobaeus. 17. ἀτέκμαρτος] Ἑρμολόχου Stobaeus praeponit. ου
μηδὲν A: οὐδὲν Stobaeus. 20. ἀντιπνέει Stobaeus. 22. γὰρ καὶ idem. 24. Scribe *Ἄτης*. 25. πρὸς τὸν Z.

23c. Arsen. VI, 12: Stob. Flor. 112, 11.
23d. Arsen. VI, 13. Stob. Flor. 46, 36.
23e. Arsen. VI, 14: Stob. Flor. 118, 3.
23f. Arsen. VI, 15: Philon. Opp. T. II, 668 Mang.
23g. Arsen. VI, 16: Stob. Flor. 98, 66.
23h. Asrsen. VI, 17: Stob. Flor. 124, 15. Stesich. fr. 48 Bergk.

24. Diog. III, 9: Arsen. VI, 8. Subaudiendum est: movet pedem.
25. Diog. II, 80: Arsen. VI, 3. Macar. II, 60.
26. Diog. III, 11: Arsen. VI, 2. DV I, 86.
27. Diog. III, 12: Arsen. VI, 4.
27a. Arsen. VI, 5: cf. DV I, 85.
27b. Arsen. VI, 6.
28. Diog. III, 13: Arsen. VI, 7.

Τὸ α μετὰ τοῦ υ.

29 *Αὐτὴ νῦν ἡ σοφία ζῇ: ἐπί τινος εὐδαιμονοῦντος.*

30 *Αὕτη μὲν ἡ μύρινθος οὐδὲν ἔσπακεν: ἀπὸ τῶν ἁλιευτῶν εἴρηται τῶν ἀποτυγχανόντων.*

31 *Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας: οἷον ἐπὶ αὐτὰς ἀφῖξαι τὰς θύρας.*

32 *Αὐλὸν σάλπιγγι συγκρίνεις: ἐπὶ τῶν τὰ ἐλάττω τοῖς μείζοσι συγκρινόντων.*

33 *Αὐλητοῦ βίον ζῇς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων.*

34 *Αὐτὸ τοῦτο, ἄχθος νεώς: ἐπὶ τῶν εἰκῇ κειμένων καὶ μηδὲν ἐνεργούντων, μήτε αὐτῶν ἐπὶ σωτηρίᾳ μήτε ἄλλων.*

35 *Αὐτὸς εὗρε τοῦ κακοῦ τὴν πιτύαν: ἤγουν τὴν πηγήν· ἐπὶ τῶν ἑαυτοῖς τὰ κακὰ ἐπισπωμένων.*

31a *Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.*

---

2. *εὐδαιμονοῦντος*] *ἢ εὐδοκιμοῦντος* A addit: *ἢ εὐδοκιμοῦντος· καί, αὐτὴ νῦν ἀνθεῖ ἡ Μοῦσα* u: quae inde a v. *καί* e Suida petita sunt. 3. Scribe *μήρινθος*. Suid. v. *αὕτη: .. παροιμία ἐπὶ τῶν μηδενὸς τυγχανόντων. ἡ μεταφορὰ ἀπὸ τῶν ἁλιέων*: id. s. *μήρινθος: ἐπὶ τῶν ἐπιχειρούντων καὶ ἀποτυγχανόντων*: Lex. Seguerianum: *λεγόμενόν τι ἐπὶ τῶν ἀποτυγχανόντων*: v. nott. ad Diogen. III, 35. *ἀπὸ*] recte defendit Boissonadus ad Aen. Gazam de immort. 303. 4. *ἀποτυγχανόντων*] *μηδὲν ἑλκυσάντων* K. 7. AZ in fine addunt: *ὡς καί, Τὸ ῥόδον ἀνεμώνῃ* [cf. Apost. XV, 27]· *καί, Τῷ τέττιγι μέλιτταν συγκρίνεις*: cf. Diog. l. c. 12. *πητύαν* Suidas. *ἤτοι* idem. 13. *τὰ* Suidas om.

29. Suidas: Arsen. VI, 18: Phrynich. Bekk. Anecd. I, 9, 16. Lex. Seguer. ibid. 464, 19.

30. Arsen. VI, 19, Greg. Cypr. M I, 1.

31. K in nott. ad Diog. III, 38: Arsen. VI, 20. Mant. Provv. s. *αὐτόν*.

31a. Arsen. VI, 21: Hom. Il. *Τ*, 242.

32. Diog. I, 15: Arsen. VI, 22.

33. Diog. III, 14: Arsen. VI, 23. DV I, 92.

34. Arsen. VI, 25. Et proverbium et explanatio hausta videtur ex Maximi Tyr. Diss. XXI, 4, p. 402 R.: *σύ μοι δοκεῖς καὶ νεὼς ἐπιβὰς μὴ ὅτι κυβερνήτης γενέσθαι, ἀλλ' οὐδὲ ἐρέτης, οὐδέ τις τῶν διαθεόντων καὶ ξυνεπιλαμβανόντων τῇ σωτηρίᾳ τῆς νεώς, ἀλλ' οὐδὲ ἐπιβάτης εὐκίνητος, οἷος ἢ καλωδίου ἐπιλαβέσθαι ἢ προσάψασθαι κώπης ἐν γαλήνῃ· ἀλλά τις, τῶν εἰκῇ κειμένων καὶ φερομένων, αὐτὸ τοῦτο, ἄχθος νεώς.* Simile est Homeri *ἐτώσιον ἄχθος ἀρούρης* Od. *Υ*, 379, ad quem locum Eustathius 1896, 43 dicit: *τὸ δὲ ἄχθος ἀρ. παροιμιῶδες μέν ἐστιν, ὑποδηλοῖ δὲ τὸν βουγάϊον*: add. Il. *Σ*, 104 et Schol. ad Platon. 363 Bekk.: *ἀλλὰ δεῖ ἐπιτιμᾶν αὐτοῖς, φησί, τὸ Ὁμηρικὸν „ἐτώσιον ἄχθος.“ τὸ γὰρ φυσικὸν βάρος καλόν, τὸ δὲ ἄλλως καὶ μάταιον κακόν*: Plato enim Theaet. 176 D scripsit; *ἀγάλλονται γὰρ τῷ ὀνείδει καὶ οἴονται ἀκούειν, ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες, οἵους δεῖ ἐν πόλει τοὺς σωθησομένους*: ubi v. Heindorfium.

35. Suidas: Arsen. VI, 26. Mant. Provv. s. *κακοί*. Diog. III, 18.

36 *Αὖθις Πυθῶδε*: ἐπὶ τῶν τὰ αὐτὰ πολλάκις πραττόντων· εἴρηται δὲ ἐπὶ τῶν ἐπιπυνθανομένων, ἢ εἰς τὰ πρῶτα παλινδρομούντων.

37 *Αὐτομάτως ὁ θεὸς ἀνίησι τἀγαθά*: ἐπὶ τῶν ἀπραγμόνως εὐδαιμονούντων.

38 *Αὐτὸς αὑτὸν αὐλεῖ*: ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων τοῖς πράγμασιν, ὁποῖοι εἰσίν.

39 *Αὐτὸς ἔφα*: ἐπὶ τῶν ἀναφερόντων τι ἐπί τινα τῶν ἀξιοπίστων.

40 *Αὐτῷ κανῷ*: ἐπὶ τῶν ἄρτι τι λυμαινομένων. τὰ γὰρ δεῖπνα ἐπὶ τῷ κανῷ κομιζόμενα ἥρπαζόν τινες αὐτῷ κανῷ.

41 *Αὐτοῦ Ῥόδος, αὐτοῦ πήγημα*: ἐπὶ τῶν ἀλαζονευομένων ἐπί τινι. ἀπὸ Ῥοδίου τινὸς ἀλαζονευομένου ἐπὶ τῷ ἅλεσθαι.

42 *Αὐτόθεν κατάβαλε*: ἀντὶ τοῦ, κατάθου ἢ πέπαυσο. ἐπὶ τῶν ἡττωμένων καὶ καταβαλλόντων τὰ ὀφειλόμενα.

43 *Αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσιν*: ἐπὶ τῶν ἀμοιβῆς τυγχανόντων ὧν πράττουσιν.

44 *Αὐτοδίκη*: καί, *αὐτοδοκεῖν*: ἑαυτοῖς τὰ δίκαια ὁρίζειν.

---

1. *αὖθις αὖ Π. ὁδὸς* Ds. *ἐπὶ τῶν τὰ*] *ἀπὸ τῶν τὰ* Finckhius in Bergkii et Caesaris Ephem. 1844, p. 948. 2. *ἢ κτλ.*] Ds non agnoscit. N explicat: *ἐπὶ τῶν τὰ πρῶτα παλινδρομησάντων*. 4. *τὰ ἀγαθὰ* R. *αὐτόματα δ' αὐτοῖς θεὸς ἀνίει τἀγαθά* Meinekius Com. Gr. Fr. II, 1, 110. 10. *ἄρδην τι* Ds. 11. Scribe *ἐπὶ κανῶν*. 12. *πήδημα* NA. 13. *τινι*] *εἴρηται* addit Macarius. *τινὸς*] *πεντάθλου* Macarius. 14. *ἄλλεσθαι* Macarius. 15. *κατάβαλλε* ZW. 19. *αὐτοδίκη*] *ὅταν αὐτὸς δι' ἑαυτοῦ τις δικάζηται καὶ αὐτομαχῇ* inserit Suidas. *αὐτοδοκεῖν*] *αὐτοδικεῖν Δείναρχος ἀντὶ τοῦ* Suidas: *αὐτοτων λεγομένη πρὸς οὓς νικῶσιν, ἀντὶ τοῦ τὸ πρόστιμον κατάθου τὰ περὶ τῆς νίκης*. Usurpat Aristid. Pericl. II, 126, 12. *Αὐτόθεν* illustrat Stallbaumius ad Plat. Phileb. 170: de v. *καταβάλλειν* a Walzio ad h. l. citantur Iulian. Or. III, 126 A. Villoisonus ad Long. 41. Berglerus ad Alciphr. I, 10. Boissonadus ad Philostr. Her. 287.

36. Diog. III, 34: Arsen. VI, 24. Macar. VII, 46.
37. K in nott. ad Diog. III, 15: Arsen. VI, 28.
38. Diog. III, 16: Arsen. VI, 29. Macar. II, 62.
39. K in nott. ad Diog. III, 19: Arsen. VI, 30. DV I, 94.
40. Diog. II, 39: Arsen. VI, 31. Apost. VII, 99,
41. Macar. II, 63: Arsen. VI, 32. Greg. Cypr. M I, 86.
42. Arsen. VI, 33. *ἀντὶ — πέπαυσο*] Phot. Bibl. 424, 4 Bekk.: *κατάβαλε κατάθου, πέπαυσο, σίγα*: similiter Phot. Lex. in v. *κατάβαλε*. Scholl. ad Aristid. 465 Dind., 172 Fromm.: *παροιμία ἐπὶ τῶν νικώντων λεγομένη πρὸς οὓς νικῶσιν, ἀντὶ τοῦ τὸ πρόστιμον κατάθου τὰ περὶ τῆς νίκης*. Usurpat Aristid. Pericl. II, 126, 12. *Αὐτόθεν* illustrat Stallbaumius ad Plat. Phileb. 170: de v. *καταβάλλειν* a Walzio ad h. l. citantur Iulian. Or. III, 126 A. Villoisonus ad Long. 41. Berglerus ad Alciphr. I, 10. Boissonadus ad Philostr. Her. 287.
43. Diog. III, 20: Arsen. VI, 34. Hom. Od. *T*, 43.
44. Suidas: Arsen. VI, 27. *Αὐτοδικεῖν* similiter explicant Harpocr. 40, 12. Cram. Anecd. Oxon. II, 491, 15: recedunt ab Apostolii auctore Scholl. ad Thuc. V, 18, 2. Zonar. Lex. 344.

45 *Αὐτοὶ χελώνας ἐσθίετε:* ἐπὶ τῶν λιμβῶν. ἁλιεῖς γὰρ ἡλίευσαν χελώνην μεγάλην, καὶ ἀνασπάσαντες αὐτὴν ἐμέριζον τὴν παροῦσαν· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν, ἐκάλουν· ὁ δὲ τὸ προκείμενον εἶπεν.

46 *Αὐτὰ δι' αὐτῶν:* ἐπὶ τῶν ἀεὶ τὰ αὐτὰ λεγόντων.

47 *Αὐτῷ κρητῆρι γίνη κακά:* ἐπὶ τῶν οἷς καθ' ἑτέρων βουλεύονται, τούτοις περιπιπτόντων.

48 *Αὐτοβοᾶς ὅμοιος ὢν τῷδε:* Ἀττικῶς πάνυ συμπέπλεκται, οἷον, αὐτὸς ἑαυτῷ μαρτυρεῖς κεκραγώς, ὅμοιος ὢν τῷδε.

49 *Αὐτὸ δείξει:* ἐλλείπει τὸ ἔργον.

Τὸ ᾱ μετὰ τοῦ φ̄.

50 *Ἀφροδίσιον:* ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων, τῶν ἐρωτικῶς παρὰ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων.

51 *Ἄφρων ὃ μὲν ἀπολέσει, ἔχει· ὃ δ' εἰς τὸ δέον ἀναλώσει, οὐκ ἔχει.*

52 *Ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει:* Ὑπερίδης ἐν τῷ περὶ ταρίχου πρώτῳ. ἐπὶ τῶν παριόντων τὰ σπου-

51a *Ἀφέμενος τῆς δρυός, ἕπεται τῶν πυρῶν:* ἐπὶ τῶν ἀπὸ χειρόνων ἐπὶ τὰ βελτίω μεταπεσόντων.

51b *Ἀφόρητος γίνεται κακία ἐπαινουμένη.*

δικεῖν A: αὐτοδοκεῖν Suidae codex Mediceus et Lexicon Seguerianum in Bekk. Anecd. 1, 465, 14.

1. ἐσθίετε] εἴπερ εἴχετε Gregorius addit. ἐπὶ τῶν λ.] Gregorius om. 2. μεγάλην χελώνην A, Gregorius. 6. Αὐτῷ κρητῆρα κίρνης κακοῦ Emperius coniecit. 8. συμπλέκεται AZ. 9. σημαίνει δέ, οἷον Suidas. 10. ὢν] εἶναι Z. Suidas. 14. περὶ τὴν Suidas. 19. παροιμία ἐπὶ Harpocratio. παριέντων idem, παρέντων Suidas. 20. ἕπεται] scribe ἅπτεται.

45. Greg. Cypr. L I 41: Arsen. VI, 35.
46. Diog. III, 21: Arsen. VI, 39.
47. Diog. III, 22: Arsen. VI, 37.
48. Suidas: Arsen. VI, 38. Bekk. Anecd. I, 465, 8: Zonar. Lex. 347.
49. Suidas: Arsen. VI, 39. Greg. Cypr. L II, 92.
50. Suidas: Arsen. VI, 54. Bekk. Anecd. I, 472, 17. Zonar. 356: breviter Hesychius. Simonidem Amorginum de Mul. 48 contulit Gaisfordus ad Suid. l. c.: ὅμως δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον Ἐλθόνθ' ἑταῖρον ὀντινοῦν ἐδέξατο.
51. Arsen. VI, 55. Cf. Apost. V, 88a.
51a. Arsen. VI, 56.
51b. Arsen. VI, 57: Maxim. Conf. Serm. 68, p. 685 Comb. Est Procopii sententia, ut in A. Maii Spicil. Rom. T. VI, 615 traditur.
52. Harpocr. 42, 11: Arsen. VI, 41: Suid. s. ἀφεὶς, Cram. Anecd.

δαιότερα καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δέ εἰσι ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας.

53 *Ἀφ' ἵππων ἐπ' ὄνον: ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς τὰ ἄσεμνα ἡκόντων· οἷον, ἀπὸ γραμματικῆς ἐπὶ ἡνιοχευτικὴν ἢ ἄλλο τι τῶν οὐ σεμνῶν.*

54 *Ἄφθονοι Μουσῶν θύραι: ἐπὶ τῶν ἥκιστα φθονερῶς διακειμένων ἐν λόγοις.*

55 *Ἀφ' ἱερᾶς: ἀπὸ τῶν πεττευόντων παρῆκται· ἐν γὰρ τῇ πεττείᾳ ἐστί τις κύκλος καλούμενος ἱερὸς, ὃν κινοῦσιν ὕστατον.*

56 *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος: ἐπὶ γὰρ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται.*

57 *Ἀφύα ἐς πῦρ: ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων· παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει.*

58 *Ἀφροδίτη καὶ Διόνυσος μετ' ἀλλήλων εἰσί: παρόσον ἡ μία δύναμις τὴν ἑτέραν κινεῖ.*

54a *Ἀφθὰς σοὶ λελάληκεν: Φθὰς καὶ Ἀφθὰς ὁ Ἥφαιστος.*

54b *Ἁ φιλοχρηματία Σπάρταν ἕλοι, ἄλλο δὲ οὐδέν: ἐπὶ τῶν ἐκ παντὸς κερδαίνειν βουλομένων.*

54c *Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,*
ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος:. Ὁμήρου ἡ γνώμη.

54d *Ἄφυκτόν ἐστι τὸ τῆς πεπρωμένης κακόν: Ἀριστοτέλης.*

---

3. *ὄνους* Ds, *ὄνων* A. 8. *μετῆκται* Ds. 9. *κύκλος*] *κύβος* Finckhius in Caesaris et Bergkii Ephem. 1844, p. 948: sed cf. Hesych. s. *ἀφ' ἱερᾶς: οὕτως ἐλέγετο γραμμὴ ἱερὰ, παρὰ τοῖς πεττεύουσιν*, ubi v. Albertium. 13. *λαμβανόντων*] *ἡ παροιμία* Suidas addit. 19. *ἄπαντος* Ds. *βουλομένων*] *πειρωμένων* Ds.

Oxon. II, 491, 25: v. DV I, 88. Dixit de proverbio Hemsterhusius Append. Luc. 54.

53. Diog. I, 96: Arsen. VI, 42. DV I, 56.

54. Diog. III, 23: Arsen. VI, 44. Greg. Cypr. L I, 24. Macar. II, 65.

54a. Arsen. VI, 45: Suid. s. *Φθάς*, s. *Ἀφθάς*. Vulcanum ab Aegyptiis hoc nomine insigniri testis est Suidas: nomen explicare student Iablonskius Opusc. I, 381 et Dutheilius in libro, qui inscribitur *Manuscrits et Extraits de la bibliothèque du Roi* VIII, 99.

54b. Arsen. VI, 46. Diog. II, 36. Apost. VIII, 77. Macar. II, 68.

54c. Arsen. VI, 47: Hom. Il. *I*, 63.

54d. Arsen. VI, 48: Stob. Flor. 118, 22.

55. Diog. III, 36: Arsen. VI, 43: Suidas: *ἀφ' ἱερᾶς: παροιμία· κινήσω τὸν ἀφ' ἱερᾶς. λέγεται δέ τις παρὰ τοῖς πεσσεύουσιν ἱερὰ γραμμή. οὕτως Ἐπίχαρμος*: v. Apost. IX, 80. Adhibuit Phot. Patriarch. Epist. 170: *ἀφ' ἱερᾶς μέν σοι, τὸ παροιμιῶδες, ὁ ἀγών.*

56. Greg. Cypr. L I, 1: Arsen. VI, 49: Apost. XVI, 23.

57. Suidas: Arsen. VI, 52. DV I, 64.

58. Arsen. VI, 50. Attigit Aristot. Probb. 30, 1, p. 953, 30 Bekk.: *καὶ διὰ τοῦτο ὅ τε οἶνος ἀφροδισιαστικοὺς ἀπεργάζεται, καὶ ὀρθῶς*

59 *Ἀφροδίτῃ ὗν τέθυκεν:* ἐπὶ τῶν ἀχαρίστων· τῇ γὰρ Ἀφροδίτῃ ὗς οὐ θύεται διὰ τὸν Ἄδωνιν.

60 *Ἀφύων τιμή:* ἐπὶ τῶν ἐν μικροῖς παρ' ἄλλων τιμωμένων.

61 *Ἀφ' ἑστίας:* ἐπὶ τῶν ἐξ ἀρχῆς τι πραττόντων. Ἰσαῖος

---

5. ἑστίας] μυεῖσθαι Harpocratio, Suidas addunt. ἐπὶ — πραττόντων Harpocratio et Suidas om.

Διόνυσος καὶ Ἀφροδίτη λέγονται μετ' ἀλλήλων εἶναι, καὶ οἱ μελαγχολικοὶ οἱ πλεῖστοι λάγνοι εἰσίν: probat hoc Cornut. de Nat. Deor. 30, p. 182 Os.: κινητικὸν γὰρ πρὸς συνουσίαν ὁ οἶνος, διὰ τοῦτο ἐνίων κοινῇ θυόντων Διονύσῳ καὶ Ἀφροδίτῃ: probantque omnino veteres, qui hoc ipsum Veneris et Bacchi sodalitium saepissime celebravere: sic quantum valeat in amore vinum Euripides declarat Bacch. 772 [v. Apost. XII, 42 f], quocum contendas Ovid. Art. Am. I, 244: *et Venus in vinis ignis in igne fuit:* Plinium in Anth. Lat. I, 23 Burm.: *ardenti Baccho succenditur ignis Amoris, Nam sunt unanimi Bacchus Amorque dei:* Apulei. Met. II, 11, p. 27: *ecce, inquam, Veneris hortator et armiger Liber advenit ultro. Vinum istud sorbeamus hodie omne, quod nobis restinguat pudoris ignaviam et alacrem vigorem libidinis incutiat:* Achill. Tat. II, 3: Ἔρως δὲ καὶ Διόνυσος, δύο βίαιοι θεοί, ψυχὴν κατασχόντες, ἐκμαίνουσιν εἰς ἀναισχυντίαν, ὁ μὲν καίων αὐτὴν τῷ συνήθει πυρί, ὁ δὲ τὸν οἶνον ὑπέκκαυμα φέρων· οἶνος γὰρ ἔρωτος τροφή: alia praebebunt Mitscherlichius ad Hor. Carm. III, 18, 7. Boissonadus ad Constant. Manass. II, 4 et Obbarius ad Horat. Epist. I, 15, 21. Nec vero Bacchum solum, sed etiam Cererem sociam Amori adiungere veteres commendant: Poet. incert. apud Hermiam in Meinekii Com. Gr. Fr. IV, 171: πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται Κύπρις: Diotima apud Apost. VII, 86: Terent. Eunuch. IV, 5, 6: *sine Cerere et Libero friget Venus*, ubi errat Donatus: attestantur idem auctor incertus apud Apost. XII, 2 et Euripidis versus, de quo ex Athen. VI, 270 B haec affero: ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως Οὐκ ἔστι· πεινῶσιν γὰρ ἡ Κύπρις πικρά Ἀχαιός φησιν ἐν Αἴθωνι σατυρικῷ. παρ' οὗ ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη, Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ. πρὸς ὃν ὁ Οὐλπιανὸς ἀεί ποτε διαπολεμῶν ἔφη Πλήρης μὲν λαχάνων ἀγορή, πλήρης δὲ καὶ ἄρτων: cessit versus iste Euripideus teste Scholiasta ad Soph. Antig. 781 in proverbium, qua de causa respexerunt eum Antiphanes Athen. I, 28 F: ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν δὲ τοῖς κακῶς Πράσσουσιν οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς: Liban. Oratt. 63, T. III, 389 R.: εἰ οὖν ἐν πλησμονῇ τοι Κύπρις, ἐν π. δ' οὔ, πόῤῥω τῶν ἀφροδισίων οἱ πλησίον ἀκριβοῦς ὀρχήσεως: Themist. Oratt. 13, 164 B: ἤκουον γὰρ παρὰ τῶν ποιητῶν ὅτι πενίῃ σοφίαν ἔλαχε [DV III, 59] καὶ τίκτει κόρος ὕβριν [Macar. VIII, 27] καὶ πλησμονή τοι Κύπριν, καὶ τοιαῦτα πολλὰ ᾀδόντων, ἡμᾶς πείθοντα τῇ τύχῃ τῇ πολλῇ μὴ συμπεριφέρεσθαι. τὴν ἀρετήν: Gregorius Nazianz. Carm. iamb. 18, 587. Huic doctrinae, quam si cum veteribus ludere vellemus, ex Homero derivaremus: v. Hom. Il. *I*, 705 et intt. ad Petron. Satyr. 82, opposuit sese vir sobrius atque pius Plutarchus in libro de sanit. tuenda 126 C: οὐ γὰρ ἐν πλησμοναῖς Κύπρις, ἀλλὰ μᾶλλον ἐν εὐδίᾳ σαρκὸς καὶ γαλήνῃ.

59. Arsen. VI, 51. DV I, 89.

60. Diog. I, 42: Arsen. VI, 53.

61. K in App. Provv. I, 43 et Harpocr. 42, 15: Arsen. VI, 40. Greg. Cypr. L I, 63. Ἰσαῖος] frag-

ἐν τῷ πρὸς Καλυδῶνα· Ὁ ἀφ' ἑστίας μυούμενος Ἀθηναῖος ἦν πάντως.

62 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων, ὥσανεί, πάνυ μου καταφρονεῖς.

Τὸ ᾱ μετὰ τοῦ χ͂.

63 Ἀχθοφόρος Αἰγύπτιος: ἐπὶ τῶν βαρέα βασταζόντων· πολλαχοῦ γὰρ οἱ ποιηταὶ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους φασίν.

64 Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ: ἀντὶ τοῦ, τῇ ἀνελευθε-

62a Ἀφωνότερος πέρδικος.

62b Ἀφροδίτα τὰ μὲν οὐκ ἔστι μάργος δ' Ἔρως οἷα παίσδα ἄκρ' ἐπ' ἄνθηκα βαίνων, ἃ μή μοι θίγης, τῶ κιπαρίσσω:· Ἀλκμᾶνος.

63a Ἀχαλίνων στομάτων ἀνόμου τ' ἀφροσύνας, τέλος δυςτυχία: δήλη.

64a Ἄχει πέπληγμαι: ἐπὶ τοῦ δυςφοροῦντος.

---

2. πάντως] pergit Harpocratio: καὶ ὁρῶ δὲ Λάκων ἐμυεῖτο, quod καὶ ὄρφ δὲ λαχὼν ἐμυεῖτο scribendum esse Nitzschius de Eleusiniorum ratione publ. disp. 21 suspicatur. 3. Formam explicationis incorruptam servavit Suidas: οἱονεί, πάνυ μου καταφρονεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν ἀφ' ὕψους διαλεγομένων. 11. τὰ Hephaestio om. ἔντι Bergkius. οἷα παῖς παίςδει Hephaestio. 12. ἄνθη καβαίνων idem. κυπαιρίσκω Bergkius.

mentum Boeckhius ad Corp. Inscr. Gr. T. I, p. 44 tractat.

62. K in nott. ad Diog. III, 24: Arsen. VI, 58. Greg. Cypr. L I, 59.

62a. Arsen. VI, 59. Confinia sunt ἀφωνότερος κίχλης: v. nott. ad Zenob. IV, 66: ἀφωνότερος σοφιστῶν apud Lucian. Iov. Trag. §. 14,. ubi v. Reitzius: garrula enim est perdix et ᾠδικὴ audit apud Anon. in Crameri Anecdd. Oxon. III, 168, 1: add. Plut. Symp. Q. VIII, 7, 2, p. 727 D. Ioann. Damasc. Parall. Sacr. T. II, 527: alienum igitur a nostro est proverbium ἀφωνότερος ἰχθύων, de hominibus infacundis aut immodicae taciturnitatis dictum, quo utitur Lucian. Gall. 1. Iov. trag. 35. adv. Indoct. 16.

62b. Arsen. VI, 59: Hephaest. 76 Gsf. Alcman. fr. 22 Bergk.

63. Arsen. VI, 60. Suid. v. ἀχθοφόρον et s. ἄραιτο: .. καὶ παροιμία: οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι. πολλαχοῦ γὰρ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους μέμνηνται: est versus Aristoph. Ran. [1406] 1453, ad quem interpres Graecus adnotat: πολλαχοῦ ὡς ἀχθοφόρων τῶν Αἰγυπτίων μέμνηται. Aegyptiis quanta in lateribus portandis ars fuerit, perspicitur ex picturis in eorum terra repertis, de quibus adeas C. O. Muelleri de Mun. Athen. Comm. 13 et Wieseleri Advers. in Aesch. et Aristoph. 119. Hinc proverbium manavit in Etym. M. 29, 21 receptum: Αἰγύπτιος πλινθοφόρος: παροιμία ἐστίν, ὅτι Αἰγύπτιοι διαβάλλονται ὡς ἀχθοφόροι: v. Arist. Av. 1133 et quae de Cheope Aegyptiorum rege Herod. II, 124 sqq. narrat.

63a. Arsen. VI, 61: Stob. Flor. 36, 13. Est Eurip. Bacch. 385.

64. Suidas: Arsen. VI, 62: Bekk. Anecd. I, 474, 19. Aristophanis Pelargis adscribit Fritzschius Quaest. Aristoph. I, 81.

64a. Arsen. VI, 63. Auctor incert. apud Suid. in v. ἄχος: ἡ δὲ

ρίᾳ καὶ μικρολογίᾳ· τὸν γὰρ ῥύπον ἐπὶ τῶν ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους.

65 *Ἀχρειόγελως ἄνθρωπος*: ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

66 *Ἄχειρ νιφθῆναι βούλεται*: ἐπὶ τῶν ἀδυνάτων.

67 *Ἄχρι κόρου*: ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστι· καί· οὗτος ἄχρι κόρου φενακίζει.

68 *Ἀχνυμένη σκυτάλη*: ἐπὶ τῶν λυπρὰς ἀγγελίας ἀγγελλόντων. ἔθος γὰρ ἐπὶ ξύλου εἱλίσσειν τὸ γραφὲν ἐν σκυτάλῃ καὶ πέμπειν, οἱονεὶ ἀπειλοῦντες οἱ παλαιοὶ οἷς ἐβούλοντο πέμπειν· οἱ δὲ δεχόμενοι ἴσῳ σκυτάλῃ ἀνταπειλοῦντες ἀνεγίνωσκον τὸ γραμματεῖον.

67a *Ἄχρι εἰς τὸ βάραθρον*: ἐπὶ τῶν μέχρι τελευτῆς ἢ καλῶν ἢ κακῶν ἢ εὐγενῶν ἢ δυςγενῶν ὄντων.

68a *Ἀχάριστον εὐεργετεῖν* καὶ νεκρὸν μυρίζειν ἐνὶ σύγκειται.

68b *Ἀψυχότερος λαγωοῦ φεύγοντος*: ἐπὶ τῶν σφόδρα δειλῶν.

---

1. *ἐπὶ τῶν γλίσχρων καὶ ἀνελευθέρων* Suidas. 7. *ἐφενάκιζεν* Suidas. 8. *ἀχνυμένῃ* D. *λυπηρὰς* Ds. 10. *οἱονεὶ — παλαιοὶ*] ita corruptam Diogeniani lectionem Apostolius sibi visus est redintegrasse. V. Diogenianus. 11. *ἴσῃ* Ds: *ἐν ἴσῳ σκυτάλῃ* m. *ἀνειλοῦντες* Walzius coniecit. Exciderunt verba plura. 16. *Πλουτάρχου* Z et Antonius in fine addunt.

σύγκλητος, ὥσπερ ἄχει τινὶ πεπληγμένη, ἐξηπορεῖτο: Aristot. in Schneidewini Philol. I, 26: *θυμὸν ἄχει βεβολημένα.*

65. Suidas: Arsen. VI, 64. Bekk. Anecd. I, 475, 7. Zonar. 361.

66. Arsen. VI, 65.

67. Suidas: Arsen. VI, 66. Zenob. I, 44. Liban. Oratt. T. I, 284, 1 R.: *καὶ ὁ μὲν ὄμβρους ἄχρι κόρου παρέχει τῇ γῇ ψῦχος ἀφελών*: Achill. Tat. I, 6: *καὶ ἀκράτῳ θεάματι καὶ μέχρι κόρου προελθών, ἀπῆλθον μεθύων ἔρωτι.*

67a. Arsen. VI, 67. Coniungitur a serioris aetatis scriptoribus *ἄχρι* cum praepositionibus *εἰς, πρὸς, ἐπὶ* et accusativo: Apoll. Rhod. IV, 1403: *ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος*: Diod. I, 80 fin.: *ἄχρι ἂν εἰς ἡλικίαν*: Lucian. Dial. Mort. 27, 5: *ἄχρι πρὸς τὸ πορθμεῖον*: ei. Char. §. 10. Alex. 55: *ἄχρις εἰς τοὺς κροτάφους* Procop. Hist. Arcan. c. 7: Aglaias Med. Carm. Eleg. 6 ed. Sichel.: *ἄχρι κεν ἐς πλέονας*: Theod. Prodrom. de Rhod. et Dosicl. Amor. VII, p. 306: *ἄχρι εἰς Ῥόδον*. Idem valet de adverbio *μέχρι*: v. Athen. VII, 317 D. Suid. in v. *ἀνέχει.*

68. Diog. III, 25: Arsen. III, 68. De scytala exponitur in Etymol. Cram. Anecd. Paris. IV, 175, 8. Comparari potest Phot. Epist. 11: *τῆς ὁδοῦ τὸ μῆκος καὶ τῶν ἐχθρῶν ὁ φόβος λακωνίζειν ἡμῖν ὑποτίθεται· καὶ εἴγε ἀλλήλοις συνέκειτο, καὶ σκυτάλαι ἂν τὴν ἐπιστολὴν διεκόμιζον,* ubi v. Montacutium: add. Michael. Acumin. 69 Elliss.

68a. Arsen. VI, 69: Anton. Meliss. 58, p. 96 Fabr. Socrati in App. Florent. Stob. Gaisf. 33 Ox. adscribitur. Cf. Apost. XII, 3.

68b. Arsen. VI, 70.

Ἀρχὴ τοῦ β̃ στοιχείου.

Τὸ β̃ μετὰ τοῦ α̃.

69 *Βαθεῖαν αὔλακα:* ἐπὶ τῶν βαθείας φρένας καὶ κεκρυμμένας ἐχόντων.

70 *Βάκηλος εἶ:* ἀντὶ τοῦ γυναικώδης καὶ ἄκανδρος· ὁ γὰρ Βάκηλος μέγας μὲν ἦν, ἀνόητος δὲ καὶ γυναικώδης.

71 *Βάκχης τρόπον:* ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν· παρόσον αἱ Βάκχαι σιγῶσι.

72 *Βάλλ' ἐς Μακαρίαν:* οἷον εἰς ᾅδου. Μακαρία γὰρ ἡ Ἡρακλέους ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς

71a *Βαλανεῦσιν ἔοικας:* ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου. παρόσον σχολὴν ἄγοντες πολυπραγμονοῦσιν οἱ βαλανεῖς.

71b *Βαλανείων διὰ τέτταρας αἰτίας χρώμεθα,* διὰ καθαριότητα, ἀλέας χάριν, ὑγιείας, ἡδονῆς· οἱ παλαιοὶ δὲ ταῦτα ἀνθρωπογναφεῖα ἐκάλουν, ἐπεὶ θᾶττον ἢ προσῆκε ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει. Ἐκλήθη δὲ βαλανεῖον ὅτι οἱ παλαιοὶ τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον ἐν τοῖς λουτροῖς.

---

9. *εἰς* Suidas. *ᾅδου*] AZ addunt: *ἐπὶ τῶν διδόντων δι' ἀρετὴν ἑαυτοὺς εἰς θάνατον:* Suidas: *ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων:* add. C in nott. ad Zenob. II, 61. 11. *βαλανεῦσιν ἔοικας*] *βαλανεὺς* Ds, Suidas. 13. *βαλανείου τοίνυν . . τέσσαρές εἰσιν αἰτίαι, καθ' ἃς ἐπ' αὐτοῦ παραγινόμεθα· ἢ γὰρ καθαριότητος ἕνεκα ἢ ἀ. ἢ ὑ. ἢ τελευταῖον ἡδονῆς* Clemens. 14. *οἱ παλ.*] antecedunt in Clemente multa, quae omisit epitomator. 16. *ὅτι*] *διότι* Suidas. *οἱ παλαιοὶ* Suidas om. 17. *ἐν κτλ.* in Suida desunt.

69. Arsen. XII, 63. Suidas: *βαθεῖαν αὔλακα. ὅπερ ἐστὶ στίχος* [scribe *σχιστῆς* cum Ruhnkenio] *γῆς ὑπὸ ἀρότρου. μεταφορικῶς ἀπὸ τούτου βαθείας φρένας καὶ κεκρυμμένας σημαίνει:* unde quae hic leguntur hausta sunt. Lemma ex Aesch. Sept. c. Th. 599 decerptum, cuius veteres saepissime meminerunt: v. Wellauer ad Aesch. l. c. et Ruhnkenius ad Tim. Lex. V. Plat. 58.

70. Arsen. XII, 64. Suid. s. *βάκηλος: μέγας μέν, ἀνόητος δὲ καὶ γυναικώδης. Βάκηλος εὐνοῦχος, ἀπόκοπος. Καὶ παροιμία· Βάκηλος εἶ, κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων· τοιοῦτοι γὰρ οἱ ἀπόκοποι:* similia e lexico rhetorico in Etym. M. 185, 18 exstant: add. Hesych. s. v. c. intt., Scholl. ad Luc. Cronos. 12. ad ei. Eunuch. 8: Zenob. II, 62. Diog. III, 45. Ab Augusto vocem *βάκηλος* saepe adhibitam esse tradit Suet. Octav. 87: dubitatum quidem ibi est de lectione: sed v. Casaubonum ad Suet. l. c. et intt. Petron. Satyr. 37.

71. Suidas: Arsen. XII, 65. Diog. III, 43.

71a. Arsen. XII, 66. *ἐπὶ — περιέργου*] Suidas. *παρόσον κτλ.*] Diog. III, 64. Greg. Cypr. L I, 73.

71b. Arsen. XII, 67. *βαλανείων — ἀναγκάζει*] Clem. Alex. Paed. III, 9, 46, p. 103 Sylb. *ἐκλήθη κτλ.*] Suid. v. *βαλανειομφάλους*.

72. Suidas: Arsen. II, 69. DV II, 4. Accuratius exponitur a Schol. Plat. 393 Bekk.: *Ἡρακλέους θυγάτηρ, Μακαρία τοὔνομα, ἣν λό-*

Ἀθήναις ἑαυτὴν ἀπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας.

73 *Βάμμα Κυζικηνόν: τὴν ἀκάθαρτον ἀσχημοσύνην οἱ Ἀττικοὶ λέγουσιν.*

74 *Βάμμα Σαρδιανικόν: ἀντὶ τοῦ, μή σε ἐρυθρὸν ποιήσω· νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύτατοι. βούλεται οὖν δηλοῦν, ἵνα μή σε πληγὰς ἐντρίψω.*

---

1. *ἐπέδωκε* Suidas. Addit Suidas: *τὸ δ' αὐτὸ τοῦτο καὶ οὕτω λέγουσιν, εἰς Μακαιρίαν καὶ ἐς Μακαρίαν*: quod attinet ad praepositionem v. nott. critt. ad Apost. VI, 65. 3. *Κυζικηνικόν* Aristoph. Pac. 1173: v. Dindorfius ad h. l. 5. *Σαρδιανικὸν* Aristophanes, Suidas, *Σαρδανιακὸν* cod. Aristophanis Ravennas: alia v. in nott. Kusteri ad Suid. s. *ἵνα μή*. Add. Steph. Byz. s. *Σάρδις: . . . τὸ κτητικόν, Σαρδιανικός*. 6. *ποιήσω*] *οἷον, ἵνα μή σε φοινίξω* Suidas inseruit. 7. *ὀξύτατοι* Suidas: v. Bernhardium. 8. *μή σε*] *μή σοι* Suidas.

γος κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν αὐτοκέλευστον ἑαυτὴν ὑπὲρ τῆς πόλεως εἰς σφαγὴν ἐπιδοῦναι· τοὺς οὖν Ἀθηναίους κατὰ τὴν τιμὴν τῆς παιδός, βάλλοντας αὐτὴν ἄνθεσι καὶ στεφάνοις, παρακελεύεσθαι τοῖς ἄλλοις „βάλλ' εἰς Μακαρίαν," ὡς τὴν παροιμίαν παρελθεῖν καὶ ἐπὶ τῶν προθυμουμένων τι, αὖθις δὲ καταχρηστικῶς καὶ ἐπὶ πάσης ἀφοσιώσεως. Δοῦρις [p. 183 Hullem.] *δέ φησιν ὅτι αὕτη τὴν πυρὰν τοῦ πατρὸς κατέσβεσε, καὶ ἐξ ἐκείνου παρὰ Μακεδόσι νενόμισται τὰς θυγατέρας τῶν κηδευομένων, οἷς ἂν ὦσι παῖδες, τὸ αὐτὸ πράττειν ἐπὶ τοῖς πατράσιν*: uberius haec referuntur a Scholiasta ad Arist. Equitt. 1148, cui convenit fere cum Zenob. II, 61: breviavit Suidas in v. *Μακαρία: . . καὶ παροιμία, βάλλ' ἐς μακαρίαν, ἀντὶ τοῦ, εἰς δειλαιότητα καὶ πανωλεθρίαν. ἢ βάλλ' ἐς μακαρίαν, κατ' εὐφημισμόν, ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται καὶ Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν*. Alteram rationem unice probat Kusterus ad Suid. s. *βάλλ' εἰς μακαρίαν*.

73. Suidas: Arsen. XII, 71. Etym. M. 187, 25. Zonar. 376. Recte Scholl. ad Arist. l. c.: *τουτέστι κατασχημονεῖ. οἱ γὰρ Κυζικηνοὶ ἐπὶ δειλίᾳ καὶ θηλύτητι ἐκωμῳδοῦντο*: add. Hesych. s. *Βάμβα* [sic] *Κυζικηνόν: Κυζικηνοὶ διὰ τὸ Ἴωνες εἶναι* [cf. Apost. V, 38] *ἐκωμῳδοῦντο ἐπὶ μαλακίᾳ*: alludit enim comicus ad v. *χέζειν*, ut recte cum Bentleio Schaeferus statuit ad Bos. Ell. Gr. 143: v. quae ego de hoc facetiarum genere in Schneidewini Philol. II, 32 sqq. disserui. Usurpavit proverbium Theodor. Hyrtac. in Boisson. Anecd. II, 444: *καὶ ἦν ὥσπερ ἄχειρ ὁ βιαστὴς καὶ δὴ μηδὲν ἀνύτον τὸ κάθαρμα βάμμα Κυζικηνὸν ἦν.*

74. Suidas s. *βάμμα*: Arsen. XII, 72. Suid. s. *ἵνα μή σε βάψω*, s. *Σαρδώ*. Fluxit ex Aristoph. Pac. 1172. Suidas et quem is exscripsit Scholiasta ad Arist. Acharn. 112 perperam de Sardinia insula cogitaverunt, ut vidit iam Kusterus: recte Scholl. ad Arist. Pac. l. c. *διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαί*: Scholl. ad Arist. Ach. l. c.: . . *ἢ ὅτι εἰς τὴν Σαρδὼ* [sic] *τῆς Λυδίας πυῤῥὰ βάμματα γίνεται*: Hesych. s. *β. Σ.*: *τὸ φοινικοῦν· διάφορα γὰρ ἦν τὰ ἐν Σάρδεσι βάμματα*, ubi v. intt.: add. Salmasius ad Tertull. de pallio 182 et Clem. Alex. Paed. II, 10, 108. p. 87 Sylb.: *βάμμα γοῦν Σαρδηνιακὸν* [sic] *καὶ ἄλλο ὀμφάκινον καὶ χλωρὸν ἕτερον, ῥοδομιγὲς καὶ κοκκοβαφὲς καὶ*

75 *Βατακάρας: ἐπὶ τῶν παχέων καὶ ἀδυνάτων. κατὰ συστολὴν δὲ ἀναγνωστέον.*

76 *Βάτου σίλφιον: ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.*

77 *Βάτραχος Σερίφιος: ἐπὶ τῶν ἀφώνων· οἱ γὰρ ἐν τῇ Σερίφῳ βάτραχοι οὐ βοῶσιν:. Αἴτιον δὲ ἡ τοῦ ὕδατος ἄγαν ψυχρότης· ὅθεν εἴ τις ἐφ' ἕτερα μετάγοι τὸ ζῷον, λάλον εὐθὺς ἐνεποίησε καὶ πρὸς τὴν οἰκείαν μετεβίβασε φύσιν. Κυρηναῖον δὲ βάτραχον τὸ τῶν ὑδάτων πικρὸν ἄλαλον ἀπεργάζεται.*

78 *Βατράχῳ οἰνοχοεῖς: ἐπὶ τῶν ταῦτα παρεχόντων, ἅπερ οὐ χρῄζουσιν οἱ λαμβάνοντες:. Ὁ βάτραχος τὸν ὕδρον μισεῖ, καὶ δέδοικεν ἰσχυρῶς, οὐκοῦν τῇ βοῇ τῇ πολλῇ πειρᾶται ἀντεκπλήττειν αὐτὸν καὶ ἀντιφοβεῖν.*

79 *Βαβαὶ Μύξος: ἐπὶ τῶν μεγαλαυχούντων· οὗτος γὰρ ἱερεὺς τῆς Ἀρτέμιδος ὢν μεγάλαυχος ἦν.*

76a *Βάλλ' εἰς ὄλεθρον: καί, Βάλλ' ἐς φθοράν.*

---

8. *Βάττου* et *Βάττων* Suidas. 9. *βοῶσιν*] *φθέγγονται* Ds. *αἴτιον — ψυχρότης*] *ἡ τῶν ὑδάτων φύσις αἴτιον αὐτοῖς τῆς ἀφωνίας, ὦ Πολύκρατες, διὰ τὴν ἄγαν ψυχρότητα* Theophylactus. 11. *ἐνεποίησε* Walzius ortum credit ex *ἂν ἐποίησε.* 12. *φύσιν*] *ὥσπερ τῶν τῆς Κίρκης δεσμῶν ἀφιέμενον* addit Theophylactus. 14. *βατράχοις* Suidas. 15. *ὁ* As om. *τὸν* As om. 18. *Βαβαὶ Μεγάβυζος* Meinekius Exercc. Philolog. in Athen. Deipnos. Spec. I, 18, *Βαβαὶ μύξος* Bergkius in Ephemer. Antiq. Stud. a. 1845, p. 174. *ὢν ἐν Ἐφέσῳ* A.

ἄλλα μυρία διὰ σπουδῆς βάμματα ἐπινενόηνται ταῖς ἐξώλεσιν ἡδυπαθείαις.

75. Suidas: Arsen. XII, 73. App. Provv. I, 50 c. Add. p. 541. Usurpat Ioannes Sicel. in Walzii Rhet. Gr. VI, 95: *εὑρίσκεται γὰρ εἰκότως Λογγῖνος, ... ἄριστος ἐπιμερίσαι λόγων ἰδέας, δημιουργῆσαι δὲ τοιούτους ἥκιστα, καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ Σμυρναῖος ὁ Ἀριστείδης περὶ ἰδεῶν τε καὶ τέχνης γράψαντες, βατακάρας, ἡ παροιμία φησί. δημιουργοὶ δὲ λόγων πολλῶν καὶ καλῶν.*

76. Suidas: Arsen. XII, 74. Macar. II, 71.

76a. Arsen. XII, 75: Cod. 166 apud Bernhardium ad Suid. s. *βάλλ' εἰς ὕδωρ.* Macar. II, 72.

77. Arsen. XII, 76: *βάτραχος — βοῶσιν* Diog. III, 44. *Αἴτιον κτλ.*] Theophyl. Simoc. Dialog. c. 18. DV I, 98. Ranas in Cyrenaica mutas esse etiam Aelianus N. An. III, 35 narrat: alios huius rei testes citant Iacobsius ad Ael. l. c., Beckmannus ad Aristot. Mirab. Ausc. c. 69 et Camus ad Aristot. H. An. II, 391.

78. Suidas: Arsen. XII, 77. DV II, 8. *Ὁ βάτραχος κτλ.*] Aelian. N. An. XII, 15.

79. Diog. III, 65: Arsen. XII, 78. Suid., Phavorin. s. *μύξος.* Reiecta

80 *Βατταρίζειν:* ἀντὶ τοῦ τραυλίζειν.

81 *Βασίλειος ὀφθαλμός:* τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν.

82 *Βάσανος λίθος:* ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

83 *Βάλλων φεύξεσθαι οἴει:* πρὸς τοὺς κακόν τι ποιοῦντας καὶ οἰομένους φυγεῖν.

84 *Βάλλ' ἐς ὕδωρ:* ἀντὶ τοῦ καταπόντισον. Ἐπὶ τῶν ὀλέθρου ἀξίων.

85 *Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην:* ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

86 *Βατράχῳ ὕδωρ: καί· στέαρ γαλῇ:* ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.

87 *Βάλλειν μήλοις:* ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων. παρήχθη δὲ ἀπὸ τῶν πεμφθέντων ἐπ' Ἀταλάντην μήλων· προὔκειτο γὰρ τῷ νικῶντι δρόμῳ τὴν Ἀταλάντην ἔπαθλον

---

4. ἐξεταζόντων Suidas. λόγοις] ἢ ἔργοις Suidas addit. 6. *βαλὼν* Suidas. ποιοῦντας] δράσαντας Suidas. 7. *ἐκφεύγειν* Suidas. 12. καὶ] ὡς Suidas. 14. βάλλεις N.

Diogeniani explicatione Salmasius ad Tertull. de pallio 333 voce μύξος hominem gloriosum et ἀλαζόνα significari nullo argumento prolato contendit: probavit quidem L. Dindorfius in Steph. Thes. L. Gr. T. V, 1270 A locum anonymi ex Maii Coll. Vat. II, XXXV, 10 afferens hunc: καὶ οὐκ ἀνθρωπίνως εἰς αὐτὴν (Cpolin) εἰςεκώμασαν Γάλλοι τε, *βαβαὶ τῆς μύξης*, καὶ Ἰταλῶν μοῖρα: nihilominus tamen ab Meinekii partibus standum esse putaverim, quum ad paroemiographorum auctoritatem Hesychii locus accedat: *Μεγαβύζιοι λόγοι*: μεγάλοι· [scribe μεγάλαυχοι·] ἀπὸ τοῦ Περσῶν βυσιλέως. οἱ δὲ βαρβάρους· [corrige βάρβαροι.] καὶ οἱ τῆς Ἀρτέμιδος ἱερεῖς καὶ οἱ στρατηγοὶ τοῦ Περσῶν βασιλέως Μεγάβυζοι. ἱερεὺς κτλ.] nomen Μεγάβυζος s. Μεγαλόβυζος Dianae Ephesiae sacerdotum genti proprium atque hereditarium adhaesisse confirmant Strab. XIV, 1, 23, p. 641. Xenoph. Exped. Cyr. V, 3, 6 et quos laudant Hemsterhusius ad Luciani Tim. §. 22. Silligius Catal. Artif. 71. Ritschlius Parerg. Plaut. I, 406. Profecit ab usu nominis proverbiali Aristoph. Av. 484: ἦρχέ τε Περσῶν πρῶτον πάντων, Δαρείου καὶ Μεγαβάζου.

80. Diog. III, 68: Arsen. XII, 79: aliter interpretatur Schol. ad Dion. Chrysost. T. II, 788 Emp.: βατταρίζειν τὸ ἐπισεσυρμένως φωνεῖν καὶ συγκεχυμένως, ὃ καὶ βερβερίζειν οἱ ἰδιῶται φασιν διαφθείροντες τὴν λέξιν. Cf. Naekius ad Val. Caton. Carm. p. 15 sqq.

81. Greg. Cypr. L I, 65: Arsen. XII, 80.

82. Suidas: Arsen. XII, 81. Greg. Cypr. L I, 64.

83. Suidas: Arsen. XII, 82. DV II, 3.

84. K in nott. ad Diog. III, 51. Arsen. XII, 70. 83. DV II, 4.

85. Suidas: Arsen. XII, 84. Macar. II, 74.

86. Suidas: Arsen. XII, 85. DV II, 9: cf. Apost. XV, 68.

87. Diog. III, 63: Arsen. XII, 86. Greg. Cypr. L I, 72.

ὁ ταύτης γάμος. ὁ γοῦν Ἱππομένης εἰς ἅμιλλαν καταστάς, βουλόμενος αὐτὴν νικῆσαι, χρυσᾶ μῆλα ἔῤῥιψε· καὶ περὶ τὴν τούτων συλλογὴν ἐκείνης ἀσχολουμένης, οὗτος ταύτην ὑπερέβαλε.

Τὸ β̃ μετὰ τοῦ δ̃.

88 **Βδέλυγμα ἐρημώσεως:** ἤγουν εἴδωλον καὶ ἐκτύπωμα καὶ σημεῖον τῆς ἐρημώσεως. ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῶν νόμων, εἰς τοῦτο εἰςκομιζόμεναι. Ὃ δὴ Πιλάτος πεποίηκε. Λέγεται δὲ ἐπὶ τῶν ἠβδελυγμένων.

Τὸ β̃ μετὰ τοῦ ε̃.

89 **Βεκκεσέληνε:** ἀρχαῖε καὶ ἀνόητε· σύγκειται ἡ λέξις ἀπὸ τοῦ βέκκος, ὁ ἄρτος κατὰ διάλεκτον τῶν Λυδῶν, καὶ τοῦ σελήνη· ἀμφότερα γὰρ ἀρχαῖα.

87a **Βαλάντιον ἐρώντων φύλλῳ πράσου δέδεται:** παρόσον οἱ ἐρῶντες εὐκόλως καταναλίσκουσιν.

88a **Βδάλλειν:** τὸ ἀμέλγειν· παρὰ τὸ βίᾳ ἐκθλιβόμενον ἀλδίσκειν τὸ γάλα. Κλήμεις· οὕτως ἡ μετάδοσις, ἀγαθὴ φιλανθρωπίας ὑπάρχουσα πηγή, κοινωνοῦσα τοῖς διψῶσι ποτοῦ αὔξεται πάλιν καὶ πίμπλαται, ὃν τρόπον ἐπὶ τοὺς θηλαζομένους ἢ καὶ βδαλλομένους μαστοὺς ἐπιῤῥεῖν εἴωθε τὸ γάλα.

89a **Βέλτερος ἀλκήεντος** ἔφυ σεσοφισμένος ἀνήρ: Φωκυλλίδου ἀπόφθεγμα.

---

8. τῷ νόμῳ Suidas. 9. πεποίηκε] νύκτωρ ἐς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰςαγαγὼν adiicit Suidas. Orationem sive mutilam esse sive membrorum perturbatione luxatam Bernhardius ad Suid. l. c. monuit. Λέγεται κτλ.] in Suida desunt. ἐβδελυγμένων Z. 11. Uberius et accuratius Suidas vocabulum duce Scholiasta ad Arist. l. c. explicat. 12. Λυδῶν] debebat Φρυγῶν: corrupta Suidae lectio hoc vitium procreavit. 16. Scribe ἀλδήσκειν. 17. Scribe Κλήμης. 21. Scribe Φωκυλίδου.

87a. Arsen. XII, 87: cf. DV III, 66. Macar. VII, 34.

88. Suid. s. βδέλ. ἐρημ.: Arsen. XII, 88. Legitur in Evang. Matth. 24, 15. Marc. 13, 4: explicatur a Suid. s. βδέλυγμα: πᾶν εἴδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου οὕτως ἐκαλεῖτο παρὰ Ἰουδαίοις: alia afferunt Suicerus Thes. Eccles. in v. βδέλυγμα, Tittmannus ad Zonar. T. I, praef. p. CXXXIII.

88a. Arsen. XII, 90: βδάλλειν — γάλα] Scholl. ad Clem. Alex. Paed. III, 7, 39, T. IV, p. 134 Klotz. Κλήμης κτλ.] Clem. l. c. p. 101 Sylb.

89. Suidas: Arsen. XII, 91. Eustath. ad Hom. Il. *B*, 603, p. 300, 27: ὁ δὲ κωμικὸς ἐκ τῶν προσελήνων ὁρμώμενος τὸ βεκκεσέληνος ὄνομα συνέθετο, δηλοῦν ἀρχαιότητα καὶ ἁπλότητα: v. Arist. Nub. 397 ibiq. intt.

89a. Arsen. XII, 92: Pseudo-Phocyl. 130.

Τὸ β̃ μετὰ τοῦ η̃.

90 *Βησᾶς ἕστηκεν:* ἐπὶ τῶν ὑπομώρων. οὗτος γὰρ ἕστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος.

91 *Βὴξ ἀντὶ πορδῆς:* ἐπὶ τῶν περδόντων καὶ προςποιουμένων βήττειν ἢ γελᾶν· ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προςποιουμένων.

Τὸ β̃ μετὰ τοῦ ι̃.

92 *Βίαντος Πριηνέως δίκη:* οὗτος εἷς τῶν ἑπτὰ σοφῶν ἦν. λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι.

89b *Βεβαιοτέραν τὴν φιλίαν ἔχε πρὸς τοὺς γονεῖς:* Χαιρήμονος.

89c *Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.*
βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

92a *Βίαντος Τευταμίδου Πριηνέως δίκη:* οὗτος εἷς τῶν ἑπτὰ σοφῶν ἦν, λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι· οὗτος δίκην ὑπέρ τινος λέξας ἤδη ὑπέργηρως ὤν, μετὰ τὸ καταπαῦσαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τῆς θυγατρὸς υἱοῦ κόλπους. εἰπόντος δὲ καὶ τοῦ ἐναντίου καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, εἰς ὃν καὶ Διογένους τόδε τὸ ἐπίγραμμα φέρεται.

Ἐπίγραμμα.

Τῇδε Βίαντα κέκευθα τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
εἰς Ἀΐδην, πολιῷ γήραϊ νιφόμενον.
εἶπε γάρ, εἶπε δίκην ἑτέρου τινός, εἶτ᾽ ἀποκλινθεὶς
παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

92b *Βίον Κύκλωπος:* τὸν ἀνόσιον καὶ ὠμόν.

---

2. ἐπὶ τῶν ὑπομώρων] οἷον ἀχανής VB Suidas. γὰρ Suidas VB ignorant. 9. ἦν Suidas om. εἰς Suidas om. δεινότατος γεγονέναι εἰπεῖν Suidas. 10. ἔχε τὴν φιλίαν Stobaeus. 16. ὤν] ὑπάρχων Diogenes Laertius. 17. τοῦ τῆς idem. 18. ἐξ ἐναντίας idem. 21. εἰς — φέρεται] Arsenii verba sunt. 26. ἑτάρου Diogenes. 28. In A post v. ὠμόν ab alia manu adduntur haec: οἱ γὰρ Κύκλωπες οὔτε Διὸς αἰγιόχου, καθ᾽ Ὅμηρον, οὔτε θεῶν μακάρων ἀλέγουσιν: v. Hom. Od. I, 105 sqq.

89b. Arsen. XII, 93: Stob. Flor. 79, 31.
89c. Arsen. XII, 94 sqq. XXVI, 24: Stob. Flor. 105, 47. Cf. Meinekius Com. Gr. Fr. T. IV, p. 424.
90. Suidas: Arsen. XII, 96. App. Provv. I, 54.
91. Greg. Cypr. L I, 69: Arsen. XII, 97.
92. Suidas: Arsen. XII, 98. Cf. App. Provv. IV, 88.
92a. Arsen. XII, 98. οὗτος κτλ.] Diog. Laert. I, 84.
92b. Arsen. XII, 99. Macar. V, 44.

93 *Βίον μεμαγμένον:* ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.

94 *Βίον ἀκανθώδη:* τὸν τραχὺν καὶ σκληρόν.

95 *Βιβλίον τοὐμὸν μέθυ:* πρὸς τοὺς διαφθείροντάς τινα ἔργα· ἢ ἐπὶ τῶν φιλολόγων.

96 *Βίοι ἀνθρώπων καὶ φυτῶν σπέρματα συνεξομοιοῦνται ταῖς χώραις.*

97 *Βία πενήτων, πλουσίων παράκλησις:* παρόσον οἱ μὲν πένητες ἀναγκάζονται, οἱ δὲ πλούσιοι θρύπτονται καὶ θωπεύονται.

Τὸ β μετὰ τοῦ λ.

98 *Βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρην:* ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν.

99 *Βλακὸς ἀχρηστότερος:* εἴρηται ἀπὸ ἰχθύος τινός, ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως, ὡς μηδὲ κύνα αὐτῷ

97a *Βίος ἀνεόρταστος,* μακρὴ ὁδὸς ἀπανδόκευτος.

97b *Βίον καλὸν ζῇς,* ἂν γυναῖκα μὴ ἔχῃς:. Φιλήτου.

97c *Βίος βίου* δεόμενος οὐκ ἔστι βίος.

98a *Βλέπει τὸ στῆθος* ἀετὸς τρωθεὶς πάλαι,
ἀλγῶν δὲ λοιπὸν ἧστο πολλὰ δακρύων,
βλέπων δ' ὀϊστὸν εἶπεν ἐπτερωμένον,
βαβαὶ πτερόν με τὸν πτερωτὸν ὀλλύει.

---

12. Ἄρη Aristophanes. 13. καὶ συνάρασθαι πρὸς βοήθειαν in fine Suidas addit. 14. εἴρηται ἀπὸ] Etymologicum: εἰς δὲ τὸ λεξικὸν τὸ ῥητορικὸν εὗρον ἐγὼ εἰρῆσθαι τὴν λέξιν, ἀπό. 15. κύνα] »nunquam vero audivi, canes esse piscium avidos. Et si silurus is est, quem vulgus appellat sturionem, hic inter pisces vel primas tenet«: Erasmus IV, 1, 72. Attamen omnes lectionem κύνα sine ulla varietate tuentur. 16. Δημοκρίτου τὸ παροιμιῶδες ἀπόφθεγμα ZA addunt. 17. λάβῃς Valckenarius, τρέφῃς Meinekius. 19. βέλει τὸ — τρώθῃ Coraes.

93. Suid. v. βίος: Arsen. XII, 100. Macar. II, 78.
94. Suidas: Arsen. XIII, 1. Cf. nott. ad Zenob. I, 21: add. Philon. de Virtutt. T. II, 548, 47 Mang.
95. App. Provv. I, 55. 66: Arsen. XIII, 2.
96. Plut. Apophth. Reg. cett. 172 F: Arsen. XIII, 3. Est Cyri dictum: cf. Herod. IX, 122: sententiam illustrant Wesselingius et Valckenarius ad Herod. l. c., Gataker ad Marc. Anton. Comm. IV, 39.
97. Arsen. XIII, 4.
97a. Arsen. XIII, 5: Stob. Flor. 16, 21. Democr. fr. 32 Mullach.
97b. Arsen. XIII, 6: Stob. Flor. 68, 20. Philet. fr. 29 Bach.
97c. Arsen. XIII, 7: Menand. Monost. 74. Disputat de sententia Orellius Opusc. Sentent. I, 551.
98. Suidas: Arsen. XIII, 8. Est Aristoph. Plut. 328, ubi v. Scholia.
98a. Arsen. XIII, 8: Ignatii fab. 369 Nevel., p. 74 Cor.: add. Knochius Babr. fragm. p. 37. Cf. Macar. VIII, 57.
99. Arsen. XIII, 9. εἴρηται —

χρῆσθαι. οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον, ὃ οἱ ἀστρολόγοι τελοῦσι, διὰ τὸ τοὺς μόρους εἰςιέναι πρὸς αὐτούς.

Τὸ β μετὰ τοῦ ο.

100 *Βοῦς Κύπριος εἶ*: ἤτοι κοπροφάγος· τοιοῦτοι γὰρ οἱ ἐκεῖσε βόες.

1 *Βοῦς ὁ Μολοττῶν*: ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα· οἱ γὰρ Μολοττοὶ τοὺς βόας ἐν ταῖς ἑορταῖς εἰς πολλὰ διέτεμον.

2 *Βοῦς ἐπέβη*: ἐπὶ τῶν ἐξαίφνης σιωπώντων. τὸ γὰρ ἀργύριον βοῦν εἶχε τῶν Ἀθηναίων· οἱ οὖν δωροδοκούμενοι ἐσιώπων.

3 *Βουδόρῳ νόμῳ*: ἐπὶ τῶν ἀξίων δαίρεσθαι ὡς οἱ βόες.

4 *Βοιότιος νόμος*: ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.

---

1. *χρῆσθαι*] pergit Suidas: *Πολιτείας δ'* [Plat. Reip. IV, 432 D]· *Βλακικόν τε ἡμῶν τὸ πάθος. ὡς εἰ λέγοι τις, πνευμονίαν· ἀπὸ τοῦ θαλαττίου ζῴου, ὄντος ἀναισθήτου.* *τῆς Βλακείας* Suidas, *τῆς Βλακίας* Etymologicum. 3. *βλακεννόμιον* D: *βλακονόμιον* Schneiderus in Lexico scribendum esse putat. 4. Scribe *μωρούς*. *πρὸς*] *εἰς* A. 9. *πράγματα*] *σπαράγματα* Emperius coniecit. Mihi v. *πράγματα* delendum videtur. 10. *διέτεμνον* A. 12. *οὖν*] *οἷον* Ds: *γὰρ* Z. 15. *Βοιώτιος* ANR. Scribe *ἠρεμαίας*. 16. *ἐπιγινομένων*] *ἐπιτεινομένων* Gaisfordus.

αὐτούς] Suidas: Etym. M. s. *βλάξ* p. 199, 4: *εἴρηται — Βλακείας*] Scholl. ad Plat. Politic. p. 373 Bekk. Scholl. ad Lucian. D. Mort. 28, 2, p. 76 Iacob., Bachmanni Anecd. I, 180. *Ἀριστοτέλης*] fortasse in libro de Cumanorum re publica huius loci mentionem fecerat philosophus. De voce *βλάξ* id quod *μωρός*, *ἀνόητος* significante disputaverunt Spanhemius ad Aristoph. Plut. 328. Ruhnkenius ad Timaei Lex. V. Plat. 61, alii: add. Constit. Apost. VIII, 32: *ἀῤῥητοποιός, κίναιδος, βλάξ, μάγος . . . ἀποβαλλέσθωσαν*, ubi Cotellerus affert glossam: *βλάξ: ἄλλως οἱ Ἀθηναῖοι τὸν προβατώδη λέγουσι.*

100. Diog. III, 49: Arsen. XIII, 10. Antiphanes apud Athen. III, 95 F: *ἐν τῇ Κύπρῳ δ' οὕτω φιληδεῖ* [Venus] *ταῖς ὑσίν, Ὦ δέσποθ', ὥστε σκατοφαγεῖν ἀπεῖρξε τὸ Ζῷον *** τοὺς δὲ βοῦς ἠνάγκασεν*: Ennius apud Paul. Diacon. 59 Muell.: *Cyprio bovi merendam Ennius sotadico versu quum dixit, significavit id, quod solet fieri in insula Cypro, in qua boves humano stercore pascuntur.*

1. Diog. III, 60: Arsen. XIII, 11.

2. Diog. III, 61: Arsen. XIII, 12.

3. Diog. III, 66: Arsen. XIII, 20. De v. *βουδόρος* Proclus ad Hesiod. Op. et D. 502 exposuit.

4. Suidas: Arsen. XIII, 21. Greg. Cypr. M II, 47. Apost. XI, 74.

5 *Βότρυς πρὸς βότρυν πεπαίνεται:* ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

6 *Βοῦς ὑπὸ ζυγόν:* ἐπὶ τῶν μοχθούντων ἀεί.

7 *Βοῦν ἐπὶ γλώττης:* ὅ ἐστι νόμισμα. ἁρμόζει δὲ ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τοῦ μὴ κατηγορῆσαι τινά, ἀλλὰ σιωπῆσαι.

8 *Βοῦς ἕβδομος:* πέμματα, κέρατα ἔχων κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸ βοῦν προστιθέντες καὶ τὸν ἕβδομον, ὅτι ἐπὶ ἓξ τῆς σελήνης ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ. τάττεται δὲ ἐπὶ τῶν ἄγαν ἀναισθήτων. Οἱ δέ φασιν ἕβδομον βοῦν, ὅτι οἱ πένητες ἔθυον ἔμψυχα ἓξ· πρόβατον, ὗν, αἶγα, ὄρνιν πετεινόν, χῆνα, καὶ ἕβδομον βοῦν:· *Ἡ βοῦς, ἔνθα τὸν μόσχον ἀφῃρέθη,* ἐνταῦθα ἐλθοῦσα, ὀδύρεται μυκηθμῷ συντρόφῳ τὸ πάθος. καὶ βόες μέντοι ὑπὸ ζυγὸν ἰέναι θέλοντες, οἱ μὲν μειδιῶσιν, οἱ δὲ ἐπὶ πόδα ἀναχωροῦσιν. ἵππος δὲ ἄρα καὶ ὅταν ἀκούσῃ ψαλλίων κρότον καὶ χαλινοῦ κτύπον καὶ προστερνίδια θεάσηται, φριμάττεται ἐνταῦθα καὶ τὰς ὁπλὰς σκιρτῶν ἐπικροτεῖ καὶ ἐνθουσιᾷ:· *Βοῦς δ' ἣν καταπίῃ βούπρηστιν·* ἔστι δὲ ζῷον· πίμπραται, καὶ ῥηγνύμενος ἀπόλλυται οὐ κατὰ μικρόν.

---

4. γλώττης φέρει AR. ὅ — νόμισμα] ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι AZm. 6. συνηγορῆσαι κατά τινος Etymologicum, in fine apponens: ὅθεν καὶ Ἀριστοφάνης κωμῳδῶν αὐτούς φησι· Τὸ στόμ' ἐπιβύσας κέρμασι τῶν ῥητόρων: Plut. 379. 7. ἔχοντα Suidas. 9. τὸν] τὸ Suidas. ταῖς σελήναις idem. Sequuntur apud Suidam post v. Ἀταλάντῃ quaedam de alio placentarum genere. 11. οἱ δὲ — βοῦν] v. Macarium. 15. ὠδύρατο As. 16. θέλοντες] μέλλοντες As. 17. ἄρα καὶ As om. ψαλίων As. 18. προστ. τε καὶ προμετωπίδια As. 20. βοῦς — πίμπραται] βούπρηστις ζῷον ἐστίν, ὅπερ οὖν ἐὰν βοῦς καταπίῃ, πίμπραται As. 21. κατὰ μ.] μετὰ μακρὸν As.

5. Suid. v. βοτρυόδωρος: Arsen. XIII, 22. Cf. nott. ad App. Provv. I, 60, ubi Iuvenalis Sat. II, 81 cum hoc proverbio non debebat componi.
6. Diog. III, 54: Arsen. XIII, 13. DV II, 6.
7. Etym. M. v. ἑκατόμβη, p. 320, 54: Arsen. XIII, 14. DV II, 2. Philostr. V. Apoll. VI, 11, p. 241 Ol.: γλωττάν τε ὡς πρῶτος ἀνθρώπων ξυνέσχε βοῦν ἐπ' αὐτῇ σιωπῆς εὑρὼν δόγμα, ubi Scholiasta a Kaysero p. 191 editus: παροιμία βοῦς ἐπὶ γλώσσης: Iulian. Oratt. VII, 218 A: τὸν βοῦν δὲ ἐπιτίθημι τῇ γλώττῃ. περὶ τῶν ἀῤῥήτων γὰρ οὐδὲν χρὴ λέγειν: Synes. Epist. 153, p. 291 C Petav.: τὸ δέ, ὅτι μὴ τὸ στόμα συγκλείσας ἔχω καὶ τὸν βοῦν τὸν ἐκεῖνον ἐπὶ τῆς γλώττης τίθεμαι.
8. Arsen. XIII, 15. πέμματα — ἀναισθήτων] Suidas. οἱ δὲ — βοῦν] cf. nott. critt. ad Diog. III, 50. Macar. II, 89. ἡ βοῦς — ἐνθουσιᾷ] Aelian. N. An. VI, 10. βοῦς κτλ.] id. ib. 35.

9 *Βοῦς εἰς ἀμητόν: ἐπὶ τῶν ἐπ' ὠφελείᾳ καμνόντων:. Πτολεμαίῳ τῷ δευτέρῳ, φασίν, ἐξ Ἰνδῶν κέρας ἐκομίσθη καὶ τρεῖς ἀμφορέας ἐχώρησεν. οὗτος ἄρα βοῦς ἦν, ὡς ἐκπεφυκέναι οἱ τηλικοῦτον κέρας.*

10 *Βοῦς ἐν αὐλίῳ γέρων: ἐπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόντων.*

11 *Βοιώτιος νοῦς: ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἐσκώπτοντο Βοιωτοί.*

12 *Βοιώτια αἰνίγματα: ἐπὶ τῶν ἀσυνέτων. Βοιωτὶ γὰρ ἡ Σφίγξ.*

13 *Βοῶν ὦτα ἔχετε: ἐπὶ τῶν μὴ συνιέντων. Ἀνταγόρας γὰρ ἀναγινώσκων παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος γράμμα, ἐπεὶ οὐδεὶς ἐπεσημαίνετο κλείσας τὸ βιβλίον, εἰκότως, ἔφη, καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε.*

10a *Βοῦς ἐπὶ σωρῷ: ἐπὶ τῶν ἡδυπαθούντων.*

11a *Βουλείας δικάζει: ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ δικαστῶν.*

13a *Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν:. Φιλήμονος.*

---

1. *β. εἰς ἀ.*] *βοῦς ἀμητὸν ἐπιτηρῶν* Diog. III, 59. *μετ' ὠφελείας* Suidas. 7. *νοῦς*] *ὗς* AmEZ. 8. *Βοιωτοί*] AmEZ addunt: *ἡ δὲ παροιμία ἐντεῦθεν. Ὕαντες ἔθνος βάρβαρον ἀρχαῖον κατῴκησαν τὴν Βοιωτίαν. ἐκ μεταφορᾶς* [scribe *ὗς τινὲς ἐκ παραφθορᾶς*] *τοῦ ὀνόματος ἀντὶ τοῦ Ὕαντας λέγειν ὗς ἐκάλεσαν, ὥστε καὶ τοῖς ὕστερον διαδοθῆναι* [insere *τὴν*] *λέξιν ἐπὶ τῶν Βοιωτῶν· καὶ λοιπὸν νομισθῆναι διὰ τὴν πολλὴν ἀλογίαν καὶ ἀγροικίαν οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι, τούς τε βουλομένους εἰς ἀπαιδευσίαν ἐπισκώπτειν τινὰς τοῦτο λέγειν· Βοιωτία ὗς.* 12. *γὰρ ἀναγινώσκων*] *ἐπεὶ ἀνεγίνωσκε* Maximus. *σύγγραμμα* idem. 13. *ἐπεὶ*] *καὶ* idem. *ὑπεσημήνετο* idem. *εἰκότως*] *δικαίως* idem. 16. *Βουλίας* Zenobius. 17. *ἀεὶ* Zenobius om.

9. Suidas: Arsen. XIII, 17. *Πτολεμαίῳ κτλ.*] Aelian. N. An. III, 34.
10. Diog. III, 70: Arsen. XIII, 18. 29.
10a. Arsen. XIII, 19: Diog. III, 53. DV II, 5.
11. Greg. Cypr. M II, 45: Arsen. XIII, 23. Quae ex AmEZ supra adscripsi, e Scholl. ad Pind. Ol. VI, 148 sumpta sunt: similia v. in nott. ad Diog. III, 46: add. Cosmas ad Greg. Naz. in A. Maii Spicil. Rom. T. II, 176: *τοῦτον μὲν τὸν κεραυνὸν* [ab Iove Semelae immissum] *ἡ τῶν Θηβαίων ἄνοια σέβει καὶ προσκυνεῖ· καὶ γὰρ ἐπὶ μωρίᾳ διαβάλλονται Θηβαῖοι καὶ ἔστι παροιμία ἡ λέγουσα, ἡ Βοιωτία ὗς:* differunt paulum Scholia ad Greg. Naz. ab Gaisfordo in Catal. Codd. Clarkian. p. 49 edita. Usurpavit Cratinus et, ut videtur, Menander: v. Meinekius Com. Gr. Fr. II, 1, p. 224. IV, p. 297.
11a. Arsen. XIII, 24. 31: Zenob. II, 86. Macar. II, 82.
12. K in nott. ad Diog. III, 47: Arsen. XIII, 26. Greg. Cypr. M II, 46.
13. Arsen. XIII, 28. *Ἀνταγόρας κτλ.*] Max. Conf. Serm. XV, p. 580 Comb. De Antagorae recitatione dixit Welckerus Script. Min. T. I, 396.
13a. Arsen. XIII, 30: Stob. Flor. 79,30. Philem. fr. inc. fab. 107 Mein.

14 *Βορβόρῳ ὕδωρ λαμπρὸν οὔποθ' εὑρήσεις:* ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.

15 *Βοῦς ἐν πόλει:* ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν.

Τὸ β̃ μετὰ τοῦ ρ̃.

16 *Βρασίδας μὲν ἀνὴρ ἀγαθός· ἁ δὲ Λακεδαίμων πολλῶς ἔχει τήνου κάῤῥονας:* ἐπὶ τῶν ἑαυτοὺς οἰομένους κρείσσους εἶναι τῶν ἄλλων.

Τὸ β̃ μετὰ τοῦ ω̃.

17 *Βῶμαξ εἶ καὶ βωμολόχος:* οὗτος ἀπὸ τῶν βωμῶν, πρὶν καρπωθῆναι, αἴρων. τάσσεται δὲ ἐπὶ τῶν μαλακιζομένων.

16a *Βρώτειον οὖς:* ἐπὶ τῶν ἀναισθήτων.

16b *Βραχεῖ λόγῳ* δὲ πολλὰ πρόςκειται σοφά.

16c *Βραχὺς ὁ βίος* ἀνθρώπῳ εὖ πράττοντι, δυςτυχοῦντι δὲ μακρός:. Ἀπολλωνίου.

16d *Βραχύ τοι σθένος* ἀνδρός, ἀλλὰ ποικιλίαι πραπίδων:. Εὐριπίδου.

16e *Βραδέως μὲν φίλος γίνου·* γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδὲν ἄφιλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

---

1. *λαμπρὸν μιαίνων* Ama Suidas. εὑρήσεις *ποτόν* iidem. 2. τοῖς Suidas om. 4. *ἀνέθηκε* W. 7. *τήνω* Plutarchus. 10. εἶ Suidas ignorat. οὗτος] ὁ Suidas. 11. *καὶ ἐπὶ* idem. Βῶμαξ Apostolius quum pro nomine proprio haberet, inepto modo Suidae verba interpolavit. De v. βῶμαξ cf. Sopingius ad Hesych. s. v.: add. Agath. II, 30, p. 130 Nieb. 13. Scribe *Βοιώτειον*. 17. ἦ βραχὺ σθ. ἀνέρος· Ἀλλὰ ποικιλίᾳ πρ. Δεινὰ μὲν κτλ. Euripides. 19. *γίγνου* Isocrates, γενοῦ Georgides. 20. Scribe *μηδένα φίλον*.

14. Suidas: Arsen. XIII, 27. DV II, 7.

15. Greg. Cypr. L I, 70: Arsen. XIII, 25.

16. Arsen. XIII, 32. *Βρασίδας — κάῤῥονας*] Plut. Apophth. Reg. 190 B, Apophth. Lacon. 219 D, Apophth. Lacaen. 240 C, V. Lycurg. 25. Attigit Valckenarius ad Theocr. Adoniaz. 304.

16[a]. Arsen. XIII, 33: DV II, 1.

16[b]. Arsen. XIII, 34: Stob. Flor. 35, 4 e Sophoclis Aleta affert.

16[c]. Arsen. XIII, 35: Stob. Flor. 121, 34. Cf. Philostr. Iunior. p. 56 Kays.

16[d]. Arsen. XIII, 36. XLVII, 47: Stob. Flor. 54, 6. Eurip. Aeol. fr. 24 Matth.

16[e]. Arsen. XIII, 37: Max. Confess. Serm. VI, p. 548 Comb., Georg. in Boiss. Anecd. I, 17. Isocr. ad Demon. p. 7.

17. Suidas: Arsen. XIII, 39: eadem fere leguntur in Etym. M. 218, 17. Etym. Gud. 117, 29. Zonar. 413.

18 *Βώλοις ἄρουραν:* ἐπὶ τῶν τοῖς μικροῖς χαριζομένων τοὺς μεγάλους.

Ἀρχὴ τοῦ γ̄ στοιχείου.

Τὸ γ̄ μετὰ τοῦ ᾱ.

19 *Γάλα ὀρνίθων:* ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων· τὸν γὰρ Σάμιον οἱ θέλοντες ἐπαινεῖν καὶ τὸν Ἄμασιν τοῦτο ἔλεγον. ἄλλοι δὲ ἐπὶ τῶν σπανίων.

19a *Γάλα τρέφει νήπια, παῖδα δ' ἔμφρονα, γάλα πιαίνει σωφροσύνη καθάπερ.*

19b *Γάλακτος φυσιολογία:* τὸ μὲν αἷμα πρωτόγονον ἐν ἀνθρώπῳ εὑρίσκεται, ὃ δή τινες οὐσίαν εἰπεῖν ψυχῆς τετολμήκασι· τοῦτο δὴ τὸ αἷμα φυσικῇ τρεπόμενον πέψει, κνησάσης τῆς μητρός, φιλοστοργίᾳ συμπαθεῖ, ἐξανθεῖ καὶ γηράσκει πρὸς τὸ ἄφοβον τοῦ παιδίου· καὶ ἔστι μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σάρξ, τοῦ δὲ αἵματος νοστιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον· εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ, καὶ διὰ μητρῴου πρότερόν ἐστι πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτό, ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς, κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου καὶ γενεσιουργοῦ θεοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς καὶ ὑπὸ πνεύματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφή, αἷμα τὸ μεταβάλλον ἐστί· μάλιστα γὰρ πάντων μελῶν, μαστοὶ συμπαθεῖς μήτρᾳ. ἐπὰν οὖν κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι' οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γίνεται τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει, καὶ πολλῆς τῆς ἐπιφορᾶς γενομένης διατείνονται καὶ

---

1. *βῶλος* Ds: duas huius proverbii formas fuisse Finckhius Annott. in Zenob. Provv. p. 10 statuit, quarum unam, *βώλοις ἄρουραν*, explicet Diogenianus, alteram, *βώλους ἀρούρᾳ*, Zenobius et Suidas. 7. *τὸν — ἔλεγον*] Suidas om. Scribe *τήν*. *Ἄμασιν*] ad comoediam haec regis Aegyptii memoria referenda videtur. Sinnerus quidem in Delect. PP. 478 satis habuit monuisse, notam esse ex Herodoto Amasidis felicitatem. *ἄλλοι δὲ*] *ἢ* Suidas. 9. *καθάπερ γάλα, πιαίνει σωφροσύνη* recte C. O. Muellerus in Nunt. Liter. Gott. 1833, p. 495. 12. *τοῦτο δὲ* Clemens.

18. Diog. III, 52: Arsen. XIII, 38: cf. Apost. VIII, 77.

19. Suidas: Arsen. XIV, 39. DV II, 15. *Σάμον*] Strab. XIV, 1, 15, p. 637: *περὶ μὲν οἴνους οὐ πάνυ εὐτυχεῖ Σάμος· τὰ δ' ἄλλα εὐδαίμων, ὡς δῆλον ἔκ τε τοῦ περιμάχητον γενέσθαι καὶ ἐκ τοῦ τοὺς ἐπαινοῦντας μὴ ὀκνεῖν, ἐφαρμόττειν αὐτῇ τὴν λέγουσαν παροιμίαν ὅτι, φέρει καὶ ὀρνίθων γάλα, καθάπερ που καὶ Μένανδρος ἔφη.*

19a. Arsen. XIV, 40.

19b. Arsen. XIV, 41. *Τὸ μὲν — γάλα*] Clem. Alex. Paedag. I, 6, 39. 40, p. 44 Sylb. *Οὐ μὲν κτλ.*] id. ibid. 50, p. 47 Sylb.

20 *Γαλῆ Ταρτησία:* ὡς μεγάλων ἐκεῖ γινομένων.

21 *Γαλῇ χιτών:* αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται καὶ μηδὲν ἀνιέντων· ὁμοία ἐστὶ τῇ· *Οὐ πρέπει γαλῇ κροκωτός*:. Φασί, τὴν γαλῆν καὶ τὸν αἴλουρον πάντα ὅσα δυςώδη ἐστὶ μισεῖν· ταύτῃ τοι καὶ τὸ σφέτερον περίσ-

μεταβάλλει τὸ αἷμα εἰς γάλα, ἀναλόγως τῇ ἐπὶ τῆς ἑλκώσεως εἰς πύον τοῦ αἵματος μεταβολῇ, εἴτε αὖ παρὰ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν, ἀναστομουμένων κατὰ τὰς διατάσεις τῆς κυΐσεως, τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σύραγγας· τοῦτο δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας, ἐκκυμαινόμενον λευκαίνεται, καὶ τῇ τοιαύτῃ ἀνακοπῇ κατ' ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὸς τῇ θαλάττῃ, ἣν δὴ κατὰ τὰς ἐκβολὰς τῶν πνευμάτων οἱ ποιηταί φασιν ἀποπτύειν *ἁλὸς ἄχνην*· πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν. Τούτῳ τῷ τρόπῳ καὶ οἱ ποταμοὶ ῥόθῳ φερόμενοι τῇ ἐμπεριλήψει τοῦ περικεχυμένου ἀέρος ξαινόμενοι, ἀφρὸν μυρμύρουσι, καὶ τὸ ἐνστόμιον ἡμῖν ὑγρὸν τῷ πνεύματι ἐκλευκαίνεται. τίς οὖν ἡ ἀποκλήρωσις μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι ὁμολογεῖν; πάσχειν τὴν μεταβολὴν κατὰ ποιότητα, οὐ κατ' οὐσίαν· ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλο τι, οὐδὲ μὴν γλυκύτερον, ἀλλ' οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος· πάντῃ δὲ ἔοικε ταῦτο τῇ πνευματικῇ τροφῇ, γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δέ, ὡς ζωή, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ καὶ τὸ αἷμα Χριστοῦ πεφανέρωται ὡς γάλα:. *Οὐ μὴν ἀλλὰ* καὶ ἐκ τῶν ποιμνίων ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν, ὡς ἐξ αἵματος γάλα κατὰ μεταβολὴν γίνεται· τὰ γὰρ ζῷα ταῦτα τοῦ ἔτους κατὰ τὴν ὥραν, ἣν ἔαρ καλοῦμεν, ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πόας καὶ τῶν νομῶν εὐχίλων, τὸ τηνικάδε οὐσῶν καὶ ἐνίκμων αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται· ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα· θέρους δ' ἔμπαλιν ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον ἵστησι τὴν μεταβολὴν τὸ αἷμα καὶ ταύτῃ ἔλαττον ἀμέλγονται.

---

4. τὴν — αἴλουρον] τοὺς αἰλούρους As. 5. μισεῖν τε καὶ βδελύττεσθαι As. περίττευμα As. 7. παρὰ] ἀπὸ Clemens. 9. *κυήσεως* idem. *σήραγγας* idem. 10. *τούτῳ* idem. 14. ἐμβολὰς idem. 18. *ἡμῶν* idem. 20. *πάσχει δὲ τὴν* idem. 25. αἷμα Χρίστου] *αἷμα τοῦ λόγου* idem. 26. οὐ μὴν — γίνεται] ὡς ἐξ αἵμ. γ. κ. μ. γ., ἤδη μὲν σαφὲς, οὐ μὴν ἀλλὰ καὶ ἐκ τ. π. ἔκ τε τ. β. ἐ. μ. idem. 30. *εὐχύλων* idem.

20. Diog. III, 71: Arsen. XIV, 42. Macar. II, 90.

21. Suidas: Arsen. XIV, 43. Macar. II, 91. VI, 65 et cf. infr. 25.

σευμα ἀφίεναι, πρότερον βόθρον ὀρύξαντας, ἵνα ἀφανίσωσιν αὐτὸ, τῆς γῆς ἐπιβαλόντες. ἔστι δὲ ὁ μὲν ἄῤῥην λαγνίστατος, ὁ δὲ θῆλος φιλότεκνος· φεύγει δὲ τὴν πρὸς τὸν ἄῤῥενα ὁμιλίαν· ἀφίησι γὰρ τὸν θορὸν θερμότατόν τε καὶ προςεοικότα πυρί, καὶ καίει τῆς θηλείας τὸ ἄρθρον. εἰδὼς οὖν ὁ ἄῤῥην τοῦτο τὰ κοινὰ βρέφη διαχρῆται· ἡ δὲ παίδων ἑτέρων πόθῳ ἑαυτὴν παρέχει συνελθεῖν.

22 *Γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος ἁπάντων, Ἡ πλήρης μὲν ἐλαφροτέρη, κενεὴ δὲ βαρεῖα: ἐπὶ τῶν γαστριμάργων.*

23 *Γασύπους κρεῶν ἐπιθυμεῖ: ἐπὶ τῶν ἐπιθυμούντων τῶν ἀλλοτρίων.*

24 *Γάμος Αἰγύπτου: ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων:. Αἴγυπτος καὶ Δαναὸς ἦσαν ἀδελφοὶ ἀπ' Ἰοῦς τῆς*

21a *Γαλῇ στέαρ: ἐπὶ τῶν οἷς χαίρουσι ταῦτα λαμβανόντων.*
22a *Γαστὴρ παχεῖα λεπτὸν οὐ τίκτει νόον.*

---

2. *ἔστι κτλ.*] haec in Aeliano antecedentibus praeposita sunt. *ἔστι — ἄῤῥην*] *αἰλούρων ὁ μὲν ἄῤῥην* As. 3. *θῆλυς* As. 4. *συνουσίαν* A, in margine vero *ὁμιλίαν* Arsenius ipse posuit. 5. *τὸ*] *τὸ πῦρ τὸ* As. 7. *συνελθεῖν γλιχομένῳ* As. 11. Scribe *δασύπους*. Eiusdem generis menda v. in nott. critt. ad Apost. III, 15. 13. *γάμοι Αἰγύπτου καὶ Δαναοῦ* A. 14. *ἀπ'*] Scholiasta om. 16. *παχεῖα γαστὴρ* Antonius et Gregorius.

XII, 75. *Οὐ — κροκωτός*] Zenob. II, 93. *Φυσὶ κτλ.*] Aelian. N. An. VI, 27.

21a. Arsen. XIV, 44: Diog. III, 83.

22. Diog. III, 85: Arsen. XIV, 48.

22a. Arsen. XIV, 50: Anton. Meliss. 66, p. 112 Fabr. Citat Galenus *περὶ ἰατρ. καὶ γυμναστ.* c. 37, T. V, p. 878 Kuehn.: *καὶ τοῦτο ἁπάντων σχεδὸν ἀνθρώπων ᾄδεται, διότι πάντων ἐστὶν ἀληθέστατον, ὡς γαστὴρ ἡ παχεῖα τὸν νοῦν οὐ τίκτει τὸν λεπτόν*: citant etiam Philoponus ad Aristot. de Anima I, B, 4, 15 et Nilus in Ioann. Damasc. Sacr. Parall. 13, p. 419 T. II: add. Hieronym. Epist. LII, 10, T. I, 226 Vallars.: *pulchre dicitur apud Graecos et nescio an apud nos aeque resonet: Pinguis venter non gignit sensum tenuem:* Scholl. ad Pers. Sat. I, 56: *tractus sensus ex Graeco versu, quo significatur, ex ventre crasso tenuem sensum non nasci*, ubi opportune nostri versus Pithoeus meminit. Senarius a poeta tragico profectus videtur, quum inter praeclara tragoediae antiquae praecepta collocatus apud Gregorium Naz. carm. iamb. 18, 588 inveniatur. »Admonet adagium, luxu corporis hebetescere mentis aciem. Quemadmodum scribit etiam Horatius [Serm. II, 2, 77]: *nam corpus onustum Hesternis vitiis animum quoque praegravat una, Atque affigit humo divinae particulam aurae:*« Erasmus III, 6, 18: plura in hanc sententiam Gatacker Advers. Miscell. 550 affert: quibus ne nimium tribuas cf. annott. ad Macar. V, 5.

23. Arsen. XIV, 51. Cf. Apost. V, 84.

24. Diog. II, 53: Arsen. XIV, 52. *Αἴγυπτος κτλ.*] Scholl. ad Eurip. Hecub. 869.

'Ινάχου θυγατρὸς καὶ Βήλου. τούτων ὁ μὲν Αἴγυπτος εἶπε παῖδας πεντήκοντα ἄῤῥενας· ὁ δὲ Δαναὸς πεντήκοντα θυγατέρας, ὃς φθονῶν τῷ ἀδελφῷ Αἰγύπτῳ διὰ τὴν τῶν ἀῤῥένων παίδων κτῆσιν καὶ φοβηθεὶς ὅπως μὴ ὑπ' αὐτοῦ ἐκβληθῇ τῆς βασιλείας ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ, ἐδίωξεν αὐτὸν εἰς Αἴγυπτον ἅμα τοῖς παισίν, ὅθεν καὶ ἀπ' αὐτοῦ ἡ χώρα Αἴγυπτος ἐκλήθη. Χρόνου δέ τινος γινομένου καὶ τῶν παίδων ἀνδρωθέντων θαῤῥῶν τῇ τούτων δυνάμει παρεγένετο εἰς τὸ Ἄργος. Ὁ δὲ Δαναὸς φοβούμενος αὐτὸν καὶ πρόνοιαν ποιούμενος τῆς βασιλείας, ἐπιβουλὴν κατὰ τῶν Αἰγύπτου υἱῶν ταύτην ἐσκέψατο· συνέθετο γὰρ τῷ Αἰγύπτῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ· ἑτοίμως δ' ἐπαγγειλάμενος τῷ Αἰγύπτῳ, συνεβούλευσε ταῖς θυγατράσιν ὁ Δαναός, ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας πρὸ τῆς μίξεως τῆς πρὸς αὐτούς, θάνατον ἀπειλήσας ταῖς μὴ τοῦτο ποιησάσαις. Αἱ μὲν οὖν πᾶσαι, ἔχουσαι τὰ ἐκ τοῦ πατρὸς προστάγματα, ἀνεῖλον τοὺς ἄνδρας, μία δὲ μόνη ἐφείσατο τοῦ Λυγγέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἔχουσα πρὸς αὐτόν· οὗτος δὲ σωθεὶς ἐξεδίκησε τοὺς αὐτοῦ ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δαναοῦ καὶ αὐτὸν καὶ τῆς βασιλείας ἐκράτησε τοῦ Ἄργους ἅμα τῇ Κλυταιμνήστρᾳ. καὶ γὰρ ἐκ τούτων Ἄβας, ἐξ οὗ καὶ Προῖτος καὶ Ἀκρίσιος, ἐξ οὗ καὶ Δανάη, ἐξ ἧς Περσεύς.

24a *Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,*
μάτην πονοῦσιν· ἡ δὲ τὸ χρεὼν πόσει
μένουσα, κἀσπούδαστος ἦλθεν εἰς δόμους:· *Εὐριπίδου.*

24b *Γάμους εὐτελεῖς καὶ ἰσοτίμους ποιεῖν*:· *Φίλωνος.*

24c *Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,*
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη.

---

1. *καὶ Βήλου*] *ἀπόγονοι* Scholiasta. *εἶπε*] *ἔσχε* idem: *εἶχε* AR. 7. *διαγινομένου* Scholiasta. 8. *θαῤῥῶν ὁ Αἴγυπτος* idem. 13. *ἑτοίμως δὲ τοῦτο* idem. 17. *πᾶσαι*] *ἄλλαι* idem. *ἔχουσαι*] *τηρήσασαι* idem. 18. *Λυγκέως* idem. 21. *ἅμα καὶ* idem. *αὐτὸν*] *αὐτοῦ* R. *τῆς τούτου* Scholiasta. 22. *Ὑπερμνήστρᾳ* idem. *γὰρ*] *γίνεται* idem. 24. *καὶ Περσεύς* AR. 26. *τῷ χρεὼν* Matthiae. 28. *ποιοῦ* Stobaeus. *Χείλωνος* idem: v. Diog. Laert. I, 70.

24a. Arsen. XIV, 53. XXXVI, 43: Stob. Flor. 70, 1. Eur. Melan. fr. XV Matth.

24b. Arsen. XIV, 54: Stob. Flor. 70, 15.

24c. Arsen. XIV, 55. XV, 69:

25 *Γαλῇ χιτώνιον:* ἐπὶ τῶν τὰ ἑαυτῶν περιβλήματα ἐσθιόντων.

26 *Γαλῆν ἔχεις:* ἐπὶ τῶν ἀποτρεπτικῶν· παρόσον οἱ γαλῆν ἔχοντες οὐκ εὐτυχοῦσιν.

Τὸ γ̄ μετὰ τοῦ ε̄.

27 *Γελοιότερος Μελιτίδου:* ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβοημένων. Μελιτίδης γὰρ ἦν ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ.

ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβών,
σύνεργον οὗτος ἀντὶ δεσποίνης ἔχει,
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον:. Ἱππώνακτος.

24d *Γαμψώνυχας μὴ τρέφειν:* ἀντὶ τοῦ ἅρπαγας φεύγειν.

26a *Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν,* ὅτι
ἀγαθὸν μεθέξεις, ἂν μὴ λάβῃς μικρὸν κακόν:. Μενάνδρου.

26b *Γάμου ἀρίστη* ξυμφωνίη, ἀμφοτέρους σωφροσύνην ἀσκεῖν:. Εὐσεβίου.

26c *Γαστρὸς δὲ πειρῶ* πᾶσαν ἡνίαν κρατεῖν.
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν,
ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον.
ὅστις δὲ μὴ γαστρὸς κρατεῖν ἐπίσταται,
τὰ πλείω τῶν κακῶν ἔχει κακά:. Χάρητος.

---

1. τὰ μὴ Z Ds. 2. ἐσθιόντων] ἐνδυόντων Ds. A addit: *Εὔδημος δέ φησι, Γαλῇ χιτών· αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται καὶ μηδὲν ἀνιέντων· ὁμοία τῇ· Οὐ πρέπει γαλῇ κροκωτός*: Eudemi memoriam unde acceperit Arsenius, non liquet. 3. ἀποτευκτικῶν Ds. 6. γελοιότερον Suidas. διαβεβλημένων m Suidas. 7. Antiqua nominis forma Μελητίδης est, ut ex Aristophane constat: v. Arist. Ran. 991 et L. Dindorfius in Stephani Th. L. Gr. V, 736: serioris vero aetatis grammaticis mendosa scriptura Μελιτίδης tam certa videbatur, ut Eustathius ad Hom. Od. *N*, 1735, 51 a vv. μέλι et Μέλιτος nomen derivaret. 9. δὲ τρυφερῶς] τρυφῶσαν Meinekius. 11. τ' εἰς idem. Post versum quartum duo ad minimum versus exciderunt. Ἱππώνακτος] Ἱπποθόωντος Meinekius Com. Gr. Fr. IV, p. 714. 14. μέγ' ἕξεις Bentleius. 15. ἀσκέειν Stobaeus. 20. γαστρὸς μὴ idem. 21. οὗτος τὰ πλείω idem.

Stob. Flor. 72, 5. Locum ex diversorum poetarum versibus conglutinatum esse Bergkius Poett. Lyr. Gr. p. 524 contendit.

24d. Arsen. XIV, 56: Tryphon in Walzii Rhetor. Gr. T. VIII, 735, Georgius Choeroboscus ibid. 815: ἤγουν μὴ σιτίζειν ἅρπαγας Anonym. ibid. 718 explicat. Inter Symbola Pythagorae refertur: v. Iamblich. Protrept. c. 21, p. 348 Kiessl., Orellius Opusc. Sentent. I, 483.

25. Diog. III, 82: Arsen. XIV, 45: v. Apost. V, 21.

26. Diog. III, 84: Arsen. XIV, 46. Theodorum Prodromum de Rhod. et Dosicl. Am. V, 191 hoc proverbium respexisse Gaulminus ad l. c. p. 506 opinatur.

26a. Arsen. XIV, 47: Stob. Flor. 68, 11. Menand. fr. fab. inc. CII Mein.

26b. Arsen. XIV, 48: Stob. Flor. 74, 41.

26c. Arsen. XIV, 49: Stob. Flor. 17, 3.

27. Suidas: Arsen. XIV, 57. Recensum eorum, qui apud veteres

28 *Γέλως συγκρούσιος:* παρόσον τινὲς γελῶντες τὰς χεῖρας συγκρούουσιν ἢ τοὺς πόδας. τάττεται δὲ ἐπὶ τῶν ἀτάκτως καὶ ἀκόσμως γελώντων.

29 *Γέλως Μεγαρικός:* ἐπὶ τῶν ἀώρως θρυπτομένων· ἤκμαζε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἐπὶ χρόνον.

29a *Γελᾶν ὁ θέλων* μετὰ μειρακίου αἰσχρὰς ὕβρεις κερδήσει καὶ μέμψιν∴ Μοσχίωνος.

29b *Γελᾷ δ' ὁ μωρός,* κἂν τι μὴ γέλοιον ῇ.

---

3. γελώντων] βιούντων male d. 5. ἤκμασε Ds. καὶ γέλως Χῖος A in fine addit: cf. Diog. III, 87.

stultitia celebres facti sunt, egit Eustath. ad Hom. *K*, 552, p. 1669, 45, Aristophanis Byzantii copiis adiutus: τὸν μωρὸν οἴδαμεν σάνναν καλεῖσθαι ὡς ἀπό τινος κυρίου ὀνόματος. καὶ παράγεται Κρατῖνος [T. II, 1, p. 187 Mein.] κωμῳδῶν τοιοῦτον, τὸν Θεοδοτίδην σάνναν. ἐξ ἐκείνων [de Thersite et Elpenore antea dixerat.] δὲ καὶ Κοροίβους τινας [Apost. X, 3.] ἀποσκώπτομεν, μαθόντες τινὰ Κόροιβον εὐήθη Μυγδόνα [scribe Μυγδόνος] Φρύγα τὸ γένος, ὕστατον τῶν ἐπικούρων ἀφικόμενον τῷ Πριάμῳ δι' εὐήθειαν. οὕτως ἔγνωμεν καὶ τὸν ἄφρονα Μαργίτην [Apost. XI, 7.] τὸν ἀπὸ τοῦ μαργαίνειν ὅ ἐστι μωραίνειν. ὃν ὁ ποιήσας [de quo v. Welckerus de cyclo ep. 184.] τὸν ἐπιγραφόμενον Ὁμήρου Μαργίτην ὑποτίθεται εὐπόρων μὲν εἰς ὑπερβολὴν γονέων φῦναι, γήμαντα δὲ μὴ συμπεσεῖν τῇ νύμφῃ ἕως ἀναπεισθεῖσα ἐκείνη τετραυματίσθαι τὰ κάτω ἐσκήψατο. φάρμακόν τε μηδὲν ὠφελήσειν ἔφη, πλὴν εἰ τὸ ἀνδρεῖον αἰδοῖον ἐκεῖ ἐφαρμοσθείη. καὶ οὕτω θεραπείας χάριν ἐκεῖνος ἐπλησίασεν. ὁμοίως καὶ τὸν Μαμμάκουθον [v. Scholl. et intt. ad Arist. Ran. 992. Hesych. s. v., Meinekius Com. Gr. Fr. I, 175.], καὶ τὸν Μελιτίδην, καὶ τὸν Ἀμφιετίδην [Suidas s. γέλοιος habet Ἀμφιστείδης: v. nott. ad Diog. V, 12.], οἳ διαβόητοι ἐπὶ μωρίᾳ ἦσαν, ὧν ὁ Μελιτίδης ἀριθμεῖν τε μὴ ἐπίστασθαι λέγεται εἰ μὴ ἄχρι τῶν πέντε, καὶ ἀγνοεῖν πρὸς ὁποτέρου τῶν γονέων ἀποκυηθείη, καὶ νύμφης μὴ ἅψασθαι, εὐλαβούμενος τὴν πρὸς μητέρα διαβολήν. ὥσπερ δὲ τούτους ἡ ἱστορία λόγου ἠξίωσεν, ἐν οἷς καὶ τὸν τὰ κύματα μετροῦντα Πολύωρον [hoc nomen in Aelian. V. H. XIII, 15 reducendum est, ubi male Πολύδωρον nunc legitur], καὶ τὸν ἐν τῷ καθεύδειν θέμενον ὑδρίαν κενὴν ὑγροῦ πρὸς τῇ κεφαλῇ, καὶ θλιβόμενον τῇ σκληρότητι, καὶ διὰ τοῦτο ἄχυρα παραβύσαντα καὶ τὸ σκεῦος πλήσαντα ἵνα οἱ δῆθεν μαλακὸν εἴη προσκεφάλαιον, οὕτω παρέπληξε ἑαυτῇ καὶ τοὺς ἔμπαλιν πονηροτάτους. Walzius citat Eustath. Opusc. 89, 90 Taf.: οὔτε γὰρ εἰς ἀπλαστίαν ἐμαυτὸν ψευδογραφῶ κατὰ τοὺς πλείους τῶν περὶ ἡμᾶς, ὃ καὶ τοὺς ἀβαθεῖς ἀνθρώπους εἰς Μαμμακούθους καὶ Πολυώρους καὶ Μελιτίδας ἐγγράφων: ib. 103, 48: μὴ ἐκστραφείην εἰς λήθαργον, μηδὲ μεταπλασθείην εἰς Μαμμάκουθόν τινα ἢ Μελιτίδην ἢ τὸν ἕτερον Κόροιβον ἢ εἰς Πολύωρον: addo Geminum in Crameri Anecd. Oxon. III, 227, 25: οὐχ οὕτως ἀνοηταίνουσιν οἱ ἄνθρωποι· οὐχ οὕτως ὁ Πηλεὺς Μελιτίδης, ὡς ἀντὶ Χείρωνος χοίρῳ τὸν ἑαυτοῦ ἐμπιστεύσασθαι Ἀχιλλέα· οὐχ οὕτω Κόροιβος ὁ Ἀλέξανδρος, ὡς τὸ παντάπασιν ἀτελεῖ [?] ἀντ' Ἀριστοτέλους μαθητιῶν: v. ann. ad Diog. V, 56 et Nauckius ad Arist. Byz. Fr. p. 174.

28. Diog. III, 76: Arsen. XIV, 58. DV II, 12.

29. Diog. III, 88: Arsen. XIV, 61.

29a. Arsen. XIV, 62: Max. Conf. Serm. 64, p. 678 Comb. Mosch. fr. 17 Wagn.

29b. Arsen. XIV, 63: Men. Monost. 108 Mein.

30 Γεννητὸς γεγονὼς τήρει τὴν τάξιν: λέγονται δὲ γεννῆται οὐχ οἱ ἐκ γένους καὶ ἀφ᾽ αἵματος προσήκοντες, ἀλλὰ οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φατρίας· οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες νόμῳ τινὶ ἔχοντες κοινωνίαν· τὸ δὲ γένος ἔχει ἄνδρας τριάκοντα, αἱ δὲ φατρίαι ἐκαλοῦντο τριτταί, ὅτι ἐκ τεσσάρων φυλῶν οὐσῶν, εἰς τρία ἑκάστην διεῖλον μέρη· τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φατρίας καὶ τριττὰς δώδεκα, καθάπερ οἱ μῆνες· τὰ δὲ γένη τριάκοντα ἑκάστῃ φατρίᾳ, καθάπερ αἱ ἡμέραι τξε.

31 Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται: ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων.

32 Γεράδρυον μεταφυτεύειν: ἐπὶ τοῦ μὴ δεῖν τοὺς γέροντας ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα προπέμπειν. γεράδρυον γὰρ τὸ γηράσκον φυτόν· δρῦς γὰρ πᾶν φυτὸν γενικῷ ὀνόματι καλεῖται.

33 Γενναῖος εἶ ἐκ βαλαντίου: ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

30a Γεννητόρων ἕκατι κατθανεῖν καλόν.
αὐτὸς τραφεὶς δὲ τῶν φυτευσάντων ὕπο,
καλῶς τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμοις:. Δικαιογένους.

30b Γένους δ᾽ ἔπαινός ἐστιν ἀσφαλέστατος,
κατ᾽ ἄνδρ᾽ ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ,
τρόπους τ᾽ ἄριστος, τοῦτον εὐγενῆ καλεῖν:. Ἀστυδάμαντος.

30c Γεγόναμεν ἅπαξ· δὶς οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτ᾽ εἶναι. Σὺ δὲ τῆς αὔριον οὐκ ὢν κύριος, ἀναβάλῃ τὸν καιρόν· ὁ δὲ πάντων βίος μελησμῷ παραπόλλυται· καὶ διὰ τοῦτο ἕκαστος ἡμῶν ἀσχολούμενος ἀποθνήσκει:. Ἐπικούρου ἡ γενναία αὕτη ὑποθήκη.

---

1. Scribe γεννήτης. λέγονται δὲ Suidas om. 3. συννενημένων R. φρατρίας R Suidas: et sic ubique in sqq. 6. τριττοὶ AR: τριττῦς Suidas. 9. τριττῦς Suidas. 13. Corrige γεράνδρυον. 14. προπέμπειν] προτρέπειν Z Gregorius. 19. Primum versum Cleaeneto, reliquos Dicaeogeni Stobaeus tribuit. 21. νέμεις Stobaeus. 26. ἀναβάλλῃ idem. 27. μελλησμῷ idem. 28. ἡ — ὑποθήκη] Stobaeus ignorat.

30. Arsen. XIV, 64. Λέγονται κτλ.] Suid. s. γεννηταί.
30a. Arsen. XIV, 65: Stob. Flor. 79, 5. 6.
30b. Arsen. XIV, 66: XXV, 47: Stob. Flor. 86, 3.
30c. Arsen. XIV, 67: Stob. Flor. 16, 28.
31. Diog. IV, 7: Arsen. XIV, 69. DV II, 23.
32. Greg. Cypr. M II, 76: Arsen. XIV, 70.
33. Diog. IV, 6: Arsen. XIV, 71. DV II, 22, Apost. VIII. 15.

34 *Γέροντος πόστης δρυϊνὸς πάτταλος:* δημώδης.

35 *Γέρανοι, λίθου καταπεπτωκότος:* ἐπὶ τῶν προνοητικῶς τι ποιούντων· αἱ γὰρ γέρανοι πετόμεναι λίθους φέρουσιν :· *Αἱ γέρανοι γίνονται* μὲν ἐν Θρᾴκῃ· ἣ δὲ χειμεριώτατον χωρίον ἐστὶ καὶ κρυμωδέστατον· καὶ θέρους μὲν κατὰ χώραν μένουσι, φθινοπώρου δὲ ἤδη μεσοῦντος εἰς Αἴγυπτον καὶ Αἰθιοπίαν ἀπαίρουσιν. ὥσπερ οὖν γῆς περίοδον εἰδυῖαι καὶ φύσεις ἀέρων καὶ ὡρῶν διαφοράς, καὶ χειμῶνα ἠρινὸν διαγαγοῦσαι, πάλιν ἔαρος ὑποστρέφουσιν ὀπίσω· ποιοῦνται δὲ ἡγεμόνας τῆς πτήσεως τὰς ἤδη τῆς ὁδοῦ πεπειραμένας· εἶεν δ' ἂν ὡς τὸ εἰκὸς αἱ πρεσβύτεραι· καὶ οὐραγεῖν δὲ τὰς τηλικαύτας ἀποκρίνουσι· μέσαι δὲ αὐτῶν αἱ νέαι τετάχαται. Φυλάξασαι δὲ ἄνεμον οὖρον καὶ φίλον σφίσι καὶ κατόπιν ῥέοντα, χρώμεναί οἱ πομπῷ, καὶ ἐπωθοῦντι ἐς τὸ πρόσω, εἶτα μέντοι τρίγωνον ὀξυγωνίον τὸ σχῆμα τῆς πτήσεως ἀποφήνασαι, ἵνα ἐμπίπτουσαι τῷ ἀέρι διακόπτωσιν αὐτόν, ῥᾷστα τῆς πορείας ἐχόμεναι. ὅταν δὲ προςφερόμενον ἀετὸν ἴδωσι, γενόμεναι κύκλος καὶ κολπωσάμεναι, μηνοειδὲς τὸ μέσον ἀποφήνασαι, ἀπειλοῦσιν ὡς ἀντιταξόμεναι· ὁ δὲ ἀναχωρεῖ καὶ κρούεται τὸ πτερόν. ἀλλήλων δὲ τοῖς πυγαίοις ἐπερείδουσαι τὰ ῥάμφη, εἶτα μέντοι τρόπον τινὰ τὴν πτῆσιν συνδέουσι, καὶ τὸν κάματόν σφισιν εὐκάματον ἀποφαίνουσιν :· *Ἔτι περὶ τῶν αὐτῶν.* *Αἱ γέρανοι* ἐξ Αἰγύπτου ὥρᾳ θέρους ἀνιστάμεναι, οὐκ ἀνεχόμεναι τὸ θάλπος, τείνασαι τὰς πτέρυγας ὥσπερ ἱστία φέρονται διὰ τοῦ ἀέρος εὐθὺ τῆς Σκυθῶν γῆς· ἅτε δὲ οὐκ ἐν ῥυθμῷ ὂν τὸ ζῷον, ἀλλ' ἐμβριθὲς μὲν τὰ μέσα, μακρὸν δὲ κατὰ τὸν αὐχένα, κοῦφον δὲ κατὰ τὸ οὐραῖον, ἀραιὸν δὲ κατὰ τὰς πτέρυγας, ἐσχισμένον δὲ κατὰ

---

1. Scribe *πόσθη.* δημώδης] ἡ παροιμία AZ addunt. 2. λίθους καταπεπωκυῖαι Suidas ex Arist. Av. 1137. 3. αἱ — φέρουσι] pluribus exponit Suidas duce Schol. ad Aristoph. l. c. 5. χωρίων As. κρυμωδέστατον] addit As quaedam de gruum erga patriam amore. καὶ θέρους μὲν] τοῦ μὲν γὰρ θέρους As. 7. Αἴγυπτόν τε καὶ Λιβύην ἀπαίρουσι καὶ Αἰθιοπίαν As. γὰρ οὖν As. 8. διαφοράς, στέλλονται αἱ πᾶσαι, καὶ χ. ἠρ. δ., πάλιν ὅταν ὑπεύδια ἄρξηται καὶ εἰρηναῖα τὰ τοῦ ἀέρος ὑποστρέφουσιν As. 17. *ἔχονται* As. Sequuntur quaedam de Persarum rege Susa et Ecbatana migrante. 18. αἰετὸν αἱ γέρανοι θεάσωνται As.

34. Arsen. XIV, 68. — ἀποφαίνουσι] Aelian. N. An. III,
35. Suidas: Arsen. XIV, 72. *Αἱ* 13. *Αἱ γέρανοι — πτῆσιν*] Maxim.

τὰ κῶλα, κλυδωνίζεται τὴν πτῆσιν, ὥσπερ ναῦς χειμαζομένη· τοῦτο γνοῦσα ἡ γέρανος ἢ αἰσθομένη ἢ πειραθεῖσα οὐ πρότερον ἀνίπταται, πρὶν ξυλλάβῃ λίθον τῷ στόματι, ἕρμα εἶναι αὐτῇ πρὸς τὴν πτῆσιν:. Κυβερνήτης ἰδὼν ἐν πελάγει μέσῳ γεράνους ὑποστρεφούσας καὶ τὴν ἔμπαλιν πετομένας, συνεῖδεν ἐναντίου προςβολὴν πνεύματος. καὶ τῶν ὀρνέων μαθητὴς γενόμενος παλίμπλους ἦλθε καὶ τὴν ναῦν περιέσωσεν.

36 *Γέρων βοῦς ἀπένθητος δόμοισιν: ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.*

37 *Γέρων πίθηκος ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται: ἐπὶ τῶν ἅπαξ δυςτυχησάντων.*

38 *Γέλως Ἰωνικός: ἐπὶ τῶν ἐκλελυμένων· εἰς τοῦτο γὰρ οἱ Ἴωνες διαβάλλονται.*

39 *Γέροντα δ' ὀρθοῦν φλαυρόν, ὃς νέος πέσοι.*

35a *Γέροντι μηδέποτε μηδὲν χρηστὸν ποιεῖν: παραινεῖ, μηδένα ἀκαίρως εὐεργετεῖν.*

36a *Γέρων ὀλίγα φοβεῖται: δήλη.*

37a *Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ: τοῦτ' ἠρώτησε Διονύσιος Ἡρακλείδην· Ἡρακλείδης δ' ἀπεκρίθη πρὸς Διονύσιον· γέρων πίθηκος ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται. Ἐπὶ τῶν ἅπαξ δυςτυχησάντων.*

38a *Γεύεται πίσσης ὁ μῦς: ἐπὶ τῶν ἀξίως τιμωρουμένων.*

---

1. *κλυδάζεται* Maximus. 2. *αἰσθανομένη* idem. 3. *ξυλλαβεῖν* AZ. 6. *προςβολῇ πνεύματος ἐκείνας ἀποστῆναι τοῦ πρόσω· καὶ* As. 7. *ὡς ἂν εἴποις μαθητὴς* As. 11. *γ. πίθηκος οὐχ ἁλίσκεται πάγῃ· ἁλίσκεται μέν, κτλ.* Suidas. 16. *μηδὲν μηδέποτε* Meinekius Com. Gr. Fr. IV, 699.

Tyr. Diss. I, 12, p. 214 R. *Κυβερνήτης κτλ.*] Aelian. N. An. III, 14. Cf. Append. Provv. I, 70.

35a. Arsen. XIV, 74: Diog. III, 89. Cf. Apost. XI, 56.

36. Suidas: Arsen. XIV, 76. DV II, 25.

36a. Arsen. XIV, 77. Herodis Attici dictum: v. Philostr. V. Sophist. II, 1, 11, p. 561 Ol.

37. Suid. v. *γέῤῥον*, s. *πίθηκος*. Cf. infr. 37a.

37a. Arsen. XIV, 78. Ex Diog. Laert. V, 93 petita sunt.

38. K in nott. ad Diog. III, 87: Arsen. XIV, 59. 73. Greg. Cypr. L I, 75. De Ionum moribus cf. Apost. IV, 73. nott. ad Macar. VII, 92.

38a. Arsen. XIV, 60. Explicatio singularis: v. nott. ad Diog. II, 64. DV I, 72. Apost. III, 81.

39. Greg. Cypr. M II, 51: Arsen. XIV, 75.

Τὸ γ̃ μετὰ τοῦ η̃.

40 Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος: ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

41 Γῆρας λέοντος κρεῖσσον ἀκμαίων νεβρῶν.

42 Γῆς ἔντερα: ἐπὶ τῶν μηδενὸς ἀξίων.

43 Γηρᾷ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ: ἐπὶ τῶν γεγηρακότων καὶ μηκέτι χρησιμευόντων.

40a Γῆ καὶ θάλασσα οὐρανομήκης: ἐπὶ τῶν σφόδρα ὀργιζομένων.

41a Γῆρας διδάσκει πάντα, καὶ χρόνου τριβή:. Σοφοκλέους.

41b Γῆρας καὶ πενία, δύο τραύματα δυςθεράπευτα:. Ἡρώδου.

41c Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει, καὶ πᾶσιν ἐνδεῖ:. Δημοκρίτου.

41d Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
μέμφεται· ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

41e Γῆς ἐπέβην γυμνός· γυμνὸς δ' ὑπὸ γαῖαν ἄπειμι.
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;:. Λουκιανοῦ.

41f Γῆς βάρος: ἐπὶ τῶν ἀχρήστων.

41g Γῇ κρύψας ἔχεις: ἐπὶ τῶν φθονούντων.

---

2. δ' αἰεὶ Solon. 4. λεόντων A Stobaeus. Ἱπποθόου in fine A addit: Ἱπποθόωντος Stobaeus. 6. βοΐ] βίῳ Aam. 11. Ἡροδότου Z. Φίλωνος ut videtur, Antonius Mel. p. 244 Fabr., Δημοκρίτου Maximus. 13. Δισσοκρίτου Z: vitium iam Fabric. B. Gr. III, 290 notavit. 15. Μενεκράτους praemisit Stobaeus. 16. θ' ὑπὸ Anthologia. 19. γῇ κρύψαν ἔχει Scholia.

40. Diog. III, 80: Arsen. XIV, 79. Greg. Cypr. L I, 79.

40a. Arsen. XIV, 80: DV II, 14.

41. Stob. Flor. 115, 14: Arsen. XIV, 81. Menandro adscribitur versus in Crameri Anecd. Oxon. IV, 254: Democritum auctorem nominat Maximus Conf. Serm. 41, p. 636 Comb., quod recte Mullachius ad Democr. fr. p. 332 reiecit, ceterum mira narrans de Euripidis Hippothoonte fabula: de Hippothoonte poeta v. Welckerus Trag. Gr. III, 1099. Similia composuit Berglerus ad Aristoph. Vesp. 1105.

41a. Arsen. XIV, 82: Stob. Flor. 115, 8. Soph. fr. 586 Dind.

41b. Arsen. XIV, 83. XVI, 85: Maxim. Conf. Serm. 41 fin. Democrito male tribui Mullachius ad Democr. fr. p. 332 exposuit: Georg. in Boiss. Anecd. I, 24 et Orion Ritschelii p. V de auctore tacent.

41c. Arsen. XIV, 84: Stob. Flor. 116, 41. Democr. fr. 219 Mull., quem v. p. 315 sq.

41d. Arsen. XIV, 85. XVI, 81: Stob. Flor. 116, 27.

41e. Arsen. XIV, 86: Anton. Mel. 229 Fabr. Georg. in Boiss. Anecd. I, 22. Est Palladae: v. Anth. Palat. X, 58.

41f. Arsen. XIV, 87: Diog. III, 90. Greg. Cypr. M II, 55.

41g. Arsen. XIV, 88: Scholl. ad Aristid. 332 Fromm.

42. Diog. III, 91: Arsen. XIV, 89. Mac. II, 99.

43. Diog. III, 86: Arsen. XIV, 90. Greg. Cypr. L I, 80.

Τὸ γ̃ μετὰ τοῦ ι̃.

44 *Γιγάντων ἀπόνοια:* ἐπὶ τῶν ἀθέων καὶ ἀσεβῶν· παρόσον κἀκεῖνοι τοιοῦτοι.

Τὸ γ̃ μετὰ τοῦ λ̃.

45 *Γλαύκου τέχνη:* ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων. ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων· ἐπειδὴ οὗτος εὗρε σιδήρου κόλλησιν, Χῖος ὤν.

46 *Γλαῦκα Ἀθήναζε:* καί· *Γλαῦκα Ἀθηναίοις:* ἐπὶ τῶν τοιαῦτα ἀλλαχόθεν ἐμπορευομένων πρὸς τοὺς ἄφθονα ἔχοντας.

47 *Γλαῦκος ἄλλος ἱππόβρωτος:.* Φασίν, ὅτι οὗτος κατεβρώθη ὑπὸ τῶν ἵππων ἀγνοοῦντες, ὅτι ἱπποτροφῶν, καὶ τῶν οἰκείων οὐδενὸς ἐπιμελούμενος ἐπετρίβη καὶ ἐπέλιπεν αὐτὸν ὁ βίος.

48 *Γλαῦκος πιὼν μέλι, ἀνέστη:* ἐπὶ τῶν κηρυχθέντων, ὅτι ἀπέθανον, εἶτα φανερουμένων:. *Γλαύκου ἀποθανόντος,* οὐ τοῦ Σισύφου, ἐπὶ τῷ μέλιτι, ὁ Μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ Κοιράνου Πολύειδον, ὃς ἦν ἐκ τοῦ Ἄργους. ὃς ἰδὼν δράκοντι πόαν ἐπιθέντα τεθνεῶτι καὶ ἀναστήσαντα αὐτόν, καὶ οὗτος τὸ αὐτὸ ποιήσας εἰς τὸν Γλαῦκον ἀνέστησε. Τοῦτο δὲ ἀδύνατον. ἐγένετο δὲ

44a *Γίνωσκε τἀνθρώπια* μηδ' ὑπερμέτρως
ἄλγει· κακοῖσι γὰρ οὐ σὺ πρόςκεισαι μόνη:. Εὐριπίδου.

44b *Γλαῦξ γὰρ ἡμῶν* πρὶν μάχεσθαι τὸν στρατὸν διέπτατο.

---

12. ὅτι καὶ Ps. 13. οὐδὲν ἐπιμελ. καὶ μεγάλας δαπάνας ποιούμενος ἐπετρίβη Ps. 14. *ἀπέλιπεν* Ps. αὐτὸν N om. 16. φανερωθέντων ερουμένων A. 17. οὐ τ. Σ. Ps om. ἐπὶ τῷ μέλιτι] ἐν πίθῳ μέλιτος Valckenarius. 19. *δράκοντα ἑτέρῳ* δράκοντι N Ps. δράκοντι] δράκοντα A. 20. *οὕτω* Ps. εἰς Fischerus eiecit. 22. *γίγνωσκε τἀνθρώπεια* Stobaeus. 23. *κακοῖς* idem.

44. Arsen. XIV, 91.
44a. Arsen. XIV, 92: XLIV, 36: Stob. Flor. 124, 7. Eurip. Inus fr. 21 Matth.
44b. Arsen. XIV, 93: Arist. Vesp. 1124. Greg. Cypr. L I, 85: Apost. V, 54.
45. Arsen. XIV, 94. Ἐπὶ — εἰργασμένων] Scholl. Plat. 381 Bekk. Ἐπειδὴ κτλ.] Suid. s. γλαῦξ. Macar. II, 100.
46. Arsen. XIV, 95. DV II, 13: v. Apost. V, 55.
47. Arsen. XIV, 96. φασὶν κτλ.] Palaeph. Incr. 26.
48. Arsen. XIV, 97. Γλαύκου κτλ.] Palaeph. Incr. 27. De Glauco v. Zenob. I, 47.

τοιόνδε τί· Γλαῦκος πιὼν μέλι, ἐταράχθη· χολῆς δὲ πλείονος αὐτῷ κινηθείσης ἐλυποθύμησεν ὁ Γλαῦκος. ἀφίκοντο οὖν οἵ τε ἄλλοι ἰατροί, ἅτε δὴ χρήματα ληψόμενοι, ἀλλὰ δὴ καὶ Πολύειδος. ὃς ἰδὼν τὴν πόαν ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ὄνομα ἦν Δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος, ὑγιᾶ ἐποίησε τὸν Γλαῦκον. ἔλεγον οὖν τινες, ὅτι Πολύειδος τὸν Γλαῦκον ὑπὸ μέλιτος θανόντα ἀνέστησεν· ἀφ' ὧν τὸν μῦθον ἐπλάσσαντο.

49 *Γλαῦκος φαγὼν πόαν οἰκεῖ ἐν θαλάττῃ*: ὁμοία τῇ προτέρᾳ. *Ἄιδεται* ὅτι Γλαῦκος ὁ θαλάττιος φαγὼν πόαν, ἀθάνατος ἐγένετο καὶ νῦν ἐν θαλάττῃ οἰκεῖ. τὸ δὲ τῇ πόᾳ ταύτῃ μόνον Γλαῦκον ἐντυχεῖν, καὶ λίαν ἔνι γε εὐηθές, τό τε ἄνθρωπον ἐν θαλάσσῃ ἢ ἄλλο τι τῶν χερσαίων ζῆν. Ἔχει δὲ τὸ ἀληθὲς οὕτως· Γλαῦκος ἦν ἀνὴρ ἁλιεὺς Ἀνθηδόνιος· ἦν δὲ κολυμβητής, ἐν τούτῳ ὑπερφέρων πάντων κολυμβητῶν. κολυμβῶντα δὲ ἐν τῷ λιμένι ὁρώντων αὐτὸν τῶν πολιτῶν, αὐτὸς διακολυμβήσας εἴς τινα τόπον, καὶ μὴ ὠφθεὶς τοῖς οἰκείοις ἡμέρας ἱκανάς, διακολυμβήσας πάλιν, ὤφθη αὐτοῖς. πυνθανομένων δὲ τῶν οἰκείων, ποῦ διέτριβεν, αὐτὸς ψευδόμενος ἔφη, Ἐν τῇ θαλάττῃ· καὶ συγκλείων εἰς αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἐλέγετο τοῖς πολίταις, τίνας βούλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς· καὶ κομίζων οὓς ἂν ἤθελον, Γλαῦκος θαλάσσης ἐκλήθη. καὶ περιτυχὼν θηρίῳ θαλαττίῳ ἀπώλετο· μὴ ἐλθόντος δὲ αὐτοῦ ἐκ τῆς θαλάττης ἐμύθευσαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάττῃ οἰκεῖ κἀκεῖ μένει.

---

1. αὐτῷ πλείονος Ps. 2. ἐλειποθύμησεν Ps. 3. δ' οὖν N Ps. τε δὴ Ps. 8. ἐπλάσαντο W: οὗ et ἔπλασαν Westermannus. 10. Γλαῦκος ὁ θαλάττιος] καὶ οὗτος ὁ Γλαῦκος Ps. 11. πόαν φαγών ποτε Ps, φ. πόαν ποτὲ Z. τῇ θαλάττῃ Ps. 15. Ἀνθηδόνιος τὸ γένος idem. ὑπερφέρων] διαφέρων Westermannus. 16. πάντων τῶν κ. Fischerus, τῶν ἄλλων Westermannus, om. v. κολυμβητῶν. κολυμβῶντος Fischerus. 17. πολιτῶν] ἐν τῇ πόλει Ps. αὐτὸς uncis Westermannus inclusit. 18. ὀφθεὶς Ps. ἐπὶ ἡμέρας Z Ps. 20. διέτριψεν Westermannus. αὐτὸς idem delevit. 21. αὐλὸν Westermannus correxit. 22. ἰχθῦς idem. 23. ἔλεγε N, καὶ ἔλεγε Fischerus, ἐπυνθάνετο τῶν πολιτῶν Westermannus. τίνας δὴ idem. 25. θαλάττιος Z Ps. 26. ἐξελθόντος Westermannus. αὐτοῦ idem delet. 27. ὡς κτλ.] καὶ ἐν θαλάττῃ τοῦ λοιποῦ διάγοντα Westermannus.

49. Arsen. XIV, 98. Palaeph. Incr. 28. Cf. Valckenarius ᾄδεται κτλ.] Diatr. Eurip. 201 Lugd., Welckerus Trag. Gr. II, 768.

50 *Γλυκὺς ἀγκών*: οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκέα ἤθη. ἔστι δὲ παροιμία, ὡς ἐπιφωνούμενον· οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι· γέρων αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος· ὦ χρυσοῦν ἀνάθημα, ὦ γλυκὺς ἀγκών. ὡς εἴ τις εἴποι· ὦ γλυκὺς πῆχυς.

51 *Γλυκὺς ἀπείρων πόλεμος*: ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους.

52 *Γλυκεῖα ὀπώρα φύλακος ἐκλελοιπότος*: ἐπὶ τῶν ἄνευ μόχθου τἀλλότρια καρπουμένων.

53 *Γλῶσσα ποῦ πορεύῃ· πόλιν ἀνορθώσασα, καὶ πάλιν καταστρέφουσα;* ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόντων ἢ ὠφελούντων.

51a *Γλυκὺς κρατὴρ* ἀγαφθέγκτων ἀοιδᾶν.

52a *Γλυκεῖά οἱ καρδίαν* ἀτάλλοισα γηροτρόφος ξυναωρὶ ἐλπὶς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ:.

53a *Γλώσσης μάλιστα* πανταχοῦ πειρῶ κρατεῖν.
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιωπὴν κεκτημένη:. Χάρητος ἡ ὑποθήκη.

53b *Γλῶσσα βλάσφημος* διανοίας κακῆς ἔλεγχος.

53c *Γλώσσης τοι θησαυρὸς* ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης:. Ἡσιόδου.

53d *Γλώσσῃ θρασείᾳ* μὴ χρῆσθαι· πολλάκις γὰρ τὸ θράσος καὶ αὐτὴν διώλεσε τὴν κεφαλήν:. Σωκράτους.

53e *Γλῶσσαν μίαν* τοῖς ἀνθρώποις ἡ φύσις δέδωκε, δύο δὲ ὦτα, ἵνα διπλάσιον ὧν λέγομεν παρ' ἑτέρων ἀκούωμεν:. Ἐπικτήτου.

---

1. ἄγων R. 4. δ' αὐτῷ Suidas. 7. ἀπείρῳ Ds. 9. Corrige γλυκεῖ'. 11. ποῖ Suidas. πόλιν] πάλιν NROH: v. Gregorius. 12. καταστρέψασα A Suidas. 14. κρητὴρ Pindarus. 15. ξυναορεῖ Stobaeus, συναορεῖ Boeckhius. 19. σιωπὴν] σιγὴν καιρίαν Stobaeus. 26. διπλασίονα Maximus. Ἐπικτήτου] Ζήνωνος Ab, Diog. Laert. VII, 23, Δημοκρίτου Georgides in Boiss. Anecdd. I, 24.

50. Suidas: Arsen. XIV, 99. Greg. Cypr. L I, 86. VV. DD. de Platonis loco coniecturas v. apud Meinekium Com. Gr. Fr. II, 2, 677.

51. Diog. III, 94: Arsen. XIV, 100. DV II, 16.

51a. Arsen. XV, 1: Pind. Ol. VI, 91.

52. K in nott. ad Diog. III, 95: Arsen. XV, 2. DV II, 17.

52a. Arsen. XV, 3: Stob. Flor. 94, 22. Pind. fr. inc. 130 Boeckh.

53. Suidas: Arsen. XV, 7. DV II, 24.

53a. Arsen. XV, 8: Stob. Flor. 33, 4.

53b. Arsen. XV, 9. VII, 30: Max. Conf. Serm. X, p. 562 Comb.: Rufin. Sent. 74 in Orellii Opusc. Sent. I, 253: *lingua maliloqua indicium est mentis malae.* Plutarcho Maximus adscribit.

53c. Arsen. XV, 10. VII, 29: Stob. Flor. 35, 1. Hesiod. Op. et D. 717.

53d. Arsen. XV, 11. VII, 31: Maxim. Conf. Serm. 40, p. 633 Combef.

53e. Arsen. XV, 12. XVIII, 14:

54 *Γλαῦξ ἵπταται· ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον τοῖς Ἀθηναίοις ἐνομίζετο. λέγεται ἐπὶ τῶν αἰσίοις χρωμένων οἰωνῷ.*

55 *Γλαῦκα εἰς Ἀθήνας: ἐπὶ τῶν ἐπιδεικνυμένων πρὸς τοὺς εἰδότας ἅπερ ἄμεινον αὐτοῦ ἴσασιν, ὅτι πολλοὶ εἰς Ἀθήνας γλαῦκες:· Γλαῦξ ἐπί τινα πρᾶξιν σπουδῆς ἐχομένην ἀνδρὶ ὡρμημένῳ συνοῦσα καὶ ἐπιστᾶσα, οὐκ ἀγαθὸν σύμβολον, φασίν:· Ἐν τῇ Κρήτῃ γλαῦκα μὴ γίνεσθαί φασι τὸ παράπαν, ἀλλὰ καὶ εἰςκομισθεῖσαν ἀποθνήσκειν:· Τὸν ἄῤῥενα ἡ θήλεια νικήσασα ὄρνιν ἐν τῇ μάχῃ, ἁμβρύνεταί τε ὑφ' ἡδονῆς, καὶ καθίησι κάλλη, καὶ φρονήματος ὑποπίμπλαται καὶ βαίνει μακρότερα.*

53f *Γλῶσσα δέ ἐστι τότε τοῦ λόγου ὄργανον. ἥ τε παρὰ τῶν ἐθνῶν ὁμιλία παρηλλαγμένη καὶ ἡ διάλεκτος. διάλεκτοι δέ εἰσιν ἑλληνικαὶ πέντε· ἰὰς, ἤτοι ἡ τῶν Ἰώνων, ἡ ἀπὸ τοῦ Ἴωνος τοῦ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς τὴν κλῆσιν ἐσχηκυῖα· ἣν ἔγραψεν Ὅμηρος. ἀτθὶς δὲ ἡ τῶν Ἀττικῶν ἀπὸ Ἀτθίδος τῆς Καρνέου θυγατρός· ἣν ἔγραψεν Ἀριστοφάνης. δωρὶς δὲ ἡ τῶν Δωριέων ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός· ἣν ἔγραψε Θεόκριτος. αἰολὶς δὲ ἀπὸ Αἰόλου τοῦ Ἕλληνος παιδός· ἣν ἔγραψε Ἀλκμαίων. κοινὴ δέ, ᾗ πάντες χρώμεθα, ἥν, φασί, ἔγραψε Πίνδαρος.*

55a *Γλώσσῃ ματαίᾳ ζημία προςτρίβεται.*

---

1. *διίπταται* A. 2. *αἰσιῷ* Ds. Peculiari modo in Bekk. Anecd. I, 232, 30 explicatur: *Γλαῦξ ἔπτατο: παροιμία ἐπὶ τῶν νενικηκότων, ὅτι πρὸ τῆς μάχης ἐν Σαλαμῖνι γλαῦκά φασι διαπτῆναι, τὴν νίκην τοῖς Ἀθηναίοις προσημαίνουσαν. Θεμιστοκλέους γὰρ πέμψαντος αὐτούς, περὶ τῆς ναυμαχίας ποιουμένου τὸν λόγον, γλαῦκα περὶ τὸ δεξιὸν μέρος τοῦ κέρως ὀφθῆναι*: cf. Sintenis ad Plut. Themist. 12. 6. *ἡ γλαῦξ* As. 11. *ἀβρύνεται* As. *ἡδονῆς ὁ τράχηλος αὐτῆς* As Z. *κάλλη, οὐκ ἐς τοσοῦτον μὲν εἰς ὅσον καὶ οἱ ἀλεκτρυόνες, καθίησι δ' οὖν, καὶ* As. 18. Scribe *Κραναοῦ*. 21. Corrige *Ἀλκαῖος*.

Maxim. Conf. Serm. 47, p. 647 Combef. unde inter fragmenta Epicteti, 142 Schweigh.², relatam est. De sententia Menagius ad Diog. VII, 23. disputavit.

53f. Arsen. XV, 13: similia e cod. Schellersh. a Sturzio ad calcem Etym. Gud. p. 674 edita sunt: add. Ioann. Gramm. in Hortis Adon. 235. Greg. Corinth. 9. 642 Schaef.

54. K in nott. ad Diog. III, 72 et Diog. III, 93: Arsen. XV, 4. Greg. Cypr. L I, 85.

55. Greg. Cypr. M II, 64: Arsen. XV, 5: v. sup. 46. *Γλαῦξ — φασίν*] Aelian. N. A. X, 37. *ἐν τῇ — ἀποθνήσκειν*] id. ib. V, 2. *τὸν κτλ.*] id. ib. V, 5: dicuntur autem haec ab Aeliano non de noctuis, sed de gallis ob victoriam superbientibus.

55a. Arsen. XV, 6: Stob. Flor. 36, 17. Menand. Monost. 111. Est Aesch. Prom. V. 329.

Τὸ γ̃ μετὰ τοῦ ν̃.

56 *Γνῶθι σαυτόν:* ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων.

Τὸ γ̃ μετὰ τοῦ ὄ.

57 *Γόργειον βλέπει:* ἐπὶ τῶν ἀγρίως βλεπόντων.

58 *Γοργόνα Περσεὺς ἐχειρώσατο:* ἐπὶ τῶν πάνυ τι γενναῖον κατωρθωκότων:. *Φασὶ τὸν Φόρκυνα* τρεῖς ἐσχηκέναι θυγατέρας, αἵ τινες ἕνα ὀφθαλμὸν ἔχουσαι, ἀνὰ μέρος ἐχρῶντο· τούτῳ δὲ ἡ χρωμένη ἐνετίθει αὐτῆς εἰς τὴν κεφαλὴν καὶ οὕτως ἔβλεπε· καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ ἀποδιδούσης τὸν ὀφθαλμὸν ἔβλεπον πᾶσαι. ἐλθὼν δ' ὁ Περσεὺς ὀπίσω αὐτῶν ἐν ἠρεμαίῳ βαδίσματι, κρατήσας τὸν ὀφθαλμὸν κατέχων καὶ ξίφος γεγυμνωμένον, φησὶ δεῖξαι αὐτῷ τὴν Γοργόνα· ἐὰν δὲ μὴ φράσωσιν, ἀποκτεῖναι αὐτάς. αἳ φοβούμεναι φράζουσιν. ὁ δὲ ἀποτεμὼν τὴν κεφαλὴν τῆς Γοργόνος εἰς ἀέρα ἦλθε, καὶ δείξας ταύτην τῷ Πολυδεύκῃ

56a *Γνῶθι σεαυτὸν*, ἄριστε, πόθεν καὶ ὅστις ἐτύχθης·
ῥεῖα μὲν ὧδε τύχης κάλλεος ἀρτετύπου.

56b *Γνῶμαι πλέον κρατοῦσιν*, ἢ σθένος χερῶν:. Σοφοκλέους.

56c *Γνώμη δὲ κρείσσων ἐστίν*, ἢ ῥώμη χερῶν:. Ἀγάθωνος.

56d *Γνώμῃ γὰρ ἀνδρὸς* εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκοι, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλημα τὰς πολλὰς χέρας
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλέον κακόν:. Εὐριπίδου.

56e *Γνώμης γὰρ ἐσθλῆς* ἔργα χρηστὰ γίνεται.

56f *Γνώμων εἶ:* ἀντὶ τοῦ κανὼν καὶ ἀκριβὴς σταθμή.

---

6. φασὶ — θυγατέρας] καὶ περὶ τούτων πολὺ γελοιότερος φέρεται λόγος, ὡς ὁ Φόρκυς εἶχε θυγ. τρεῖς Ps. 8. ἐχρῶντο τούτῳ. τούτων δὲ Ps. 8. αὐτὸν Z Ps. 11. κρατήσας τὴν κατέχουσαν τ. ὀφ. καὶ τὸ ξίφος γυμνώσας Ps. 14. αἳ δὲ Westermannus. 15. ἀέρα] Σέριφον idem. Πολυδέκτῃ Ps. 21. οἶκος Stobaeus. 22. ἓν εὐβούλευμα A.

56. Greg. Cypr. L I, 76: Arsen. XV, 15. DV II, 10.

56a. Arsen. XV, 16. XVII, 21: Max. Conf. Serm. 56, p. 662 Comb., ubi Gregorio Nazianzeno versus adscribuntur.

56b. Arsen. XV, 17: Stob. Flor. 54, 3. Soph. fr. 676 Dindf.

56c. Arsen. XV, 18. XLVII, 45: Stob. Flor. 54, 4.

56d. Arsen. XV, 19. XLVII, 46: Stob. Flor. 54, 5. Eurip. Antiop. fr. 31 Matth.

56e. Arsen. XV, 20: Menand. Monost. 112.

56f. Arsen. XV, 21: cf. Etym. M. 236 fin., Bekk. Anecd. I, 233, 17. Suid. v. γνώμη. Hesychius.

57. Arsen. XV, 22: cf. Etym. M. 238, 47: γοργεῖα: τὰ τραγικὰ προσωπεῖα. ἔνιοι μορμολυκεῖα: add. Hesych. s. v. Fons dictionis est Hom. Il. Θ, 349: Γοργοῦς ὄμματ' ἔχων.

58. Arsen. XV, 23. Φασὶ κτλ.] Palaeph. Incred. 32.

λίθινον τοῦτον ἐποίησε. Τοῦτο δὲ γελοῖον, τὸ ἄνδρα ζῶντα νεκροῦ κεφαλὴν ἰδόντα ἀπολιθωθῆναι. τίς γὰρ δύναμις τοῦ νεκροῦ; ἐγένετο δὲ τοιοῦτόν τι· Φόρκυς ἦν ἀνὴρ Κυρηναῖος. οἱ δὲ Κυρηναῖοι κατὰ γένος μέν εἰσιν Αἰθίοπες· οἰκοῦσι δὲ νῆσον τὴν Κύρνον, ἔξω οὖσαν τῶν Ἡρακλείων στηλῶν. ἀροῦσι δὲ Λιβύην περὶ τὸν Αὔνονα πόταμον κατὰ Καρχηδόνα. εἰσὶ δὲ σφόδρα χρυσοί. ὃς Φόρκυν ἐβασίλευε τῶν Ἡρακλείων στηλῶν· εἰσὶ δὲ τρεῖς· καὶ ποιεῖ τετράπηχυ ἄγαλμα Ἀθηνᾶς χρυσοῦν. καλοῦσι δὲ τὴν Ἀθηνᾶν Κυρηναῖοι Γοργόνην, ὥσπερ τὴν Ἄρτεμιν Θρᾷκες Βένδειαν, Κρῆτες δὲ Δίκτυνναν, Λακεδαιμόνιοι δὲ Οὖπιν. Ὁ μὲν οὖν Φόρκυν ἀποθνήσκει πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ ἄγαλμα. κατέλιπε δὲ κόρας τρεῖς, Σθενώ, Εὐρυάλην καὶ Μέδουσαν. αὗται γήμασθαι μὲν οὐδενὶ ἠβουλήθησαν, διελόμεναι δὲ τὴν οὐσίαν ἑκάστη ἦρχε νήσου. Τὴν δὲ Γοργόνα οὔτε ἀναθῆναι τῷ ἱερῷ αὐταῖς ἐδόκει οὔτε διελεῖν, ἀλλ' ἐν μέρει κατετίθεντο ἐναλλὰξ θησαυρὸν ἑαυταῖς· ἦν δὲ τῷ Φόρκυνι ἑταῖρος καλὸς καὶ ἀγαθός, καὶ αὐτῷ ἐν παντὶ πράγματι ἐχρῶντο ὥσπερ ὀφθαλμῷ. Περσεὺς δ' ἀνὴρ φυγὰς ἐξ Ἄργους ἐληΐζετο τὰ κατὰ θάλατταν, ἔχων πλοῖα καὶ ἰσχύν τινα περὶ αὐτόν. Πυθόμενος δὲ ταύτην τὴν Γοργόνα βασίλισσαν εἶναι γυναικῶν καὶ πολύχρυσον μέν, ὀλίγανδρον δέ, πρῶτα μὲν ναυλοχεῖ ἐν τῷ πορθμῷ καὶ μεταξὺ τῆς Κυρήνης καὶ τῆς Σάρδεων διαπλέων τὰ παρὰ τῆς ἑτέρας εἰς τὴν ἑτέραν τὸν ὀφθαλμὸν λαμβάνει. ὧν μία φράζει αὐτῷ, ὅτι ἄλλο οὐδὲν ἔχει λαβεῖν παρ' αὐτῶν, εἰ μὴ

58a *Γονέων* δὲ ἀμελῶν οὐκ ἄνθρωπος ξύμβουλος νοῦν ἔχων ποτὲ γένοιτ' ἂν οὐδεὶς οὐδένι:. Πλάτωνος.

---

1. καὶ τοῦτο δὲ γελοιότερον Ps. 3. Φόρκυν Ps. Κερναῖος Ps. 4. Κερναῖοι Ps. 5. Κέρνην Ps. 6. Ἄννωνα Ps. 7. ὃς Φόρκυν] οὗτος ὁ Φόρκυν Ps. 8. τῶν νήσων τῶν ἔξω τῶν Ἡρακλείων στηλῶν Westermannus. τρεῖς. καὶ] τρεῖς αὗται· idem. ποιεῖ δὲ Ps. 9. Κερναῖοι Ps. 10. Γοργὼ Ps. 12. Φόρκυς Westermannus. 14. μὲν γήμασθαι Ps. 15. μιᾶς ἦρχε Ps. Γοργὼ Ps. 16. οὔτε που ἀναθεῖναι εἰς τὸ ἱερὸν αὐταῖς Ps. 18. ἀγαθὸς ἀνὴρ Ps. 20. τὴν θάλατταν Z Westermannus. 21. ταύτην — βασίλισσαν] ταύτῃ .. βασιλείαν idem. 24. Κέρνης Ps. Σαρδέων] Γαδειρέων Ps. 25. ὧν μία] οὗτος δὲ Ps. 26. ἄλλο μὲν EZ Ps. λαμβάνειν Z. 27. οὔτε θεὸς οὔτ' ἄνθρωπος Plato. ἔχων ξύμβουλός ποτε idem.

58a. Arsen. XV, 24: Stob. Flor. 79, 34. Est Plat. Legg. XI, 930 E.

τὴν Γοργόνα· μηνύει δὲ αὐτῷ τὸ πλῆθος τοῦ χρυσοῦ. αὗται οὖν αἱ κόραι, ἐπεὶ οὐκ εἶχον τὸν ὀφθαλμὸν ἐν τῷ μέρει κατὰ τὸ εἰρημένον, συνῄεσαν ὁμόσε, καὶ ᾐτιᾶτο ἑτέρα τὴν ἑτέραν. ὁπότε δὲ ἐπενοοῦντο μὴ ἔχειν, ἐθαύμαζον τί ἂν εἴη τὸ γεγονός. ἐν τούτῳ προςπλεῖ αὐταῖς ὁ Περσεὺς καὶ φράζει, ὡς αὐτὸς ἔχει ἕνα ὀφθαλμόν· καί φησι μὴ ἀποδοῦναι αὐταῖς, ἐὰν μὴ φράσωσιν, ὅπη ἐστὶν ἡ Γοργών. ἐπηπείλει δὲ καὶ προςκτενεῖν, εἰ μὴ εἴποιεν· ἡ μὲν οὖν Μέδουσα οὐ φράζει δεῖξαι· ἡ δὲ Σθενὼ καὶ Εὐρυάλη ἔδειξαν. τὴν μὲν οὖν Μέδουσαν ἀποκτείνει, ταῖς δὲ ἄλλαις τὸν ὀφθαλμὸν ἀποδίδωσι. λαβὼν δὲ τὴν Γοργόνα κατέκοψεν· ἀπαιτήσας δὲ τριήρη, ἐπέθηκε τῆς Γοργόνος τὴν κεφαλὴν ἐπ' αὐτὴν καὶ τῇ νηῒ δὲ ὄνομα ἔθετο Γοργών. ἐν ταύτῃ δὲ παραπλέων χρήματα παρὰ τῶν νησιωτῶν εἰςεπράττετο καὶ τοὺς μὴ διδόντας ἀνῄρει. οὕτω δὴ καὶ τοὺς Σερίφους ᾔτει προςπελάσας ἐκείνοις χρήματα· συναγαγόντων δὲ αὐτῶν, ὁ Περσεὺς ᾔτει πάλιν εἰς τὴν ἀγοράν, οἳ καὶ ἐκλιπόντες τὴν Σέριφον ᾤχοντο. Προςπλεύσας οὖν πάλιν ὁ Περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημάτων καὶ ἐλθὼν εἰς τὴν ἀγορὰν, ἄνθρωπον μὲν οὐδένα εὗρε, λίθους δὲ ἀνδρομήκεις. τοῖς οὖν λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ Περσεύς, ἐπειδὰν μὴ παρεῖχον τὰ χρήματα, ὁρᾶτε, μὴ ὡς Σέριφοι θεασάμενοι τὴν τῆς Γοργόνος κεφαλὴν ἀπελιθώθησαν, τοῦτο πάθητε καὶ ὑμεῖς.

59 Γόνυ κνήμης ἔγγιον: ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων καὶ τοὺς πλησίους τῶν μακράν.

59a Γουνοῦμαί σ' ἐλαφηβόλε, ξανθὴ παῖ Διός, ἀγρίων δέσποιν' Ἄρτεμι θηρῶν:· Ἀνακρέοντος.

---

1. τε αὐτῷ Ps. αὗται Westermannus. 2. ἐπειδὴ οὐχ ἧκεν ὁ ἐν ὀφθαλμοῦ μέρει κατὰ Westermannus. 3. τὸν εἰρημένον λόγον Ps. 4. ἐπενοοῦντο] ἐπηρνοῦντο Ps. 6. ἕνα] τὸν Ps. ἀποδώσειν Westermannus. 7. ὅπου Z, ὅποι Ps. Γοργὼ Ps. 8. προςαποκτενεῖν μὴ εἰπούσας Ps. 9. φράζει] φησὶ Westermannus. 12. ἀπαιτησάμενος idem. 13. Γοργὼ Ps. 14. περιπλέων Ps. 15. Σεριφίους Ps. 16. προςπλεύσας Fischerus. καὶ συναγ. αὐτῶν ὁ Π. ᾔτει πάλιν ε. τ. ἀγ., οἱ δὲ ἐκλ. Ps: οἱ δὲ ἡμέρας αὐτὸν ᾐτήσαντο, ἐν αἷς συλλέξουσι τὰ χρήματα. συναγαγόντες οὖν λίθους ἀνδρομήκεις ἔθηκαν εἰς τὴν ἀγορὰν καὶ ἐκλιπόντες τὴν Westermannus. 22. Σερίφιοι Ps. 23. τῆς Γοργόνος [Γοργοῦς West.] θεασάμενοι τὴν κεφαλὴν Ps. 25. ἔγγυον A. 26. καὶ — μακράν] a Diogeniano exulant. A addit: ἐν πολέμῳ γὰρ

59. Diog. III, 78: Arsen. XV, 27. Greg. Cypr. M II, 50.

59a. Arsen. XV, 28: Hephaest. 125 Gsf. Anacr. fr. 1 Bergk.

Τὸ γ̄ μετὰ τοῦ ρ̄.

60 *Γραῦς βακχεύει: ἐπὶ τῶν παρ' ὥραν τι ποιούντων· καὶ Ἀριστοφάνης· Γραῦς καπρῶσα καὶ βακχεύουσα.*

61 *Γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον ἕξεις: ἐπὶ τῶν ἀξίων τὰ ἔσχατα πάσχειν· οἱ γὰρ γεγηρακότες ἵπποι εἰς χαράδρους ἐμβάλλονται.*

62 *Γρᾶες κωθωνιζόμεναι.*

63 *Γραῶν ὕθλοι: ἐπὶ τῶν μάτην ληρούντων.*

64 *Γρῦ τὸ Δίωνος: ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος.*

65 *Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει: ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.*

66 *Γραῦς ἀναθυᾷ: ἀντὶ τοῦ καπρᾷ. ἐπὶ τῶν παρ' ἡλικίαν γυναικιζομένων.*

Τὸ γ̄ μετὰ τοῦ ῡ.

67 *Γυμνότερος Ἰαλέμου: δηλοῖ τὸν θρῆνον· τάσσεται δὲ ἐπὶ τῶν οἰκτῶν.*

68 *Γυμνοποδίαις χαίρει: ἐπὶ τῶν φιλεόρτων· παῖδες ἐχόρευον ἐν Σπάρτῃ τῆς Λακωνικῆς εἰς θεοὺς ὕμνους ᾄδοντες εἰς τιμὴν τῶν ἐν Θυραιαῖς ἀποθανόντων Σπαρτιατῶν.*

67a *Γυμνότερος λεβηρίδος: ἐπὶ τῶν πάνυ πτωχῶν. Ἀντὶ τοῦ, γυμνότερος ὄφεως δέρματος.*

φασί τινα ἰδόντα ἀνεψιὸν καὶ ἀδελφὸν διαπονουμένους καὶ ὑπερασπίσαντα τοῦ ἀδελφοῦ τοῦτο εἰπεῖν: v. Zenob. III, 2.

5. *ἀξίως* A. *πασχόντων* A. 6. *χαράδρας* Ds. 9. *τὸ γρῦ Δ.* Suidas. 10. Corrige *ἀνακορτήσασα.* 15. *δηλοῖ τ. θρ.*] *ὁ ἰάλεμος ἐπίῤῥημα θρήνου* Suidas. 16. *οἰκτρῶν* AN. 17. Scribe *γυμνοπαιδίαις* et v. intt. Suidae. *παῖδες ἐχόρευον*] *χοροὶ ἐκ παίδων* Suidas. 19. *Θυρέαις* Ruhnkenius.

60. Diog. III, 74: Arsen. XV, 29. DV II, 11.

61. Diog. III, 96: Arsen. XV, 30.

62. Arsen. XV, 31. *Γραΐδια κωθωνιζόμενα* Basilius dixit Opp. I, 61 D ex Haasii emendatione in Stephani Th. L. Gr. IV, 2176 proposita.

63. Diog. III, 79: Arsen. XV, 32. Macar. III, 5.

64. Suidas: Arsen. XV, 33. Zenob. V, 54. Apost. XVI, 97.

65. Diog. III, 97: Arsen. XV, 34. DV II, 18.

66. Diog. IV, 10: Arsen. XV, 35. De verbo *ἀναθυᾶν* et similibus Meinekius exposuit Com. Gr. Fr. II, 1, 268.

67. Suidas: Arsen. XV, 36. Cf. App. Provv. I, 86. De Ialemo v. nott. ad Greg. Cypr. L II, 32.

67a. Arsen. XV, 37: Diog. III, 73. Greg. Cypr. L I, 77. Apost. X, 49.

68. Arsen. XV, 38. *Παῖδες κτλ.*] Suid. in v. *γυμνοπαιδία.* De re cf. Ruhnkenius ad Tim. Lex. V. Plat. 73. C. O. Muellerus Dor. I, 158: add. Philostr. V. Apoll. VI, 20, 258

69 *Γυμνῇ τῇ κεφαλῇ:* ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν.

70 *Γύγαρθον φυσᾷς:* ἐπὶ τῶν μάτην πονούντων· σημαίνει δὲ τὸ δίκτυον.

71 *Γύγου δακτύλιος:* ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Γύγης γὰρ βουκόλος ὢν τῆς γῆς ῥαγείσης εὗρε νεκρὸν φοροῦντα δακτύλιον, καὶ τοῦτον περιελόμενος, φύσιν ἔχοντα ὥστε κατὰ στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι, ὅταν βούληται καὶ μή, δι' αὐτοῦ ἔκτεινε τὸν βασιλέα Κανδαύλην καὶ ἦρξε.

72 *Γυμνὸς ὡς ἐκ μήτρας:* ἐπὶ τῶν ἀπόρων.

73 *Γυμνότερος παττάλου:* ἐπὶ τῶν σφόδρα ἀπόρων.

74 *Γυπὸς σκιά:* ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

75 *Γυναικὸς φρένας:* ἐπὶ τῶν ἀνοήτων.

76 *Γυνὴ στρατηγεῖ· καί· Γυνὴ στρατεύεται:* ἐπὶ τῶν παραδόξων.

69a *Γυμνῷ φυλακὴν ἐπιτάττεις:* δήλη.
70a *Γύης οὐκ ἔνεστι ἐν τούτῳ:* ἐπὶ τοῦ ἔν τινι ἀχρήστου.

---

9. *Κανδαύλην* Ds om. 13. *ἀξίων ἢ δειλῶν* AZ. 18. *ἔνεστ'* C. *τῶν — ἀχρήστων* C. *ἐκ μεταφορᾶς τοῦ ἀρότρου* C cum Suida addit.

Olear.: *ξυνίασιν ὥσπερ ἐς τὰ Ὑακίνθια καὶ τὰς Γυμνοπαιδίας, θεασόμενοι ξὺν ἡδονῇ τε καὶ ὁρμῇ πάσῃ.*
69. App. Provv. I, 85: Arsen. XV, 39. Greg. Cypr. L I, 81.
69a. Arsen. XV, 40: Suidas. Greg. Cypr. L I, 78.
70. Greg. Cypr. M II, 77: Arsen. XV, 43.
70a. Arsen. XV, 44: App. Provv. I, 84.
71. Diog. III, 99: Arsen. XV, 45. DV II, 20.
72. Diog. IV, 2: Arsen. XV, 41. Greg. Cypr. L I, 82.
73. Diog. III, 98: Arsen. XV, 42. Usurpat Aristaen. Epist. II, 18: *ὡς δὲ λοιπὸν τὸν ἀθλίως ἐρώμενον ἐψίλωσαν τῶν χρημάτων καὶ κατέστησαν παττάλου γυμνότερον, ἀπέλιπον αὐτὸν ἐν πενίᾳ δήπου μυρίᾳ.* Affinis est dictio, qua utuntur Aristoph. Eccles. 285 et Lucian. Iud. Vocal. §. 9: *Θεσσαλίας με ἐξέβαλεν ὅλης.. καὶ πᾶσαν ἀποκέκλεικέ μοι τὴν θάλασσαν οὐδὲ τῶν ἐν κήποις φεισάμενος σευτλίων, ὡς τὸ δὴ λεγόμενον μηδὲ πάσσαλόν μοι καταλιπεῖν:* add. Phrynich. in Bekk. Anecd. I, 54, 33: *οὐδὲ πάτταλον ἂν δοίης: Ὅμηρος τὸ ἄγριον καὶ ἄξενον δηλῶν, οὐδ' ἅλα ἂν δοίη* [cf. nott. ad Zenob. III, 42. Meinekius Com. Gr. Fr. IV, 404] *περί τινος ἔφη. Ἀριστοφάνης μεταβαλὼν ἐπὶ τὸ καινότερον, οὐδὲ πάτταλον εἶπε δίδωσι· πάτταλον γὰρ κἂν ταῖς ὁδοῖς ἐῤῥιμμένον ἔστιν εὑρεῖν. δύναται συμβολικῶς εἰπεῖν τὸν διὰ βρόχου θάνατον:* Suid. v. *πάτταλον.*
74. Diog. III, 100: Arsen. XV, 46. Macar. III, 10.
75. Diog. IV, 3: Arsen. XV, 51. Greg. Cypr. L I, 83.
76. K in nott. ad Diog. IV, 1: Arsen. XV, 52. Greg. Cypr. M II, 60.

77 *Γυναικὶ μὴ πίστευε, μηδ᾽ ὅταν θάνῃ.*

78 *Γυναικῶν ὄλεθροι: ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων.*

77a *Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον:. Διφίλου.*

77b *Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν:. Χαιρήμονος.*

77c *Γυναικὸς οὐδὲν χρῆμ᾽ ἀνὴρ ληΐζεται*
ἄμεινον ἐσθλῆς οὐδὲ ῥίγιον κακῆς:. Σιμωνίδου.

78a *Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει:. Σοφοκλέους.*

78b *Γυναικὶ τέρψις τῶν παρεστώτων κακῶν*
ἀνὰ στόμ᾽ ἀεὶ καὶ διὰ γλώσσης ἔχειν:. Εὐριπίδου.

78c *Γυναῖκες ἐσμὲν ἔσθλ᾽ ἀμηχανώταται,*
κακῶν δὲ πάντων τέκτονες σοφώταται:. Εὐριπίδου.

78d *Γυνὴ γάρ ἐστι τἄλλα μὲν φόβου πλέα,*
κακὴ δ᾽ εἰς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ᾽ ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα:. Εὐριπίδου.

78e *Γυνὴ μὲν ἐξελθοῦσα πατρῴων δόμων*
οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους.
τὸ δ᾽ ἄρσεν ἕστηκ᾽ ἐν δόμοις ἀεὶ γένος
θεῶν πατρῴων καὶ τάφων τιμᾶ ὅρον:. Εὐριπίδου.

78f *Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην:. Δημοκρίτου.*

78g *Γυναικὶ δ᾽ ὄλβος, ἂν πόσιν στέργοντ᾽ ἔχει:. Μενάνδρου.*

78h *Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι*
σοφοῦ γένοιτ᾽ ἂν ἵστορος λόγων:. Εὐριπίδου.

78i *Γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε,*
καλὸν δὲ πόντου χεῦμ᾽ ἰδεῖν εὐήνεμον,

---

1. *μηδ᾽ ἂν ἀποθάνῃ* Ds. A explicationis gratia addit: *ὅτι δεῖ μὴ γυναικὶ πιστεύειν*: v. Diogenianum. 3. *ἐσθλῆς*] *ἀγαθῆς* Stobaeus. 4. *κρεῖττόν* Stobaeus. 8. *γυναιξὶ* Stobaeus. 10. *ἐς μὲν* Euripides. 12. *σιγᾶν. Γυνὴ* Euripides. *ἐστι* ab Euripide abest. 13. *ἐς* Stobaeus. 19. *τιμάορον* Stanleius. 22. *ἢν* Matthiae. *ἔχῃ* Stobaeus. 24. *σοφοῦ τινος* Stobaeus. *Εὐριπίδου*] *Ἀπολλωνίδου* Stobaeus.

77. Diog. IV, 4: Arsen. XV, 47. Greg. Cypr. M II, 61.

77a Arsen. XV, 48. XVI, 40: Stob. Flor. 68, 21. Diph. fr. inc. fab. 33 Mein.

77b. Arsen. XV, 49: Stob. Flor. 68, 22.

77c. Arsen. XV, 50: Clem. Alex. Stromm. VI, 2, 13, p. 264 Sylb. Simon. fr. 6 Schneidew.

78. Diog. IV, 5: Arsen. XV, 53.

78a. Arsen. XV, 54: Stob. Flor. 85, 1. Soph. Aiac. 295.

78b. Arsen. XV, 55: Stob. Flor. 73, 17. Eur. Androm. 95.

78c. Arsen. XV, 56. XVI, 39: Stob. Flor. 73, 32. Eur. Med. 408.

78d. Arsen. XV, 57. XVI, 28: Stob. Flor. 73, 8. Eur. Med. 263.

78e. Arsen. XV, 58: Stob. Flor. 73, 11. 77, 1. Eur. Dan. fr. 9 Matth.

78f. Arsen. XV, 59: Stob. Flor. 73, 62. Democr. fr. 175 Mull.

78g. Arsen. XV, 60: Stob. Flor. 74, 15, qui Euripidi adscripsit. Eur. fr. inc. fab. 56 Matth.

78h. Arsen. XV, 61: Stob. Flor. 67, 6.

78i. Arsen. XV, 62: Stob. Flor. 75, 4. Eur. Dan. fr. 3 Matth.

Τὸ γ̄ μετὰ τοῦ ω̄.

79 *Γωνίας ἄξιος ἀνήρ*: ἐπὶ τῶν ἀσυνέτων καὶ ἀπραγμόνων.

Ἀρχὴ τοῦ δ̄ στοιχείου.

Τὸ δ̄ μετὰ τοῦ ᾱ.

80 *Δαιδάλου ποίημα*: ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας:. Λέγεται γάρ, ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον καθεῖρξε διά τινα αἰτίαν, υἱοὺς αὐτοῦ ὄντας. Δαίδαλος δὲ ποιήσας πτέρυγας προςθετὰς ἐξῆλθε μετὰ τοῦ Ἰκάρου· νοῆσαι δὲ ἄνθρωπον πετόμενον ἀμήχανον καὶ ταῦτα πτέρυγας ἔχοντα προςθετάς. τὸ οὖν λεγόμενον ἦν τοιοῦτον· Δαίδαλος ὢν ἐν εἱρκτῇ, καθεὶς ἑαυτὸν διὰ θυρίδος καὶ σκαφίδι ἐμβὰς σὺν τῷ Ἰκάρῳ εἰς θάλασσαν ἔπλεεν· αἰσθόμενος δ' ὁ Μί-

γῆ τ' ἠρινὸν θάλλουσα, πλούσιόν θ' ὕδωρ,
πολλῶν τ' ἔπαινον ἐστί μοι λέξαι καλῶν:. Εὐριπίδου.

78k *Γυναικὸς ὄμμα τοῖς ἀκμάζουσιν βέλος.*

78l *Γυναικὸς αὐδὴ θάνατος νεωτέροις.*

78m *Γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν γενναίως ὑπομένειν τοὺς κινδύνους*:. Ἰσοκράτους.

---

2. ὁ ἀνήρ A. 6. ποιήματα N Suidas. 7. λέγεται γὰρ] φασίν Ps. Ἴκαρον τὸν υἱὸν αὐτοῦ Ps. 8. υἱοὺς — ὄντας Ps. om. 9. ἐξῆλθε] ἐξέπτη Ps. 12. θυρίδος καὶ τὸν υἱὸν κατασπάσας σκαφίδι Westermannus. 13. ἔπλεεν] ἀπῄει Ps. 16. βέλος] Z addit ὁμοία τῇ cum 78l.

78k. Arsen. XV, 63.

78l. Arsen. XV, 64. Composui cum similibus in annott. ad Diog. IV, 49: nunc addo Alexandri Magni dictum e Plut. V. Alex. 21: τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες: de quo v. intt. et Meinekius ad Com. Gr. Fr. II, 1, 602: respexerunt, ni fallor, Phot. Epist. 1, 96, p. 39 Mont.: ὁ δὲ σώφρων ὡς ἀληθῶς ἀνὴρ καὶ δεσποτικῶν φύλαξ ἐντολῶν, οὐ τὰς Περσίδας μόνον, ἀλλὰ καὶ πάσης γυναικὸς ὄψιν, ὡς ὀξὺ ψυχῆς βέλος καὶ θανατηφόρον φεύξεται καὶ ἀποστραφεῖται: et Nilus in Orellii Opusc. Sent. II, 420: ὄψις γυναικὸς βέλος ἐστὶ πεφαρμακευμένον.

78m. Arsen. XV, 65: fluxisse videtur ex Isocr. ad Demonic. §. 9, p. 3: ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑφίστατο, ubi v. vv. lectt.

79. Arsen. XV, 66. Usurpat Aristid. Panath. 176 [306]: ἀλλ' οἶμαι ταῦτ' ἐστὶ γωνίας ἀξίων ἀνθρώπων καὶ τὸν ἥλιον οὐχ ἑορακότων, ὃς ἀφαιρεῖται τοὺς ἄλλους ἀστέρας τὸ φαίνεσθαι: ubi Scholl. p. 290 Dindf.: γωνίας δὲ ἀξίων ἀντὶ τοῦ ἀφανῶν καὶ ἀποκεκρυμμένων, παρόσον τὸ ἀφανέστατον μέρος τῶν οἰκοδομημάτων ἡ γωνία. Καθημένον ἐν γωνίᾳ otiosum et inglorium Epictetus dixit Dissertt. I, 29, 36: similiter iam Pindarus Ol. I, 83. XI, 34. fr. 49, 3, ubi v. intt.

80. Suidas: Arsen. XVII, 93.

νως, πέμπει πλοῖα διώξοντα. ὡς ᾔσθοντο δὲ Ἴκαρός τε καὶ Δαίδαλος διωκόμενοι, ἀνέμου λάβρου καὶ σφοδροῦ ὄντος, πετόμενοι ἤγουν πλέοντες ἐν τῷ πελάγει περιτρέπονται. καὶ ὁ μὲν Δαίδαλος σώζεται εἰς τὴν γῆν, ὁ δὲ Ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει· ὅθεν ἀπ' ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη· ἐκβληθεὶς δ' ὁ Ἴκαρος ὑπὸ τῶν κυμάτων παρὰ τοῦ πατρὸς ἐτάφη.

81 *Δασεῖαν νύκτα*: τὴν χειμερινὴν φασί.

82 *Δασύποδα λαγὼν παραδραμεῖται χελώνη*: ἐπὶ τοῦ ἀδυνάτου.

83 *Δατὸς ἀγαθῶν*: ἐπὶ εὐδαιμονούντων· ἡ γὰρ Δατὸς πόλις ἦν ἐπὶ Θρᾴκης σφόδρα εὐδαίμων. δεδηλώκατον δὲ περὶ αὐτῆς Θεόπομπος ἐν τρίτῳ Φιλιππικῷ καὶ Ἔφορος ἐν τετάρτῳ.

84 *Δαιδάλου πτερά*: ἐπὶ τῶν δι' ἀπορίαν χρωμένων προσθήκῃ παρελκούσῃ.

80a *Δάνειζέ μοι μαρτυρίαν*: ἐπὶ τῶν παρὰ μέρος ἑαυτοὺς ἐπαινούντων.

80b *Δάκτυλός ἐστι ποὺς* συγκείμενος ἐκ μακρᾶς — καὶ δύο βραχειῶν ∪∪, οἷον ἥλιος· ἐκλήθη δὲ δάκτυλος, ἀπὸ μεταφορᾶς τῶν ἁρμογῶν, τουτέστιν ἀπὸ τῶν ἁρμονιῶν τοῦ δακτύλου, συγκειμένου ἐκ μείζονος ἁρμογῆς καὶ ἐλαττόνων δύο. οὗ ἐναντίος ὁ ἀνάπαιστος, συγκείμενος ἐκ δύο βραχειῶν ∪∪ καὶ μακρᾶς —, οἷον ἡγεμών.

81a *Δακτύλῳ δείκνυται*: ἐπὶ τῶν ἐπισήμων.

8. νύκτα δασεῖαν Ds. 9. Ante v. δασύποδα addendum est v. πρότερον et λαγὼν delendum. 11. ἐπὶ τῶν W. ἡ γὰρ et ἦν exulant a Suida. 13. Φιλιππικῶν WZ.

DV II, 36. Λέγεται κτλ.] Palaeph. Incred. 13.
80a. Arsen. XVII, 94.
80b. Arsen. XVII, 95: Scholl. ad Hephaest. 158 Gsf.
81. Diog. VI, 89: Arsen. XVII, 96. DV III, 32. Apost. XII, 16a.
81a. Arsen. XVII, 97. Lucian. de Gymnas. 36: τὸ ἐπισημότατον γενέσθαι καὶ δείκνυσθαι τῷ δακτύλῳ: ei. Praec. rhet. 25. Herod. 2: Clem. Alex. Paedag. III, 11, 73, p. 108 Sylb.: τὸ δὲ σεμνὸν . . ἐκλεκτέον, οὐ τὸ βάδισμα τὸ μελλητικὸν οὐδὲ τὸ . . . παραβλέπειν εἰς τοὺς ἀπαντῶντας, εἰ ἀποβλέπουσιν εἰς αὐτὸν καθάπερ ἐπὶ σκηνῆς ἐμπομπεύοντα καὶ δακτυλοδεικτούμενον: alia Mitscherlichius ad Hor. Carm. IV, 3, 21. O. Iahnius ad Pers. Sat. I, 28 harum rerum studioso indicant.
82. Suid. s. δασύπους: Arsen. XVII, 99. Cf. Apost. XIV, 88.
83. Arsen. XVIII, 1. ἡ γὰρ — εὐδαίμων] Suidas. δεδηλώκατον κτλ.] ex Harpocr. 52, 10 excerpta sunt. Zenob. III, 11. Θεόπομπος] fr. 48 Wich., quem v. p. 150. Ἔφορος] p. 186 Marx.
84. Diog. IV, 25: Arsen. XVII, 98. DV II, 37.

85 *Δασύπους κρεῶν ἐπιθυμεῖ:* λέγεται ἐπὶ τοῦ ἐπιθυ-
86 [illegible] ἄλλου γενέσθαι τὰ ὄντα αὐτῷ.
γάρ τις ἐγένετο αὐτ[illegible]
87 *Δαφνίνην φορῶ βακτηρίαν* [illegible]ρύντων. *Δάκτυλος* ἐπιβουλευομένων· παρόσον ἀλεξιφάρμακον ἡ δάφνη.

Τὸ δ μετὰ τοῦ ε.

88 *Δευτέρων ἀμεινόνων:* ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καυθῇ καὶ ἐπὶ δεύτερα τραπῶσι.

89 *Δέδοται καὶ κακοῖσιν ἄγρα:* ἐπὶ τῶν παρ' ἀξίαν εὐπραγούντων.

90 *Δέχεται καὶ βῶλον ἀλήτης:* ἐπὶ τῶν πάντα δεχομένων· ἀλήτην γάρ φασί τινα βουκόλῳ συναντήσαντα αἰ-

86a *Δακτυλίῳ δεῖ σε ἑλκυσθῆναι:* ἐπὶ τῶν διὰ νόσον ἢ λύπην ἰσχνῶν γενομένων.

87a *Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ:* Χίλωνος.

89a *Δειλόν θ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν:* παρόσον οἱ πλούσιοι ἀσφαλίζονται.

90a *Δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρ-*

---

1. κρειῶν emendat Nauckius in Schneidewini Philol. II, 158. 2. ἄλλῳ Suidas. αὐτῷ] παρ' ἑαυτῷ Suidas. 3. Δακτύλιος A, Δάκτυλος Z: Δατύλλου s. Δατύλου, quod Hesychius et Zenobii codd. praebent, Finckhius in Bergkii et Caesaris Diar. Stud. Antiq. 1844, p. 947 commendat. 18. δεινόν in Carcini versu apud Stob. Flor. 93, 8, si is Carcini est. Tetigit versus scripturam Boissonadus ad Philost. Epist. p. 123.

85. Suidas: Arsen. XVII, 100. Cf. ann. ad Macar. VI, 29.

86. Diog. IV, 13: Arsen. XVIII, 2. Zenob. III, 10.

86a. Arsen. XVIII, 3: cf. Apost. VI, 21.

87. Diog. IV, 14: Arsen. XVIII, 4. Apost. VIII, 17. DV II, 28.

87a. Arsen. XVIII, 5: Maxim. Conf. Serm. 61, p. 672 Combef. In sententiam cf. Apost. III, 88b.

88. Diog. IV, 15: Arsen. XVIII, 6. Cf. annott. ad DV II, 55: usurpat Aristid. Palin. Smyrn. I, 269 Iebb.: ἀλλὰ Ζεῦ πολιεῦ . . . γενέσθαι τόνδε ἡμῖν τὸν οἰκισμὸν δευτέρων ἀμεινόνων βεβαιοτέρων ἐπὶ πολλῇ μὲν εὐφροσύνῃ κτλ.: et. Mon. Smyrn. I, 262: ἔμελλες ἄρα τοῖς Ἕλλησιν ἄδεσθαι δευτέρων σχετλιωτέρων, ubi v. Reiskium.

89. Suidas: Arsen. XVIII, 7. Greg. Cypr. M II, 85.

89a. Arsen. XVIII, 8: Stob. Flor. 93, 18: Eurip. Phoen. 597. DV II, 33. Macar. VIII, 60.

90. Diog. IV, 27: Arsen. XVIII, 20. DV II, 38. Apost. I, 8. Dixit de proverbio C. F. Hermannus in Schneidew. Philol. III, p. 513.

90a. Arsen. XVIII, 21. XIII, 58. XIX, 97: Stob. Flor. 45, 18. Anton. Mel. 103, p. 174 Fabr.

τῆσαι τροφήν· ἄραντα δ' ἐκεῖνον βῶλον δοῦναι αὐτῷ ὡς τοῦ Διὸς ὄντα· τὸν δὲ τοῦτο εἰπεῖν.

...κυς.

χάς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι· τῆς ἀρχῆς μὴ πλουπεσούσης τῶν ...ερον γεγονέναι:. Βίαντος ἡ ὑποθήκη.

...ει τὸν ἄρχοντα μεμνῆσθαι τριῶν· πρῶτον μὲν, ὅτι ἀνθρώπων ἄρχει· δεύτερον, ὅτι κατὰ νόμους ἄρχει· τρίτον, ὅτι οὐκ ἀεὶ ἄρχει:. Ἀγάθωνος.

90d *Δεῖ δὲ μήτε ὀργῇ προσομιλεῖν τοῖς ἀρχομένοις, μήτε ἀνεπίπληκτον τοῖς ἁμαρτάνουσι τὴν προαίρεσιν καταλείπειν. τὸ μὲν γὰρ οὐδὲν τῶν μαινομένων διαφέρειν τὸν ἄρχοντα δείκνυσι, τὸ δ' εὐχέρειαν ἁμαρτημάτων τοῖς ὑπηκόοις ἐντίκτει. Ἀνεξίκακον δὲ ὁμοῦ καὶ μισοπόνηρον σεαυτὸν ἐπιδείκνυε· τῷ μὲν ἠρέμα κολάζειν τὴν ἀνεξικακίαν, τῷ δ' ἀπεχθάνεσθαι τοῖς κακοῖς τὴν μισοπονηρίαν ἐλέγχων· ἵνα τὸ μὲν φεύγειν τὰ φαῦλα, τὸ δὲ μὴ λίαν ἀπαραμύθητον εἶναι τοῖς ἐπταικόσι τὴν τύχην ἀποδεικνύῃ. Ἀφεκτέον δὲ καὶ σκωμμάτων τοῖς ὡς ἀληθῶς ἄρχουσιν, ἢ καθαιρήσει τις τὸ σεμνὸν τῆς ἀρχῆς γελωτοποιεῖν πειρώμενος. Καὶ λοιδοριῶν καθαρευτέον· ἰδιωτικῆς γὰρ ἀκροχολίας τοῦτο σύμβολον. Νουθετήσεις δὲ καὶ παραινέσεων τὸ διττὸν εἶδος, πῇ μὲν σφοδρῶς καθαπτόμενον, πῇ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος:. Σωπάτρου ἡ ὑποθήκη.*

90e *Δεινὴ πέφυκεν ἡ συνήθεια κόρον ἀπογεννῆσαι· καὶ φύσιν ἐκ παρ' ἀλλήλου μεταποιῆσαι:. Θεοκτίστου.*

90f *Δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατὰ ἀλήθειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον:. Μοσχίωνος.*

90g *Δεινὸν ὅταν τις μὴ δοκῶν δοκῇ φρονεῖν:. Κριτίου.*

90h *Δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλὰ αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων:. Δημοσθένους.*

90i *Δεῖ, δεῖ χρημάτων· καὶ ἄνευ τούτων οὐδέν ἐστι τῶν δεόντων γενέσθαι:. Τοῦ αὐτοῦ.*

---

5. *Βίων ἔφη, δεῖν τὸν* Stobaeus. 25. *παραλλήλου* Gaisfordus. 27. *Μοσχίωνος*] *Δημώνακτος* Maximus. 32. *δεῖ δεῖ*] *δεῖ δὲ* Demosthenes. 33. *γενέσθαι τῶν δεόντων* idem.

90b. Arsen. XVIII, 22. XIII, 59: Stob. Flor. 46, 23.

90c. Arsen. XVIII, 23. XIII, 60: Stob. Flor. 46, 24. Anton. Mel. 103, p. 174 Fabr.

90d. Arsen. XVIII, 24. XIII, 61: Stob. Flor. 46, 56.

90e. Arsen. XVIII, 25: Stob. Flor. T. III, p. 508 Gaisf.

90f. Arsen. XVIII, 26: Max. Conf. Serm. 18, p. 590 Comb.

90g. Arsen. XVIII, 27: Stob. Flor. 23, 1. Crit. fr. 19 Bach.

90h. Arsen. XVIII, 28. XXVI, 79: Maxim. Conf. Serm. 37, p. 629 Combef. Demosth. Or. Philipp. I, p. 51, 15.

90i. Arsen. XVIII, 29: Demosth. Or. Olynth. I, 15 R.

91 *Δελφῖνα πρὸς τοὔραιον δεῖς:* ἐπὶ τοῦ ἀδυνάτου, διὰ τὸ εὐκίνητον εἶναι. πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ διδόμενα:. *Φιλοίκειον* δὲ ὁ δελφὶς ζῷον πεπίστευται, καὶ τούτου τὸ μαρτύριον· Αἶνος πόλις ἐστὶ Θρῄσσα. ἔτυχεν οὖν ἁλῶναι δελφῖνα καὶ τρωθῆναι μέν, οὐ μὴν εἰς θάνατον, ἀλλ' ἔτι βιώσιμα εἶναι τῷ ἑαλωκότι· οὐκοῦν ἐῤῥύη μὲν αἷμα, ᾔσθοντο δὲ οἱ ἀθήρατοι καὶ ἀφίκοντο εἰς τὸν λιμένα ἀγέλῃ καὶ κατεσκίρτων καὶ ἦσάν τι δρασείοντες οὐκ ἀγαθόν. ἐν ἔθει δὲ ἦν, ὡς τὸ εἰκός, νήχεσθαι καὶ παῖδας αὐτῶν. οἱ τοίνυν νέοι ἔδεισαν καὶ ἀφῆκαν τὸν ἑαλωκότα. καὶ ἐκεῖνοι κομισάμενοι ὡς ἑταῖρον ἕνα τῶν κηδεστῶν ἢ γένει προςήκοντα ᾤχοντο ἀπιόντες. σπάνιον δὲ ἄν-

90k *Δεῖ δὲ εἰς τοὐναντίον* καὶ τὸ ἄμεινον κατὰ τὴν παροιμίαν ἀποτελευτῆσαι:·

90l *Δεινή τις ὀργὴ* καὶ δυςίατος πέλει
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

90m *Δεῖ φιλεῖν ὥσπερ* μισήσοντα, μισεῖν δὲ ὥσπερ φιλήσοντα:. Βίαντος.

90n *Δειλότερος εἶ* τῶν λαγωῶν.

---

3. διδόμενα] ἢ ἔχειν Zenobius addit. δὲ As om. 4. ἐστι πόλις As. ῃ Θρᾷσσα A. 9. καὶ αὐτοὺς νήχεσθαι As. 10. νέοι] Αἴνιοι As. 11. ἑταίρων As. 12. προςηκόντων As.

90k. Arsen. XVIII, 30: cf. nott. ad Apost. X, 13.

90l. Arsen. XVIII, 31. XLII, 34: Stob. Flor. 20, 36. Eurip. Med. 520.

90m. Arsen. XVIII, 32: Apost. XIII, 15p. Mant. Provv. s. καί. Aristot. Rhet. II, 13: καὶ οὔτε φιλοῦσι σφόδρα οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες: Cic. Lael. 16, 59: *negabat ullam vocem inimiciorem amicitiae potuisse reperiri, quam eius, qui dixisset ita amare oportere, ut si aliquando esset osurus:* ubi v. Beierum et cf. annott. ad Apost. XVI, 42.

90n. Arsen. XVIII, 33: v. nott. ad Apost. IX, 97a. X, 41. De hyperbola in hoc loco conspicua v. adnott. ad Apost. XII, 99a. Usurpat Lucian. Piscat. 34: add. Athanas. Apolog. de fuga sua c. 10, T. I, 326 A: δειλότεροι λαγωῶν ὄντες αὐτοί: plenius exhibet Strab. I, 36: δειλότερος λαγῶ Φρυγός, quod ex comico quodam derivatum esse Meinekius Com. Gr. Fr. IV, 652 suspicatur. Et talia ab comoedia non aliena esse probant Philemo in Stob. Flor. II, 27, 5: δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί, Posidippus Athen. IX, 376 F, vs. 9: add. Dion. Chrys. Or. 9, 293 R.: μὰ Δία εἶπεν, ἀλλὰ τῶν ἄλλων Ἑλλήνων ταχύτατός εἰμι πάντων. ἀλλ' οὐ τῶν λαγῶν, ἔφη ὁ Διογένης, οὐδὲ τῶν ἐλάφων· καίτοι ταῦτα τὰ θηρία πάντων ἐστὶ τάχιστα καὶ δειλότατα, καὶ τοὺς ἀνθρώπους καὶ τοὺς κύνας καὶ τοὺς ἀετοὺς φοβεῖται καὶ ζῇ βίον ἄθλιον. οὐκ οἶσθα, ἔφη, ὅτι τὸ τάχος δειλίας σημεῖον ἐστιν; alia conferunt intt. ad Luc. Somn. 10, quibus add. Apost. X, 95.

91. Zenob. III, 38: Arsen. XVIII, 19. DV II, 44. φιλοίκειον κτλ.] Aelian. N. An. V, 6.

θρωπος ἢ οἰκείῳ δυστυχήσαντι ἢ οἰκείᾳ κοινωνὸς σπουδῆς καὶ φροντίδος.

92 *Δεκάπους σκιά ἐστιν: ἐπὶ τῶν κατὰ καιρὸν ἀπιόντων ἐπὶ τὸ δεῖπνον· τὸ γὰρ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνα καὶ οἱ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν· καὶ οὕτως οἱ μὲν ἔμενον τοὺς κληθέντας, οἱ δὲ ἀπῄεσαν ἐπὶ τὰς ἑστιάσεις, ἐφ' ἧς οἷόντε ἦν τεκμήρασθαι, εἰς πόσας ὥρας προσήκει.*

93 *Δειλότερος εἶ τοῦ Παρακύπτοντος: ἐπὶ τῶν σφόδρα δειλῶν. ἀνὴρ γὰρ οὗτος ἐγένετο δειλός. ὃς παρα-*

92a *Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν ἄχρι τοῦ μὴ ἐπιορκεῖν:. Λυκούργου.*

92b *Δεῖ τοὺς γινομένους μέχρι ἂν ζῶσι πονεῖν.*
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον:. Μενάνδρου.

92c *Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ*
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι:. Μιμνέρμου.

92d *Δεῖ τὸν ἀγαθὸν ἐπιδείκνυσθαι ἐν μὲν τοῖς λόγοις ἃ φρονεῖ, ἐν δὲ τοῖς ἔργοις ἃ ποιεῖ:. Ὑπερίδου.*

92e *Δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι:. Βίαντος.*

92f *Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν:. Δημοσθένους.*

92g *Δέον τὰ τέλη τῶν πραγμάτων ἡμᾶς προορᾶν καὶ οὕτως τὴν τούτων ἐγχείρησιν ποιεῖσθαι:. Χαβρίου.*

---

4. *γὰρ* Suidas om. *οἱ καλοῦντες*] *οἱ* Suidas om. 5. *οἱ καλούμενοι*] *οἱ* Suidas om. 7. *ἑστιάσεις, οὐδ', ὑποτηρήσεως οὔσης αἰτίας, ἐφ'* Suidas, quae sic emendat Casaubonus ad Athen. VI, p. 243 A: *οὐδέπω τηρήσεως οὔσης ἑτέρας, ἀφ'.* 8. *προήκει* Suidas. 9. *παρακύπτοντος* Zenobius: Apostolius pro nomine proprio habuit, ut sup. V, 17. 13. *γινομένους*] *πενομένους* Bentleius. *μέχρι ἂν οὗ* dubitanter Meinekius. 25. Scribe *Βαβρίου* et v. Boissonadum l. c.

92. Arsen. XVIII, 9. *τὸ γὰρ κτλ.*] Suid. s. *δεκάπους σκιά.*

92a. Arsen. XVIII, 10: Stob. Flor. 27, 10. Lycurgi fr. 98 Saupp.

92b. Arsen. XVIII, 11: Stob. Flor. 29, 17. Men. fr. fab. inc. 93 Mein.

92c. Arsen. XVIII, 12. LI, 7: Stob. Flor. 125, 12. Mimn. fr. 19 Bach.

92d. Arsen. XVIII, 13: Max. Conf. Serm. I, p. 533 Combef.

92e. Arsen. XVIII, 14. XIV, 17: Max. Conf. Serm. II, 535 Combef.

92f. Arsen. XVIII, 15: Stob. Flor. 17, 21. Demosth. Prooem. Demeg. 1438, 11 R.

92g. Arsen. XVIII, 16: Georg. Gnomol. in Boiss. An. Gr. I, 31.

93. Zenob. III, 32: Arsen. XVIII, 37. Cf. Apost. XV, 24.

κύψας ἐκ σπηλαίου καὶ ἰδὼν τὸν Ἡρακλῆν ἀπελιθώθη. καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδής.

94 *Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχει, δίψει δ' ἀπόλλυται*: οὗτοι γὰρ διὰ τὸ ἱεροῦσθαι ἐστεφανωμένοι μέν εἰσι, δίψει δ' ἀπόλλυνται· ἀντὶ τοῦ τῶν ἀναγκαίων ἀποροῦσι.

95 *Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι*: ἐπὶ τῶν σφόδρα κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι.

96 *Δελφῖνα νήχεσθαι διδάσκεις*: ἐπὶ τῶν ἐν ἐκείνοις

93a *Δειλότερος εἶ αὐτῆς τῆς δειλίας*: ἐπὶ τῶν σφόδρα δειλῶν.

93b *Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή*:. Ἀριστοφάνους.

93c *Δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ*:. Εὐριπίδου.

93d *Δεῖ νοσεῖν τὸ μέρος*: ἐπὶ τῶν ἀκριβῆ φιλίαν ἐνδεικνυμένων.

93e *Δέκα ἡ κύων τέκοι, καὶ πάντα λευκά*: ἐπὶ τῶν ὁμοίων καὶ εὐτυχῶν.

93f *Δέκα τοῦ ὀβολοῦ*: καθ' ὑπερβολὴν, ἐπὶ μηδενὸς ἀξίων.

93g *Δελφὶς ἐν λουτηρίῳ*: ἐπὶ τῶν παρ' ἀξίαν τι ποιεῖν οὐκ ἀνεχομένων.

93h *Δεινὸν τὸ συνιδεῖν τὸ μέλλον*:. ἀπόφθεγμα Θάλεω τοῦ Μιλησίου.

93i *Δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον*
σκαιοῖσιν εἶναι· τί ποτε τοῦδε ταἴτιον;
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;:. Εὐριπίδου.

---

1. Ἡρακλέα Zenobius. 3. ἀπολωλώς Ds, ἀπόλωλεν Z, Macarius et Liban. Epist. 208. 4. ἱερῶσθαι Ds, ἱερᾶσθαι Suidas. 7. κακούργων Ds. 11. γέροντι] γαμοῦντι Menander. 14. ὁμοίων καὶ C om. 16. C καθ' ὑπερβολὴν om. Hesychius: δέκα τοῦ ὀβολοῦ [βόλου codex]: οὐδενὸς ἀξίου. βέλτιον δὲ εἰς μικρότητα τίθεσθαι αὐτό. 23. ἆρ' Stobaeus.

93a. Arsen. XVIII, 34: Macar. III, 26.
93b. Arsen. XVIII, 35: Menand. Monost. 129. Aristoph. Thesmoph. 420. Est Euripidis ex Phoenice versus: v. Stob. Flor. 71, 1, 3, Phoen. fr. 1 Matth.
93c. Arsen. XVIII, 36: Eurip. Iphig. Taur. 115.
93d. Arsen. XVIII, 38. Ad sententiam cf. Eurip. in Stob. Flor. 75, 3, 2: κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ: Max. Tyr. Diss. XIII, 4, 238 R.: ὅτε μὲν ὁ λοιμὸς ἐπέπαυτο ... τότε δὲ τὸ ἀρχικὸν μέρος τῆς πόλεως ἐνόσει νόσον δεινὴν καὶ ἐγγύτατα μανίας καὶ κατελάμβανε τὸ πλῆθος καὶ τὸν δῆμον συννοσεῖν προσηνάγκαζε.
93e. Arsen. XVIII, 39: App. Provv. I, 92.
93f. Arsen. XVIII, 40: Append. Provv. I, 93: Hesychius.
93g. Arsen. XVIII, 41.
93h. Arsen. XVIII, 42: Stob. Flor. III, 79, 5.
93i. Arsen. XVIII, 43. XLV, 30: Stob. Flor. 93, 2. Eurip. Phaeth. fr. 17 Matth. Cf. Macar. VIII, 60.
94. Diog. IV, 26: Arsen. XVIII, 44. Macar. III, 24.
95. Diog. IV, 35: Arsen. XVIII, 45. Greg. Cypr. L I, 88.
96. Arsen. XVIII, 18. 46. δελ-

τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηνται· ἢ ἐπὶ τῶν ἄκρως εἴς τι πεπαιδευμένων καὶ προςποιουμένων παρά τινων μανθάνειν:. Λέγεται περὶ δελφίνων τουτί. Κοίρανος ὄνομα, τὸ γένος ἐκ Πάρου, δελφίνων τινῶν ἐν Βυζαντίῳ βόλῳ περιπεσόντων καὶ ἑαλωκότων, δοὺς ἀργύριον οἱονεὶ λύτρα τοῖς ἠγρευκόσιν ἀφῆκεν αὐτοὺς ἐλευθέρους. ἔπλει γοῦν ποτε πεντηκόντορον ἔχων· ἀνατραπείσης δὲ τῆς νεώς, καὶ τῶν ἄλλων διαφθαρέντων, τὸν Κοίρανον ἔσωσαν δελφῖνες, ὑπὲρ ἧς φθάσαντες εἶχον εὐεργεσίας τὴν ἴσην ἀντιδιδόντες. ἄκρα δὲ δείκνυται καὶ ὕπαντρος πέτρα, ἔνθα ἐξενήξαντο ὀχοῦντες αὐτόν, καὶ καλεῖται ὁ χῶρος Κοιράνειος. χρόνῳ δ' ὕστερον τεθνεῶτα τόνδε τὸν Κοίρανον θαλάττης πλησίον ἔκαιον· εἶτα μέντοι αἰσθόμενοί ποθεν οἱ δελφῖνες ἠθροίσθησαν, καὶ εἰς ὅσον ἡ πυρὰ ἤκμαζε καιομένη, παρέμειναν ὡς φίλῳ φίλοι πιστοί· εἶτα μέντοι κατασβεσθείσης, οἱ δὲ ἀπενήξαντο. ἄνθρωποί γε μὴν ζῶντάς τε καὶ πλουτοῦντας θεραπεύουσι, νεκροὺς δὲ ἀποστρέφονται ἢ καὶ δυςτυχοῦντας, ἵνα μή τινα ἐκτίνωσιν εὖ παθόντες χάριν.

97 *Δεσμοὶ Τυρηνοί: οἷς ἐχρῶντο κατ' ἐκεῖνο καιροῦ εἰς τὰς τῶν δεσμωτῶν κακουχίας.*

98 *Δεύτερος πλοῦς: ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλεῖ.*

98a *Δεῖ κρίναντας φιλεῖν ἢ φιλήσαντας κρινεῖν:. Νικοκλέους.*

98b *Δεῖ τῶν ἑτέρων μέλλοντα ἄρξειν, αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν:. Κάτωνος.*

---

1. *τινάς* Z. *ἤσκηται* Gaisfordus. 3. *λέγεται — τουτί* As ignorat. 6. *ἐλευθέρους*] *ἀνθ' ὧν τὴν χάριν ἀπείληφεν* As addit. 7. *ποτε* in Aeliano deest. *ἔχων*] *ὡς λόγος, Μιλησίους τινὰς ἄγουσαν ἄνδρας, ἐν δὲ τῷ μεταξὺ τῆς Πάρου πορθμῷ τῆς νεὼς ἀνατραπείσης καὶ* As. 9. *ἴσην*] *ἰσότητα* Z. 10. *ἄκρα — αὐτὸν*] *καὶ ἔνθα ἐξενήξ.* [*ἐξενησαντο* A.] *ὀχοῦντες αὐτὸν ἄκρα δείκνυται καὶ ὕπ. π.* As. 14. *ἠθροίσθησαν ὥσπερ οὖν ἐπὶ τὸ κῆδος ἥκοντες καὶ* As. 15. *φίλος πιστός* As. 16. *ἀπενήχοντο* Z. 17. *πλουτοῦντας καὶ εὖ πράττειν δοκοῦντας θερ.* As. 18. *ἐκτίσωσιν* As. 20. *Τυῤῥηνοί* Suidas. 24. *ἄρχειν* A. Totum Stobaeus sic scripsit: *κάκιστον ἔλεγε τὸν ἄρχοντα εἶναι, τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.*

φῖνα — ἤσκηνται] Suidas in v. *δελφίς.* *ἢ — μανθάνειν*] Diog. IV, 33. DV II, 43. *Λέγεται κτλ.*] Aelian. N. An. VIII, 3.

97. Suidas: Arsen. XVIII, 47. App. Provv. I, 96.

98. Suidas: Arsen. XVIII, 48. DV II, 45.

98a. Arsen. XVIII, 49: Anton. Mel. 135, p. 215 Fabr.

98b. Arsen. XVIII, 50: Stob.

. . ῃ οὐ χωρεῖ:. Οἱ δελφῖνες τὸν
99 Δελφῖνα τεθνεῶτα ὑποδύντες, φοράδην κομίζουσιν εἰς τὴν γῆν· τοῖς ἀνθρώποις πιστεύοντες θάψαι τοῦτον. ἕπεται δὲ πλῆθος ἕτερον οἱονεὶ τιμῶντες ἢ καὶ νὴ Δία ὑπερμαχοῦντες, μή ποτε ἄλλο κῆτος ἐπιδράμῃ καὶ τὸν νεκρὸν ἁρπάσαν εἶτα δαίσηται. ὅσοι μὲν οὖν τῶν ἀνθρώπων εἰσὶν ἔνδικοι, θάπτουσιν αὐτούς· οἱ δ' ἀπὸ Μουσῶν καὶ Χαρίτων ἀκηδῶς αὐτῶν ἔχουσι. Καὶ δότε συγγνώμην, ὦ δελφῖνες φίλοι, τῇ τῶν ἀνθρώπων ἀγριότητι, εἴγε καὶ Ἀθηναῖοι Φωκίωνα τὸν χρηστὸν ἔῤῥιψαν ἄταφον, καὶ Ὀλυμπιὰς δὲ ἔκειτο γυμνὴ, ἡ τεκοῦσα τὸν ἐκ Διὸς, ὡς ἐκόμπασε· καὶ τὸν Ῥωμαῖον Πομπήϊον τὸν Μέγαν ἐπίκλην ἀποκτείναντες Αἰγύπτιοι, εἴασαν ἐῤῥιμμένον, ἄμοιρον τῆς κεφαλῆς, πλησίον τῆς θαλάττης:. Λέγεται καὶ τοῦτο περὶ δελφῖνος, ὅτι ἡ φύσις αὐτὸν ἀεικίνητον εἰργάσατο, καὶ πέρας τούτῳ τῆς κινήσεως τὸ καὶ τοῦ βίου τέλος. ὕπνου γοῦν δεόμενος μετεωρίσας τὸ σῶμα καὶ ἀναπλεύσας ἐπ' ἄκρον τὸ ὕδωρ, ὡς ὁρᾶσθαι πᾶς, καταδαρθάνει· ἄϋπνος δὲ καὶ ἄμοιρος τοῦ θεοῦ τοῦδε οὐδὲ οὗτος ἐστίν. ὅτε γοῦν καθεύ-

98c Δέδυκε μὲν ἁ σελάνα καὶ Πληϊάδες· μέσαι δὲ νύκτες, παρὰ δ' ἔρχεθ' ὥρα. ἐγὼ δὲ μόνα καθεύδω:. Σαπφοῦς.
98d Δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι:. Ἀλκαίου.
99a Δεῦρ' ἐλθέ, εἰς οὓς γὰρ τοὺς λόγους εἰπεῖν θέλω:. Εὐριπίδου.

---

1. οἱ — εἰς] ἦσαν δὲ ἄρα δελφῖνες καὶ νεκρῶν μνήμονες καὶ τῶν συννόμων καὶ ἀπελθόντων τοῦ βίου οὐδαμῶς προδόται· τὸν γοῦν ἑαυτῶν τ. ὑ., εἶτα μέντοι κομίζουσι [κολάζουσιν A] ἐς As. 3. θάψαι καὶ Ἀριστοτέλης μαρτυρεῖ τούτῳ ἕπεται As. 6. καταδαίσηται As. οὖν εἰσιν ἔνδικοι καὶ τῆς μουσικῆς ἐπαΐοντες, τῆς τῶν δελφίνων φιλομουσίας αἰδοῖ, θάπτουσιν As. 7. ἄπο τε Μ. (φασίν) ἄπο τε Χαρίτων As. 8. δότε γε As. 11. ἐκ] τοῦ As. ἐκόμπαζεν αὐτὴ καὶ ἐκεῖνος ἔλεγε As. 12. ἀποκτήναντες A. 13. Αἰγύπτιοι] sequitur apud Aelianum Pompeii laudatio. 14. θαλάττης] θαλάσσης καὶ ἐκεῖνον, ὡς ὑμᾶς πολλάκις ἐῶσιν As. Λέγεται — αὐτὸν] τὸν δελφῖνα ἡ φύσις As. 15. ὥς φασι, καὶ πέρας As. 18. καταδαρθάνει] τηνικάδε As addit. 19. τοῦδε τοῦ θεοῦ As. οὖν A. 23. Scribe ἔλθ' et ἐς.

Flor. 46, 78. Plut. Apophth. Reg. cett. 198 F, ubi v. Wyttenbachius.
98c Arsen. XVIII, 51. IX, 99: Hephaest. 65 Gsf. Sapph. fr. 24 Schneidew.
98d. Arsen. XVIII, 52. IX, 100: Hephaest. 30 Gsf. Alc. fr. 46 Schneidew.
99. Greg. Cypr. M II, 87: Arsen. XVIII, 53. Οἱ — θαλάττης] Aelian. N. An. XII, 6. Λέγεται — ποτέ] id. ib. XI, 22. φυσικὴ — ἐκεῖνος] id. ib. XV, 17.
99a. Arsen. XVIII, 54: Eur. Ion. 1521.

θει, ὠθεῖται εἰς βυθόν, ἕως ψαύσῃ τῆς ... προςπελασθῇ αὐτῇ, διϋπνίζεται κρουσθεὶς πρὸς τὸ ἔδαφος, εἶτα ἀναδύνει· καὶ πάλιν εἰς ὕπνον ὑπαχθεὶς καὶ νικώμενος τοῦ θεοῦ κατολισθαίνει, καὶ αὖθις ἀφυπνισθεὶς τῇ αὐτῇ κρούσει ἀναπλεῖ πάλιν· καὶ πολλάκις δρᾷ τοῦτο, μεταξὺ ἡσυχίας καὶ ἐνεργείας ὤν, οὐ μὴν εἰς ἀεικινησίαν ἐμπίπτων παντελῆ ποτέ:. Φυσικὴ δὲ ἄρα κοινωνία τις καὶ συγγένεια λέοντι καὶ δελφῖνι ἀπόῤῥητος· οὐ γάρ, ὅτι βουλεύουσιν, ὁ μὲν τῶν χερσαίων, ὁ δὲ τῶν ἐναλίων, τοῦτο ἀπόχρη· ἀλλὰ γάρ τοι καὶ τήκοντα προϊόντες εἰς γῆρας καὶ ἄλλως νοσήσαντες, ὁ μὲν τὸν χερσαῖον πίθηκον ἔχει φάρμακον, ὁ δὲ ἀναζητεῖ τὸν συμφυῆ. ἔστι δὲ καὶ ἐν θαλάττῃ πίθηκος, καὶ ἔστι καὶ τῷδε οὗτος ἀγαθόν, ὡς ἐκείνῳ ἐκεῖνος.

Τὸ δ μετὰ τοῦ η.

100 Δηλίου κολυμβητοῦ: ἐπὶ τῶν ἄκρως νηχομένων.

1 Δειρὸν βουλεύειν, ἵν' ἔχῃ καὶ πολλὸν ἄμεινον.

99b Δεῦρ' ἄγε, πειρηθήτω, ἐπεί μ' ἐχολώσατε λίαν
ἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσίν, οὔτε μεγαίρω.

---

1. ψαύσει As. 6. ἀκινησίαν ἐκπίπτων ZAs. 7. ἄρα ἦν As. 9. βασιλεύουσιν As. ἁλίων As. 10. τήκονται As. 12. ἔστι δὲ] ὡς γάρ ἐστι As. 13. πίθηκος] εἰπόν που As addit. 16. Corrige δηρὸν et πολλόν. 17. λίην Homerus.

99b. Arsen. XVIII, 55: Hom. Od. Θ, 205.

100. Suidas: Arsen. XVIII, 56. Suidae locum e Diog. Laert. IX, 12 et II, 22 conflatum adscribam: τοῦτο ἐῤῥήθη εἰς βιβλίον Ἡρακλείτου, διὰ τὸ δυςνόητον, Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. ἐπιγράφουσι δὲ αὐτὸ οἱ μὲν Μούσας· οἱ δὲ περὶ φύσεως· Διόδοτος δὲ Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου· ἄλλοι Γνώμην ἠθῶν. Κόσμον τρόπων ἑνὸς τῶν ξυμπάντων. Ἢ οὕτως. Δ. κολ., ἐπὶ τ. ἄ. νηχ. Σωκράτει γὰρ δόντος τοῦ Εὐριπίδου Ἡρακλείτου τοῦ σκοτεινοῦ σύγγραμμα, ἐρέσθαι, τί δοκεῖ; τὸν δὲ φάναι· ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα. πλὴν Δηλίου δεῖται κολυμβητοῦ, εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ. Καὶ παροιμία· Δήλιος κολυμβητής, ἐπὶ τῶν πάνυ ἐμπείρων νήχεσθαι: ubi v. interpp.

1. Etym. Gudian. v. δήνεα 142, 23: ἔνθεν καὶ παροιμία Δηρὸν κτλ.: Eustath. ad Hom. Il. Α, 417, p. 127, 19: διὸ καὶ παροιμία κεῖται, δηρὸν ...· εἰς ἣν συντελεῖ καὶ Σοφοκλέους [Oed. Tyr. 617] τό, Φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς: Etymol. M. 266, 15: Arsen. XVIII, 57. Panyasidi tribuit Sylburgius a Tzschirnero ad Panyas. Rell. p. 71 refutatus, nunc Phocylidi adscribit Schneidewinus *Beiträge zur Kritik der P. L. Gr.* 87. Similes sententias Welckerus ad Theogn. p. 27 et Orellius Opusc. Sent. II, 558 collegerunt: add. Thucyd. I, 78, 3: ἰόντες δὲ οἱ ἄνθρωποι ἐς τοὺς πολέμους τῶν ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾶν, κακοπαθοῦντες δὲ ἤδη τῶν λόγων ἅπτονται: Epicte-

Τὸ δ̃ μετὰ τοῦ ῑ.

2 *Διὰ μαχαιρῶν καὶ πῦρ ῥίπτειν δεῖ: ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.*

3 *Διαβολῆς ὀξύτερον ξίφος, εἰ τὸ ξίφος προφθάσει τὸν διαβάλλοντα.*

4 *Διαγόρας ὁ Μιλήσιος: ἐπὶ τῶν ἀθέων καὶ ἀπίστων.*

5 *Διακωδωνιασθέντες: ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται.*

1a *Δημόκριτος τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.*

2a *Διακόνιον: οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα· Μενεκλῆς δὲ ἐν τῷ γλωσσοκόμῳ ταῦτα εἴρηκε περὶ αὐτοῦ· Ἀθηναῖοι τῷ Ἀπόλλωνι τὴν καλουμένην εἰρεσιώνην ὅταν ποιῶσι, πλάττοντες λύραν τε καὶ κοτύλην καὶ κλῆμα καὶ ἄλλ' ἄττα κυκλωτερῆ πέμματα, ταῦτα καλοῦσι διακόνιον· λέγεται δὲ ἐπί τινος ἐγκρατοῦς. ὁμοίως δὲ καὶ Ἀμερέας διακόνια τὰ κατὰ τὴν εἰρεσιώνην τῷ Ἀπόλλωνι πλασσόμενα πέμματα· τινὲς δὲ λέγουσι ζωμὸν ποιόν, τινὲς δὲ μᾶζαν.*

4a *Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν:. Ἰσοκράτους.*

---

2. *πυρὸς* Zenobius. 3. *παραβαλλομένων*] *παραβόλως τι ποιούντων* Suidas. 6. *καὶ ἀσεβῶν* Suidas in fine addit. Ceterum ZW *ὁ Μήλιος*, contra codices: de hoc mendo vetustissimo v. Kusterus ad Suid. l. c. et Meierus in Erschii et Gruberi Encycl. T. XXIV, 440. 7. *διακωδωνισθέντες* AR Suidas. *τὸ* a Suida abest. *πλεῖστον δὲ* Suidas. 13. Corrige *κυκλοτερῆ*. 15. *Ἀμερίας* Suidas. 19. *πλέον* Isocrates.

tus in Boisson. Anecd. I, 134: *πολλὰ βουλευόμενος, ἔπειτα πράττε, ὡς ἐξουσίαν μὴ ἔχων ἐπανορθοῦσθαι τὰ πραχθέντα.*

1a. Arsen. XVIII, 58. XX, 33: Max. Conf. Serm. 54, p. 658 Comb.: Apost. VII, 9. Democr. fr. 230 Mullach.

2. Zenob. III, 19: Arsen. XVIII, 59. Posidippus Athen. XIV, 662 A, vs. 9: *ὧν εἷς οὑτοσὶ Διὰ τῶν μαχαιρῶν τοῦ πυρός τ' ἐλήλυθεν*: Aelian. Epist. Rust. 16, p. 421 Cuiac.: *σὺ μέν μοι δοκεῖς κἂν εἰς πῦρ ἅλλεσθαι κἂν εἰς μαχαίρας κυβιστῆσαι.* Tetigit Funckhaenel in Schneidew. Philol. IV, 207.

2a. Arsen. XVIII, 60: Suidas, ubi v. Bernhardius.

3. Plutarch. Apophth. Lac. 221 C: *Θεαρίδας ξίφος ἀκονῶν, ἠρωτήθη εἰ ὀξύ ἐστι, καί, εἶπεν, ὀξύτερον διαβολῆς*, qui locus fortasse ex nostro supplendus est: Achill. Tat. VI, 10: *ἡ διαβολὴ μαχαίρας ὀξυτέρα, πυρὸς σφοδροτέρα, Σειρήνων πιθανωτέρα*: Cod. Vratisl. apud Boeckh. ad Pind. T. II, 1, p. 10: *Πίνδαρος ὁ μελοποιὸς ἐρωτηθεὶς ὑπό τινος, τί πρίονος ὀξύτερον, εἶπε διαβολή*: alia Stob. Flor. 42 excerpsit.

4. Suidas: Arsen. XVIII, 61.

4a. Arsen. XVIII, 62: Stob. Flor. 48, 32. Isocr. ad Nicocl. §. 28, p. 29 R.

5. Suid. s. *διακωδωνίζω*: Arsen. XVIII, 63. Hesych. Etym. M. 267, 28. Bachmanni Anecd. I, 194. Scholl. Vatic. ad Strab. II, 99.

6 *Διϊτρέφης ἀναπέπτωκεν*: ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα.

7 *Δικαιότερος σταχάνης*: ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν· ἴσως παρὰ τὴν στάσιν.

8 *Δίκης ὀφθαλμός*: ἧς δεῖ μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

9 *Δίκη δίκην ἔτικτε, καὶ βλάβη βλάβην*: ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις.

8a *Δίζεσθαι βιοτὴν, ἀρετὴν δ' ὅταν ᾖ βίος*: παρόσον τὸ ζῆν τῆς ἀρετῆς προτιμότερον.

8b *Δίδασκε σαυτὸν* ἀποκλίνειν ἐμφρόνως
δρασμῶν ἄνευ λόγων τε καὶ τῶν εὐλόγων.
δρασμοῦ σταγείροις τοῦ πάλαι μεμνημένος.

8c *Διὰ δύο προφάσεις* τῶν ἀδικημάτων ἄνθρωποι ἀπέχονται, ἢ διὰ φόβον ἢ δι' αἰσχύνην:. Ὑπερίδου.

8d *Δίκαια μὲν* λέγοντες πολλοὶ ἄδικα ποιοῦσι· δίκαια δὲ πραττόντων οὐδ' ἂν εἷς ἄδικος εἴη:· Ξενοφῶντος.

8e *Δίκαιόν ἐστιν* ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας:. Δημοσθένους.

---

1. *ἀνεπτέρωκεν* Z Suidas. Addit Suidas in fine: *Ἀριστοφάνης· Δεινῶς τε μου τὸ μειράκιον ** ἀνεπτέρωκεν, ὥσθ' ἱππηλατεῖν. οὗτος γὰρ πρότερον πυτινοπλόκος ἦν· ἔπειτα ἐγένετο φύλαρχος καὶ ἵππαρχος.* 5. *ἴσως* Ds om. 6. *δεῖ* abest a Suida: proverbium cum explicatione e Polyb. XXIV, 8, 3 sumpsere, ubi haec leguntur: *διότι κατὰ τὴν παροιμίαν ἔστι [τις] Δίκης ὀφθαλμός, ἧς μηδέποτε δεῖ καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.* 17. *μὲν γὰρ* Xenophon. *πραττόντων*] *πράττων* idem. 19. *δίκαιοι δ' ἔστ'* Demosthenes. 20. *παραλόγως* idem.

6. Suidas: Arsen. XVIII, 64. Ex Aristoph. Av. 1441 derivatum. »Cum proverbii speciem miremur ex Aristophanis dicterio extundi potuisse, tum etiam mirabilior mutilus videtur ille et versuum et explicationum habitus. Quod si contendatur v. *Πυτιναῖα*, ubi pleraque sunt integrius descripta, neminem opinor dubitaturum quin glossa *Διϊτρέφης ἀν.* olim suum locum in continua narratione de Diitrephe tenuerit:« Bernhardius ad Suid. l. c.
7. Diog. IV, 28: Arsen. XVIII, 66: DV II, 39.
8. Suidas: Arsen. XVIII, 67: Menand. Monost. 179. Suid. s. *ἔστι δίκης*. »Diphilus apud Theodor. *Θεραπ.* 564 [v. Meinekius ad Men. et Philem. Fragm. p. 433.]: *ἔστι δὲ Δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ*: Euseb. Orat. de laude Constant. 661: *καὶ δίκης ὀφθαλμὸν ὑπάρχειν, ἔφορον τῶν ἀνθρωπίνων πραγμάτων*: Anth. III, 6, 301 [Anth. Palat. VII, 357]: *ὄμμα δίκης καθορᾷ πάντα τὰ γινόμενα*:« Kusterus ad Suid. l. c.
8a. Diog. IV, 39: Arsen. XVIII, 68. Greg. Cypr. L I, 95.
8b. Arsen. XVIII, 69.
8c. Arsen. XVIII, 70: Max. Conf. Serm. 5, p. 545 Comb.
8d. Arsen. XVIII, 71: Stob. Flor. 9, 60. Xenoph. Memor. IV, 4, 10.
8e. Arsen. XVIII, 72: Stob. Flor. 46, 66. Demosth. or. adv. Aphob. 835 R.
9. Suidas: Arsen. XVIII, 73. DV II, 42.

10 *Διὸς κώδιον:* οὗ τὸ ἱερεῖον Διῒ τέθυται. θύουσι δὲ τῷ τε Μειλιχίῳ καὶ τῷ Κτησίῳ Διΐ. τὰ δὲ κώδια τούτων φυλάσσουσι, Δία προσαγορεύοντες. χρῶνται δ' αὐτοῖς ὅ τε σκιροφορίων καὶ ὁ δᾳδοῦχος τὴν πομπὴν στέλλοντες ἐν Ἐλευσῖνι, καὶ ἄλλοι τινὲς πρὸς τοὺς καθαρμοὺς, ὑποστρωννύντες αὐτὰ τοῖς ποσὶ τῶν ἐναγῶν.

11 *Δίκην ὑφέξει, κἂν ὄνος δάκῃ κύνα:* ἐπὶ τῶν ἐπὶ σμικροῖς συκοφαντουμένων.

12 *Δικτύῳ ἄνεμον θηρᾷς:* ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων.

13 *Δίκης δικαιότερος:* ἐπὶ τῶν σφόδρα δικαίων· καθ ὑπερβολήν.

14 *Διζημένοισι τἀγαθὰ μόλις παραγίνεται, τὰ* δὲ κακὰ καὶ μὴ διζημένοισιν.

15 *Διομήδειος ἀνάγκη:* ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς θυγατράσιν αὐτοῦ μίγνυσθαι, ἃς καὶ ἵππους ἀλληγορεῖ. τάττεται δὲ ἐπὶ τῶν κατὰ ἀνάγκην τι πραττόντων. Οἱ δέ φασιν, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ παλλάδιον κλέψαντες, νυκτὸς ἐπανῄεσαν· ἑπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἠβουλήθη ἀποκτεῖναι· ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης, δείσας τὸν Ὀδυσσέα ἐποίησε προάγειν, παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον.

---

3. *οἵ τε Σκιροφορίων τὴν πομπὴν στέλλοντες καὶ ὁ δᾳδοῦχος ἐν* Suidas. 10. *ποιούντων*] AE addunt: *ἐν τοῦ δικτύου* [haec absunt a Scholiasta] *λέγεται ἡ Ἄρτεμις Δίκτυννα· ἐπειδὴ τῶν κυνηγετῶν ἐστι καὶ τὸ δίκτυα φέρειν. εὔφορος* [l. *ἔφορος*] *δὲ κυνηγεσίας ἡ Ἄρτεμις. φασὶ δὲ καὶ ὅτι νύμφη τις Βρετημάρτυς* [scr. *Βριτόμαρτις*] *καλουμένη, θηρεύουσά ποτε δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα Δικτύνης* [sic] *Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν, οἱ δὲ ἄλλην καὶ ἄλλην.* 15. *ὅς*] *παροιμία. ἀπὸ τοῦ Τυδέως, ἢ ἀπὸ τοῦ Θρᾳκός· ὅς* Suidas. 16. *μίσγεσθαι* Suidas. »Ante *ἀλληγορεῖ* supplendum ex Eustath. in Il. κ, p. 822 *ὁ παλαιὸς λόγος:*« Bernhardius. 17. *ἀλληγορεῖ*] *εἶτα ἀνῄρει* Suidas addit. *Τάττεται — πραττόντων*] haec Suidas imprudenter in finem huius loci reiecit et post v. *μετάφρενον* posuit. 18. *φασιν* in Suida deest.

10. Suidas.
11. Suidas: Arsen. XVIII, 74. DV II, 30.
12. Suidas: Arsen. XVIII, 75. DV II, 40. *ἐκ τοῦ κτλ*] Scholl. ad Arist. Ran. 1398.
13. Diog. II, 23: Arsen. XVIII, 76. DV II, 35.
14. Stob. Flor. 98, 58: Arsen. XVIII, 77. Democr. Sent. 75 Orell. Democr. fr. 10 Mullach.
15. Suidas: Arsen. XVIII, 81. Zenob. III, 8. Themist. Or. 21, 351 B: *ὅταν δέ τινα ἴδητε διοικούμενον μὲν ὡς κορυφαῖόν τε καὶ ἄκρον φιλοσοφίας, προεστηκότα δὲ οἷς ἄρτι*

16 *Διονύσια:* ἑορτὴ παρ' Ἀθηναίοις· καὶ παροιμία ἐξ αὐτοῦ·

Σχεδὸν τοσοῦτον ὅσον ἐκ Διονυσίων·

ἐπὶ τῶν ἀποδοχῆς ἀξίων.

17 *Διὸς Κόρινθος:* ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. ἐῤῥήθη δὲ δι' αἰτίαν τοιαύτην. Μεγαρεῖς ὑπακούοντες Κορινθίοις ἐβαρύνοντο τοῖς ἐπιτάγμασι, καὶ φανεροὶ δυςανασχετοῦντες ἦσαν ἐπὶ τούτῳ. Κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ Μέγαρα, καὶ τοῦ δήμου προςέχοντος αὐτοῖς, ἀγανακτοῦντες ἐβόων, *Οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθος.* φασὶν οὖν τοὺς Μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν, καὶ λέγειν· *Παῖε τὸν Διὸς Κόρινθον.*

18 *Δίχολοι γνῶμαι:* οἱονεὶ δίτροποι. ἐπὶ τῶν διτρόπων.

19 *Διὸς ἐγκέφαλος:* τὸ κάλλιστον βρῶμα· ἢ βασιλέως ἐγκέφαλος· ἐπὶ τῶν ἡδυπαθούντων· οἱ δὲ, ὅτι τὰ πολυτελῆ βρώματα παρὰ Πέρσαις Διὸς ἐγκέφαλος λέγεται.

20 *Διὸς ψῆφος:* οὕτω καλεῖται ὁ τόπος, ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις·

Ἔνθα Διὸς μεγάλου θῶκοι πεσσοί τε καλοῦνται.

Τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

21 *Διὰ δακτυλίου γ' ἂν ἑλκύσαις:* ἐπὶ τῶν διὰ λύπην ἢ νόσον ἰσχνῶν γινομένων. Ἀριστοφάνης ἐν Πλούτῳ.

22 *Δίσκους ὠθεῖ ὑπὲρ τὰ ἐσκαμμένα:* ἐπὶ τῶν προ-

---

4. ἀξίων] addit A: ὁ Διόνυσος λέγεται καὶ Διθύραμβος, ὅτι ἐτράφη ἐν ἄντρῳ διθύρῳ τῆς Νύσσης [l. Νύσης]· ἐκ τούτου ποιηταὶ διθυραμβοποιοί: quae ex Etym. M. 274, 45 descripta sunt. 7. ἐβαροῦντο Suidas. 13. διτρόπων] διγνώμων Ds. 19. θᾶκοι Suidas, θᾶκος Meinekius. Singula membra Suidas aliter collocavit. 22. γ' ἂν ἑλκ.] δεῖ σε ἑλκυσθῆναι Ds: Aristophanes: διὰ δακτυλίου μὲν οὖν ἔμεγ' ἂν διελκύσαις.

εἶπον προσεδρεύοντα καὶ μηδέποτε ἀφιστάμενον, μηδ' ἂν Διομήδεια αὐτῷ ἀνάγκη προςγένηται, εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ἐξαπατᾷ ὑμᾶς.

16. Suidas: Arsen. XVIII, 82. Σχεδὸν κτλ.] Arist. Thesmoph. 754.

17. Suidas: Arsen. XVIII, 83. Macar. VII, 46. Apost. XII, 30.

18. Diog. IV, 32: Arsen. XVIII, 87.

19. Arsen. XVIII, 84. Διὸς — ἡδυπαθούντων] Suidas. Οἱ δὲ κτλ.] Diog. IV, 24. Zenob. III, 41. Usurpat de cibo delicatissimo Ephippus Athen. XV, 642 E: alios laudat Burmannus ad Vales. Emend. I, 25.

20. Suidas: Arsen. XVIII, 85. Greg. Cypr. L I, 93. Crat. Archil. fr. 4 Mein.

21. Diog. IV, 30: Arsen. XVIII, 78: Apost. V, 86a. DV II, 40. Arist. Plut. 1037.

22. Arsen. XVIII, 86: cf. Macar. VIII, 67.

τερούντων ἐπὶ δύο τινῶν πραγμάτων ἐπαίνου ἀξίων· τὸ δ' ἓν ἐπισταμένων βέλτιον τοῦ ἑτέρου.

23 *Δὶς ἑπτὰ πληγαῖς πολύπους πιλούμενος:* ἐπὶ τῶν κολάσεων ἀξίων· παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πίων γενέσθαι.

24 *Δι' ὀξείας δραμεῖν:* ἐπὶ τῶν διακινδυνευόντων· ὀξεῖαν γὰρ λέγουσι τὴν λόγχην.

25 *Διωλύγιον κακόν:* ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων.

26 *Δὶς καὶ τρὶς τὸ καλόν, τὸ δὲ κακὸν οὐδ' ἅπαξ:* δῆλον τοῦτο.

27 *Δὶς παῖδες οἱ γέροντες:* ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων εἶναι δοκούντων.

28 *Διὰ τοῦ τοίχου λαλεῖ:* ἐπὶ τῶν ἀναισθήτων.

25a *Διπλοῦν κάππα:* ὅτι ἤθελον δηλῶσαί τι κακὸν, δύο κκ ἔγραφον.

---

3. πουλύπους AZ. 15. ὅτι] scribe ὅτε.

23. Suidas: Arsen. XVIII, 88. Zenob. III, 24.

24. Suidas: Arsen. XVIII, 92. DV II, 29.

25. Suidas: Arsen. XVIII, 93. Greg. Cypr. L I, 92. nott. critt. ad Apost. XIII, 32.

25ª. Arsen. XVIII, 94: Suid. s. *κάππα διπλοῦν*: ἀντὶ τοῦ κακά. *Τρία κάππα κάκιστα*· Καππαδοκία, Κρήτη καὶ Κιλικία: Erasm. III, 6, 81: »duplex cappa, velut aenigma, quo malum aliquod significabant. Siquidem gemino cappa scribuntur κακά. Simili figura Plautus [Asin. II, 4 fin.] furem trium literarum hominem appellavit.« Quod autem τρία κάππα κάκιστα attinet, de Cretensibus quantum satis in ann. ad Zenob. IV, 62 dictum est, de Cilicibus v. App. Provv. II, 7: de Cappadocibus Kusterus in nott. ad Suid. l. c. Constantinum Porphyr. I, th. 2 citat: διαβεβόηται δὲ παρὰ πᾶσιν ἐπὶ κακοτροπίᾳ τὸ τῶν Καππαδόκων γένος, ὡς καὶ παροιμίαν περὶ αὐτῶν ἐξενεχθῆναι τοιαύτην· Τρία κάππα κάκιστα, Καππαδοκία, Κρήτη, Κιλικία: et Anth. Palat. XI, 238: add. August. de Grammat. Opp. T. XVI, p. 8 Ven.: *inde est illud* τρία κάππα κάκιστα, *id est tria cappa pessima: de Cornelio Sylla, de Cornelio Cinna, de Cornelio Lentulo: hi enim per tres litteras designati sunt in libris Sibyllinis.*

26. Arsen. XVIII, 89. Greg. Cypr. L I, 96. Basilius apud Spengelium Συναγ. Τεχν. 164: περὶ γὰρ τῶν ἄριστα γεγραμμένων ζητεῖν αὖθίς φησι [Isocrat. περὶ ἀντιδ. 321 R.] καινὰ ἀπαγγέλλειν ἐπίδειξις ἄκαιρος [scr. εὔκαιρος], ἀλλ' οὐδὲν χρήσιμον πραγματευόμενος· οὐδὲ γὰρ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἡ παροιμία φησὶ τὰ καλά: Demosth. c. Androt. 615, 5 R.: ἀλλ' ἐπὶ τούτοις γε, εἰ μηδὲν ἄλλο ἀδικῶν ἔτυχε τὴν πόλιν τρὶς οὐχ ἅπαξ τεθνάναι δίκαιος ὢν φανεῖται: ei. or. c. Timocr. 755, 8 R.: ἀλλ' ἐπὶ τούτοις γε, εἰ μηδὲν ἄλλο ἠδίκουν τὴν πόλιν, τρὶς, οὐχ ἅπαξ, τεθνάναι δικαίως ἄν μοι δοκοῦσιν: cf. Diog. IV, 20.

27. Suidas: Arsen. XVIII, 91. DV II, 31.

28. Diog. IV, 31: Arsen. XVIII, 65.

29 *Δὶς πρὸς τὸ αὐτὸν αἰσχρὸν προσκρούειν λίθον: ἐπὶ τῶν ἐκ δευτέρου τοῖς αὐτοῖς περιπιπτόντων.*

30 *Διὰ παλαιᾶς ἡμέρας: ὥσπερ διὰ χρόνου, διὰ μακροῦ.*

31 *Διὰ μέσου καὶ λιμὸς ἔῤῥει καὶ κάλλιστ' ἀπόλλυται: φθαρέντος γὰρ τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται.*

Τὸ δ̅ μετὰ τοῦ ο̅.

32 *Δοίδυξ αὔξει: ἐπὶ τῶν μὴ αὐξανομένων· ὁ γὰρ δοίδυξ μικρός ἐστι καὶ στρογγύλος.*

33 *Δορύκειον: ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. Οἱ δεκατευθέντες εἰς Δελφοὺς ὑπὸ Ἀθηναίων Γεφυραῖοι λαβόντες χρησμόν·*

ἀνδρὶ Γεφυραίῳ φίλος οἶκος,

ἀκολουθοῦντες βουσίν, ἕως ἂν οὗ κοπιῶσιν, ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου ἐπὶ τὴν Τάναγραν καλουμένην ὤδευσαν, δόντες ἐν τῷ προηγουμένῳ κυρίκειον, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους.

34 *Δοῦλος ὢν κόμην ἔχεις.*

32a *Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει,*
δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δέ, ἐάων·
ᾧ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται ἄλλοτε δ' ἐσθλῷ.
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν·
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
φοιτᾷ δ', οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσιν.

33a *Δοίδυκος σκιά: ἐπὶ τοῦ μηδενός.*

---

3. *διὰ μακροῦ* Ds om. 4. *ἔκρει* et *μάλιστ'* Z: scribe *κάκιστ'*. 10. *Δόρυ κηρύκειον* Suidas. *παροιμία· ἐπὶ* Suidas. 11. *ὑπὸ Ἀθηναίων*] scribe *ὑπ' Ἀργείων*: cf. O. Muellerus Dor. I, 257. 14. *ἂν* delendum est. *ἕως ἂν οὐ ἐκεῖνοι κοπιάσωσιν, ὡς* Suidas. 17. *ἐν*] *μὲν* Suidas. *κηρύκειον* idem. 19. Addit u: *ἐπὶ τῶν περὶ λόγους πραττόντων. παρόσον ἐλευθέρων τὸ κομᾶν*: corrige *παραλόγως*. Consentit Suidas, qui adiicit: *λέγεται καὶ δουλότερος κατὰ σύγκρισιν*. 22. *κ' ἀμμίξας δοίη* Homerus. 24. *δοίη* idem.

29. Suidas: Arsen. XVIII, 90. DV II, 32.

30. Diog. IV. 38: Arsen. XVIII, 79.

31. Greg. Cypr. L I, 94: Arsen. XVIII, 80.

32. Diog. IV, 23: Arsen. XVIII, 94.

32a Arsen. XVIII, 95: Hom. Il. Ω, 527.

33. Suidas: Arseu. XVIII, 96. Zenob. III, 26. Usurpavit Polyb. IV, 52, 3: *βουλόμενοι, τὸ δὴ λεγόμενον, καὶ τὸ δόρυ καὶ τὸ κηρύκειον ἅμα πέμπειν πρὸς τοὺς Βυζαντίους.* Fortasse huc pertinet etiam locus Eubuli comici ap. Phot. s. *τοκάδα*, de quo v. Meinekius Com. Gr. Fr. III, 272.

33a. Arsen. XVIII. 97: App. Provv. I, 99. Macar. III, 37.

34. Suidas: Arsen. XVIII, 98. Est Arist. Av. 912, ubi v. Scholia.

35 *Δούλων πόλις:* ἐν Λιβύῃ. Εὔφορος ἐν πέμπει. καὶ ἑτέρα ἱεροδούλων, ἐν ᾗ εἷς ἐλεύθερος ἐστίν· ἔστι δὲ καὶ ἐν Κρήτῃ Δουλόπολις, ὡς Σωσιστράτης ἐν τῇ Κρητικῶν· ἔστι δέ τις περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασιν συνοικίσαι τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους, αὐτόθι συναγαγόντα συκοφάντας καὶ ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους, ὡς Θεόπομπος ἐν τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν φησί.

35a *Δόξα καὶ πλοῦτος* ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα:. Διογένης.

35b *Δὸς τὴν χάριν* μοι τήνδε καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου. Παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς
εἰς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους:. Εὐριπίδου.

35c *Δούλων ὅσοι* φιλοῦσι δεσποτῶν γένος,
πρὸς τῶν ὁμοίων πόλεμον αἱροῦνται μέγαν:. Εὐριπίδου.

35d *Δούλους γὰρ* οὐ
καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν:. Εὐριπίδου.

35e *Δούλῳ γὰρ οὐχ* οἷόν τε τἀληθῆ λέγειν,
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι:. Εὐριπίδου.

35f *Δοῦλον γὰρ ἐσθλὸν* τοὔνομ' οὐ διαφθείρει·
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων:. Εὐριπίδου.

35g *Δουλοῖ γὰρ ἄνδρα*, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά.
μόνον δέ φασι τοῦθ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθήν, ὅτ' ἂν παρῇ.

---

1. Εὔφορος ἐν πέμπη N, Ἔφορος ε' Suidas Z, Ἔφορος ἐν πέμπτῃ W. 3. Σωσικράτης Z Suidas. τῇ α' τῶν Z Suidas. 4. καὶ περὶ Suidas. συνοικῆσαι A. 8. ιγ' Z Suidas, ιγ N. 10. Διογένης] Δημοκρίτου Stobaeus: v. Mullachius ad Democr. Fr. p. 270: Κάτωνος Maximus. 14. ἐς Euripides. 20. τυγχάνει A. 21. διαφθερεῖ Grotius. 24. ξυνειδῇ Stobaeus. 25. τοῦτό φασ' Euripides. 26. ὅτ' ἂν] ὅτῳ idem.

35. Suidas: Arsen. XVIII, 99. Plut. Provv. I, 22. App. Provv. III, 91: add. Steph. Byz. s. δούλων coll. Meinekio ad Com. Gr. Fr. II, 1, p. 133 sq.
35a. Arsen. XVIII, 100: Stob. Flor. 4, 82, Max. Conf. Serm. 12, p. 571 Comb. Exstat locus etiam in Democratis Sent. aur. 42 Or., et in Georgidae Gnomol. apud Boiss. Anecd. I, p. 24, ubi nomen auctoris reticetur.
35b. Arsen. XIX, 1: XXV, 74: Stob. Flor. 89, 2. Eur. Helen. 940.
35c. Arsen. XIX, 2: Stob. Flor. 62, 16. Eurip. Alex. fr. 11 Matth.
35d. Arsen. XIX, 3: Stob. Flor. 62, 19. Eur. Alex. fr. 8 Matth.
35e. Arsen. XIX, 4: Stob. Flor. 62, 21. Eurip. Busir. fr. 1 Matth.
35f. Arsen. XIX, 5: Stob. Flor. 62, 38. Eur. Melan. fr. 10 Matth.
35g. Arsen. XIX, 6: Stob. Flor. 90, 11. Eur. Hipp. 424.

Τὸ δ̃ μετὰ τοῦ ρ̃.

36 *Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται:* παρόσον ἀνὴρ μέγας ὅταν σφαλῇ, πάντες κατ' αὐτοῦ φέρονται καὶ τὰ αὐτοῦ ἁρπάζουσι.

Τὸ δ̃ μετὰ τοῦ ῡ.

37 *Δύω τοίχους ἀλείφεις:* λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων καὶ διὰ μέσου χωρούντων ἐν μάχαις ἢ φιλίαις· εἴρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους εὐφεγγίας ποιούντων.

38 *Δύο θεοὺς ἥκω κομίζων ὑμῖν, πειθὼ καὶ βίαν:*

κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ
προσθεὶς κάτοπτρον ὥστε παρθένῳ νέᾳ:. Τοῦ αὐτοῦ.

35h *Δούλου φρονοῦντος* μᾶλλον ἢ φρονεῖν χρεὼν
οὐκ ἔστιν ἄχθος μεῖζον, οὐδὲ δώμασι
κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα:. Τοῦ αὐτοῦ.

35i *Δουλεία γὰρ καὶ ἐλευθερία* ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανάγαθον· μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. Θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος, ἄφροσι δὲ ἡδονή:. Πλάτωνος ἡ ὑποθήκη.

36a *Δραχμῆς μὲν ηὔλει, τεττάρων δὲ παύεται:* ἐπὶ τῶν ἑτοίμως ἀρχομένων ἢ λέγειν ἢ πράττειν, δυσχερῶς δὲ παυομένων.

37a *Δύο γὰρ ταῦτα* ὡσπερεὶ στοιχεῖα τῆς ἀρετῆς εἰσιν, ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας. ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων. ἡ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται:. Πλουτάρχου.

37b *Δύο δὲ ἀφορμαὶ* κινοῦσιν ἀνθρώπους εἰς θεῶν ἐπιμέλειαν, τιμωρίαι δὲ δυσσεβείας καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί:. Λιβανίου.

38a *Δύο δὲ ταῦτα* δοκεῖ πιστεύεσθαι, δι' ἃ ψέγουσί τινες τὸν Ἀριστοτέλην, ἓν μὲν ὅτι τὴν Ἑρμοῦ γήμειεν φύσει μὲν ἀδελφήν,

---

4. τὰ αὐτοῦ] τὰ αὐτοῖς A. 6. δύο Suidas. 8. εὐφεγγίας idem. 11. χρόνος Stobaeus in fine addit. 21. εἰσιν] ἐστιν Plutarchus. 25. δὲ] γὰρ Libanius. 26. τιμωρία idem. 28. Ἑρμείου Eusebius.

35h. Arsen. XIX, 7: Stob. Flor. 62, 14. Eur. Alex. fr. 6, 2 Matth.
35i. Arsen. XIX, 8: Stob. Flor. 48, 59. Plat. Epist. 8, p. 354 E.
36. Arsen. XIX, 9. Macar. III, 39: App. Provv. II, 1 ubi v. nott., quibus addas Publ. Syr. Sent. 52: *arbore deiecta ligna quivis colligit.*
36a. Arsen. XIX, 10. Cf. Apost. III, 71.
37. Suidas: Arsen. XIX, 11. App. Provv. II, 2.
37a. Arsen. XIX, 12: Plutarch. de educ. pueror. 16, p. 12 C.
37b. Arsen. XIX, 13: Liban. Oratt. T. IV, p. 91 R.
38. Plut. Themist. 21: Arsen. XIX, 15. Plutarchus ex Herod. VIII, 11 hausit: alia Sintenis ad Plut. l. c. attulit.
38a. Arsen. XIX, 16: Euseb. Praep. Evang. XV, 2, p. 793 A Col. Cf. Buhlius ad Aristot. Opp. I, p. 31 sq. Goettlingius ad Aristot. Oecon. p. 131.

ἀπόφθεγμα τοῦ Θεμιστοκλέους πρὸς Ἀνδρίους χρηματιζομένου. οἴδ᾽ ἔφασαν ἔχειν δύο θεοὺς μεγάλους, πενίαν καὶ ἀπορίαν.

θετὴν δὲ θυγατέρα, Πυθιάδα, κολακεύων αὐτόν. Θεόκριτος γοῦν ὁ Χῖος ἐποίησεν ἐπίγραμμα τοιοῦτον·

Ἑρμείου εὐνούχου καὶ εὐβούλου τόδε δούλου
μνῆμα κενὸν κενόφρων θῆκεν Ἀριστοτέλης.
ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν
ἀντ᾽ Ἀκαδημίας βρονβόρου ἐν προχοαῖς.

ἕτερον δὲ ὅτι ἠχαρίστησε Πλάτωνι· περὶ μὲν οὖν Ἑρμείου καὶ τῆς Ἀριστοτέλους πρὸς αὐτὸν φιλίας ἄλλοι τε πολλοὶ συγγεγράφασι καὶ δὴ καὶ Ἀπελλίκων· οὗ τοῖς βιβλίοις ὁ ἐντυχὼν πεπαύσεται βλασφημῶν αὐτούς. περὶ δὲ γάμου τοῦ Πυθιάδος ἀποχρώντως αὐτὸς ἐν ταῖς πρὸς Ἀντίπατρον ἐπιστολαῖς ἀπολελόγηται· τεθνεῶτος γὰρ Ἑρμείου διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν ἔγημεν αὐτήν, ἄλλως μὲν σώφρονα καὶ ἀγαθὴν οὖσαν, ἀτυχοῦσαν μέντοι διὰ τὰς καταλαβούσας συμφορὰς τὸν ἀδελφὸν αὐτῆς. μετὰ δὲ τὴν Πυθιάδος τῆς Ἑρμείου τελευτὴν Ἀριστοτέλης ἔγημεν Ἑρπυλλίδα Σταγειρῖτιν, ἐξ ἧς υἱὸς αὐτῷ Νικόμαχος ἐγένετο· τοῦτον δέ φασιν ὀρφανὸν τραφέντα παρὰ Θεοφράστῳ καὶ δὴ μειρακίσκον ὄντα ἀποθανεῖν πολέμῳ.

38b *Δυνάμενος χαρίζεσθαι, μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.*

38c *Δύ᾽ ἡμέραι γυναικός εἰσιν ἥδισται·*
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν:· Ἱππώνακτος.

38d *Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου*
ὁ μηντιτείνων τοῖς λόγοις σοφώτερος:· Εὐριπίδου.

38e *Δύστηνος ὅστις ζῇ θαλάττιον βίον:.* Ἀντιφάνους Ἐφεσίου.

38f *Δύςζηλοι γάρ τ᾽ εἰμὲν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων.*

---

6. *καὶ*] *ἠδ᾽* Diog. Laert. V, 11, *τε καὶ* Eusebius et Anth. Palat. Append. 38. *τόδε*] *ἄμα* Diogenes. 7. *μνῆμα*] *σῆμα* idem. 9. *Ἀκαδημείας* Eusebius: cum nostro facit Plut. de Exil. 10, p. 603 C, qui hunc versum et partem antecedentis citat. *Βορβόρου* Eusebius, Plutarchus. 13. *τοῦ γάμου* Eusebius. 17. *αὐτῆς*] *Εἶθ᾽ ἑξῆς φησί* Eusebius addit. 18. *Ἑπυλλίδα* Eusebius, qui ex Arsenio corrigendus est: v. Stahrii Aristot. I, 119. 27. *μὴ ἀντιτείνων* Stobaeus, *μὴ ᾽ντιτείνων* Matthiae. 28. *Ἐφεσίας* Stobaeus.

38[b]. Arsen. XIX, 17: Anton. Mel. 58, p. 96 Fab. Democr. fr. 156 Mullach.

38[c]. Arsen. XIX, 18. XVI, 41: Stob. Flor. 68, 8. Hippon. fr. 11 Schneidew.

38[d]. Arsen. XIX, 19: Stob. Flor. 19, 3. 5, 18. Eur. Protes. 2 Matth.

38[e]. Arsen. XIX, 20: Stob. Flor. 59, 6. Antiph. Ephes. fr. 1 Mein.

38[f]. Arsen. XIX, 21: Hom. Od. *H*, 307.

39 *Δύςκωφος δυςκώφῳ ἐκρίνετο· ὁ δὲ κριτὴς ἦν πολλῷ τούτων κωφότερος: ἐπὶ τῶν πάνυ γελοίων.*

40 *Δυεῖν ἐπιθυμήσας, οὐδετέρου ἔτυχες: ἐπὶ τῶν ἄγαν πλεονεκτούντων, οἳ διὰ πλεονεξίαν καὶ τὰ ἑαυτῶν ἀποβάλλουσιν.*

Τὸ δ̃ μετὰ τοῦ ω̃.

41 *Δωδεκαμήχανος Κυρήνη: ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις χρωμένων ἤθεσιν.*

42 *Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας: ἐπὶ τῶν δώροις πειθόντων καὶ δωροδοκούντων.*

43 *Δωδωναῖον χαλκεῖον: ἐπὶ τῶν ἀκαταπαύστως καὶ πολλὰ λαλούντων. Δήμων μὲν φησίν, ἐν τῇ Δωδώνῃ πολλοὺς παραλλήλους κειμένους λέβητας, ὅταν τις ἑνὸς ἅψηται, ἐκ διαδοχῆς πάντας ἠχεῖν. Ἀριστοτέλης δὲ ὡς πλάσμα*

39a *Δύσκολα τὰ καλά.*

42a *Δῶρον δ' ὅ τι δῷ τις ἐπαίνει:.*

---

1. *Δυςκώφῳ δύςκωφος ἐκρ. καὶ πολὺ μᾶλλον Ἦν ὁ κριτὴς τούτων [τῶν] δύο κωφότερος* Anthologia. 7. *δωδ. Κυρήνη*] *δωδεκαμήχανον* Suidas: *δωδεκαμήχανος Κυρήνης* MS 177 apud Bernhardium. Addunt AZ: *ἡ δὲ Κυρήνη ἦν ἑταίρα πάνυ ἐπίσημος, ἐκαλεῖτο δὲ δωδεκαμήχανος διὰ τὸ πολλὰς μηχανὰς ἐν ταῖς συνουσίαις ποιεῖσθαι* v. Suidan. 10. Z explicat: *ἐπὶ τῶν διὰ δῶρα τὰς δίκας ἀντιστρεφόντων*; quae Diogeniani IV, 21 explicatio est. 11. *ἀκαταπαύστως λαλούντων* C: *ἐπὶ τῶν πολυλόγων, τὸ πλέον τοῦ ἐν Δωδώνῃ χαλκείου λέγειν* explicat Schol. ad Philostr. ab Osanno in Auct. Lex. Gr. 14 editus: *ἐπὶ τῶν μικρολογούντων* Suidas: sed hoc in *μακρολογούντων* mutandum esse iam Portus perspexit. 12. *Δήμων — ἠχεῖν*] differt paulum Suidas. 13. *ὅταν δὲ* A: scribe *ἐὰν ὅταν τις*. 14. *Ἀριστοτέλης*] scribe *Ἀριστείδης* v. Schneidewinus ad Zenob. VI, 5 et C. Muellerus ad Histor. Gr. Fr. 382. Accuratius, ut videtur, Aristidis sententiam refert Grammaticus Crameri Anecd. Pariss. IV, 259: *ἐν Δωδώνῃ χαλκοῦς λέβης ἔκειτο ἐφ' ὑψηλοῦ κίονος, ἐφ' ἑτέρου κίονας πλησίον ἵσταται νεανίας τις ὅμοιος χαλκῆν μάστιγα φέρων· πνεύματος δὲ σφοδροῦ ἐπιόντος φασὶν ἐμπίπτειν τὴν χαλκῆν μάστιγα ἐν τῷ λευκῷ σάκει καὶ πολὺν τὸν ἦχον ἐξακούεσθαι· ὅθεν παροιμία ἐπὶ τῶν πολυλόγων* (add. *καὶ*) *τὸ πλέον τοῦ ἐν Δωδώνῃ χαλκείου λέγει*, corr. *λεγόντων*. 16. *δῷ*] *διδοῖ* Suidas.

39. Arsen. XIX, 22: Anth. Pal. XI, 251, 1. Nicarchus epigrammatis auctor est.

39a. Arsen. XIX, 23.

40. Arsen. XIX, 14. In his proverbii, quod Apost. XII, 33 legitur, explicationem contineri, vidit H. Stephanus in Observv. ad Erasmi Ad. p.53. Ceterum cf. Aesopi fab. 132. 133 Schneid. et v. Apost. XII, 33a.

41. Suidas: Arsen. XIX, 24. Cf. de Cyrena meretrice Scholl. ad Arist. Ran. 1363 et Hesych. s. *δωδεκαμήχανος*.

42. Arsen. XIX, 25: Greg. Cypr. M II, 83.

42a. Arsen. XIX, 26: Suidas. Cf. Zenob. III, 42.

43. Arsen. XIX, 27: C in nott. ad Zenob. VI, 5 et Suidas. Greg. Cypr. M II, 81. Cf. Arsen. XXI, 71.

διελέγχων δύο φησὶ στύλους εἶναι· καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας, σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προςκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν.

Ἀρχὴ τοῦ ε̄ στοιχείου.

Τὸ ε̄ μετὰ τοῦ ᾱ.

44 *Ἑαυτὸν οὐ τρέφων, κύνας τρέφεις*: ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν κατεπαγγελλομένων.

Τὸ ε̄ μετὰ τοῦ γ̄.

45 *Ἐγένετο καὶ Μάνδρωνι συκήνη ναῦς*: λέγεται ἐπὶ τῶν παρ' ἀξίαν εὐτυχησάντων· ὁ γὰρ Μάνδρων παρὰ

43a *Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.*
ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅς γε κἂν μέγα δώῃ,
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείῃφι πιθήσας,
καί τε σμικρὸν ἐὸν, τόγε πάχνωσε φίλον ἦτορ.

44a *Ἐὰν χρόνιος ἡ ἀπουσία γένηται καὶ τῆς φιλίας δοκεῖ ἡ ἀπουσία λήθην ποιεῖν*:· Ἀριστοτέλης ἐν τοῖς ἠθικοῖς.

44b *Ἐὰν μείνῃς ἀόργητος ἥσχυνας τὸν ὑβρίσαντα*:· Θεολόγου.

44c *Ἐὰν ἴδῃς πονηρὸν εἰς ὕψος αἰρόμενον*
λαμπρῷ τε πλούτῳ καὶ τύχῃ γαυρούμενον,
ὀφρῦν τε μείζω τῆς τύχης καθηρκότα,
τούτῳ τάχιον τὴν μεταβολὴν προςδόκα·
ἐπαίρεται γὰρ μεῖζον, ἵνα καὶ μεῖζον πέσῃ:· Φιλιστίωνος.

---

10. *συκίνη* Z Suidas. 11. *παρ' ἐλπίδα καὶ παρ' ἀξ. εὐτ., εἶτα θρυπτομένων ἐπὶ τοῖς παροῦσιν. ὁ* Suidas. 13. *ὅδε* Stobaeus, *ὅ γε* Hesiodus. *δοίη* Hesiodus. 16. *τόγ' ἐπάχνωσεν* Hesiodus et Stobaeus. 17. *γίνηται* Aristoteles. *ἡ ἀπουσία* deest in Aristotele. 19. *τὸν*] *τὰ* Maximus. *Θεολόγου*] *Βασιλείου* idem. 20. *ἐὰν*] *ὅταν* Stobaeus, *ὅταν δ'* Meinekius. *πονηρὸν* Stobaeus om. *εἰς*] *πρὸς* Stobaeus. *αἰρόμενον*] *ἠρμένον τινὰ* Stobaeus. 21. *τύχῃ*] *γένει* Stobaeus. 22. *μεῖζον* Antonius. *ἐπηρκότα* Stobaeus, *ἐπαίροντα* Antonius. 23. *τούτου* Antonius, Stobaeus. *ταχεῖαν* Stobaeus. *τὴν μεταβολὴν*] *μεταβολὴν* Antonius, *νέμεσιν εὐθὺς* Stobaeus. 24. Dele *καί*. Versum quintum Stobaeus om.

43a. Arsen. XIX, 28: Stob. Flor. 10, 16. Hesiod. *Ἔργ. κ. Ἡμ.* 354.

44. Diog. III, 14: Arsen. XXI, 75.

44a. Arsen. XXI, 76: Aristot. Eth. ad Nicom. VIII, 6.

44b. Arsen. XXI, 77: Max. Conf. Serm. 19, p. 592 Comb.

44c. Arsen. XXI, 78: Anton. Mel. 35, p. 52 Fabr. Euripidi tribuit Stob. Flor. 22, 5, atque ex eo Arsen. LI, 93, Philemoni sive Philistioni Menandri et Philem. *σύγκρισις* apud Rutgersium Var. LL. IV, p. 360. Tractarunt locum Valckenarius Diatr. Eur. 223. Meinekius ad Men. et Phil. Frr. p. 305. Matthiae ad Eurip. Fragm. p. 432.

45. Suidas: Arsen. XXI, 79. Macar. III, 45.

Ἀθηναίοις ναύαρχος ᾑρέθη, ἀνάξιος ὢν τῆς ἀρχῆς· ἡ δὲ συκήνη ναῦς τὸ εὐτελὲς δηλοῖ.

46 *Ἐγγαστρίμυθος καὶ Πύθων σὺ τυγχάνεις*: ἐπὶ τῶν τερατολόγων καὶ θαυματοποιῶν. Σοφοκλῆς στερνόμαντιν τὸν τοιοῦτον φησί. Πλάτων ὁ φιλόσοφος Εὐρυκλέα, ἀπὸ Εὐρυκλέους τοιούτου μάντεως. Ἀριστοφάνης Σφιγξί·

μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν.

Φιλόχορος δ' ἐν τῇ τρίτῃ περὶ μαντικῆς καὶ γυναῖκας ἐγγαστριμύθους.

47 *Ἐγὼ δὲ καὶ σὺ ταυτὸν ἕλκομεν ζυγόν*: ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

48 *Ἐγγύην φεύγειν δὲ, Θαλῆς Μιλήσιος ηὖδα.*

45a *Ἐγκαθεζόμενοι* τρίποδι Μουσῶν: ἐπὶ τῶν λόγους ἀσκούντων.

48a *Ἐγὼ σκόροδά* σοι λέγω, σὺ δὲ κρόμμυ' ἀποκρίνῃ.

48b *Ἔγχος* δ' οὐχ ἕλετ' οἷον ἀμύμονος Αἰακίδαο.

48c *Ἐγρηγορότες* δὲ ἄρχοντες ἐν πόλεσι νύκτωρ, φοβεροὶ μὲν κακοῖς πολεμίοις τε ἅμα καὶ πολίταις.

48d *Ἐγὼ δέ* περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψαντος ἑτέρου χύτραν ὑφειλόμην:. Ἀριστοφάνης Ἱππεῦσι.

48e *Ἐγὼ γὰρ οὐδ'* ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἄν, οὗ με νῦν ἀποστερεῖς.

48f *Ἐγὼ μὲν οὔποτ'* εὐγένειαν ᾔνεσα
τὴν προστάταισι χρωμένην ἀναξίως:· Θεοδέκτου.

---

2. συκίνη Suidas. 3. ἐγγαστρίμυθος — Σοφοκλῆς] Suidas: ἐγγαστρίμυθος: ἐγγαστρίμαντις· ὃν νῦν τινες Πύθωνα, Σοφοκλῆς δέ. 7. Σφηξὶ Suidas. 10. ἐγγαστριμύθους] καλεῖ Z addit. 21. ἕψοντος et τὴν χύτραν Aristophanes.

45a. Arsen. XXI, 80: Macar. III, 83.

46. Arsen. XXI, 81: cf. nott. ad Plut. Provv. II, 22 et v. Apost. VIII, 14. Σοφοκλῆς κτλ.] Suid. s. ἐγγαστρίμυθος. Πλάτων] Sophist. 252 C. Σφηξὶ] 1055. De signis et arte ventriloquorum egerunt Allatius in Synt. de Engastrimytho in Sacr. Critt. II, 2, p. 1051, Chardon de la Rochette *Melanges crit.* T. 1, 79, Boettiger *Ideen zur Kunst-Mythol.* I, 104.

47. Suidas: Arsen. XXI, 84. Zenob. III, 43. Componunt cum proverbio τὴν ἐμὴν κάμνειν νόσον apud Phot. et Suidan s. τὴν ἐμήν.

48. Anth. Pal. IX, 366, 8: Arsen. XXI, 82. Greg. Cypr. L II, 18.

48a. Arsen. XXI, 83: Apost. XVIII, 3.

48b. Arsen. XXI, 85: Hom. Il. *Π*, 140.

48c. Arsen. XXI, 86: Stob. Flor. 1, 96. Plat. Legg. VII, 808 C.

48d. Arsen. XXI, 87: Arist. Equitt. 744.

48e. Arsen. XXI, 88: Arist. Vesp. 508.

48f. Arsen. XXI, 89: Stob. Flor. 86, 5.

Τὸ ε̅ μετὰ τοῦ δ̅.

49 Ἐδίδαξά σε κυβισᾶν καὶ σὺ βυθίσαι με ζητεῖς: ἐπὶ τῶν κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντων.

Τὸ ε̅ μετὰ τοῦ ι̅.

50 Εἰ καὶ λύκου ἐμνήσθης: ἐπὶ τῶν ὧν ἂν μνησθῇ τις καὶ εὐθὺς παραγινομένων.

48g Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τοῦτον
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποεῖν·
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον ἢ κακῶς μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου:· Διοδώρου.

48h Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολὴν
ἐπὶ τοῖς παροῦσιν, ἐν δὲ τῇ λυπῇ φρονῶ.
τοῦτό με τηροῦν ἐστι κἄνθρωπον ποιοῦν:· Φιλήμονος.

48i Ἐγκράτεια κρηπὶς εὐσεβείας, ὄρεξις κτήσεως, ἀρχὴ πλεονεξίας· ἐκ γὰρ φιλαργυρίας ἀδικία φύεται:· Κλειτάρχου.

48k Ἐγκρατείας μὲν ἴδιον ὑγεία καὶ ἰσχύς, ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ:· Φίλωνος.

48l Ἐγὼ δὲ, ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, παντελῶς ἀνόητον ἡγοῦμαι. Ἣν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν, εἰ τοιαύτη διαμένει μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ;:· Δημοσθένους.

49a Ἔδησεν ἡ φύσις, τοῦτο φύσις λύει· καὶ ὃ ἔδησεν ἡ ψυχὴ, τοῦτο αὐτὴ λύει· ἔδησε δὲ φύσις μὲν σῶμα ἐν ψυχῇ, ψυχὴ δὲ αὐτὴν ἐν σώματι· φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς, ψυχὴ δὲ αὐτὴν λύει ἀπὸ σώματος:· Πορφυρίων.

49b Ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν, ἐπιμελούμενον δὲ τὴν ἰσχὺν μείζω λαμβάνει.

50a Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει:· Ἀντιφάνους.

---

2. ἐδίδαξε N. Scribe κυβιστᾶν cum Erasmo. 5. ὧν in Suida deest. 7. τουτονὶ Stobaeus. 8. ποιεῖν idem. 14. με τὸ Stobaeus, τό με Meinekius. 19. ἐγὼ δὲ] ἐγὼ δ' ὅλως μὲν Demosthenes. 20. παντελῶς Demosthenes om. 21. μενεῖ τοιαύτη Demosthenes. 24. Ὃ ἔδησεν Stobaeus. 27. Πορφυρίου τῶν πρὸς θάνατον ἀφορμῶν idem.

48g. Arsen. XXI, 90: Stob. Flor. 72, 1. Com. Gr. Frr. T. III, p. 546 Mein.

48h. Arsen. XXI, 91. XXXIV, 67: Stob. Flor. 108, 2. Philem. fr. inc. 47 Mein.

48i. Arsen. XXI, 92. VIII, 3: Anton. Mel. 141, p. 224 Fabr.

48k. Arsen. XXI, 93. VIII, 2: Anton. Mel. 66, p. 110 Fabr.

48l. Arsen. XXI, 94: Stob. Flor. 112, 14. Demosth. de Coron. 311 R.

49. Arsen. XXI, 95. Recte Erasm. III, 4, 84: »docui te urinandi artem et tu me vis demergere«.

49a. Arsen. XXI, 96: Stob. Flor. 118, 19.

49b. Arsen. XXI, 97: Max. Conf. Serm. 62, p. 674 Combef.

50. Suidas: Arsen. XXI, 98. Diog. IV, 64: cf. ann. ad Apost. X, 89.

50a. Arsen. XXI, 99: Stob. Flor.

51 ***Εἰ μὴ δύναιο βοῦν, ἔλαυνε ὄνον:*** ***ἐπὶ τῶν μὴ πραττόντων ἃ κατὰ δύναμιν ἔχουσιν, ἀλλὰ τὰ ὑπὲρ αὐτούς.***

52 ***Εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθα:*** ***ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.***

53 ***Εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς:*** ***ἐπὶ τῶν ἀνόσια ποιούντων· τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην ὁ Σωτάδης εἶπε ταυτί.***

54 ***Εἰς τὴν λῆψιν τῶν ἀγγέλων καὶ ὁ Μάρδαρις ἄγγελος:*** ***δημώδης καὶ σαφής· ἔοικε τῇ· Τὴν γραῦν εἰς τἀκρωτήριον αἰτανόφρυν καλοῦσιν.***

55 ***Εἷς ἀνὴρ οὐ πάνθ' ὁρᾷ.***

50b *Εἴη δὲ τρίτον σωτῆρι προσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κατασπένδειν μελιφθόγγοις ἀοιδαῖς κρατῆρα:.* *Πινδάρου.*

51a *Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος:·* *Σοφοκλέους.*

51b *Εἰς τὸ μεταπεῖσαι ῥαδίως ἃ βούλεται*
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους:· *Φιλίσκου.*

55a *Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.*

55b *Εἷς ἀνήρ, οὐδεὶς ἀνήρ.*

55c *Εἷς ὑπὲρ πάντων κύβος ἀνεῤῥίπτετο σωμάτων, χρημάτων, δόξης, ἡγεμονίας.*

55d *Εἷς δέ τί που μωρὸς καταλείπεται εὐρεῖ πόντῳ:·* *ἔπος Ἡρώδου τοῦ σοφιστοῦ.*

55e *Εἷς γάρ τις ἐστὶ κοίρανος ἀνθρώποις νόμος,*
καὶ θεοῖσι τοῦτο δόξαν, ὃ σαφῶς λέγω,

---

3. *ἐλήλυθας* A. 8. *λεῖψιν* A. 10. *αὐτάνοφρυν* A: ex eo, quod in D primum scripserat Apostolius, *αἰτανοφρυι δηλοῦσιν*, id postea fecit, quod in textu repraesentavi. 12. *πορσαίνοντας* Pindarus. 13. *κρατῆρα* Pindarus non agnoscit. 23. *κοίρανος*] *κοινὸς* Stobaeus. 24. *ὃ*] *ὡς* Grotius.

21, 4. Anton. Mel. 80, p. 138 Fabr. Antiph. fr. inc. 42 Mein.
50^b^. Arsen. XXI, 100: Pind. Isthm. V, 7.
51. Arsen. XXII, 1. DV II, 58.
51^a^. Arsen. XXII, 2: Stob. Flor. 62, 33. Sophocl. fr. 677 Dind.
51^b^. Arsen. XXII, 3. XVI, 54: Stob. Flor. 73, 53. Philisc. fr. 1 Mein.
52. Suidas: Arsen. XXII, 5. Greg. Cypr. M III, 6.
53. Arsen. XXII, 6: Athen. XIV, 620 F. Plut. de puer. educ. 14, p. 11 A, ubi v. Wyttenbachius, Eustath. ad Hom. Il. *Π*, 432, p. 1069, 10.
54. Arsen. XXII, 4.
55. Eurip. Phoen. 743: Arsen. XXII, 7.
55^a^. Arsen. XXII, 9: Hom. Il. *M*, 243.
55^b^. Arsen. XXII, 8: DV II, 52. Apost. XI, 69^a^.
55^c^. Arsen. XXII, 11: Aristid. *ὑπ. τ. τεττ.* 142 Iebb. Macar. II, 8.
55^d^. Arsen. XXII, 12: Philostr. Vit. Sophist. II, 1, 10, p. 558 Olear. Est versus *πεπαρῳδημένος* ex Hom. Od. *Δ*, 498: *εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ.*
55^e^. Arsen. XXII, 13: Stob. Flor. 83, 17. Eurip. Dict. fr. 4 Matth.

56 *Εἰς ὕδωρ γράφεις τὸν ἔρωτα:* ἐπὶ τῶν ἀφανιζόντων τινὰ χρηστά.

57 *Εἰς οὐρανὸν πτύεις:* ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων· ἢ ἐπὶ τῶν ὑβριζόντων εἰς ἐξαίρετα· ἔστι δὲ ὅμοια τῇ, Πρὸς κέντρα λακτίζειν.

58 *Εἰ μὲν θεός ἐστιν, οὐ φοβούμενα· οὐδὲν γὰρ ἀδικοῦμεν. εἰ δ' ἄνθρωπος, οὐχ ἡμῶν γε κρείσσων:* εἴρηται πρὸς τοὺς φοβοῦντας.

59 *Εἱλώτων ἀτιμότερος:* παρὰ Λακεδαιμονίων οἱ νόθοι καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι Εἵλωτες ἐκαλοῦντο ἀπὸ τοῦ Ἕλους. Ἕλος δὲ πόλις ἐν Πελοποννήσῳ.

θηρσί τε πᾶσι, τέκνα τίκτουσι φιλεῖν.
τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις:. Εὐριπίδου.

55f Εἷς ὅρος, μία βροτοῖσιν ἐστὶν εὐτυχίας
ὁδός, θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον:· Βακχυλίδου.

59a Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.
ἂν μακρὰ πτύῃς, φλεγματίῳ κρατεῖ περισσῷ.
ἂν εὐιματῇς, ταῦτα πρὸ σοῦ προβάτιον εἶχεν.
ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα.
ἂν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλος ἰσχύς.

---

6. φοβούμεθα N. 10. Εἵλωτες ἐκαλοῦντο Suidas om. 12. θηρσὶν Stobaeus. τίκτουσιν idem. 18. κρατῇ Hermannus. 19. ἂν δ' εὐιματῇς Stobaeus. 21. χρόνου Hermannus et editt. Stobaei ante Gaisfordum.

55f. Arsen. XXII, 14: Stob. Flor. 108, 26. Bacchyl. fr. 14 Schneidew.

56. Arsen. XXII, 15. Fluxit e versu Sophoclis: ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω, de quo cf. Macar. VI, 48. infr. 80. Vulgo dici solet in mulierum peierantium levitatem aut de irrito conatu: cf. nott. ad Plut. Boiss. 5, quibus add. Phrynich. Bekk. I, 55, 17: ὅρκον γυναικὸς εἰς ὕδωρ χρὴ γράφειν: ὅτι ἀπιστεῖν γυναικὶ δεῖ ὀμνυούσῃ· χρήσαιο δ' ἂν αὐτῷ καὶ ἐπὶ παντὸς ἀπίστου καὶ ἐπιόρκου: Iulianum in ann. ad Macar. V, 63 et Philostr. Imagg. II, 8, p. 822 Ol.: ἀλλ' οὐκ ὄναρ ταῦτα, ὦ Κριθηΐς, οὐδὲ ἐς ὕδωρ τὸν ἔρωτα τοῦτον γράφεις· ἐρᾷ γάρ σου ὁ ποταμός, εὖ οἶδα: alia praebent Hertzbergius ad Propert. II, 28, 2. Meinekius Com. Gr. Fr. III, 620.

57. Arsen. XXII, 16. »In coelum exspuis, id est, facis, quod in tuum ipsius recidat caput. aut, obloqueris his, qui facile possint laedere. Si quidem qui in coelum exspuit, primum videtur coelites ipsos afficere contumelia: deinde fit saepius, ut sputum in ipsius faciem recidat«: Erasmus III, 4, 87. Πρὸς κ. λ.] Apost. XV, 1.

58. Plut. Apophth. Lacon. 219 F. Stob. Flor. 7, 60 et Maxim. Conf. Serm. 4, p. 542 Combef. ad Dercyllidam rettulerunt Pyrrho multa Spartanis minitanti haec respondentem. Mandracidam auctorem nominat Plut. V. Pyrrhi 26.

59. Arsen. XXII, 17. παρὰ κτλ.] Suid. s. εἵλως. Δούλου ἀτιμότερος Demetrius Cydonius dixit Epist. IV in Boissonadi Anecd. Nov. I, 265.

59a. Arsen. XXII, 18: Stob. Flor.

60 *Εἰς ἀρχαίας φάτνας:* ἐπὶ τῶν ἀπολαύσεως τινὸς ἐκπεσόντων, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλθόντων δίαιταν.

61 *Εἰ μετρήσεις τὴν σαυτοῦ σκιάν, οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην ἢ πρὶν νικᾶν:* ἐπὶ τῶν ἡττωμένων καὶ αὖθις ἐπαπειλούντων. Φιλίππου γὰρ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην σκληροτέραν ἐπιστολὴν τῷ Ἀρχιδάμῳ γράψαντος ἀντέγραψε τὸ παροιμιῶδες τοῦτο λόγιον.

62 *Εἰς θεῶν ὦτα ἦλθεν:* ἐπὶ τῶν οὐ λανθανόντων ἐφ' οἷς ἔπραξαν.

63 *Εἷς θεὸς καὶ πολλοὶ φίλοι:* παρόσον οἱ ἀγαθοὶ φίλοι, καὶ ἔτι γε μᾶλλον εἰ πολλοὶ εἰσί, δύνανται βοηθῆσαι τῷ δεομένῳ ἴσα καὶ τῷ θεῷ.

64 *Εἰς κόλπον πτύω:* τοῦτο ἐν ἴσῳ τῷ· μεγαλοῤῥημονῶ εὐλαβούμενος.

65 *Εἰς κόρακας,* εἰς σκότος, εἰς ὄλεθρον, εἰς ἀνηλίους πύλας.

ἂν ἀλαζονεύῃ, τοῦτ' ἀνοίας ἐστὶ φρύαγμα.
ἂν δὲ σωφρονῇς, τοῦτο δῶρον θεοῦ ὑπάρχει.
ἡ σωφροσύνη πάρεστιν, ἐὰν μετρῇς σεαυτόν:. Σωστράτου.

---

11. Explicationem A om. 15. εὐλαβούμενος] AZ addunt: ἐπὶ τῶν μεγαλαύχων ἢ βασκαινόντων: v. nott. critt. ad Diog. IV, 82b. 16. τὸ σκότος Suidas. εἰς ἀνηλίους π. A om. Recte Apost. VII, 16 ἐς κόρακας scripsit: nam Helladius in Phot. Biblioth. 535, 2 Bekk. dicit: ὅτι οἱ Ἀττικοὶ κατά τι πάτριον ἔθος οὐ χρῶνται τῇ ει διφθόγγῳ ἐν τῷ λέγειν ἐς κόρακας ἢ ἐς μακαρίαν, ἀλλ' ἄνευ τοῦ διχρόνου ἐκφωνοῦσι τὴν πρόθεσιν· ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων καὶ μετὰ τοῦ διχρόνου καὶ χωρὶς τοῦ διχρόνου τὴν πρόθεσιν λέγουσιν: Thom. Magist. 145, 11 Ritschl.: ἐς κόρακας Ἀττικοί, οὐκ εἰς κόρακας· καὶ ἐς μακαρίαν, οὐκ εἰς μακαρίαν: add. Suidas in nott. critt. ad Apost. IV, 72: pluribus de hac quaestione disputant Meinekius in Com. Gr. Fr. III, p. 137, Reisigius in Coniect. Crit. in Arist. I, 251. G. Dindorfius in ann. ad Arist. Acharn. 242. 18. ἀλαζονῇς Stobaeus. 19. θεῶν δῶρον idem. 20. Σωτάδου idem.

22, 26. Cf. G. Hermanni Elem. D. Metr. 446.

60. Zenob. III, 50: Arsen. XXII, 21. DV II, 53.

61. Arsen. XXII, 22: Plut. Apophth. Lac. 218 E, ad quem locum v. Wyttenbachium. Ceterum Boehneckius in Disquiss. hist. de oratt. Gr. I, 369 docuit, ab eo qui Apophthegmatum librum composuit, contra historiae fidem hanc epistolam Archidamo Agesilai filio attribui.

62. Suidas: Arsen. XXII, 23. Greg. Cypr. L II, 2.

63. Arsen. XXII, 10. »Opinor hoc a vulgo mutuo sumptum, non ex auctoribus«: Erasmus III, 4, 88.

64. Suidas: Arsen. XXII. 25. Greg. Cypr. M III, 27.

65. Suidas: Arsen. XXII, 26: similiter Hesych. s. εἰς κόρακας: εἰς τὸ σκότος: s. ἐς κόρακας: εἰς ἔρημον· εἰς τὸ σκότος. εἰς ὄλεθρον: v. DV

66 *Εἰς Κυνόσαργες:* εἴρηται ἐπὶ ὕβρει καὶ ἀραῖς. ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς παῖδας ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος.

67 *Εἶτ' ἂν τί λέγεις ῥήτωρ ὢν φιλοσόφῳ;* τούτῳ φιλόσοφος ῥήτορος διαφέρει ὅτι ὁ μὲν φιλόσοφος περὶ τὰ εἴδη τῶν πραγμάτων διατρίβει, ὁ δὲ ῥήτωρ περὶ τὰ μετέχοντα. οἷον ὁ μὲν, τί ἐστιν ἀδικία. ὁ δέ, ὡς ἄδικος ὁ δεῖνα. καὶ ὁ μὲν, τί ἡ τύραννις· ὁ δὲ, οἷον τί ὁ τύραννος.

59b *Εἰρήνη γεωργὸν κἂν πέτραις*
τρέφει καλῶς· πόλεμος δὲ κἂν πεδίῳ κακῶς ἔφυ: Μενάνδρου.

59c *Εἰρήνη ἀργίαν οὐ τρέφει:* οἱονεὶ τὸν ἀργὸν καὶ μὴ ἔχοντα πόθεν ζῆσαι· ἢ ἀπὸ ταραχῶν· ἡ γὰρ εἰρήνη στρατιώτην οὐ τρέφει.

66a *Εἶτα οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται:.* Πλάτωνος τοῦ κωμικοῦ.

67a *Εἰ τὸ μέλλειν δύναταί τι μέριμνα καὶ μελέτω σοί·*
εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;

67b *Εἰ κερκίδων μὲν ἀνδράσι μέλοι πόνος,*
γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί.
ἐκ τῆς ἐπιστήμης γὰρ ἐμπεπτωκότες
κεῖνοί τ' ἂν οὐδὲν εἶεν, οὔθ' ἡμεῖς ἔτι:. Μενάνδρου.

67c *Εἴ τις εἴποι μυχὸν ἢ παιδεραστὴν,* τοῦτο ἐκεῖνο· ἐκ τῶν Διὸς δέλτων ὁ μάρτυς:· Λουκιανοῦ.

67d *Εἰ μὲν ἦν μαθεῖν, ἃ δεῖ παθεῖν, καὶ μὴ παθεῖν, καλὸν ἦν* τὸ μαθεῖν· εἰ δὲ δεῖ παθεῖν, ἃ δεῖ μαθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή:· Δημοκρίτου.

---

1. ἀρᾷ Suidas. 2. ᾧ τοὺς νόθους τῶν παίδων idem. 10. ἔφυ Meinekius delevit. 14. εἶτ' Meinekius. 17. μέλλειν Palladas. 18. ἀνδράσιν Stobaeus. 20. ἐκπεπτωκότες idem. 21. οὐδ' Matthiae. Μενάνδρου] Εὐριπίδου Μελέαγρος Stobaeus. 22. κἂν μέν τις ἢ πολίτης . . . εἴπῃ μοιχὸν κτλ. Lucianus.

II, 4. Macar. II, 24. 72. Apost. IX, 61. Proverbii originem exponit Apost. VII, 96. εἰς ὅλ.] Macar. II, 72. εἰς ἀν. π.] Diog. IV, 86. Similia sunt infr. 66. 68. 69.
59b. Arsen. XXII, 19: Stob. Flor. 55, 9. Men. fab. inc. fr. 95 Mein.
59c. Arsen. XXII, 20. Compara Men. Monost. 242: θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται et Macar. VII, 84.
66. Suidas, Lexicon in Bachmanni Anecd. I, 210, 30: Arsen. XXII, 27. Greg. Cypr. L II, 56. Apost. X, 22.
66a. Arsen. XXII, 28: Phot. Lex. s. ὑπέρου. V. Meinekius Com. Gr. Fr. II, 2, 617 et Apost. XVIII, 7.
67. Arsen. XXII, 29.
67a. Arsen. XXII, 30: Palladas in Anth. Pal. X, 34.
67b. Arsen. XXII, 31: Stob. Flor. 73, 29. Eur. Meleag. fr. 10 Matth.
67c. Arsen. XXII, 32: Lucian. de merc. cond. §. 12. Cf. Macar. III, 68.
67d. Arsen. XXII, 33: Auct. inc. in Boisson. Anecd. I, 117. Maxim. Conf. Serm. 42, p. 637. Locus simillimus in Boisson. Anecd. I, 119

68 *Εἰς λατομίας: Φιλόξενος ὁ θυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίας τοῦ Διονυσίου, τὸ δὲ ὕστερον αὐτὸς ἑκὼν ἐξανέστη· τοῦ δὲ ἐπερομένου τὴν αἰτίαν, εἰπεῖν, ὡς κρεῖττον εἶναι τὴν ἐκεῖ διατριβὴν, ἢ τῶν αὐτοῦ ποιημάτων ἀνέχεσθαι.*

69 *Εἰς Μασαλίαν πλεύσειας: ἐπὶ τῶν θηλυτέρως καὶ μαλακῶς ζώντων καὶ ποικίλαις στολαῖς χρωμένων καὶ μύροις.*

70 *Εἰς μελίττας ἐκώμασας: ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόως:. Αἱ μέλιτται τὸν βασιλέα αὐτῶν*

67e Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προστίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει:. Ἐπικούρου ἡ ὑποθήκη.

67f Εἴ τι δὴ κάτω χθονός· εἴη γε μέντοι μηδέν·
εἰ γὰρ ἕξομεν κἀκεῖ μερίμνας οὐ θανούμενοι
βροτῶν, οὐκ οἶδα ποῖ τις τρέπεται· τὸ γὰρ θανεῖν
κακὸν μέγιστον φάρμακον νομίζεται:. Εὐριπίδου.

67g Εἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος μετὰ τοῦ λυπεῖσθαι διάγοι τὸν βίον, ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων καὶ τῶν ἐσομένων ἀθλιώτατος:. Θεοπόμπου.

68a Εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον τοῦ ἀδίκως ἀπολέσαι. Τὸ μὲν γὰρ ἁμάρτημα ἐστί· τὸ δὲ ἀδίκως ἀποκτεῖναι, ἀσέβημα:. Ἀντιφῶντος ἡ ὑποθήκη.

---

1. *διθυραμβοποιὸς* AZ Suidas. 4. *ἐπερωτωμένου* Z Suidas. *τὴν* Suidas om. 5. *διατρίβειν* Suidas. 6. *ἀνέχεσθαι*] addit Suidas: *τοῦτο ἐπειπών· ἢ οἶκος φίλος, οἶκος ἄριστος. ἅπερ ἐστὶ τῆς χελώνης*: v. Apost. XII, 39. 7. *ἐς Μασσαλίαν* Suidas. 8. *ζώντων*] pergit Suidas: *οἱ γὰρ Μασσαλιῶται θηλύτερον ἔζων, στολαῖς ποικίλαις καὶ ποδήρεσι καὶ μύροις χρώμενοι.* Differt paulum Suid. s. *ἐκ Μασσαλίας ἥκεις: ἐπὶ τῶν θηλυδριῶν καὶ τεθρυμμένων. παρόσον ἐκείνους φασὶ θηλύτερον στολίζεσθαι μεμυρισμένους, καὶ τὰς τρίχας ἀναδουμένους, καὶ διὰ ταύτην τὴν μαλακίαν ἀσχημονεῖν.* 9. *μελίττας γ* Suidas. 10. *τὸν βασιλέα αὐτῶν αἱ μέλιτται* As. 13. *κατὰ* Euripides. 15. *οἶδ᾽ ὅποι τις τρέψεται* idem. 16. *κακῶν* idem. Finiunt versus in vv. *χθονός, ἕξομεν, βροτῶν, θανεῖν.*

legitur, de quo dixit idem Boissonadus ad Nicet. Eugen. T. II, 182: add. annott. ad Apost. XIII, 90. Dictum non a Democrito scriptum esse, sed a sophista aliquo vel sophisticae dictionis amatore Mullachius ad Democr. Rell. p. 327 contendit.

67e. Arsen. XXII, 34: Stob. Flor. 17, 24.

67f. Arsen. XXII, 35: Stob. Flor. 120, 6. Eurip. Heracl. 592.

67g. Arsen. XXII, 36: Stob. Flor. 16, 15.

68. Suidas: Arsen. XXII, 37. Cf. Apost. XVI, 99.

68a. Arsen. XXII, 38. VII, 69: Stob. Flor. 46, 19.

69. Suidas: Arsen. XXII, 39. Plut. Provv. I, 60.

70. Suidas: Arsen. XXII, 40. DV II, 54. *Αἱ κτλ.*] Aelian. N. An. V, 10. 11. *Καδμείαν ν.*] v. Greg. Cypr. L II, 45.

πρᾷον ὄντα καὶ ἥμερον καὶ ὁμοῦ τι καὶ ἄκεντρον, ὅταν αὐτὰς ἀπολίπῃ, μεταθέουσί τε καὶ διώκουσι φυγάδα τῆς ἀρχῆς ὄντα. ῥινηλατοῦσι δὲ αὐτὸν ἀποῤῥήτως, καὶ ἐκ τῆς ὀσμῆς τῆς περὶ αὐτὸν αἱροῦσι, καὶ εἰς τὴν βασιλείαν αὐτῶν ἐπανάγουσιν, ἑκοῦσαί τε καὶ βουλόμεναι καὶ τοῦ τρόπου ἀγάμεναι. Πείσανδρον δὲ ἐξήλασαν Ἀθηναῖοι, καὶ Συρακούσιοι Διονύσιον, τυράννους ὄντας. μέλει δὲ τῷ τῶν μελισσῶν βασιλεῖ κεκοσμῆσθαι τὸ σμῆνος τὸν τρόπον τοῦτον. τὰς μὲν προστάττει ὑδροφορεῖν· τὰς δὲ ἔνδον κηρία διαπλάττειν, τήν γε μὴν τρίτην μοῖραν ἐπὶ τὴν νομὴν προϊέναι. εἶτα μέντοι ἀμείβουσι τὰ ἔργα ἐκ περιόδου· κάλλιστα δέ πως ἀποκριθεῖσαι, φιλοῦσιν οἰκουρεῖν αἱ πρεσβύταται· αὐτὸς δὲ ὁ βασιλεύς, ἀπόχρῃ οἱ τούτων πεφροντικέναι καὶ νομοθετεῖν ὅσα προεῖπον κατὰ τοὺς μεγάλους ἄρχοντας· ἐὰν δὲ ᾖ λῷον ταῖς μελίτταις μεταστῆναι, τηνικαῦτα καὶ ὁ ἄρχων ἀπαλλάττεται· καὶ ἐὰν μὲν ἔτι νέος ᾖ, ἡγεῖται, αἱ δὲ λοιπαὶ ἄγονται· ἐὰν δὲ πρεσβύτερος, φοράδην ἔρχεται, κομιζουσῶν αὐτὸν μελιττῶν ἄλλων. αἱ δὲ μέλιτται ὑπὸ συνθήματος εἰς ὕπνον τρέπονται. ὅταν δὲ δοκῇ καιρὸς εἶναι καθεύδειν, ὁ μὲν βασιλεὺς μιᾷ προστάττει ὑποσημῆναι καταδαρθάνειν· καὶ ἡ μὲν πεισθεῖσα τοῦτο ἐκήρυξεν, αἱ δὲ εἰς κοῖτον τρέπονται. ἕως οὖν περίεστιν ὁ βασιλεύς, εὐθηνεῖται τὸ σμῆνος· καὶ οἱ μὲν κηφῆνες ἀγαπητῶς ἐν τοῖς ἑαυτῶν κυττάροις ἡσυχάζουσιν, αἵ τε πρεσβύ-

70a *Εἰ μὴ τὸ λαβεῖν ἦν οὐδὲ εἷς πονηρὸς ἦν·*
φιλαργυρία τοῦτ' ἐστὶν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια, τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς: Μενάνδρου.

70b *Εἷς ἄρτον, ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ.*
φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ·

---

4. αἴρουσί τε καὶ A. αὐτῶν As om. 6. Πείσανδρον] Πεισίστρατον As. 7. τυράννους τε καὶ παρανόμους ὄντας As, alia de indole horum tyrannorum adiiciens. 14. ἄρχοντας] As addit: οὓς οἱ φιλόσοφοι φιλοῦσιν ὀνομάζειν πολιτικούς τε καὶ βασιλικοὺς τοὺς αὐτούς· τὰ δὲ ἄλλα ἡσυχάζει, καὶ τοῦ αὐτουργεῖν ἀφεῖται. 18. αἱ μέλιτται δὲ As. 19. συνθήματι As. 22. κοίτην Z. περιτρέπονται A: τρέπονται ἐντεῦθεν, τέως βομβοῦσαι· ἕως As. 23. εἰρήνῃ εὐθηνεῖται τὸ σμῆνος, καὶ ἀταξία πᾶσα ἠφανίσθη As. 26. ἀφῇς Ab. 27. Μενάνδρου] τοῦ αὐτοῦ Ab, Stobaeus, i. e. Diphili. 28. εἷς ἄρτος Meinekius. Versus primus apud Meinekium tertium locum occupat.

70a. Arsen. XXII, 41. VII, 49: Stob. Flor. 10, 5. Diphili fr. inc. 14 Mein.

70b. Arsen. XXII, 42: Diogen. Laert. VII, 27. V. Meinekius ad Com. Gr. Fr. T. IV, p. 29.

τεραι διαιτῶνται ἰδίᾳ καὶ αἱ νέαι ἰδίᾳ καὶ καθ' ἑαυτὸν ὁ βασιλεύς. ἐπειδὰν δὲ ὁ βασιλεὺς ἀπόληται, ἀταξίας καὶ ἀργίας μεστὰ πάντα· βίον δὲ καθαρὸν ζῇ μέλιττα καὶ ζῴου οὐδενὸς ἂν σπάσαιτο πρότερον· καὶ οὐ δεῖται Πυθαγόρου συμβούλου· τὸν δὲ χρισάμενον μύρῳ διώκει ὡς πολέμιον. οἶδε δὲ καὶ τὸν προσελθόντα ἐξ ἀκολασίας καὶ ὁμιλίας τῆς πρός τινα καὶ διώκει δὲ ἐκεῖνον οἷα δήπου ἔχθιστον. λέγει δὲ καὶ Ἀριστοτέλης, ὅτι καὶ ἵππῳ ἐντυγχάνουσαί ποτε πρὸς τῷ σμήνει, ἀπέκτειναν αὐτὸν ἐπιθέμεναι κατὰ τὸ καρτερόν· καὶ καθ' ἡμᾶς τοῦτο πολλάκις γέγονε. κρατοῦσι δὲ

πίνειν διδάσκει καὶ μαθητὰς λαμβάνειν:· Φιλήμονος εἰς Ζήνωνα.

70c *Εἰς τὴν Αὐγέου κόπρον ἐμπέπτωκας*: ἤγουν ἐβορβορώθης.

70d *Εἰς λιμένα*: ἀπὸ τῶν ἐν λιμένι ἐρεσσόντων, ἔξω δὲ ῥαθυμούντων.

70e *Εἰ θέλεις θᾶσσον θανεῖν, πρὸς νῆσον ἄσσον ἐλθέ.*

---

2. βασιλεύς, καὶ αἱ σχαδόνες ἐφ' ἑαυτῶν εἰσίν· καὶ ἡ τροφὴ καὶ αἱ ἄφοδοι χωρίς. Ἐπειδὰν As. ἀργίας] ἀναρχίας As. 3. πάντα] sequuntur quaedam de fucorum natura. 4. οὐκ ἂν οὐδενὸς As. πάσαιτό ποτε As. 5. συμβούλου οὐδὲ ἕν, ἀπόχρη δὲ ἄρα σῖτον αὐτῇ εἶναι τὰ ἄνθη. ἔστι δὲ καὶ σωφροσύνην ἀκροτάτη· χλιδὴν γοῦν καὶ θρύψιν μεμίσηκεν· καὶ τὸ μαρτύριον, τὸν χρ. μύρῳ δ. τε καὶ ἐλαύνει ὡς πολ. ἀνήκεστα δράσαντα As. 6. τε καὶ ὁμιλίας As. 7. δὲ] καὶ As. ἔχθιστον] sequuntur nonnulla de apum fortitudine. 8. καὶ] As om. ποτε post v. ἵππῳ As collocat. ἐντυχοῦσαι As. 9. αὐτὸν] τὸν ἵππον As. ἐπιθέμεναι καρτερὸν αἱ μέλιτται αὐτῷ. Ἤδη μέντοι καὶ πρὸς ἀλλήλας διαφέρονται καὶ αἱ δυνατώτεραι κρατοῦσι τῶν ἡττόνων. κρατοῦσι δέ, ὡς ἀκούω, αὐτῶν οἵτε φρῦνοι καὶ οἱ ἐκ τῶν τελμάτων βάτραχοι οἵ τε μέροπες καὶ αἱ χελιδόνες, πολλάκις γε μὴν καὶ οἱ σφῆκες. ὅστις As. 11. πίνειν] πεινῆν Meinekius et λαμβάνει. 17. Eustathio duce corrige: *Εἰ γὰρ θέλεις θᾶσσον θανεῖν, εἰς τὴν πόλιν Ἄσσον ἐλθέ.*

70c. Arsen. XXII, 43. Similiter Lucian. Alex. §. 1: τὴν Αὐγείου βουστασίαν, εἰ καὶ μὴ πᾶσαν, ἀλλ' εἰς δύναμίν γε τὴν ἐμαυτοῦ ἀνακαθήρασθαι πειράσομαι: ei. Fugit. 23: καὶ μὴν ἄμεινον ἦν, ὦ πάτερ, τὴν κόπρον ἐκκαθᾶραι αὖθις τὴν Αὐγείου, ἢ τούτοις συμπλέκεσθαι: Theophyl. Simoc. Epist. 64: ὃν γὰρ λόγος καὶ μάστιγες σωφρονεῖν οὐ διδάσκουσι, τοῦτον πείθειν κακίας ἀπέχεσθαι λίαν ἐργῶδες, καὶ τοῦ καθαίρειν τὴν Αὐγείου κόπρον ἐστὶ δυσχερέστερον ἢ κοτύλῃ τὸ Ἀτλαντικὸν ἅπαν ἐκφορῆσαι πέλαγος: alia praebebit Baguetus ad Dion. Chrys. Or. 8, p. 135.

70d. Arsen. XXII, 45. Cf. Apost. IV, 20 et nott. critt. ad Macar. II, 55.

70e. Arsen. XXII, 44. Eustath. ad Hom. Il. *Z*, 143, p. 630, 1: ὅτι πηγὴ τοῖς ἀρχαίοις ὁ ποιητὴς οὐ σπουδαίων μόνον, ἀλλὰ καὶ ὅσα ἐν ἀστεϊσμασι. τὸ γοῦν Ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι, ὅ φησι πρὸς Γλαῦκον ὁ Διομήδης, εἴρηκέ τις παλαιὸς ἀστεϊζόμενος ἐπὶ σκώμματι πόλεως Ἀσιανῆς, καλουμένης μὲν Ἄσσον, ἐν τόπῳ δὲ κειμένης ὑψηλοκρήμνῳ, ἔνθα δυσχερὲς

αὐτῶν οἱ φρῦνοι καὶ οἱ βάτραχοι· ὅςτις δὲ τούτων ἐκράτησε, Καδμείαν, ὥς γε εἰπεῖν, τὴν νίκην ἐνίκησε· παιόμενοι γὰρ καὶ κεντούμενοι κακῶς ἀπαλλάττουσιν.

71 *Εἰς οὐρανὸν τοξεύεις: ἐπὶ τῶν ἀδυνάτων.*

72 *Εἰς πῦρ ξαίνειν: ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων ἢ λεγόντων.*

73 *Εἰς τέφραν γράφειν: ἐπὶ τῶν ἀδυνάτων.*

74 *Εἰς τὸ δέον ἀπώλεσα: Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίαν, ἵνα μὴ δῃώσωσι τὴν χώ-*

70f *Εἰς πάγας λύκος: Εἰς ἠκονισμένας μαχαίρας αἶξ: ἐπὶ τῶν εἰς κίνδυνον προὖπτον πιπτόντων.*

70g *Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν:. Εὐριπίδου.*

70h *Εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι*
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών:. τοῦ αὐτοῦ.

70i *Εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν,*
ἔκ τε καὶ ὀψὲ τελεῖ· σύν τε μεγάλῳ ἀπέτισαν:. Ὁμήρου.

70k *Εἰ δὲ θεὸν ἀνὴρ ἔλπεταί τι λασέμεν ἔρδων, ἁμαρτάνει:. Πινδάρου.*

70l *Εἴ μ' ἐθέλεις πλύνειν κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης,*
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης:. Θεόγνιδος.

72a *Εἰς μυρίους ὄρνιθας ἀετὸς σοβεῖ,*
λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ:. Σωσιθέου ἡ γνώμη.

---

4. AZ in fine addunt: *καὶ διὰ κενῆς πονούντων*: Suidas explicat: *ἐπὶ τῶν διακενῆς κατ' αὐθάδειάν τι ποιούντων.* 6. *ἢ μάτην πονούντων* A, *μάτην ἢ λεγόντων* Suidas. 8. *εἰς — ἀπώλεσα*] *εἰς τὸ δέον, καὶ ἐς τὸ δέον* Suidas: unde N male: *εἰς τὸ δέον καὶ εἰς τὸ δέον ἀπώλεσα.* 9. *Κλεανδρίδαν* Suidas. 10. *λύκος:*] *ἀντὶ τοῦ* in Zenobio additur. *ἠκονημένας* A. 11. *πιπτόντων*] *ἡκόντων* Zenobius. 12. *ἐς* Euripides. 17. *ἀνήρ τις* et *λαθέμεν* Pindarus. 22. *τε*] *δὲ* A.

καὶ ἐπικίνδυνον ἦν ἀνελθεῖν, οἱονεὶ παίζων ἐκεῖνος ὁ παλαιὸς ὅτι, Εἰ βούλει θᾶσσον θανεῖν, εἰς τὴν Ἄσσον πόλιν ἐλθέ: quasi ibi facillime aliquis praecipitio possit vitae finem imponere. Antiquus autem ille, quem Eustathius tecte significat, Stratonicus citharoedus fuit, nt Strabo XIII, 1, 57, p. 610 narrat.

70f. Arsen. XXII, 46: Zenob. III, 52. DV II, 55: infr. 83.

70g. Arsen. XXII, 47: Stob. Flor. 85, 5. Eurip. Orest. 108.

70h. Arsen. XXII, 48: Stob. Flor. 47, 4. Eurip. Phoen. 524.

70i. Arsen. XXII, 49: Hom. Il. *Δ*, 160.

70k. Arsen. XXII, 50: Pind. Olymp. I, 64.

70l. Arsen. XXII, 51: Theogn. 447.

71. Suidas: Arsen. XXII, 52. DV II, 61.

72. Suidas: Arsen. XXII, 53. DV II, 61. Apost. IX, 45.

72a. Arsen. XXII, 54: Stob. Flor. 51, 23.

73. Suidas: Arsen. XXII, 55. Usurpat Iulian. Ep. ad Athen. 286 Spanh.: *ἐγὼ δὲ τοὺς μὲν ὅρκους αὐτοῦ, τὸ τῆς παροιμίας, οἶμαι δεῖν εἰς τέφραν γράφειν*: cf. nott. ad Plut. Boiss. 5.

74. Suidas: Arsen. XXII, 56. Macar. III, 62.

ραν, δεκαπέντε τάλαντα, ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις οὕτω πως ἀπογράψας, *Εἰς τὸ δέον ἀπώλεσα.*

75 *Εἰς Ἄρειον πάγον ἐκρίθη:* ἐπὶ τῶν ἄγαν δικαίων τυχόντων δικαστῶν. δικαστήριον ἦν ἐν Ἀθήναις· ἦσαν δὲ Ἀθήνησι δύο βουλαί· ἡ μὲν τῶν πεντακοσίων καθ' ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς μίαν τῶν Ἀρεοπαγιτῶν. ἐδίκαζε δὲ τὰ φονικά, καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ Ἄρειος πάγος, ἤτοι ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον· Ἄρειος δέ, ἐπεὶ τὰ φονικὰ δικάζει, ὁ δὲ Ἄρης ἐστὶ τῶν φόνων· ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιῤῥοθίου δίκῃ, ὅτε ἀπέκτεινεν αὐτόν.

76 *Εἰ τυρὸν εἶχον, οὐκ ἂν ἐδεόμην ὄψου:* ἐπὶ τῶν ὀλίγοις ἀρκουμένων καὶ ἐγκρατῶν.

77 *Εἰ μὴ σὺ λέγεις, ἀπὸ τοῦ δέρματος φαίνῃ:* ὅτι τοὺς ψευδομένους αἱ πράξεις ἐλέγχουσιν.

75a *Εἰ τοῦ πατρὸς δόξαιμι* κρεῖττόν σοι λέγειν,
ἐμαυτὸν ἀδικῶ, κοὐκέτ' εἰμὶ εὐσεβής,
ὅτι τὸν κατασπείραντα λυπῶ κοὺ φιλῶ:· Διφίλου.

---

2. εἰς κτλ.] εἰς τὸ δέον. Ἀριστοφάνης Νεφέλαις· *Ὥσπερ Περικλέης εἰς τὸ δέον ἀπώλεσα* [857]· καὶ *Μένανδρος* ἐν Ἐπαγγελλομένῳ. μέμνηται δὲ καὶ ἑτέρωθι Suidas. 4. τυγχανόντων N. δικαστήριον — βουλαί] Ἄρεως πάγος. δικαστήριον Ἀθήνησιν. ἐν αὐταῖς βουλαὶ δύο Suidas. 6. μίαν] βίον Bekkerus coniecit. 7. ἐδίωκε ZW. 8. καὶ Ἄρειος Suidas. τῷ πάγῳ Suidas. 10. ἐστὶ] *ἐπὶ* Suidas. δικάζει δὲ ὁ Ἄρης ἐπὶ τὸν φόνον Bekkerus: Suidae rationem defendit Sturzius ad Hellan. fr. p. 57. Zonaras: Ἄρειος δέ, ἐπειδὴ δικάζει ὁ Ἄρης τὸν φόνον. 12. αὐτὸν] addit Suidas: βιασάμενον Ἀλκίππην τὴν αὐτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρός, ὥς φησιν Ἑλλάνικος ἐν α'. 15. Scribe κἂν σὺ μὴ λέγῃς: corruptam lectionem Apostolius secutus est: v. nott. critt. ad Apost. III, 15. 18. εὐσεβὴς] *θεοσεβὴς* Iacobsius.

75. Arsen. XXII, 57. Εἰς — ἐκρίθη] sunt verba Aeschin. Epist. XI, §. 8: τί ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ τὴν πόλιν ὤνησε τῶν Ἀθηναίων, ὅτι Ἄρης πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιῤῥοθίου ἐν Ἀρείῳ πάγῳ ἐκρίθη; δικαστήριον κτλ.] Suidas s. Ἄρειος πάγος, Lex. Seguer. in Bekk. Anecd. I, 444, 1: similia praebent Scholl. Plat. 312 Bekk. Etym. M. 139, 8. Zonar. 288.

75a. Arsen. XXII, 58: Stob. Flor. 79, 16. Diphili fr. incert. fab. 18 Mein.

76. Arsen. XXII, 59. Est Laconis dictum: Plut. Apophth. Lacon. 234 E. Attigit Wyttenbachius ad Plut. praec. sanitatis tuend. 128 C.

77. Arsen. XXII, 60. Aesop. fab. 9 Fur.: ὦ οὗτος, ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, τὸ γοῦν δέρμα σου δείκνυσιν, ὅτι ἀπὸ πολλῶν ἐτῶν εὖ γεγυμνασμένος. Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ψευδωνύμων [ψευδολόγων Aesop. fab. 20 Schneid.] ἀνδρῶν ἔλεγχός ἐστι τὰ πράγματα. Unde patet, quid de hoc proverbio iudicandum sit.

78 *Εἰ μὴ πατὴρ ἦσθα:* λείπει τὸ, εἶπον ἄν σοι οὐκ εὖ φρονεῖν. παρὰ Σοφοκλεῖ.

79 *Εἰς τετρημένον πίθον ἀντλεῖς:* τάσσεται ἐπὶ τῶν εἰς κενεὸν ποιούντων· καὶ γὰρ μυθεύουσιν, ἐν ᾅδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν. πάσχουσι δὲ περὶ τοῦτον αἱ τῶν Ἀμύντου ψυχαί. καὶ κόραι δὲ ἠπεδαναί, αἳ καὶ Δαναΐδες καλοῦνται, ἀντλοῦσαι ὕδωρ εἰς τὸν πίθον.

80 *Εἰς ὕδωρ γράφειν:* ἐπὶ τῶν ἀχρήστων καὶ ὧν οὐκ ἔστι φρόντις καὶ ἀπίστων.

81 *Εἰς Σκῶλον μήτ' αὐτὸς ἰέναι, μήτ' ἄλλο ἕπεσθαι:* παραινετική· τραχεῖα γὰρ ἡ Σκῶλος καὶ δύςβατος.

82 *Εἰς Τροφωνίου μεμάντευται:* ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάστων· οἱ γὰρ καταβαίνοντες εἰς Τροφωνίου, λέγονται τὸν ἑξῆς χρόνον ἀγέλαστοι εἶναι. ὁ δὲ Τροφώνιος

79a *Εἰς τὴν ἀμίδα ἀπουρεῖν:* ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων.

81a *Εἰ βούλει καλῶς ἀκούειν,* μάθε καλῶς λέγειν. μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν:. Ἐπικτήτου.

81b *Εἰσί τινες,* οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα· καὶ ἐν τούτῳ παραπολειπόμενος ὁ χρόνος οἴχεται:. Ἀντιφῶντος.

---

1. σ' οὐκ Soph. Antig. 755. 3. ἀντλεῖν Suidas s. εἰς τετρημένον, ἀνθλεῖς m; εἰς τὸν τετρημένον: λείπει πίθον ἀντλεῖν Suidas s. εἰς τὸν τετρ. 4. κενὸν πονούντων Suidas. 6. τοῦτον τὸν πίθον idem. Ἀμυνήτων idem: v. Zenob. II, 6. Plat. Gorg. 493 C. 10. ἴμεν Ds: ἶναι e Strabonis libris melioribus L. Dindorfius in Steph. Thes. L. Gr. III, 271 reponi vult. ἄλλῳ A. 13. Τροφώνιον Suidas. 14. τὸν δὲ Τροφώνιόν φασιν ἔχοντα Suidas. 17. ποιεῖν] πράττειν Gaisfordus. 21. παραλειπόμενος Stobaeus.

78. Diog. IV, 75: Arsen. XXII, 61. Recenset inter alia proverbia auctor incertus in Crameri Anecd. Pariss. I, 397, 1: add. Apost. VIII, 39.

79. Arsen. XXII, 62. Εἰς — ἀντλεῖν] Suid. s. εἰς τετρημένον. τάσσεται — ἀντλεῖν] Suid. s. εἰς τὸν τετρημένον. πάσχουσι — ψυχαί] Suid. s. εἰς τετρημένον. καὶ κόραι κτλ.] VB in nott. critt. ad Zenob. II, 6 similia praebent. Macar. III, 57.

79a. Arsen. XXII, 63: Append. Provv. II, 31. Profecit ex proverbio Lucian. de Merc. Cond. 4: οὐδὲν οὖν οὔτ' αὐτοὶ δεινὸν πάσχοιεν ἄν, οὔτ' ἐκεῖνοι ὑβρισταὶ δοκοῖεν ἐς τὴν ἀμίδα, φασίν, ἐνουροῦντες.

80. Arsen. XXII, 64. Cf. Macar. IV, 95 coll. DV II, 59. Men. Monost. 25: ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε: v. Apost. VI, 56.

81. Diog. IV, 93: Arsen. XXII, 65. XXIV, 3. Egit de proverbio R. Ungerus Parad. Theb. I, 281.

81a. Arsen. XXII, 66: Stob. Flor. 1, 52. Epict. fr. 7 Schweigh.

81b. Arsen. XXII, 67: Stob. Flor. 16, 19.

82. Suidas: Arsen. XXII, 68. DV II, 50.

ἔχων τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμήδους, καὶ διωκόμενος ὑπὸ τοῦ Αἰγαίου, εὐξάμενος ἐς χάσμα ἐνέπεσεν, οὗ δὴ καὶ μαντεῖον ἐστίν.

83 Εἰς πάγας ὁ λύκος: ἐπὶ τῶν ἁρπαζόντων μὲν, κατασχεθέντων δέ.

84 Εἰς κυνὸς πυγὴν ὁρᾷ καὶ τριῶν ἀλωπέκων: ἐπὶ τῶν ὀφθαλμιώντων.

85 Εἰς Τροιζῆνα βαδίζεις: ἐπὶ τῶν ἐχόντων σπάνιν γενείων. Πώγων γάρ ἐστι λιμὴν Τροιζήνιος· σκώπτοντες οὖν τοὺς κακογενείους, ἔλεγον, Βάδιζε εἰς Τροιζῆνα.

86 Εἴληφεν ἡ παγὶς τὸν μῦν: ἐπὶ τῶν ἀξίως ἑαλωκότων.

Τὸ ε̃ μετὰ τοῦ κ̃.

87 Ἐκδεδαρμένον δέρεις: ἐπὶ τῶν μάτην πονούντων.

88 Ἐκ δυοῖν τρία βλέπεις: ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων, οὐδὲ εἰλικρινὰς ἐχόντων τὰς αἰσθήσεις.

84a Εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὄρχου: ἐπὶ τῶν παρὰ καιρὸν πραττόντων τὰ ἑαυτῶν.

88a Ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ: ἡ παροιμία σαφής.

1. διωκόμενον Suidas. 2. Αὐγαίου A, Suidas: vera forma est Αὐγέου sive Αὐγείου: cf. O. Muellerus Orchom. 97. εὐξάμενον Suidas. ἐμπεσεῖν idem. 7. καὶ αἰσχρῶν C adiicit in fine. 8. ἐπὶ — γενείων] ἐπὶ τῶν κακογενείων καὶ σπανοπωγώνων εἴρηται Suidas. 14. δυεῖν Suidas. βλέπει A. τοῦτο ἐλέγετο ἐπὶ Hesychius. 15. ὀξυδερκούντων idem. εἰλικρινεῖς idem. 17. Aesop. fabb. 198 Fur.: χειμῶνος ὀρχοῦ, εἴπερ ηὔλεις ἐν θέρει. 19. Stobaeus praemittit versum: ἐπῄνεσ'· ἴσθι δ' ὥσπερ ἡ παροιμία, Ἐκ κάρτα κτλ. ἐκκάρτατα Z.

83. K in App. Provv. II, 30: Arsen. XXII, 69. DV II, 55: sup. 70f.

84. App. Provv. II, 25: Arsen. XXII, 70. Alludit Arist. Ach. 863: τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός, ubi Scholl.: τὸ δὲ πρωκτὸν κυνὸς, κομμάτιόν ἐστιν ἀπὸ παροιμίας, ἣν τοῖς ὀφθαλμιῶσιν ἔλεγον, ἐς πρωκτὸν κυνὸς βλέπε: id. Eccles. 255: τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν, ubi Scholl.: παροιμία παιδικὴ ἐπὶ τῶν ὀφθαλμιώντων, ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων.

84[a]. Arsen. XXII, 71. »Ex fabula de cicada et formicis, Aesop. 134.« Walzius.

85. K in App. Provv. II, 36: Arsen. XXII, 72: Greg. Cypr. L II, 10.

86. Suidas: Arsen. XXII, 73. Greg. Cypr. L I, 98.

87. Suidas: Arsen. XXII, 74. Greg. Cypr. M III, 17.

88. Hesychius: Arsen. XXII, 75. DV II, 56.

88[a]. Arsen. XXII, 76: Stob. Flor. 46, 13. Soph. Inachi fr. 255 Dindf.

89 *Ἐκ τοῦ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν.*

90 *Ἐκ γεύματος γινώσκω:* ὁμοία τῇ· *ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα·* καὶ τῷ, *Αἰθίοπι ἡ ὄψις·* καί, *ἐκ τοῦ καρποῦ τὸ δένδρον.*

91 *Ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα δείκνυται:* ἐπὶ τῶν ἀπὸ μέρους καταλαμβανόντων τὸ ὅλον.

92 *Ἐκ τῶν αὐτῶν τραγῳδία γίνεται καὶ κωμῳδία γραμμάτων:* ἐπὶ τῶν δυναμένων ἐξ ἑνός τινος δύο ἐναντία ποιῆσαι.

93 *Ἐκ τῶν ὀνύχων τὸν λέοντα:* ὁμοία τῇ προειρημένῃ.

88b *Ἐκ πολέμου μὲν γὰρ μᾶλλον εἰρήνη βεβαιοῦται· ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον:.* Θουκυδίδου.

88c *Ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα καλά:.* Ἀνακρέοντος.

88d *Ἐκ κυμάτων γὰρ αὖθις γαλήνην ὁρῶ:.* Εὐριπίδου.

93a *Ἕκαστον δεῖ νοῦν ἔχειν καὶ παρασκευάζειν τὴν αὑτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν· ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις τῶν ἀλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος· ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων:.* Ζαλεύκου τοῦ νομοθέτου ἡ ὑποθήκη.

---

1. *τοῦ γὰρ ἐςορᾶν γίγνετ'* Ds. 2. *ἐκ τοῦ γεύματος* Suidas. *γινώσκω*] *γινώσκεις τὸν ἄριστον* Apost. VIII, 46. 11. *εἰρήνη μᾶλλον* Thucydides. 13. *καλά*] *λαμπρά* Hephaestio. 15. *αὖθις αὖ γαλήν'* Euripides. 16. *δεῖ* Stobaeus post *παρασκευάζειν* collocat. 19. *ἀλισκομένων*] *ἀλισγουμένων*, Bentleius, *ἀναλισκομένων* Heynius: neutrum satisfacit.

88b. Arsen. XXII, 77. XLVII, 55: Stob. Flor. 54, 24. Thucyd. I, 124.

88c. Arsen, XXII, 78: Hephaest. 52 Gsf. Anacr. fr. 21 Bergk.

88d. Arsen. XXII, 79: Eurip. Orest. 279.

89. Diog. IV, 49: Arsen. XXII, 80. Macar. III, 72.

90. Diog. IV, 92. V, 15: Arsen. XXII, 81: cf. Apost. VIII, 46. *ἐκ — γινώσκω*] simile infra VII, 56 affertur: v. Macar. III, 66. Suidas explicat: *ἐπὶ τῶν ἐκ μικροῦ πολλά τινα καταλαμβανόντων.* *ἐκ — ὕφασμα*] Apost. VI, 91.

91. Arsen. XXII, 82. Alia explanatio apponitur a Diog. V, 15. Apost. VIII, 46: v. Macar. III, 66.

92. Arsen. XXII, 83: Legitur in Aristot. de generat. et corrupt. 2, p. 315 Bekk.: *ἐπεὶ δ' ᾤοντο* [Democritus et Leucippus] *τἀληθὲς ἐν τῷ φαίνεσθαι, ἐναντία δὲ καὶ ἄπειρα τὰ φαινόμενα, τὰ σχήματα ἄπειρα ἐποίησαν, ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου τὸ αὐτὸ ἐναντίον δοκεῖν ἄλλῳ καὶ ἄλλῳ, καὶ μετακινεῖσθαι μικροῦ ἐμμιγνυμένου, καὶ ὅλως ἕτερον φαίνεσθαι ἑνὸς μετακινηθέντος· ἐκ τῶν αὐτῶν γὰρ τραγῳδία καὶ κωμῳδία γίνεται γραμμάτων.*

93. Diog. V, 15: Arsen. XXII, 83: v. infr. VII, 56. VIII, 46: Macar. III, 95.

93a. Arsen. XXII, 84: Stob. Flor. 44, 20. Attigit Heynius Opusc. II, p. 19.

94 *Ἐκκέκοφθ' ἡ μουσική*: φασὶν ὅτι τῶν παλαιῶν ἐν τοῖς συμποσίοις φιλολόγῳ ζητήσει χρωμένων οἱ ὕστερον τὰς μουσουργοὺς καὶ κιθαριστρίας καὶ ὀρχηστρίας ἐπεισήγαγον· ὅθεν καὶ τὴν καινοτομίαν τινὲς αἰτιώμενοι τῇ παροιμίᾳ ἐχρῶντο.

93b Χρησμός· *Ἔκγονε Μιλήτου*, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;
τίς σοφίᾳ πάντων πρῶτος; τούτου τρίποδ' αὐδῶ:.

93c *Ἐκ νεφέλης φέρεται* χιόνος μένος ἠδὲ χαλάζης·
βροντὴ δ' ἐκ λαμπρῆς γίνεται ἀστεροπῆς.
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου
δῆμος ἄϊδρις ὢν δουλοσύνην ἔπεσεν:· Σόλωνος.

93d *Ἐκ τετρημένης κύλικος πίνεις*: ἐπὶ τῶν ἀπίστων φίλων.

93e *Ἐκ πώγωνος σοφοὶ καὶ ἀπὸ πώγωνος σοφισταὶ καὶ ἀπὸ πώγωνος φιλόσοφοι*: ἐπὶ τῶν δοκούντων μόνῳ τῷ σχήματι φιλόσοφοι εἶναι καὶ τῇ στολῇ, ὧν καὶ τὸ ἐπίγραμμα καθάπτεται·

Καὶ τράγος εὐπώγων εὔστολός ἐστι Πλάτων.

93f *Ἐκ πίθου ἀντλεῖς*: ἐπὶ τῶν εὐπόρων. Θεόκριτος·
Ἐκ πίθω ἀντλεῖς· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.

93g *Ἔκρινα τοῦτο* δὴ τὸ τοῦ λόγου, παλινδρομῆσαι μᾶλλον ἢ δραμεῖν κακῶς.

94a *Ἐκ χρυσοῦ ποτηρίου πίνειν* φάρμακον καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν, ταὐτὸν ἐστί:· Πλουτάρχου.

---

1. ἐκκεκόφθη Z. 3. ὀρχηστρίδας Z. 7. σοφιῇ Diogenes. πρῶτος πάντων Diodorus. 8. πέλεται Diodorus. 9. λαμπρᾶς idem. γίγνεται Diogenes. 11. ἄϊδρις ἐὼν idem, ἀϊδρείῃ Diodorus. 17. εὔστολος] εὔστοχος Valckenarius, αἱμύλος Iacobsius. 19. ἀντλεῖς δῆλον· Theocritus. 21. κακῶς δραμεῖν Lucianus. 23. Πλουτάρχου] Φίλωνος Maximus, unde inter Philonis fragmenta Mangeius T. II, 673 retulit.

93[b]. Arsen. XXII, 85: Diod. Exc. Vatic. 18. Diog. Laert. I, 28.
93[c]. Arsen. XXII, 86: Diogen. Laert. I, 50. Diod. Exc. Vatic. 24. Solon. fr. 7 Schneidew.
93[d]. Arsen. XXII, 87: Greg. Cypr. M III, 9.
93[e]. Arsen. XXII, 88. Ἐκ πώγωνος σοφιστὰς nominat Plutarchus Symp. Quaest. VII, 6, 3, p. 709 B: dixerunt de his copiose Wyttenbachius ad Plut. de discern. adulat. ab amico 52 C. Iacobsius Ann. ad Anthol. II, 3, 143. C. F. Hermannus ad Luc. quom. hist. conscr. op. c. 17. Versus qui affertur Luciani est: v. Luc. Epigr. 11, 2 Iacob.: illustratur ab Iacobsio in Annott. ad Anth. II, 2, 425.
93[f]. Arsen. XXII, 89. Theocr. X, 13, ubi Scholiasta: παροιμία ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων: add. Iulian. Or. VII, 236 C: οὐκ ἔστιν ὅσον οὐχὶ λέγειν ἐθέλων τις ἐκ πάνυ δαψιλοῦς ἀντλήσειε τοῦ πίθου.
93[g]. Arsen. XXII, 90: Lucian. Asin. 18.
94. Suidas: Arsen. XXII, 91. Zenob. III, 99.
94[a]. Arsen. XXII, 92: Max. Conf. Serm. 6, p. 548 Combef.

95 *Ἐκ παντὸς ξύλου, εἰπὲ τὸ πλῆρες*: ὅτι ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο· λέγεται δὲ ἐπὶ τῶν εἰς εἶδος μὲν εὐτελῶν, εἰς δὲ χρείας ἀναγκαίων.

96 *Ἐκπερδικῆσαι*: τὸ διολισθῆναι καὶ ἀποδρᾶναι, μεταφορικῶς ἀπὸ τῶν περδίκων· πανοῦργον γὰρ τὸ ζῷον καὶ διαδιδράσκον τοὺς θηρευτάς. λέγεται δὲ ἐπὶ τῶν διαδιδρασκόντων:. *Ὁ δὲ συροπέρδιξ* γίνεται περὶ τὴν Ἀντιόχειαν τῆς Πισιδίας, καὶ σιτεῖται καὶ λίθους· μακρότερος δέ ἐστι καὶ πέρδικος, καὶ μέλας τὴν χρόαν, πυῤῥὸς τὸ ῥάμφος. οὐχ ἡμεροῦται δὲ κατὰ τὸν ἄλλον, οὐδὲ γίνεται τιθασὸς, ἀλλ' ἄγριος εἰς τὸ ἀεὶ διαμένει. ἔστι δὲ οὐ μέγας, βρωθῆ-

95a *Ἐκτὸς πηλοῦ πόδας ἔχεις*: ἐπὶ τῶν ἔξω κινδύνων καθεστηκότων.

95b *Ἐκ θυμοῦ κλαῦσαι* μέγα μέτρια, καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαί τ' οὐκέτ' ἐόντος ὁμῶς:. Φιλήτα.

95c *Ἐκ τῶν ἀέλπτων* ἡ χάρις μείζων βροτοῖς
φανεῖσα μᾶλλον, ἢ τὸ προσδοκώμενον:. Εὐριπίδου.

95d *Ἐκμαρτυρεῖν* γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
εἰς πάντας ἀμαθές· τὸ δ' ἐπικρύπτεσθαι σοφόν:. Εὐριπίδου.

95e *Ἐκ διαβολῆς* καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχῦσαν ἀπεμαράνθη:. Θεοφράστου.

95f *Ἐκ Διὸς ἀρχώμεσθα*, τὸν οὐδέποτ' ἄνδρες ἐῶσιν
ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα.

96a *Ἐκ τοῦ βίου* κράτιστόν ἐστιν ὑπεξελθεῖν ὡς ἐκ συμποσίου μήτε διψῶντα μήτε μεθύοντα:. Ἀριστοτέλους.

---

1. Verba *εἰπὲ τὸ πλῆρες* KA recte a proverbio seiungunt. *εἰπὲ* ex *ἐλλείπει* corruptum est: scriptum enim erat: *ἐλλείπει τό, κύφων γένοιτ' ἄν· τὸ γὰρ πλῆρες, ὅτι Ἐκ κτλ.*: v. Zenob. IV, 7 ibiq. nott. critt. 2. *τῶν μὲν εἰς* N: scribe *εἰς μὲν τὸ εἶδος*. 4. *ἐκπερδικίσαι* d. 6. *διαδιδράσκει* Zonaras 672. *θηρῶντας* Hesychius. *λέγεται κτλ.* non agnoscit Hesychius. 7. *ὁ δὲ* As om. 8. *μικρότερος* As. 9. *καὶ πέρδ.*] *τοῦ π.* As. 12. *ἐκ τοῦ* Z. *καθεστώτων* Suidas. 14. *μέγα*] *μετὰ* Iacobsius. 22. *ἐῶμεν* Aratus.

95. K in nott. ad Plut. I, 93: Arsen. XXII, 93. Greg. Cypr. M II, 100.

95a. Arsen. XXII, 94: Suidas. DV II, 62.

95b. Arsen. XXII, 95. XLIV, 30: Stob. Flor. 124, 10. Philet. fr. 10 Bach.

95c. Arsen. XXII, 96: Stob. Flor. 111, 5. Eurip. Oedip. fr. 15 Matth.

95d. Arsen. XXII, 97: Stob. Flor. 109, 6. Eurip. Oedip. fr. 14 Matth.

95e. Arsen. XXII, 98. LV, 37: Stob. Flor. 12, 19.

95f. Arsen. XXII, 99: Arat. Phaen. 1.

96. Hesychius: Arsen. XXII, 100. DV II, 57. *Ὁ δὲ κτλ.*] Aelian. N. An. XVI, 7.

96a. Arsen. XXIII, 1. Max. Confess. Serm. 36, p. 626 Combef.

ναί τε ἡδίων τοῦ ἑτέρου, καὶ τὴν σάρκα πως δοκεῖ πυκνότερος.

97 *Ἐκ τῶν γειτόνων ἔχουσι τὸ παράδειγμα:* ἐπὶ τῶν διαφανῆ καὶ γνωριμώτατα δρώντων.

98 *Ἕκαστος αὑτοῦ τὸ βδέμα μῆλον γλύκιον ἡγεῖται:* δημώδης.

99 *Ἐκ λύκου στόματος:* ἐπὶ τῶν ἀνελπίστως λαμβανόντων.

100 *Ἐκ τριχὸς κρέμαται:* ἐπὶ τῶν σφόδρα κινδυνευόντων· ὅμοιον τῷ· *Ἐπὶ ξυροῦ ἀκμῇ ἕστηκεν.*

97a Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς·
ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀτολμία
οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ:· Εὐριπίδου.

99a Ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φιλῶνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή:· Ἡσιόδου.

100a *Ἐκεῖνον ἀθλιώτατον* κρίνω δικαίως, ὃς ἐν μὲν ταῖς συμφοραῖς πλείστους ἔχει τοὺς ἐφηδομένους, ἐν δὲ ταῖς εὐτυχίαις οὐδένα τὸν συνηδόμενον:· Πεισωνιανοῦ.

---

7. στόματος] ἀφειλου addunt AZDs. τι λαμβανόντων in Diogeniano ex Zenobio scripsi. 10. Debebat *ἀκμῆς*. 12. ἀτολμιᾶ [sic] A. 15. *φίλωνται* Goettlingius.

97. Arsen. XXIII, 2. »Aristid. Panath. 138: περὶ μηδενὸς ἀξίων πραγμάτων, ἢ περὶ ὧν ἐκ *γειτόνων ἐστὶ τὰ παραδείγματα.* Ἐκ γειτόνων οἰκεῖν in vicinia habitare, Alciph. II, 2, ubi v. Berglerus. Lucian. Philops. 25: ἐν γειτόνων δὲ ἡμῖν ᾤκει. Conviv. 22 ἐν γειτόνων οἰκῶν. Icarom. 8. 16. Bis Accus. 9: Heliod. Aeth. I, 17: πίνει δὲ ἐνταῦθα ἐκ γειτόνων. Philost. Icon. II, 28: ὅρα καὶ τὴν ἀράχνην ὑφαίνουσαν ἐκ γειτόνων: Synes. Dion. 46 B: ταύτῃ δὲ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω καὶ σοφώτερον τίθημι, ὅτι κατιόντι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην: Max. Tyr. 41, 3: παρὰ πόδας τὰ δυσχερῆ, ἐκ γειτόνων τὰ κακά: cf. intt. ad Aristoph. Plut. 435.» **Walzius.**

97a. Arsen. XXIII, 3: Stob. Flor. 29, 22. Eurip. Erechth. fr. 9 Matth.

98. Arsen. XXIII, 4. **Erasm.** III, 4, 2: »proverbium de crepitu suspicor ab Apostolio e vulgi faece haustum»: proverbium sententiam veram plebeio sermone expressit: eleganter, ut solet, Aristot. Eth. ad Nicom. IX, 7: πᾶς γὰρ τὸ οἰκεῖον ἔργον ἀγαπᾷ μᾶλλον ἢ ἀγαπηθείη ἂν ὑπὸ τοῦ ἔργου ἐμψύχου γενομένου. μάλιστα δ' ἴσως τοῦτο περὶ τοὺς ποιητὰς συμβαίνει· ὑπεραγαπῶσι γὰρ οὗτοι τὰ οἰκεῖα ποιήματα, στέργοντες ὥσπερ τέκνα; id. ibid. IX, 1 fin., id. Rhet. I, 11 fin.

99. K in nott. ad Diog. IV, 42: Arsen. XXIII, 5. Greg. Cypr. L II, 8.

99a. Arsen. XXIII, 6: Stob. Flor. 47, 7. Hes. Theog. 96.

100. Diog. IV, 42 ibiq. v. K: Arsen. XXIII, 7. DV II, 63. Ἐπὶ ξυροῦ κτλ.] v. Mant. Provv. s. ἐπὶ ξυροῦ.

100a. Arsen. XXIII, 8: Max. Conf. Serm. 6, p. 551 Comb.

Τὸ ε̄ μετὰ τοῦ λ.

1 *Ἐλεύθεραι αἶγες ἀρότρων*: ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων.

2 *Ἐλευθεριώτερος Σπάρτης*: διὰ τὸ ἀνυπότακτον καὶ γενναῖον φρόνημα· διὸ οὐδὲ τείχη περιεβάλλοντο νόμοις παιδευόμενοι· ἀλλ' οὐδὲ ἠθέλησαν ἐκ μάχης ἡττημένοι ὑποστρέψαι οὐδὲ ἐτυραννήθησαν.

3 *Ἕλκος ἔχω τὸν ἔρωτα*· ῥέει δέ μοι ἕλκεος ἰχώρ.

4 *Ἐλέφαντος οὐδὲν διαφέρεις*: ἐπὶ τῶν ἀναισθήτων· παρόσον καὶ τὸ ζῷον τοιοῦτον:· *Ἐλέφαντος* πωλίῳ περιτυγχάνει λευκῷ πωλευτὴς Ἰνδός, καὶ παραλαβὼν ἔτρεφεν ἔτι νεαρὸν καὶ κατὰ μικρὰ ἀπέφηνε χειροήθη, καὶ ἐπωχεῖτο αὐτῷ· ὁ τοίνυν βασιλεὺς τῶν Ἰνδῶν πυθόμενος, ᾔτει λαβεῖν τὸν ἐλέφαντα. ὁ δὲ ὡς ἐρώμενον ζηλοτυπῶν καὶ μέντοι περιαλγῶν, εἰ ἔμελλε δεσπόσειν αὐτοῦ ἄλλος, οὐκ ἔφατο δώσειν, καὶ ᾤχετο ἀπιὼν ἐς τὴν ἔρημον, ἀναβὰς τὸν ἐλέφαντα· ἀγανακτεῖ ὁ βασιλεύς, καὶ πέμπει κατ' αὐτοῦ τοὺς ἀφαιρησομένους, καὶ ἅμα καὶ τὸν Ἰνδὸν ἐπὶ τὴν δίκην ἄξοντας· ἐπεὶ δὲ ἧκον, ἐπειρῶντο πεῖραν προς-

1a *Ἐλπὶς κακοῦ κέρδεος* ἀρχὴ ζημίης:· Δημοκρίτου.

1b *Ἐλπὶς καὶ κίνδυνος* ἐν ἀνθρώποισιν ὁμοῖα·
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι:· Θεόγνιδος.

1c *Ἐλπὶς ἐν ἀνθρώποισι* μούνη θεὸς ἐσθλὴ ἔνεστι:· τοῦ αὐτοῦ.

1d *Ἐλπὶς γὰρ* ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν:· Σοφοκλέους.

1e *Ἐλπίδες αἱ τῶν* ὀρθὰ φρονεόντων, ἐφικταί· αἱ δὲ τῶν ἀξυνέτων, ἀδύνατοι.

---

9. τῶν μεγάλων καὶ Suidas. 11. πωλευτὴς *ἐλέφαντος* As. 13. αὐτῷ] καὶ ἤρα τοῦ κτήματος καὶ ἀντηρᾶτο, ἀνθ' ὧν ἔτρεψε τὴν ἀμοιβὴν κομιζόμενος ἐκεῖνος As addit. 14. *ἐρώμενος* As. 21. *ὅμοιοι* Theognis. 23. ἀνθρώποις Stobaeus. *μόνη* et *ἔνεστιν* Theognis.

1. Suidas: Arsen. XXIII, 9. DV II, 68.
1[a]. Arsen. XXIII, 10. VII, 78: Stob. Flor. 10, 58. Democr. fr. 65 Mullach.
1[b]. Arsen. XXIII, 11: Stob. Flor. 110, 11. Theogn. 637.
1[c]. Arsen. XXIII, 12: Stob. Flor. 110, 12. Theogn. 1135.
1[d]. Arsen. XXIII, 13: Stob. Flor. 110, 14. Sophocl. fr. 687 Dind.
1[e]. Arsen. XXIII, 14: Stob. Flor. 110, 18. Democr. fr. 79 Mullach.
2. Suidas: Arsen. XXIII, 16. Diog. IV, 87. Adhibet Max. Tyr. Diss. XXVI, 2: ὁ δὲ ἔρως οὐδενὶ οὕτως πολεμεῖ ὡς ἀνάγκῃ καὶ δέει· καὶ ἔστι χρῆμα γαῦρον καὶ δεινῶς ἐλεύθερον, καὶ τῆς Σπάρτης αὐτῆς ἐλευθερώτερον: add. ib. Diss. V fin. et v. Gruterus ad P. Syr. Sent. 90.
3. Arsen. XXIII, 17.
4. Suidas: Arsen. XXIII, 18. DV II, 64. Ἐλέφαντος κτλ.] Aelian. N. An. III, 46.

φέρειν· οὐκοῦν καὶ ὁ ἄνθρωπος ἔβαλλεν αὐτοὺς ἄνωθεν, καὶ τὸ θηρίον ὡς ἀδικούμενον συνημύνετο· καὶ τὰ μὲν πρῶτα ἦν τοιαῦτα. ἐπεὶ δὲ βληθεὶς ὁ Ἰνδὸς κατώλισθε, περιβαίνει μὲν τὸν τροφέα ὁ ἐλέφας κατὰ τοὺς ὑπερασπίζοντας ἐν τοῖς ὅπλοις, καὶ τῶν ἐπιόντων πολλοὺς ἀπέκτεινε, τοὺς δὲ ἄλλους ἐτρέψατο· περιβαλὼν δὲ τῷ τροφεῖ τὴν προβοσκίδα, αἴρει τε αὐτὸν καὶ ἐπὶ τὰ αὔλια κομίζει, καὶ παρέμεινεν ὡς φίλῳ φίλος πιστός. Ὦ ἄνθρωποι πονηροὶ καὶ περὶ τράπεζαν μὲν καὶ τηγάνου ψόφον ἀεὶ ἐπ' ἄριστα χορεύοντες, ἐν δὲ τοῖς κινδύνοις προδόται.

5 *Ἐλέφαντα ἐκ μυίας ποιεῖς: ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων:· Οἱ νέοι ἐλέφαντες καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις, καὶ γήρᾳ παρειμένους θεραπεύουσιν αὐτούς, καὶ κινδύνων ῥύονται, καὶ εἰς ὄρυγμα ἐμπεσόντας οἵδε ἀνάγουσι φρυγάνων τινὰς ἀγκαλίδας καὶ φακέλλους ἐμβαλόντες, οἷςπερ οὖν ὡς ἀναβαθμοῖς χρώμενοι ἐκεῖνοι εἶτα ἀνίασι γήρᾳ βαρεῖς ὄντες. ποῦ δὲ ἠλόησε πληγαῖς πατέρα ἐλέφας; πῶς δὲ ἀπεκήρυξεν ὁ πατὴρ ὁ ἐν τούτοις τὸν υἱόν; ὦ Σόλωνες καὶ Χαρῶνδαι καὶ Ζάλευκοι:· Τῶν μὲν οὖν κινδύνων καὶ πόνων οἱ νέοι κατάρχονται, ποτοῦ δὲ ἄρα καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις. γήρᾳ δὲ παρειμένον ἐλέφαντα ἢ νόσῳ κατειλημμένον οὐκ ἄν ποτε οἱ συναγωνιζόμενοι καταλίποιεν, ἀλλὰ παραμένουσι, καίτοι τῶν θηρῶν ἐγκειμένων, καὶ πρότερόν γε τὴν ψυχὴν ἀπολίποιεν ἢ τὰ*

---

2. *μὲν* As om. 3. *κατώλισθεν* As. 8. *πιστός*] *καὶ τὴν εὔνοιαν ἐπεδείκνυτο* As adiecit. 9. *ἄριστά τε* As. 10. *προδόται*] *καὶ μάτην καὶ εἰς οὐδὲν τὸ τῆς φιλίας ὄνομα χραίνοντες* As addit. 12. *ποιούντων*] A e Suida addit: *Λουκιανὸς ἐν τῷ ἐγκωμίῳ τῆς μυίας* [12]· *πολλὰ δ' ἔτι ἔχων εἰπεῖν καταπαύσω τὸν λόγον, μὴ καὶ δόξω κατὰ τὴν παροιμίαν ἐλέφαντα ἐκ μυίας ποιεῖν*: tum adiicit *λόγος τίς ἐστιν κτλ.*, quae Apostolius VII, 6 habet. 18. *πῶς δὲ*] *ποῦ δαὶ* As. 19. *ὦ — Ζάλευκοι*] haec in Aeliano ante *οἱ νέοι κτλ.* collocata verbisque nonnullis aucta sunt. 22. *πρεσβυτέροις*] *αἰδῶ νέμοντες, καὶ τῶν Λυκούργου τιμῶντες τὸ γῆρας νόμων δέονται οὐδὲ οὐδέν* As addit. 23. *συναγωνιζόμενοι*] *συναγελαζόμενοι* As. 24. *ἀλλὰ καὶ πιστῶς* As. *παραμένουσι*] quae in sqq. Aelianus de elephantorum erga gregales et pullos fide atque amore exponit, ab epitomatore propter homoioteleuton in v. *παραμένουσι* neglecta sunt. *θηρῶν*] *θηρώντων* As. 25. *ἀπολίποιεν ἂν* As.

5. Suidas: Arsen. XXIII, 21. DV II, 67. *Οἱ νέοι — Ζάλευκοι*] Aelian. N. An. VI, 61. *τῶν μὲν — μνημονεύσαντες*] Aelian. l. c. VII, 15. *Ἐλέφαντι — ἐλέφας*] Aelian. l. c. VIII, 17. *Ἀκμὴ κτλ.*] Aelian. l. c. IV, 31.

τέκνα. *Λαίνιλα* δέ τις πρεσβῦτις ἐρασθεῖσα οἰκέτου δριμέος αὐτῷ συνεκάθευδε, κηλῖδα δὲ ἄρα παισὶ τοῖς ἐξ αὐτῆς περιῆπτεν· οἳ δὲ εὐγενεῖς ἦσαν, καὶ ἐς τὴν βουλὴν τὴν τῶν Ῥωμαίων ἐτέλουν ἐκ πατέρων. οἱ αἰδούμενοι τῇ μητρὶ ἤχθοντο τοιαῦτα δρώσῃ καὶ πρᾴως ὑπερινουθέτουν· ἡ δὲ κυμαίνουσα ἐκ τῆς ἐπιθυμίας καὶ τὸν ἔρωτα ἐπίπροσθεν τῶν υἱέων ποιησαμένη καταγορεύει αὐτῶν πρὸς τὸν τότε ἄρχοντα, ὡς ἐπιβουλεύοιεν αὐτῷ· ὁ δὲ ἔχων εἰς διαβολὰς τὸ οὖς ῥᾴδιον, καὶ ὑπόπτης ὢν καὶ δειλός, ἐπίστευσε. καὶ οἱ μὲν οὐδὲν ἀδικοῦντες ἀπέθνησκον, ὁ δὲ ἆθλον τοῦ κατειπεῖν ἠνέγκατο, δούλῳ συγκαθεύδειν ἀδεῶς. *Πατρῷοι θεοί*, καὶ *Ἄρτεμι λοχεία*, *Εἰλείθυιαί τε Ἥρας θυγατέρες*, τί οὖν ἂν ἔτι *Μήδειαν* εἴποιμεν τὴν *Κόλχην* ἢ *Πρόκνην* τὴν *Ἀτθίδα* τῶν καθ' ἡμᾶς παθῶν μνημονεύσαντες;:· **Ἐλέφαντι ἡμέρῳ** πωλευτὴς ἦν, καὶ εἶχε γυναῖκα ἀφηλικεστέραν μέν, πλουσίαν δέ. οὐκοῦν ἑτέρας ἐρῶν, ταύτην μὲν ἀποπνίγει, καὶ τῆς τοῦ ἐλέφαντος φάτνης κατορύττει πλησίον ὁ θερμόβουλος ἄνθρωπος, ἄγεται δὲ τὴν ἄλλην. ἐνταῦθα οὖν ὁ ἐλέφας τῇ προβοσκίδι λαβόμενος τὴν νεωστὶ ἀφιγμένην ἄγει τῆς νεκροῦ πλησίον καὶ τοῖς κέρασιν ἀνορύξας καὶ γυμνώσας τὸ σῶμα, ἃ εἰπεῖν οὐκ ἠδύνατο, ταῦτα ἐπεδείκνυε δι' αὐτῶν τῶν ἔργων, τὴν γυναῖκα τὸν τρόπον τοῦ γήμαντος αὐτὴν ἐκδιδάσκων ὁ μισοπόνηρος ἐλέφας:. **Ἀκμὴ** ἐλέφαντος ἑξήκοντα ἔτη γεγονέναι· κρυμῷ δὲ ὁμιλεῖν μήμικος ἐστί. διατείνει δὲ τὸν βίον καὶ εἰς διπλῆν ἑκατοντάδα.

5a *Ἔλθοι ξένος ὅστις ὀνήσει*: *Θετταλῶν καταστρέψας τὰς πόλεις ὁ Φίλιππος καὶ τοὺς ξένους πωλήσας εἴρηκε τοῦτο.*

---

1. *Λαίνιλα — οἱ δὲ*] *ἐγὼ δὲ ᾔδειν μειράκιον ὢν ἄνθρωπον πρεσβῦτιν, Λαινίλλαν ὄνομα, καὶ ἐδείκνυτο ὑπὸ πάντων καὶ ἐπ' αὐτῇ μῦθος ἐλέγετο, καὶ ὅ γε μῦθος τοιόσδε ἦν. Οἱ πρεσβύτεροι πρός με ἔφασκον ἐκείνην τὴν ἄνθρωπον ἐρασθεῖσαν οἰκέτου δριμέως, αὐτῷ μὲν συγκαθεύδειν, κηλῖδα δὲ ἄρα* [*τοῖς* addunt AR] *παισὶ τοῖς ἑαυτῆς περιάπτειν· οἱ δὲ* As. 4. *πατέρων τε καὶ τῶν ἄνω τοῦ γένους ἀρξάμενοι* As. *οἱ τοίνυν* As. 5. *ὑπενουθέτουν καὶ τοῦ πραττομένου τὴν αἰσχύνην ἐπέλεγον ἡσυχῇ* As. 7. *πρὸς τὸν ἄρχοντα, ὃς ἦν τότε καὶ λέγει ὡς* As. 9. *δειλός, πάθη δὲ ταῦτα ἀγεννοῦς διανοίας* As. 10. *ὁ δὲ*] *ἡ δὲ* As, AR. 11. *Ὦ πατρῷοι* As. 13. *Κόλχιν* As. 14. *τῶν ἔναγχός τε καὶ* As. 16. *ἐρῶν, καὶ τὰ τῆς συνοικούσης σπεύδων ἐκείνη γίνεσθαι* As. 24. *ἀκμὴ δὲ* As. 25. *ἥκιστος* As, *μήκιστος* R. 27. *τὰς* om. Ds.

5ª. Arsen. XXIII, 22: Diog. IV, 73. Cf. Apost. XII, 22.

6 *Ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος*: ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς κακὰ ἢ καλά.

7 *Ἔλαχες τὸ μ'*: ἐπὶ τῶν εὐτυχησάντων. *Διονύσιος* γὰρ ὁ πρεσβύτερος, κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ̄, πρὸς τὸν εἰπόντα· μωρολογεῖς Διονύσιε, μοναρχήσω μὲν οὖν, εἶπε· καὶ δημηγορήσας ᾑρέθη στρατηγὸς εὐθὺς ὑπὸ τῶν Συρακουσίων.

8 *Ἐλέφας μῦν οὐκ ἀλεγίζει*: ἐπὶ τῶν τὰ μικρὰ καὶ φαῦλα ὑπερορώντων. *Λόγος* τίς ἐστιν, ἐλέφαντα μὴ πρότερον πίνειν, πρὶν ἂν ὑποθολώσῃ τῇ προνομαίᾳ τὰ νάματα· τὸ δ' αἴτιον, ὅτι μορμολύττεται τὴν ἑαυτοῦ σκιὰν ἐν ὕδατι ὁ ἐλέφας θεώμενος· διὸ καὶ τοὺς Ἰνδοὺς ἐπιτηρεῖν ἀσέληνον νύκτα, ὁπηνίκα διαπορθμεύωσι, τουτὶ δεδιότες τὸ ζῷον.

9 *Ἕλκος γὰρ πέλει τῆς ἀληθείας φθόνος*: ἀπὸ γνώμης.

7a *Ἐλάσσω κακὰ πάσχουσιν* οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων· τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσί. καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι: Δημώνακτος.

9a *Ἔλπεσθαι χρὴ πάντ'* ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον·
ῥάδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν: Λίνου.

9b *Ἐλευθέραν εἶναι* προσήκει παντὸς φόβου τὴν ἀρετὴν καὶ ἀδέσποτον.

---

1. αὐτὸν ὥστε Καικίας Ds. 2. ἢ καλὰ Ds om. 3. A ἔλαχες τὸ μ̄: ἀντὶ τοῦ μωρὸς εἶ, reliquis om. 8. μῦν οὐκ ἀλεγίζει] μῦν οὐχ ἁλίσκει d, alii: μυῖαν οὐκ ἀλεγίζει Lennepius ad Phalar. Epist. p. 121 Lugd.: μῦν οὐ δάκνει A, post v. ὑπερορώντων addens: Ἐλέφας μῦν οὐχ ἁλίσκει: ὁμοία τῇ προτέρᾳ. 11. τὸ δ' — ὅτι] οὐκ ἐπίπλαστον τὸ λεγόμενον Theophylactus. 13. διαπορθμεύουσι idem. δεδιότες Theophylactus ignorat. 23. ἀρετήν· ἀδέσποτον γὰρ ἀρετὴ καὶ ἑκούσιον, παντὸς φόβου καὶ ἀνάγκης ἐλεύθερον Maximus addit.

6. Diog. IV, 66. Greg. Cypr. L I, 99.
7. Arsen. XXIII, 15. Διονύσιος κτλ.] Plut. Apophth. Reg. cett. 175 C, ubi v. Wyttenbachius.
7a. Arsen. XXIII, 24: Anton. Mel. 137, p. 217 Fabr.
8. K in nott. ad Diog. IV, 45: Arsen. XXIII, 19. DV II, 66: add. Apost. X, 37. Λόγος κτλ.] Theophyl. Simoc. Dialog. de Quaest. phys. p. 9 Boiss.
9. Arsen. XXIII, 23: cf. Apost. VI, 1a.
9a. Arsen. XXIII, 25: Stob. Flor. 110, 1. »Vide Iamblichi V. Pythag. 28 (139) citatum Pearsono Symb. Apostol. Art. VI.« Gaisfordus. Add. Ambroschius de Lino dissert. 8.
9b. Arsen. XXIII, 26: Max. Conf. Serm. I, p. 551 Comb., ubi Chrysostomo tribuitur. Sententia fluxit ex Plat. Reip. X, 14, p. 617 E, ubi v. Astius.

Τὸ ε̃ μετὰ τοῦ μ̃.

10 Ἔμβαρός εἰμι: ἦν πρότερον ὁ Πειραιεὺς νῆσος· ὅθεν καὶ τοὔνομα εἴληφεν, ἀπὸ τοῦ διαπερᾶν· οὗ τὰ ἄκρα Μούνυχος κατασχὼν Μουνυχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ καὶ ὑπὸ τῶν Ἀθηναίων ἀναιρεθείσης, λιμὸς ἐπεγένετο· οὗ τὴν ἀπαλλαγὴν ὁ θεὸς ἔχρησεν, ἄν τις τὴν θυγατέρα θύσῃ τῷ θεῷ. Ἔμβαρος δὲ μόνος ὑποσχόμενος ἐπὶ τῷ τὴν ἱερωσύνην αὐτοῦ τὸ γένος διὰ βίου ἔχειν, διακοσμήσας αὐτοῦ τὴν θυγατέρα ἔθυσεν· ὅθεν καὶ εἰς παροιμίαν περιέστη. τάττεται δὲ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων.

11 Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλητος ἀποκτεῖναι μὲν δύνανται· βλάψαι δὲ οὐ δύνανται: Σωκράτους τὸ λόγιον· λέγεται δὲ ἐπὶ τῶν βλαπτόντων τινὰς τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ λυμαινομένων.

12 Ἐμποδὼν ἐστι τὸ πρᾶγμα: ἐπὶ τῶν προχείρων καὶ εὐχερῶν· ἐχρήσατο δὲ ταύτῃ τῇ λέξει Θουκυδίδης ἐν ὀγδόῃ· τὰς ἐμποδὼν αἰτίας ἐπισκοπεῖν, πόῤῥωτέρω δὲ μηδὲν ἀπορέγεσθαι ταῖς διανοίαις· ἤτοι προχείρως.

77 **Ἐπὶ ὅλμου ἐκοιμήσω:** ἐπὶ τῶν μαντείας πορίζομένων ἔκ τινων ἐνυπνίων· τὸν ὅλμον γὰρ συμβάλλεσθαι ἔλεγον πρὸς μαντείας.

78 **Ἐπὶ μανδραβόλου χωρεῖ τὸ πρᾶγμα:** ἀντὶ τοῦ, ἐπὶ τὸ χεῖρον. Μανδραβόλας γάρ τις τὰς αὐτὰς θυσίας ὅρκοις ἑαυτὸν καταδήσας τοῖς θεοῖς κατ' ἔτος προςάγειν, τὸ μὲν πρῶτον δέκα βοῦς ἔθυσε, τὸ δὲ δεύτερον παρ' ἕνα, ἤτοι ἐννέα· περιελθόντος δὲ τοῦ τρίτου ἀφεῖλεν ἕτερον· καὶ οὕτως ποιῶν διὰ τῶν ἑξῆς ἐνιαυτῶν κατέστη εἰς ἐπιορκίαν· ὁ δὲ Ἔφορος οὕτως· ὁ Μανδραβόλας ἐν Σάμῳ γεωφάνιον εὑρών, πρῶτον μὲν κριὸν χρυσοῦν ἀνέθηκεν, ἔπειτα ἀργυροῦν, ἔπειτα χαλκοῦν ἐλάττονα, εἶτα οὐκέτι.

79 **Ἐπ' ὄνου πόκας:** ἐπὶ τῶν ἀδυνάτων· ἀπ' ὄνου γὰρ οὐκ ἔστι πόκον λαβεῖν.

80 **Ἐπιχώριοι οὖρον ἴσασι:** τὸν ἐπιτήδειον ἄνεμον. ὁμοία τῇ· Ἀπὸ χοέως σπάσον.

81 **Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις:** ἐπὶ τῶν

---

5. *τὸν δεξιὸν πόδα ὑπισχνεῖται* Suidas. 11. *ἐπὶ τὰ Μανδ.* Zenobius. Formam *Μανδροβούλου* praefert Kayserus Hist. crit. tragg. Gr. 229. Utramque formam probam esse docent Welckerus ad Theogn. prolegg. p. X sq. Lobeckius ad Phryn. 652. Engerus ad Aristoph. Lysist. 63. 15. *δὲ*] *καὶ* N. 16. *οὕτω* N. 17. *ὁ δὲ κτλ.*] Gregorius om. *ὁ δὲ — οὕτως*] Suidas om. *ὁ Μ. — εὑρών*] *ἀπὸ Μανδραβόλου τινὸς τὸ ἐν Σάμῳ γ. εὑρόντος καὶ* Suidas. 18. *ἀναθέντος* idem. 19. *οὐκέτι, ὡς Ἔφορος* Suidas: add. Harpocr. 49, 17: *γεωφάνιον χωρίον ἐν ᾧ γῆς μέταλλον. περὶ δὲ τοῦ ἐν Σάμῳ γεωφανίου ὃν τρόπον ἐξευρέθη, Ἔφορος δεδήλωκεν ἐν τῇ θ'*, ubi *Ἔφορος δ. ἐν Ἐπιχωρίῳ* corrigendum esse Boissonadius ad Herod. Epimer. 209 vidit. 20. *πόκος* ZDs. *ἐπὶ τῶν εἰς ἀδύνατα ἀναβαλλομένων* Ds.

76. »Usus fuerit, cum alienae professionis quispiam alium in propria vincit arte:« Erasmus III, 5, 100.
77. Greg. Cypr. M III, 52.
78. Greg. Cypr. M III, 50. *ὁ δὲ κτλ.*] Suid. s. *ἐπὶ τὰ Μανδροβόλου*: add. Bachmanni Anecd. II, 339, 18. Phavor. s. v.
79. Diog. IV, 85.
80. Diog. IV, 80. *ἀπὸ κτλ.*] cf. Apost. III, 67.
81. Suidas: Zenob. IV, 1.

ἑαυτοῖς κακὰ ἐπισπωμένων. αἱ γὰρ τὴν σελήνην καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι.

82 *Ἐπινοίαις θηρᾶται τὰ θήρατα.*

83 *Ἐπίσταμαί τε καὶ πεπείραμαι λίαν,*
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

84 *Ἐπὶ σπείρᾳ σχοινίον:* ἐπὶ τῶν δωρουμένων τισὶν οὐχ ἕτερα, ἀλλ' οἷς κέκτηνται ὅμοια. σπεῖρα γὰρ καὶ σχοινίον τὸ αὐτό.

Τὸ ε̄ μετὰ τοῦ ρ̄.

85 *Ἔῤῥει τὰ καλά:* ἐπὶ τῶν κακόν τι βουλομένων δηλῶσαι συντόμως· Ἱπποκράτης γὰρ ἡττηθεὶς Μινδάρῳ ταύτην ἔπεμψε τὴν ἐπιστολήν.

86 *Ἔρως θάλλει μὲν εὐπορῶν, ἀποθνήσκει δ' ἀπορῶν:* Διοτίμας ἀπόφθεγμα.

87 *Ἐρήμη δίκη:* ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν διαιτηθῇ·

88 *Ἑρμώνιος χάρις:* ἡ κατὰ ἀνάγκην διδομένη.

88a *Ἔρχομαι κύων ὄπισθεν ἅρματα λελυμένος:* ἐπὶ τῶν ἑκουσίως τοῖς δεινοῖς ἐγκαρτερούντων.

---

5. δὲ καὶ Stobaeus. 16. ἐρήμη, μονομερὴς δίκη, ὅταν Hesychius. 17. διαιτηθῇ] καταδικασθῇ Zenobius. 18. Ἑρμώνειος Zenobius. A: Ἑρμώνειος χάρις: ἐπὶ τῶν κατὰ χάριν ἐκεῖνα διδόντων, ὧν ἀσμένως ἀπαλλάττονται· Ἕρμων γὰρ ἐκβαλλόμενος ὑπὸ τῶν Ἀθηναίων ἧς ἦρχε νήσου, ἦν δὲ αὕτη Λῆμνος, καὶ πρότερον αὐτὴν ἐκλείπειν βουλόμενος διὰ τὴν τῶν Περσῶν ἔφοδον, εἶπε πρὸς τὸν Ἀλκιβιάδην [scr. Μιλτιάδην], ὡς χαρίζομαι τοῖς Ἀθηναίοις τὴν χώραν: paulo aliter Hesychius: Ἑρμώνιος χάρις: παροιμία ἀπὸ Ἕρμωνος, τοῦ Λήμνου τυράννου, ὃς ἐπελθόντων τῶν Ἀθηναίων μὴ δυνάμενος αὐτοῖς ἐναντιοῦσθαι, ἔφη τὰ προσταοσόμενα ὑπ' αὐτῶν διὰ χάριν ποιεῖν. τάσσεται οὖν ἐπὶ τῶν κατ' ἀνάγκην τι ποιούντων καὶ προσποιουμένων χαρίζεσθαι: v. annott. ad Macar. l. c. 19. λελυμένος] ἑλκόμενος Pantinus coniecit.

82. Philo de spec. legat. T. II, p. 307, 16 Mang.: τὸν δὲ [Daedalum] πάνυ δεινὸν οἷον ταῖς ἐπινοίαις ὄντα τὰ ἀθήρατα θηρᾶν.
83. Stob. Flor. 91, 7. Eurip. Cressar. fr. 8 Matth.: cf. Welckerus Trag. Gr. II, 681.
84. Greg. Cypr. M III, 47.
85. Diog. IV, 89: Macar. IV, 9.
86. Max. Tyr. Diss. XXIV, 9. p. 479 R.: ἡ Διοτίμα λέγει, ὅτι θάλλει μὲν ἔρως εὐπορῶν, ἀποθνήσκει δὲ ἀπορῶν: cf. Plat. Symp. 203 E. De sententia dixit Davisius ad Max. Tyr. l. c.: add. adnott. ad Apost. IV, 58. Mant. Provv. s. ἔρωτα.
87. Hesychius: Zenob. III, 84, quocum fere faciunt Scholl. ad Plat. 330 aliique, quos in annot. ad Zenob. l. c. citavi. Aliter Lex. Rhet. in Bekk. Anecd. I, 245: ἐρήμην: δίκη ἐστίν, ὅταν μὴ παρόντων ἀμφοτέρων τῶν προςόντων ὁ δικαστὴς τὴν ψῆφον ἐπενέγκῃ κατὰ τοῦ ἀπόντος: v. infr. 91.
88. Suidas: Arsen. XXIV, 54. Macar. IV, 17.
88a. Arsen. XXIV, 55.

89 Ἐρετριέων ῥῶ: ἐπὶ τῶν κατακόρως τισὶ χρωμένων. κατακόρως γὰρ οὗτοι χρῶνται τὸ ῥῶ.

90 Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων: τοῦτο Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου

88b Ἐρῶ δὲ δῆτα κοὐκ ἐρῶ· καὶ μαίνομαι κοὐ μαίνομαι:. Ἀνακρέοντος.

88c Ἔρχεται πολὺς μὲν Αἰγαῖον διανήξας ἀπ' οἰνηρῆς Χίου:. Καλλιμάχου.

88d Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ,
ἐν ἡμέρᾳ δὲ διαφορῆσαι ῥᾴδιον:. Διφίλου.

88e Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σώζει, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσα παραίνεσις:. Θουκυδίδου.

88f Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν
οὐκ οἶδ' ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγώ,
οὕτω κρατηθεὶς τάσδ' ἀπεστάλην ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι, καὶ τὸν ἄπορον εὑρίσκειν πόρον:. Εὐριπίδου.

88g Ἔῤῥ' ἀπ' ἐμεῖο·
βωκόλος ὤν μ' ἐθέλεις κύσαι, τάλαν; οὐ μεμάθηκα
ἀγροίκως φιλέειν, ἀλλ' ἀστυκὰ χείλεα θλίβειν·
μὴ τύ γε μευ κύσῃς τὸ καλὸν στόμα, μηδ' ἐν ὀνείροις.

88h Ἐργατεύοντι δέ τοι μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις, ταὶ δὲ ἡδοναὶ τὰ κακά:. Ἱπποδάμου Πυθαγορίου ἡ γνώμη.

88i Ἔργον εὑρεῖν συγγενῆ πένητός ἐστιν. Οὐδεὶς γὰρ ὁμολογεῖ αὐτῷ προσήκειν τὸν βοηθείας τινὸς δεόμενον· αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

---

2. τῷ ῥῶ. Ds. 3. ἔργα — γερόντων] ἔργα νέων Harpocratio. 4. τοῦτο καὶ idem. 5. δῆτα] δηὖτε Bergkius. 7. διατμήξας Hephaestio: v. Gaisfordus. 11. εἰδότες ἔργων Thucydides. μελέτην idem. πλείω σώζουσαν idem. 12. ῥηθεῖσαν παραίνεσιν Thucydides, ῥηθέντων παραίνεσις Stobaeus. 15. ἀπεστάλην] ἐπιστάμην Ab. 17. Εὐριπίδου] Ἀριστάρχου Stobaeus cum Arsen. X, 7. 19. ἐθέλεις με Theocritus. 21. γά μευ κύσσῃς idem. 23. ἁδοναὶ Stobaeus. 24. οὐδὲ τὶς Grotius, qui versus recte distinxit.

88b. Arsen. XXIV, 56: Hephaest. 29 Gsf. Anacr. fr. 89 Bergk.

88c. Arsen. XXIV, 57: Hephaest. 35 Gsf. Callim. fr. 115 Bentl.

88d. Arsen. XXIV, 58. IX, 89: Stob. Flor. 15, 3. Diphil. fr. inc. fab. 19 Mein.

88e. Arsen. XXIV, 59: Stob. Flor. 29, 62. Thucyd. V, 69.

88f. Arsen. XXIV, 60. X, 7: Stob. Flor. 63, 9. Attigit locum Kayserus Hist. crit. Tragg. Graec. 210.

88g. Arsen. XXIV, 61: Theocr. Id. XX, 2.

88h. Arsen. XXIV, 62: Stob. Flor. 43, 94, p. 126 Gsf.

88i. Arsen. XXIV, 63: Stob. Flor. 10, 24. Menand. Adelph. fr. 8 Mein.

89. Diog. IV, 57: cf. nott. critt. ad DV III, 93.

90. Harpocr. 85, 14: App. Provv. IV, 6, ubi add. Phot. s. ἔργα νέων: παροιμία τις ἐστὶν οὕτως προσαγορευομένη· Ἔργα νέων .. γερόντων:

φησὶν εἶναι παροιμίαν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικός.

91 *Ἐρήμην ἁλῶναι: ὅταν μὴ παρόντος τοῦ εὐθυνομένου καταδικασθῇ ὁ διωκόμενος.*

92 *Ἔρημον ἐμβλέπειν: ἀκίνητον καὶ νωθρόν. οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. Ἀριστοφάνης Πολυείδῳ.*

93 *Ἑρμῆς ἀμύητος: ἐπὶ τῶν μᾶλλον ἔν τισιν ἐμπείρων. χλευαστικὴ δὲ ἡ παροιμία, ὁμοία τῇ· Βάλλ' ἐς ἔχοντα τὴν ἐπιστήμην.*

94 *Ἕρμαιον κοινόν: καί· Ἑρμῆς κοινός: ἐπὶ τῶν εὑρόντων τι κέρδος ἀπροσδόκητον καὶ κοινὸν ποιησαμένων·*

---

1. *εἶναι — ἣν*] *εἶναι· παροιμία τις ἐστίν, ἣν* idem. 2. *γραμματικός*] addit Harpocratio: *οὕτως ἔχουσαν »ἔργα νέων — γερόντων«.* 5. *ἐρήμην* Bergkius. 7. *Πολυίδῳ* Suidas, Dindorfius. 9. *Βάλλ'* Ds.

cf. Macar. IV, 11. *Ὑπερίδης*] v. Kiesslingius de Lycurgi deperd. Oratt. fr. p. 242. *Ἡσιόδου*] fr. 179 Goettl.: ad Hesiodum nihil potest referri nisi vv. *ἔργα νέων.* *Ἀριστοφάνης*] v. Nauckius ad Arist. Byz. Fr. p. 237.

91. Scholl. ad Luc. Iov. trag. 25: *ἐρήμη λέγεται, ἡνίκα ὁρισθείσης τῆς κατὰ τὴν δίκην ἡμέρας, ἐν ᾗ χρὴ τοὺς δικαζομένους εἰς τὸ δικαστήριον ἀπαντῆσαι, ὁ εἷς μὲν αὐτῶν ἔλθοι, ὁ δὲ ἕτερος ἀπολειφθείη, τότε οἱ δικασταὶ καταδικάζουσι τὸν ἀπολειφθέντα ἐρήμην*: cf. DV II, 73.

92. Suidas: Phot. Etym. M. 373, 19. Aristoph. fr. 393 Dind., fr. 6 Bergk.

93. Diog. IV, 63: Greg. Cypr. M III, 19. *Βάλλ' κτλ.*] Apost. IV, 85.

94. *Ἕρμαιον — κοινός*] haec in proverbii consuetudinem venisse Schol. ad Aristid. 272 Fromm. in nott. ad Diog. V, 38 exscriptus docet: add. Theod. Metoch. Miscell. Philos. 8, p. 66 Kiessl.: *πολὺς δ' ὅμως ὁ ἐν Πλάτωνι Σωκράτης, ἢ ὁ ἐν Σωκράτει Πλάτων, εἰ δ' οὖν, ὡς ἔφην, ἔστω γε κοινὸς ἀμφοῖν ὁ Ἑρμῆς κατὰ τὴν παροιμίαν, πολὺς δ' οὖν κτλ.*: peperit hoc Mercurii communis indoles atque munus, de quo v. Cornut. de N. Deor. 16 ibique Osannum: add. Crameri Anecdd. Pariss. IV, 258: *οἱ γὰρ παλαιοὶ τὸν Ἑρμῆν ὡς ἔφορον τῶν ὁδῶν παρὰ τὰς ὁδοὺς ἔγραφον, ὥστε εἴ τι εὑρίσκοντες ἐν ταῖς ὁδοῖς τὰς αἰτίας τῷ Ἑρμῇ ἀνετίθουν, καὶ ἀπὸ τοῦ Ἑρμοῦ παρωνόμαζον Ἕρμαιον καὶ Ἑρμαῖον*: Apost. X, 1. *ἐπὶ — ποιησαμένων*] congruit fere cum nostro Etym. M. 376, 16: *Ἕρμαιον, τὸ ἀπροσδόκητον κέρδος· ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς . . . κατεσθίουσιν· ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου Κοινὸς Ἑρμῆς, ἐπὶ τῶν εὑρισκόντων τί, οἷον κοινὸν τὸ εὕρημα. παρὰ τὸ οὖν κτλ.* *ἢ — κατεσθίουσιν*] eadem fere deprehendimus in Scholl. ad Plat. Conv. 176 C, p. 377 Bekk., ad ei. Phaedon. 107 C, p. 896 ed. Turic., Phot. s. *ἑρμαῖον*, Suid. s. v., Scholl. ad Luc. Somn. 9. *ἢ — ἀνέκειντο*] Suidas; uberius rem Hesych., Scholl. ad Hom. Od. *Π*, 471. Schol. ad Nicand. Ther. 149. Etym. M. 375, 55 explicant; optime vero Eustath. ad Hom. l. c., p. 1809, 32. De usu proverbii v. annot. ad Diog. V, 38, cui add. loci e Platone supra allati, et Heliod. V, 15, Liban. Epist. 580: *αὐτὸς δὲ τὸ μὲν σῶμα τοῖς πόνοις ἔδωκε, . . . προθύμοις μὲν διδασκάλοις ἕρμαιον ὤν, οὐ τοιούτοις δὲ ἄχθος*: eiusd. Ep. 672[b]: *ἐγὼ δὲ Ἑρμοῦ δῶρον τὸν ἄνθρωπον ἡγούμην*: alia Boissonadus ad Aristaen. Ep. I, 19, p. 498, ad Aen.

ἢ ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· ἢ ἀπὸ τῶν σωρῶν, αἳ τῷ Ἑρμῇ ἀνέκειντο.

95 *Ἐργίνου πολιαί*: ἐπὶ τῶν προπολίων· οὗτος ἦν παῖς Κλυμένου, εἷς τῶν Ἀργοναυτῶν· Ὑψιπύλης δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προτεθεικυίας, Ἐργῖνος νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δέ, παρῆλθεν ἀγωνισόμενος, καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς· κάλλιστα οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν, εἰς ὑπερβολὴν ἐθαυμάσθη. περὶ οὗ καὶ ὁ Πίνδαρος εἶπε, διάπειρά τοι βροτῶν ἔλεγχος.

Τὸ ε̃ μετὰ τοῦ σ̃.

96 *Ἐς κόρακας*: Βοιωτοῖς ὁ θεὸς ἔχρησεν, ὅπου ἂν λευκοὶ κόρακες φανῶσιν, ἐκεῖ κατοικεῖν· περὶ δὲ τὸν Παγασητικὸν κόλπον ὑπὸ παίδων ἀκάκων γυψωθέντας κόρακας. ὕστερον δὲ Αἰολεῖς, ἐκβαλόντες αὐτούς, τοὺς φυγαδευομένους εἰς αὐτὸ ἔπεμπον. οἱ δέ, ὡς τοῦ ζῴου ἀναιδοῦς καὶ δυςοιωνιστικοῦ ὄντος. Ἀριστοτέλης δὲ φησί, λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους

94a *Ἔρις ἔριν τίκτουσα προςμνᾶται λόγον*: ἐπὶ τῶν ἀδολεσχούντων, ἤτοι ἐπὶ φιλοσοφίᾳ ἐριζόντων.

---

2. κατεσθίουσιν] Scholl. Plat. addunt: καὶ γὰρ ἐν ταῖς ὁδοῖς ἔθος ἦν ἱδρῦσθαι τὸν Ἑρμῆν, παρ' ὃ καὶ Ἐνόδιος λέγεται. 5. Ἀργοναυτῶν] ὅτε οὖν εἰς Κόλχους διὰ τὸ χρυσόμαλλον δέρας ἡ Ἀργὼ ἐπέπλει, ἐξῆλθεν ἐν παρόδῳ οὗτος ὁ Ἐργῖνος μετὰ τῶν ἄλλων Ἀργοναυτῶν ἐν τῇ Λήμνῳ, addit Scholiasta. Ὑψιπυλείας Scholiasta. 7. προθείσης Θόαντος idem. 9. κάλλιστα] καλῶς idem. 11. περὶ κτλ.] Scholiasta ignorat. 15. φανῶσιν] ὀφθῶσιν Photius. 16. κόρακας ἰδόντες περιπετομένους· τοῦ Ἀπόλλωνος ᾤκησαν χωρίον κόρακας· ὕστερον Photius. 21. ἔρις δ' ἔριν metri causa Bernhardius. προμνᾶται G. Dindorfius in Steph. Thes. L. G. VI, 1780 B. ἐπὶ τῶν ἐκ φιλίας ἀδολεσχούντων Suidas, ubi vv. ἐκ φιλίας in ἐπὶ φιλοσοφίᾳ mutanda esse Bernhardius vidit. 22. ἤτοι κτλ.] Suidas om.

Gaz. 165, intt. ad Etym. Magn. l. c. p. 1080 Gaisf. indicant.

94a. Arsen. XXIV, 52: Suidas. Cf. Mant. Provv. s. ἔρις.

95. Arsen. XXIV, 53. Alludit Liban. Epist. 303: οὐχ ὅτι σοι τὸ τοῦ Ἐργίνου συμβέβηκεν, ἐν νεότητι πολιά, ἀλλ' ὅτι ζῇς κατὰ τοὺς γέροντας, πρὶν ἐκ παιδῶν ἐξελθεῖν. οὗτος ἦν κτλ.] Schol. rec. ad Pind. Ol. IV, 26. Πίνδαρος] Ol. IV, 18, ubi v. Boeckhium.

96. Arsen. XXIV, 64. ἐς — ἔπεμπον] Photius. οἱ δὲ κτλ.] Suidas: v. Zenob. III, 87. Apost. VI, 65. Αἴσωπος] fab. 101.

θρηνοῦντας αὐτοὺς καὶ παρακαθαίροντας ἐὰν ζῶντας, καὶ ἐπιλέγειν τῷ λοιμῷ, Φεῦγ' ἐς κόρακας. ὁ δὲ Αἴσωπος μυθικῶς κολοιὸν μέγαν, νομίσαντα τοῖς κόραξιν ὅμοιον εἶναι, πρὸς αὐτοὺς πολευθῆναι· ἡττηθέντα δὲ πάλιν εἰς τοὺς κολοιὺς ὑποστρέψαι· τοὺς δὲ ἀγανακτήσαντας παίειν αὐτὸν λέγοντας, φεῦγ' ἐς κόρακας. Ἀριστείδης δὲ ἀποδίδωσι, διὰ τὸ ἐν τρεχέαι τόποις καὶ κρημνώδεσι νεοσσοποιεῖσθαι, λέγειν ἡμᾶς, Φεῦγ' ἐς κόρακας, ἤγουν εἰς σκότος, εἰς ὄλεθρον.

97 Ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας.

98 Ἐσκιμαλίχθαι σε χρή: ἐπὶ τῶν ἀξίων ὕβρεως· σκιμαλίσαι δὲ λέγεται, ὅταν βουλόμενος ἐνυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείναντες καὶ τοὺς λοιποὺς συνάγοντες ἐνδείξωσιν αὐτῷ· κυρίως δὲ λέγεται τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν.

98a Ἔσο καὶ λέων ὅπη χρὴ, καὶ πίθηκος ἐν μέρει: ἐπὶ τοῦ πρὸς τὰ πράγματα μεταβαλλομένου καλῶς.

---

3. ὅμοιον] ἴσον Suidas. 4. πορευθῆναι Z Suidas. 7. τραχέσι NRZ Suidas. 8. κόρακας, ἤγουν] κόρακας. ἐς κόρακας οὖν Suidas. 9. εἰς τὸ σκότος idem. 10. σιγᾶς Schneidewinus. 12. βουλόμενοι Suidas. ἐφυβρίσαι Scholiasta. 13. ἐκτείνοντες Scholiasta et Suidas. 14. δείξωσιν iidem. τὸν δάκτυλον] τὸν μέσον τῶν δακτύλων Suidas. 15. ἐμβαλεῖν idem. Aliter proprium verbi significatum expedit Schol. ad Aristoph. Acharn. 443: ἐλέγετο δὲ σκιμαλίζειν τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ᾠοτοκοῦσιν.

97. Arsen. XXIV, 65. Sunt Simonidis verba, ut Schol. ad Arist. 190 Fromm. memoriae prodidit: Stobaeus quidem Flor. 33, 5 Athenodorum sententiae auctorem esse perhibet; sed erroris origo ex Plutarchi Apophth. Reg. cett. 207 C perspicitur, ubi Caesar Augustus Athenodoro Tarsensi respondens huius versus meminit. Silentii virtutem post Simonidem praedicaverunt plurimi: Horat. Carm. III, 2, 25: *est et fideli tuta silentio Merces*, ubi v. intt.: add. Schneidewinus ad Simon. Rell. p. 112. Iacobsius Annot. ad Anth. II, 2, 433. G. Hermannus Opusc. IV, 282. Lobeckius Aglaoph. I, 67. Simonidis dictum in proverbium fere abiit: v. Clem. Alex. Paedag. II, 7, 58, p. 75 Sylb.: σιγὴ μὲν γὰρ ἀρετὴ γυναικῶν ἐστίν, ἀκίνδυνον δὲ τῶν νέων γέρας, λόγος δὲ ἀγαθὸς ἡλικίας δεδοκιμασμένης, ubi Scholiasta versum Sophoclis ab Arsenio supr. V, 78[a] allatum comparat: id. Strom. II, 15, 68, p. 168 Sylb.; Arist. ὑπὲρ τ. τεττ. 143 Iebb.: καὶ φανῇ τι καὶ δειλίας, εἰ δὲ βούλει, σιωπῆς ἀκίνδυνον γέρας, ὥς τις τῶν Κείων ἔφη ποιητής, ubi v. Scholia: Iulian. Orat. I, p. 3 B: Liban. Apol. Demosth. T. IV, 291 R.: ἔστι δὲ καὶ τῶν ποιητῶν ἀκούειν ποτὲ λεγόντων, ὡς ἀκίνδυνον εἴη γέρας τὸ τῆς σιωπῆς: Greg. Nazianz. Epist. 51, p. 812 A: τὰ μὲν καθ' ἡμᾶς ἔχει ὡς ἔχει. ἄνευ πολέμου καὶ πραγμάτων καθήμεθα, σιωπῆς ἀκίνδυνον γέρας ἀντὶ πάντων τιμήσαντες.

98. Arsen. XXIV, 66. ὅταν κτλ.] Scholl. ad Arist. Pac. 548, Suidas: Zonar. 883. De gestu isto v. O. Iahnius ad Pers. Sat. II, 31: add. Apost. XV, 84.

98[a]. Arsen. XXIV, 67: Macar. IV, 18.

99 *Ἔσχατα ἐσχάτων κακὰ διαπέπρακται:* ὁμοία ἐστὶ τῇ· *Δεινότερα Δεινίου.* καί· *Κύντερα Κύντωνος:* ἐπὶ τῶν ἄκρως κακῶν.

100 *Ἑστίᾳ θύειν:* οἱ γὰρ Ἑστίᾳ θύοντες οὐδὲν ἐξέφερον τῆς θυσίας. ὁμοία τῇ· *Αὐτῷ κανῷ κατέφαγες πάντα.*

1 *Ἔσχατος Μυσῶν πλεῖν:* οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν, αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον. ἔνιοι τὴν παροιμίαν χρησμὸν λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι παρὰ γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν, εὕροι τοὺς γονεῖς· τὸν δὲ θεὸν προςτάξαι πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν· ἀφικόμενον δὲ εἰς Τευθρανίαν, νέμεσθαι γὰρ ταῦτα τὰ χωρία τοὺς Μυσούς, ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ. τάσσεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων.

98b *Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἀδέα τέρψις.*

98c *Ἔστι γυνὴ λέγουσα χρηστὰ ὑπερβάλλων φόβος.*

98d *Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι*
πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόνζυγος ἄχθος ἄροιτο:· Ἰλιάδος υ.

98e *Ἔστι δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ.*

98f *Ἔστι τόκος πρὸ τόκοιο· τόκος γε μέν ἐστι καὶ ἄλλος.*

---

2. *Κύντονος* Z. 3. *ἄκρων κακῶν* Suidas, *ἄκραν κακῶν* N. 4. Suidas haec habet: *Ἑστίᾳ θύομεν:* ἐφ' ὧν οὐκ ἀποφέρονται ἀπὸ τῆς θυσίας: quae corrupta esse iam Kusterus intellexit. Restituenda videntur e Diog. IV, 68: *Ἑστίᾳ θύει:* ἐπὶ τῶν πολλὰ ἑστιώντων· παρόσον οἱ ταύτῃ θύοντες οὐδὲν τῆς θυσίας ἐξέφερον. ὁμοία τῇ· *Αὐτῷ κανῷ* κτλ. 6. *πλεῖν* DV om. *οἱ δὲ*] Suidas RZ praemittunt: *Ἕλλησι λοιμῷ κρατουμένοις ὁ θεὸς ἔχρησεν ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν.* 8. *χρησμὸν*] *τοῦ χρησμοῦ* Suidas. 9. *παρὰ*] *περὶ* idem. 10. *γονίας* W. 11. *Τευθρανίαν* Suidas. 12. *τοὺς*] in Suida deest. 15. *ἔστι δὲ* Stobaeus. *χρῆσθ'* Stobaeus. 17. *ἑκατόζυγος* Homerus.

98b. Arsen. XXIV, 68: Theocr. XXVII, 4.

98c. Arsen. XXIV, 69: Stob. Flor. 73, 2. Menandr. fab. inc. fr. 197.

98d. Arsen. XXIV, 70: Hom. Il. Υ, 246.

98e Arsen. XXIV, 71: Menand. Monost. 179. A patribus modo Diphilo modo Philemoni adscribitur: v. Meinekius ad Philem. Fr. p. 433 ed. maior.

98f. Arsen. XXIV, 72. Parodia oraculi: Steph. Byz. s. *Κορυφάσιον* ibiq. v. intt., Arist. Eq. 1059.

99. Suidas: Arsen. XXIV, 74. Simili modo dixit Aristid. *ὑπὲρ τῶν τεττ.* 196 Iebb.: *ἀλλ' ἔσχατα ἐσχάτων πράττοντας καὶ πρῶτα καὶ τελευταῖα κινδυνεύοντας:* Procop. Hist. Arcan. 148: *ἔσχατα δὲ ἐσχάτων κακά:* alia congesserunt intt. ad Soph. Philoct. 65: add. annott. ad Provv. App. IV, 1. *Δειν. Δ.*] Macar. III, 28. *Κ. Κύντωνος*] »simili modo Iulianus ad Heraclium Cynicum Or. VII init.: *ἔμελλον δὲ ἐκεῖνο πρὸς ἐμαυτὸν εἰπεῖν· Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης* [Odyss. Ε, 18.]· *ἀνάσχου κυνὸς ληροῦντος ὀλίγον ἡμέρας μόριον.*« Walzius. *Κυνῶν κύντερος* Anonymus apud Suid. in v. *Διονυσίων σκωμμάτων.*

100. Suidas: Arsen. XXIV, 73: DV II, 95.

1. Suidas: Arsen. XXIV, 75. DV II, 47.

2 *Ἔστω ταμίας· τὰ δ' ἄλλ' εἰ βούλει κύων:* ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων καὶ μάλιστα εὐνούχων.

Τὸ ε̄ μετὰ τοῦ τ̃.

3 *Ἑτερόγναθος εἶ:* ἐπὶ τῶν ἐπ' ἀπληστίᾳ ἀμφοτέραις ταῖς γνάθοις ἐσθιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπειθῶν ἵππων.

4 *Ἑτερομόλιος δίκη:* εἰς ἣν οἱ ἀντίδικοι οὐκ ἦλθον.

5 *Ἔτρεχέ τις μὴ βρεχθείη, καὶ εἰς βόθρον ἀπεπνίγη:* ἐπὶ τῶν μικρὰ φευγόντων κακὰ καὶ περιπιπτόντων μείζοσιν.

1a *Ἔστω δέ σοι καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν.*

1b *Ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις.*

1c *Ἔστι ποτὲ ἡδονῆς λύπη τιμιωτέρα καὶ κατήφεια πανηγύρεως καὶ γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινετόν.*

5a *Ἐτεκές με, μῆτηρ, καὶ γένοιτό σοι τέκνων*
ὄνησις, ὥσπερ καὶ δίκαιον ἔστι σοι:. Φιλήμονος.

5b *Ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖςδε,*
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
ὅττι κεν ᾧ θυμῷ ἐθέλει· δύναται γὰρ ἅπαντα.

5c *Ἔς χοιρίδιόν μοι νῦν δάνεισον τρεῖς δραχμάς·*
δεῖ γάρ μυηθῆναί με, πρὶν τεθνηκέναι:. Ἀριστοφάνης. Οἱ μυούμενοι γὰρ εἰώθεσαν χοῖρον θυσιάζειν.

---

4. Suidas: *ἑτερόγναθος:* ἐπὶ ἵππου, ἀπειθής, ἢ ἄπληστος καὶ ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων. ἀμφοτέραις γνάθοις] hanc interpretationem v. ἑκατερόγναθος convenire post Stephanum Thes. L. G. s. v. notavit Kusterus ad Suid. l. c.: etiam Walzio ad h. l. minus recta videtur: dicit enim: »quamvis *Γνάθων* frequens parasitorum nomen sit apud Alciphronem (Lucian. Tim. 45: *Γναθωνίδης ὁ κόλαξ*), et ab hac parte nihil obstet huic explicationi, tamen analogia aliorum compositorum cum ἕτερος, ut ἑτερόφθαλμος, Plut. Lucull. 12. de Educ. 14, χιτὼν ἑτερομάσχαλος opp. ἀμφιμάσχαλος (cf. Millingen *Vases gr.* p. 11) suadet interpretari: ἑτέρᾳ τῇ γνάθῳ ἐσθίων.« 6. εἰςῆλθον A. 10. σοι Stobaeus om. 11. *Ὀβρίμου ὑπὲρ Πρωτογόνου* Stobaeus praemittit. 14. *ἐπαινούμενον* Georgides. 15. *μῆτερ* Stobaeus.

1[a]. Arsen. XXIV, 76: Charondas in Stob. Flor. 44, 40, p. 223 Gsf.

1[b]. Arsen. XXIV, 77: Stob. Flor. 122, 15.

1[c]. Arsen. XXIV, 78: Georg. in Boiss. Anecdd. I, 39.

2. Greg. Cypr. M II, 99: Arsen. XXIV, 79.

3. Arsen. XXIV, 80: Suidas. Phot. Etym. M. 385, 51. Zonar. I, 889. οἱ δὲ κτλ.] cf. Xenoph. Hipparch. 1, 9. Hesych. s. v.

4. Suidas: Arsen. XXIV, 81. DV II, 75.

5. Arsen. XXIV, 82.

5[a]. Arsen. XXIV, 83: Stob. Flor. 79, 8. Philem. fr. fab. inc. 64 Mein.

5[b]. Arsen. XXIV, 84: Hom. Od. Ξ, 443.

5[c]. Arsen. XXIV, 85: Arist. Pac. 374, ubi v. Scholia.

Τὸ ε̃ μετὰ τοῦ ῡ.

6 *Εὐγενέστερος Κόδρου:* τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νηλέως· οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς εἰς Πελοποννήσου φυγάδας προςεδέξατο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος, αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμόν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων, ἕνα ἐξ αὐτῶν ἀνεῖλε· διοργισθέντες δὲ οἱ λοιποὶ συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος.

6a *Εὐμένης ὁ βασιλεὺς* ἔλεγε τοῖς ἀδελφοῖς διαπαντός, ἐὰν μὲν ὡς βασιλεῖ προςφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χρήσομαι· ἐὰν δὲ ὡς ἀδελφῷ, ἐγὼ ὑμῖν ὡς βασιλεύς.

6b *Εὐδαιμονίαν* δὲ ταύτην εἶναί φαμεν ἀληθινήν, τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατρίβειν:. Διογένους.

6c *Εὐδαίμων ἐστὶν* ὁ θεῷ κατὰ τὸ δυνατὸν ὅμοιος, τέλεος, ἁπλοῦς, καθαρὸς, ἐξηρτημένος ἀπὸ τῆς ἀνθρωπίνης ζωῆς:. Ἰαμβλίχου.

6d *Εὐδαίμων* γε Κόρινθος, ἐγὼ δ' εἴην Τεγεάτης.

6e *Εὐδαίμων* μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων.
εἶτα δ' ὁ μὴ γήμας, τὸ τρίτον, ὅστις ἄπαις.

6f *Εὐδαίμων* εἴην καὶ θεοῖς φίλος ἀθανάτοισι,
Κύρν', ἀρετῆς δ' ἄλλης οὐδεμιᾶς ἔραμαι:· Θεόγνιδος.

6g *Εὐκαταφρόνητόν ἐστι,* Γοργία, πένης,
κἂν πάνυ λέγῃ δίκαια· τούτου γὰρ λέγειν

---

5. εἰς] ἐκ Suidas. προςεδέξαντο N Suidas, ἐδέξατο Photius. 7. ἀπόσχονται N. 10. Εὔδημος] ex eiusdem libro περὶ λέξεων ῥητορικῶν aliam de Codri morte narrationem Suidas subiungit. 12. χρήσομαι] χαρίσομαι Antonius. 16. Διογένους] τοῦ αὐτοῦ Ab, i. e. Diogenis. 18. ἐξηρημένος vel ἐξηρμένος legendum suspicatur Wyttenbachius Plut. 113 B: ἐξηρημένος item Wakefieldus: Gaisfordus. Ἰαμβλίχου] Σωπάτρῳ περὶ ἀρετῆς Stobaeus addit. 20. γε] ὁ Zenobius. Τενεάτης idem. 21. εὐδαίμων πρῶτον μὲν Automedon. 23. ἀθανάτοισιν Theognis. 24. οὐδεμιῆς Ab.

6. Suidas: Arsen. XXIV, 86. Macar. IV, 20.

6a. Arsen. XXIV, 87: Anton. Mel. 103, p. 175 Fabr.

6b. Arsen. XXIV, 88. XXV, 95: Stob. Flor. 103, 21.

6c. Arsen. XXIV, 89. XXV, 96: Stob. Flor. 103, 23.

6d. Arsen. XXIV, 90: Zenob. III, 96.

6e. Arsen. XXIV, 91: Anth. Palat. XI, 50.

6f. Arsen. XXIV, 92. XXV, 82: Stob. Flor. 103, 12. Theogn. 653.

6g. Arsen. XXIV, 93. XLIV, 85: Stob. Flor. 96, 5. Menand. Γεωργ. fr. 2 Mein.

7 *Εὐτυχία πολύφιλος.*

8 *Εὐμεταβολώτερος κοθόρνου:* κόθορνος ὑπόδημα ἁρμόζον δεξιῷ τε καὶ εὐωνύμῳ ποδί. ὅθεν καὶ Θηραμένην τὸν ἐπὶ τῶν τριάκοντα κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι. ἐπὶ τῶν μετατρεπομένων οὖν συνεχῶς ἡ παροιμία.

9 *Εὕδοντι κύρτος:* ἐπὶ τῶν εὐτυχούντων. συμβαίνει γὰρ κοιμωμένων τῶν ἁλιέων τὸν κύρτον αἱρεῖν ἰχθύας.

ἕνεκα μόνου νομίζεθ' οὗτος τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ:. Μενάνδρου.

6h *Εὐσέβειαν δεῖ φυλάσσειν·* πολίταις τὰ βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδὲν πράττειν· τὸν τοῦ δήμου ἐχθρὸν πολέμιον νομίζειν· οἰκέτας μεθύοντας μὴ κολάζειν· εἰ δὲ μή, δόξης παροινεῖν:. Λίνδου.

6i *Εὐπραξίης γὰρ οὐκ ἔστιν* ἀνθρώποις οὐδὲ μίη πληθώρη:. Ἡροδότου.

7a *Εὖιε κισσοχαῖτ'* ἄναξ χαῖρ', ἔφασκ' Ἐκφαντίδης.
πάντα φορητά, πάντα τολμητὰ τῷδε τῷ χορῷ.
πλὴν Ξενίου νόμοισι καὶ Χοινίωνος:. Κρατίνου.

7b *Εὐάγωγον γάρ ἐστιν* εἰς πίστιν γυνὴ καὶ μάλισθ' ὅταν τὸ ἀτυχεῖν προςῇ:. Γαΐου.

7c *Εὖ ποιήσεις σὺ* τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσῃς, ἀλλὰ τὰς ψυχὰς αὐξήσεις. ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχάς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα:. Ἐπικτήτου.

7d *Εὑρήσεις δέ με πᾶσιν* ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ:. Θεόγνιδος.

8a *Εὐδαιμονίας τοῦτ'* ἐστὶν υἱὸς νοῦν ἔχων:. Μενάνδρου.

---

5. *μετατρεπομένων*] *συστρεφομένων* Photius. *παροιμία κεῖται* idem. 6. *κύρτος αἱρεῖ* Z Ds. 10. *Μενάνδρου Γεωργῷ* Stobaeus. 11. *δεῖ* Stobaeus om. 12. *ἡδονῆς*] *γλώττης* Stobaeus. 14. *δόξης παροινεῖν*] *δόξεις καὶ αὐτὸς μεθύειν* idem. *Λίνδιος ἔφη* idem. 15. *ἔστι ἀνθρώποισι* Herodotus. 19. *Σχοινίωνος, ὦ Χάρον* Hephaestion. 20. *μάλιστα* Stobaeus. 21. *Γαΐου ὑπὲρ Λουκίλλης* idem. 23. *ὑψώσεις* Stobaeus. *αὐξήσῃς* Ab. 27. *χρυσὸν ἐρυθρὸν* Theognis.

6h. Arsen. XXIV, 94: pleniora leguntur Cleobuli praecepta apud Stob. Flor. 3, 79, 1. Arsen. XXXIII, 35.

6i. Arsen. XXIV, 95: Herod. VII, 49.

7. Arsen. XXIV, 96. Cf. Tafelius Dilucc. Pind. Pyth. V, 4.

7a. Arsen. XXIV, 97: Hephaest. 96 Gsf. Crat. fab. inc. fr. 52 Mein.

7b. Arsen. XXIV, 98: Stob. Flor. 73, 63.

7c. Arsen. XXIV, 99. IX, 8: Stob. Flor. 46, 81. Epict. fr. 81 Schweigh.

7d. Arsen. XXIV, 100: Theogn. 449.

8. Photius: Arsen. XXV, 1. Greg. Cypr. L II, 12. Apost. VIII, 91.

8a. Arsen. XXV, 2: Stob. Flor. 77, 4. Menand. *Ἀνεψιῶν* fr. 2 Mein.

9. Diog. IV, 65 ibiq. K: Arsen. XXV, 4. Greg. Cypr. M III, 7.

10 *Εὐήθει δάκτυλον μὴ δείξῃς, ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ:* ὅτι οὐ χρὴ θάῤῥος διδόναι τοῖς ἀνοήτοις.

11 *Εὔχου τῷ πλησίον ἔχειν, ἐπὶ πλέον δὲ τῇ χύτρᾳ:* παρόσον τὸ οἴκοι ἔχειν βέλτιον τοῦ παρὰ τοῦ γείτονος δέχεσθαι.

12 *Εὐρύβατος:* ἤτοι πονηρός. ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος· οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἐν ἄθλοις·

Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες
Βοιωτῶν σίνοντο· γένος τ' ἦσαν οἱ χαλκῆες,

11a *Εὐκαταφρόνητος ὁ θάνατος·* ἄπρακτον γὰρ τὸ ποιοῦν, τοῦ πάσχοντος ἀνῃρημένου :- Ἑρμάρχου.

11b *Εὖ ἴστε, ὦ ἄνδρες,* ὅτι ὁ φιλότεκνος ἀξιέπαινον πάθος ἐστὶ καὶ οὐκ ἔοικε τῷ φιλοχρημάτῳ ἢ τῷ φιλαργύρῳ. ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται καὶ ἔστιν· οὐ γὰρ ποιεῖ αὐτὰ ἡ φύσις, ἀλλ' ἡ μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτὴ ἐνδέχεται ἐκ τοῦ οὐρανοῦ καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀῤῥήκτου σειρᾶς, ἣν ξυῤῥάπτουσα ἀεὶ καὶ συγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον, οὐκ ἀπολισθάνει εἰς τὸ μὴ εἶναι. ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ.

11c *Εὐγνώμων,* ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ οὐ χαίρων ἐφ' οἷσιν ἔχει :. Δημοκρίτου.

---

7. ἤτοι in Suida deest. 8. *Εὔφορος* A. 10. ἐν Suidas ignorat. 11. τοὶ Meinekius Com. Gr. Fr. II, 1, 24, θ' οἱ Bergkius. 12. δ' ἴσαν Suidas. οἱ χαλκῆες] οἱ δὲ [sic] D, οὔδε χαλκῆες m, οἶδε χαλῆες ZW, οἱ χαλκεῖς N: Οἰχαλιῆες Iacobsius Ann. ad Anthol. T. III, 3, 888. Tertium versum Schol. ad Lucian. Alex. 4 sic affert: *Σύλλος* [*Σώλλος* ed. Amstelod.] τε *Τριβαλός τε δύο βαρυδαίμονες ἄνδρες*: unde pro Ὦλος reponi iusserunt *Σίλλος* Osannus in libro, cui titulum fecit: *Beiträge zur Griech. u. Röm. Liter.* I, 302 sqq. et Iacobitzius ad Luc. l. c. Apostolii lectionem Meinekius tuetur. 14. *Ἑρμάχου* Stobaeus. 19. αὐτῇ ἐνδίδεται Ab, Stobaeus, αὐτῇ ἐνδέδοται Themistius. 20. ἣν] δι' ἧς Themistius. 21. ξυγκολλῶσα Stobaeus, Themistius. ἀπολισθαίνειν ἐᾷ Themistius. 24. 25. ἐπ' οἷσι Mullachius.

10. Arsen. XXV, 5.

11. Arsen. XXV, 6. »*Opta ut proximus habeat, magis autem ut olla.* Potissimum est habere domi, quibus est opus: proximum, vicinum habere divitem, a quo possis petere«: Erasmus III, 5, 6.

11a. Arsen. XXV, 7: Stob. Flor. 118, 31.

11b. Arsen. XXV, 8. XVI, 20: Stob. Flor. 83, 24. Themist. Oratt. 363 C.

11c. Arsen. XXV, 9: Stob. Flor. 17, 26. Democr. fr. 29 Mull.

12. Suidas: Arsen. XXV, 16. Eurybati nomen ad convicia traductum esse attestatur Hesych. s. *Δημοκλείδαι*: οἱ ξένοι καὶ μοιχοί·

Ὦλος τ' Εὐρύβατος δύω βαρυδαίμονε ἄνδρε. Νίκανδρος· *Αἰγίνεον Εὐρύβατον πανουργότατον·* οὗ μνημονεύει Ἀριστοτέλης ἐν πρώτῃ περὶ δικαιοσύνης. Δοῦρις δὲ ἐν τετάρτῳ παρὰ Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. Λέγεται δὲ, τὸν Εὐρύβατον κλέπτην ὄντα, εἱρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες εἶλον αὐτὸν οἱ φυλάττοντες, ἐκέλευσεν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναῤῥίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας ἀναδραμεῖν εἰς τοὺς τοίχους· ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπατῆσαι.

12a *Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς*
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει:. Σοφοκλέους.

12b *Εὐτυχῶν μὴ ἔσο ὑπερήφανος· ἀπορήσας, μὴ ταπεινοῦ·* τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν:. Φαβωρίνου.

12c *Εὐπαθοῦσι τοῖς φίλοις* οἱ πολλοὶ ἥδονται, δυςπαθοῦσι

---

1. *τε, δύω βαρυδαίμονες ἄνδρες* Suidas. 2. *Αἰγίναιον* N. »Fortasse *Αἰγιναῖον* sc. *λέγει α*: Hemsterhusius. 3. *πρώτῃ*] *α'* Suidas. 4. *παρὰ*] *τῶν περὶ* Suidas. 5. *ἑταίρου*] addit Suidas: *καὶ Ἀριστοφάνης Δαιδάλῳ* [fr. 233 Dind.] *ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα καὶ πλουτοῦντα καὶ πανουργοῦντα, Εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία.* *δὲ* Suidas om. 6. *εἶλον*] *ἔλυσαν* Suidas. 7. *ἐκέλευσαν* idem: v. Bernhardius. 8. *τὸ*] *καὶ τὸ* ZW. 12. *ὑπερβάλλοντα* Suidas. 13. *καταπηδῆσαι* N Suidas.

ἀπὸ Δημοκλείδου τοιούτου ὄντος· καθάπερ καὶ τοὺς ἠταιρηκότας Τιμάρχους ἔλεγον· τοὺς δὲ πονηροὺς Εὐρυβάτους· Κιλλίκωνας [Greg. Cypr. M I, 5] *δὲ τοὺς προδότας*: alia v. in annott. ad Diog. IV, 76: add. Apost. XIV, 13. Adhibuit Libanius Oratt. T. I, p. 123 R.: *καὶ νῦν ταὐτὸν ἀπὸ γλώττης ἁπάσης ἐστὶ λεγόμενον, νενικῆσθαι τὸν Εὐρύβατον*: add. Apul. Apolog. c. 81, p. 564 Oud.: *quis Palamedes, quis Sisyphus, quis denique Eurybates aut Phrynondas* [cf. Apost. XVIII, 2.] *talem excogitavisset? Omnes isti, quos nominavi, et si qui praeterea fuerunt dolo memorandi, si cum hac una Rufini fallacia contendantur, macci prorsus et buccones videbuntur*: ubi v. Colvius, cuius copias Meinekius Com. Gr. Fr. III, p. 305 auxit. *Ἔφορος*] p. 207 Marx. *Κέρκωπα*] cf. Apost. I, 18. *Διότιμος*] de hoc poeta v. Bergkius Com. de Rell. Com. Att. Ant. 24. *Δοῦρις*] fr. XL Hullem. *ἀπὸ — ἑταίρου*] Duris quo pacto ab Homerico Eurybate [de quo v. Eudoc. 161] rem repetierit, indagare studet C. Muellerus ad Fragm. Hist. Gr. T. II, p. 479. *Λέγεται κτλ.*] hanc narrationem versibus inclusit Tzetzes in Cram. Anecdd. Oxon. IV, 140.

12a. Arsen. XXV, 17: Stob. Flor. 108, 55. Soph. Aiac. 362.

12b. Arsen. XXV, 18: Max. Conf. Serm. 18, p. 590 Comb.

12c. Arsen. XXV, 19: Theoct. Sent. 5.

13 *Εὕρηκα ὃ οὐκ ἐζήτουν:* ἐπὶ τῶν εἰς οὐκ ἤθελον περιπεσόντων.

14 *Εὐρυκλῆς πᾶς ἐγγαστρίμυθος:* ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως.

15 *Εὐγενὴς ἐκ βαλανείου:* ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

Τὸ ε̄ μετὰ τοῦ φ̄.

16 *Ἔφυγον κακόν, εὗρον ἄμεινον:* ὅτε τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν φησὶν ἀπεῶσθαι, εὑρῆσαι δὲ τὴν ἥμερον τροφήν. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα κακὸν ἔλεγον. Νόμος ἦν Ἀθήνησιν ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυίνων καρπῶν, λεῖκνον βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν, αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

17 *Ἐφέσια γράμματα:* ἐπῳδαί τινες ἦσαν, ἅπερ οἱ δὲ, εὐαρίθμητοι συμπάσχουσι, κακῷ τὸ κακὸν παρηγοροῦντες:. Θεοκτίστου.

13a *Εὐτέλεια* σωφροσύνης ἔκγονος.

14a *Εὔανδρος εὗρε* κνημῖδα καὶ ἀσπίδα.

14b *Εὐρύδαμος εὗρε* θώρακα πολεμικόν.

14c *Εὑρήσομεν γὰρ* τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν:. Ἰσοκράτους.

---

3. *Εὐρυκλῆς: πᾶς ὁ ἐγγαστρίμυθος* recte Suidas. 4. *μάντεως πολυλόγου* AZ. 8. *ἄμεινον: ἐπὶ τῶν μεταβολὴν κρείττονα οἰωνιζομένων* AZ e Diog. IV, 74. 9. *φησὶν — εὑρῆσαι*] *ἔφυγον, εὗρον* AZ. 10. *τροφήν, τοῦτο ἔλεγον* AZ. *πέμμα*] *στέμμα* Suidas: notaverat Schaeferus Appar. Demosth. T. II, p. 336. 11. *νόμος δὲ* Z. 12. *λίκνον* Photius. 13. *πλέον* idem. 15. *ὥσπερ* Ds. 23. *εὐκόλως* Isocrates. 25. *αὑτῶν* idem. *καταλείψουσιν* idem.

13. Diog. IV, 90: Arsen. XXV, 11.

13a. Arsen. XXV, 12: sumptum est e Cratetis philosophi epigrammate, quod in Anthol. Palat. X, 104 exstat: *εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης*: dixit de eo Iacobsius Ann. ad Anthol. I, 1, 381.

14. Suidas: Arsen. XXV, 13. Cf. Apost. VI, 46.

14a. Arsen. XXV, 14: cf. Apost. III, 60c.

14b. Arsen. XXV, 15: cf. Apost. III, 60c.

14c. Arsen. XXV, 20: Stob. Flor. 51, 29. Isocr. Euag. 189 B.

15. K in nott. ad Greg. Cypr. P II, 51: Arsen. XXV, 10. Greg. Cypr. M III, 24. Apost. V, 33.

16. Arsen. XXV, 21. *ἔφυγον — τροφὴν*] Zenob. III, 98. *τὸ — ἔλεγον*] Suidas. *νόμος κτλ.*] Photius. Cf. Apost. XVI, 49 et v. Prelleri librum, *Demeter und Persephone*, p. 349.

17. Diog. IV, 78: Arsen. XXV, 22. Macar. IV, 23. Apost. XI, 29. *Δαφνίνην κτλ.*] Apost. V, 87.

φωνοῦντες ἐνίκων ἐν παντί. ταυτὸν τῇ, Δαφνίνην φορῶ βακτηρίαν.

18 Ἐφ' ὕδωρ: ἐν ταῖς δίκαις ὁ ἐπιμελησόμενός τινος ἐλάλει πρὸς ὕδωρ.

19 Ἐφημέρου ζωή: ἐπὶ τῶν ὠκυμόρων, ἢ καὶ αὐθημερὸν θνησκόντων:· Ἔστι ζῷα ἐφήμερα οὕτω καλούμενα· λαβόντα τὸ ὄνομα ἐκ τοῦ μέτρου τοῦ κατὰ τὸν βίον. τίκτεται γὰρ ἐν τῷ οἴνῳ, καὶ ἀνοιχθέντος τοῦ σκεύους τὰ δὲ ἐξέπτη καὶ εἶδε τὸ φῶς καὶ τέθνηκεν. οὐκοῦν παρελθεῖν μὲν αὐτοῖς ἐς τὸν βίον ἔδωκεν ἡ φύσις, τῶν δὲ ἐν αὐτοῖς κακῶν ἐρύσατο τὴν ταχίστην, μήτε τῶν ἰδίων συμφορῶν ᾐσθημένοις, μήτε μὴν τινος τῶν ἀλλοτρίων μάρτυσι γεγενημένοις:· Ἔστι καὶ ἄλλο ζῷον, μονήμερον λεγόμενον, περὶ τὸν Ὕπανιν ποταμὸν, τικτόμενον μὲν ἅμα τῷ κνέφᾳ, ἀποθνῆσκον δὲ ἐπὶ δυσμὰς ἡλίου τρεπομένου, ὡς Ἀριστοτέλης φησίν.

17a Ἐφόδιον τῆς ἀσιτίας τὴν ἀπειψίαν ἔχουσι:. Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν ἀποφθεγμάτων. Ἐπὶ τῶν φειδωλῶν.

19a Ἔφησέ τίς που τῶν φιλοχρύσων τάδε·
θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.

---

2. βακτηρίαν] ARZW quae addunt: ὁ δὲ Διογενιανὸς λέγεται, φησίν, ἐπὶ τῶν ἀνεπίγνωστα λεγόντων, παρόσον ἐπὶ τοῖς ποσὶ τῆς Ἐφεσίας Ἀρτέμιδος τὰ γεγραμμένα ἀσύνετα, e Pausaniae lexico excerpta sunt: v. Eustath. in annott. ad Diog. IV, 78. 3. ἐν — ὕδωρ] ἐν τ. πρὸς ὕδωρ δίκαις ἐλάγχανεν ὁ ἐπιμ. τούτου Suidas. 6. ἔστι — καλούμενα] ζῷα ἐφήμερα οὕτω κέκληται As. 8. μὲν γὰρ As. 10. αὐτοῖς ἡ φ. ἔδ. εἰς τὸν β. As. αὐτῷ As. 11. ἐῤῥύσατο As. μήτε τι τῶν As. 13. ἔστι κτλ.] verba aliter collocat As. λεγόμενον] καλούμενον As. 20. πίθον] Antonius addit: ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες.

17a. Arsen. XXV, 23: Plut. de sanit. tuend. c. 7. 125 E, ubi v. Wyttenbachius.

18. Suidas: Arsen. XXV, 24. Suid. s. εἶτ' ἐφ' ὕδωρ κακῶς: ἐπὶ τῶν δυσκληρούντων ἡ παροιμία εἴρηται, ἐν γὰρ τοῖς δικαστηρίοις τὸ φαυλότατον ἔργον ἦν ὕδωρ διαμετρεῖν τοῖς δικαζομένοις. ἐγένετο δὲ ὁ τοιοῦτος ἀπόκληρος: cf. nott. ad Plut. Provv. II, 17. App. Provv. II, 92. Dicebatur iste homo ὁ ἐφ' ὕδωρ, non ἐφύδωρ, ut diu Schaeferus ad Boss. Ellips. 503 docuit. Unde corrige, quae in annotatione ad Plut. l. c. scripsi.

19. Arsen. XXV, 26. Max. Tyr. Diss. I, 12, 1, p. 209 R.: θεοῦ μὲν γὰρ ζωὴ αἰώνιος, ἀνθρώπου δὲ ἐφήμερος: Asterius Homil. de Oeconomo iniusto p. 21 Rub.: προσῆκεν ὡς ἐφημέρους ἡμᾶς διαζῆν, ἀναμένοντας τῆς ἐξόδου τὸ σύνθημα: add. loci ab Athen. VIII, 336 allati, Plut. Consol. ad Apoll. 17, p. 111 C ibiq. ann. Wyttenbachii. Ἔστι — γεγενημένοις] Aelian. N. An. II, 4. Ἔστι κτλ.] Aelian. l. c. V, 43. Ἀριστοτέλης] Hist. An. V, 19, quem contra Athen. VIII, 353 F disputat.

19a. Arsen. XXV, 27: Anton. Mel. 23, p. 36 Fabr. Est Gre-

20 *Ἐφ' ἑνὶ παιδὶ σαλεύει:* ἤτοι ἔχει τὰς ἐλπίδας τοῦ γένους. λέγεται καὶ ἐπὶ πλοίων, ὡς Δίων ἐν Ῥωμαϊκοῖς· ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὥρμει· τὰ δὲ δὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἐπεσάλευεν.

Τὸ ε̃ μετὰ τοῦ χ̃.

21 *Ἐχῖνος τὸν τόκον ἀναβάλλει:* λέγεται ἐφ' ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται· καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ' ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ:· *Τοὺς ἐχίνους ἔτι ζῶντας* καὶ ἐν τοῖς ὀστράκοις ὄντας καὶ προβεβλημένους τὰ κέντρα εἴ τις συντρίψας καὶ διαῤῥήξας ἐς τὴν θάλασσαν ἄλλο ἄλλῃ τρύφος καταλίποι, τὰ δὲ ἄρα συνέρχεται αὖθις καὶ ἑνοῦται, καὶ τὸ συγγενὲς θρύμμα ἀνέγνω, καὶ προςπλακὲν συνέφυ:· *Ὁ χερσαῖος ἐχῖνος* ὅταν ἁλίσκηται, παραχρῆμα ἐνούρησε τῷ δέρματι,

πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων·
ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βύθος τύχης.

19b *Ἐφ' ἑαυτῆς τὰ κέρατα:* ἐπὶ τῶν ἐπιβουλὰς ἐκ τῶν οἰκείων ὑφισταμένων· αἶγα γάρ φασι τοξευθεῖσαν καὶ ἰδοῦσαν τὸ τόξον τοῦτο εἰπεῖν.

---

1. Suidas: ἐσάλευε, καὶ ἀπεσάλευε. τοῦτο καὶ ἐπὶ νεῶν λέγεται καὶ ἐπ' ἀνθρώπων. ἐπὶ μὲν πλοίων, ὡς Δ. . . ἀπεσάλευεν. ἐπὶ δὲ ἀνθρώπων, ὡς τό, Ἐφ' ἑνὶ δὲ τῶν παίδων ἀπεσάλευεν. σημαίνει δὲ ἡ λέξις τὸ τὰς ἐλπίδας ἐπὶ τούτοις ἔχειν. 7. ἀναβάλλῃ Suidas. 13. διαῤῥίψας As. 15. συνέφυ] καὶ ὁλόκληροι γίνονται φύσει τινὶ θαυμαστῇ καὶ ἰδίᾳ αὖθις As addit. ὁ — ὅταν] differt paulum As.

gorii Nazianzeni carmen: v. T. II, p. 156 Bill.: cuius partem Arsen. X, 94 et Max. Conf. Serm. 18, p. 590 Comb. afferunt.

19b. Arsen. XXV, 28. Ab apologo natum recte iudicat Erasmus I, 1, 66. Cognata sunt quae leguntur apud Apost. I, 60. XV, 88a. Macar. VIII, 57.

20. Suidas s. ἐσάλευε: Arsen. XXV, 25: Phot. Etym. M. 381, 3. Bachmanni Anecdd. I, 236. Apposite citat Walzius Hippocr. Epist. 9, T. III, 845 Kuehn.: καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσεσθαι· προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱεῖ καὶ ἐν γῇ ὀθνείᾳ σαλεύειν, καὶ κατὰ θάλασσαν καὶ κατὰ κινδύνους καὶ κατὰ ἀῤῥωστίας: Heliod. Aeth. I, 19: πρὸς δευτέρους ἀπεκλίνετο γάμους, ἐπὶ μόνῳ μοι παιδὶ σαλεύειν ἐπιμεμφόμενος: add. ibid. I, 13. II, 33. Alciph. Epist. III, 28: βάδιζε παρά τινα λημῶσαν ἄγροικον γραῦν ἐπὶ ἑνὶ γομφίῳ σαλεύουσαν. πλοίων] tangunt hunc usum Scholl. ad Soph. Elect. 1074. Oed. Tyr. 23. Poll. I, 114. Δίων] p. 1519 R.: aliud eiusdem usus exemplum idem praebet l. LII, 15, p. 672 R.: add. Synes. Epist. 4: ἡ μὲν οὖν ναῦς ἐσάλευεν ἐπὶ μετεώρων· λιμὴν γὰρ ὁ τόπος οὐκ ἦν καὶ ἐσάλευεν ἐπ' ἀγκύρας μιᾶς.

21. Suidas: Arsen. XXV, 31. Macar. IV, 25. τοὺς — συνέφυ]

καὶ ἄχρεῖον ἀπέφηνεν αὐτό· δοκεῖ δὲ εἰς πολλὰ ἐπιτήδειον:. Ἐχῖνος ὁ θαλάττιος στομάχῳ ἐστὶν ἀγαθός· τὸν τέως γὰρ κακόσιτον ὄντα καὶ πᾶν ὁτιοῦν βδελυττόμενον ὅδε ἀναῤῥώννυσιν· ἔστι δὲ κύστεως κενωτικός. Εἰ δὲ αὐτοῦ ἐπιχρίσαις σώματι ψωριῶντι, ὁ δὲ σῶν ἐργάζεται τὸν τέως νοσοῦντα ταύτην τὴν νόσον· καυθεὶς δὲ ἄρα ὀστράκοις αὐτοῖς ἐκκαθαίρει τὰ ῥυπῶντα τῶν τραυμάτων. χερσαίου δὲ ἐχίνου καυθέντος ἡ σποδιὰ πίττῃ προςανακραθεῖσα εἶτα μέντοι καταχρίεται τῶν λειψοτρίχων μερῶν, καὶ οἱ τέως φυγάδες, ἵνα τοι καὶ παίξω, ὑπαναφύονται· πινομένη δὲ οἴνῳ νεφροῖς ἀγαθόν ἐστί, σώζει δὲ καὶ ὑδεριῶντας ποθεῖσα:. Ὁ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι, ἑαυτὸν συνειλήσας ἄληπτον ἐργάζεται, εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα, καὶ ἀκίνητος ἀτρεμεῖ, καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.

22 *Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα: δῆλον ἐπὶ τίνι· καὶ παρὰ Σοφοκλεῖ.*

23 *Ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον: ἐπὶ τῶν ἐλπιζόντων πυρὶ νικῆσαι τοὺς πολεμίους.*

24 *Ἔχομεν κύνα τῷ πτωχῷ βοηθοῦντα: ἐπὶ τῶν τοῖς οἰκείοις θαῤῥούντων, ὑπ' ἐκείνων δὲ ἐπιβουλευομένων.*

21a *Ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην.*

24a *Ἔχειν τε πειρῶ, τοῦτο γὰρ τοῦτ' εὐγενὲς*
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου:. Εὐριπίδου Ἐρεχθέως.

---

2. *ἀγαθόν* As. 4. *καὶ κύστεως* As. *εἰ*] *ὡς οἱ τούτων λέγουσι σοφοί. εἰ* As. *αὐτοῦ καὶ* As. 6. *ταύτην τ. ν.*] *τ. ν. τὴν προειρημένην* As. 7. *ῥυποῦντα* As. 9. *αἱ τέως* As. 10. *ἵνα τι* A As. *παίζω* R. 11. *δὲ ἄρα* As. *ποθεῖσα*] *ὥσπερ δὴ καὶ προεῖπον* As addit. 12. *ὁ — μέλλων*] initium As aliter habet. 16. *Σοφοκλεῖ*] A addit: *καὶ Εὐριπίδης* [cf. Macar. IV, 87]· *κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει. Ἕκτωρ* [Anth. Palat. VII, 151] *Αἴαντι ξίφος ὤπασεν· Ἕκτορι δ' Αἴας Ζωστῆρ'. ἀμφοτέρων ἡ χάρις εἰς θάνατος.* 19. *κύων τῷ πτωχῷ βοηθῶν* Erasmus. *πτωκὶ* A h, *πλωκὶ* N. 22. *γὰρ τοῦτ'*] *μὲν τό τ'* Ab, *γάρ τό τ'* Stobaeus. 25. *βίου*] *μένει* Ab.

Aelian. N. An. IX, 47. *ὁ — ἐπιτήδειον*] ib. IV, 17. *ἐχῖνος — ποθεῖσα*] ib. XIV, 4. *ὁ χερσαῖος κτλ.*] ib. VI, 54.

21ª. Arsen. XXV, 32: Menand. Monost. 164.

22. Diog. IV, 82: Arsen. XXV, 30. Greg. Cypr. L II, 15.

23. Arsen. XXV, 33. Cf. Mant. Provv. s. *ἐπίτρεπε.*

24. Arsen. XXV, 34. »Nam canes sunt infesti mendicis, velut *ὁμοτέχνοις*, nisi si quando frusto panis corrumpuntur«: Erasmus IV, 2, 88.

24ª. Arsen. XXV, 35. XLV, 13:

25 Ἔχει καὶ οἱ μυῖα σπλῆνα: Ἔχει καὶ χολὴν ὁ μύρμηξ: ἐπὶ τῶν εὐκαταφρονήτων.

Τὸ ε̃ μετὰ τοῦ ψ.

26 Ἔψεσθαί σοι πεῖρα λίθον: ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

Ἀρχὴ τοῦ ζ̃ στοιχείου.

Τὸ ζ̃ μετὰ τοῦ α̃.

27 Ζαλεύκου νόμος: ἐπὶ τῶν ἀποτόμων. Ζάλευκος γὰρ Λοκρῶν νομοθέτης ὠμότατος. Ὅμοιον τῷ· Τενέδιος πέλεκυς.

24b Ἔχεις μὲν ἀλγεινὰ, οἶδα, πειρᾶσθαι δὲ χρὴ,
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν:. τοῦ αὐτοῦ.
24c Ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους
τὸν ζῶντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά.
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων:. Σοφοκλέους.
24d Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθει ἐν φρεσὶν, ἄλλο δὲ εἴπῃ:. Ὁμήρου.
24e Ἐχθρὸς τἀληθῆ εἰπὼν τοῦ πρὸς χάριν φίλου ἐστὶ παντὸς αἱρετώτερος:. Εὐσεβίου.
27a Ζαράτας ὁ τοῦ Πυθαγόρου διδάσκαλος τὴν δυάδα ἔλεγε

1. καὶ ἡ μ. ARO, καὶ μυῖά E. 4. ἀδυνάτων A. 9. ἐνομοθέτησεν ὠμότερα Ds. 11. ἀλγεῖν' Stobaeus. 12. τοῦ αὐτοῦ] Σοφοκλέους Θυέστῃ Stobaeus. 13. μὲν] γὰρ Matthiae. 14. τοὺς ζῶντας Ac, τὸν φύντα Matthiae. ἔρχονται Ac. 16. Σοφοκλέους] Εὐριπίδου Ac, Stobaeus; Ab auctoris nomen omisit. Ex Euripidis Cresphonte versus petitos esse docet Cic. Tusc. Q. I, 48, ubi v. Davisius. 18. κεύθῃ ἐνὶ Homerus. 19. τοῦ — παντὸς] τοῦ προσποιουμένου φίλου πρὸς χάριν εἰπόντος παντὸς Stobaeus. 21. τὴν δυάδα] ταύτην μὲν Plutarchus.

Stob. Flor. 91, 22. Eurip. Erechth. fr. 20, 14 Matth.
24b. Arsen. XXV, 36: Stob. 108, 21. Soph. fr. 236 Dind.
24c. Arsen. XXV, 37. XXX, 54. XLIV, 25: Stob. Flor. 120, 22. Eurip. Cresphont. fr. 13 Matth.
24d. Arsen. XXV, 38: Hom. Il. I, 312.
24e. Arsen. XXV, 39: Stob. Flor. 13, 45.
25. Arsen. XXV, 29. ἔχει κ. χ. ὁ μ.] Apost. VII, 18: Greg. Cypr. M III, 8.
26. Arsen. XXV, 40. Macar. V, 63. Apost. XIV, 20.
27. Diog. IV, 94: Arsen. XXVII, 23. Macar. IV, 29. Τενέδιος π.] Apost. XVI, 26.
27a. Arsen. XXVII, 24: Plutarch. de animae procr. e Tim. 2, p. 1012 E. Zoroastrem intellegit: de variis huius nominis apud recentiores formis post Fabricium B. Gr. I, 305

Τὸ ζ̃ μετὰ τοῦ ε̃.

28 *Ζεὺς ἀετὸν εἵλετο:* ἐπὶ τῶν λυσιτελῆ καὶ καλὰ ἐκλεγομένων· λέγεται γὰρ κατὰ τὴν τοῦ Διὸς γέννησιν τὸν ἀετὸν γεννηθῆναι, ἐν δὲ τῇ πρὸς Γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς ἀετὸν εἵλετο, ᾧ καὶ προστάσσει καὶ ἀγγέλῳ χρῆται πρὸς ἐκείνους, οὓς ἐπιφανείας ἀξιοῖ.

29 *Ζεῦγος Κροβύλου:* λέγεται ἐπὶ πόρνων· οὗτος γὰρ δύο ἔχειν κατηγορεῖτο πορνοβοσκὸς ὢν ἑταίρας· ἄλλοι δὲ, ἐπὶ τῶν ὑπερβαλλούσῃ πονηρίᾳ χρωμένων.

μητέρα, τὸ δὲ ἓν πατέρα· διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονάδι προσεοίκασιν.

28a *Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλῳ·*
ἄλλον τε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν:. Θεόγνιδος.

28b *Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε,*
ὅπως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων:. Ἰλιαδὸς υ̃.

28c *Ζεὺς αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,*
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.

29a *Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος:.* Ἱπποθόου.

29b *Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει·*
ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή, σῦκον δ' ἐπὶ σύκῳ.

29c *Ζεῦ πάντων ἀρχά, πάντων ἁγήτωρ*
Ζεῦ, σοὶ πέμπω ταύταν ὕμνων ἀρχάν.

---

2. *κακά* N. 4. *τοὺς γίγαντας* Scholiasta. 5. *τὸν ἀετὸν* idem. 8. *Κρωβύλου* N: *Κρωβύλου ζεῦγος* Photius. *πονηρῶν* Photius. 9. *ἄλλοι κτλ.*] Phot. om. Melius Suidas: *Κροβύζου ζεῦγος: ἐπὶ τῶν ἐπὶ κακίᾳ καὶ πονηρίᾳ σπευδομένων. τοῦτο δὲ εἴρηται ἀπὸ Κροβύζου τινὸς πορνοβοσκοῦ, δύο ἔχοντος ἑταίρας ἐπὶ ὀλέθρῳ πολλῶν. Κροβύζου οὖν ζεῦγος ἐπὶ διασυρμῷ δύο ὁμονοούντων. οὓς πρότερον τοῦ ἀναπνεῖν φασιν ἢ τοῦ κακουργεῖν παύσασθαι.* 11. *τοῦ ἀριθμοῦ μητέρα* Plutarchus. 13. *ἄλλως* Schneidewinus. 14. *ἄλλον τε*] *ἄλλοτε* Theognis. 16. *ὅππως* Homerus. 17. *δ' αὐτὸς* Homerus. 19. *Ἱπποθόου*] *Εὐριπίδου Ἀντιγόνου* Ab, *Εὐριπίδου Ἀντιγόνης* Stobaeus. 24. *τ. τὰν ὕμνων* Ritschlius in Mus. Rhenan. 1841, p. 277.

Harl. egit Gesenius de inscript. Phoenicio-Graeca p. 19 sq.

28. Arsen. XXVII, 25. *λέγεται κτλ.*] Scholl. Ven. ad Hom. Il. *Θ*, 247: eandem fabulam Eustathius de aquila Iovis ministro agens ad Hom. Il. *Ω*, p. 1351, 26 tetigit.

28a. Arsen. XXVII, 26. XLIV, 93: Theogn. 157.

28b. Arsen. XXVII, 27: Hom. Il. *Υ*, 242.

28c. Arsen. XXVII, 28: Hom. Od. *Ζ*, 188.

29. Phot. s. *Κρωβύλου*: Arsen. XXVII, 33. *ἄλλοι κτλ.*] Diog. V, 65. Zenob. IV, 69.

29a. Arsen. XXVII, 34. XV, 66: Stob. Flor. 67, 13, 1. Eurip. Antig. fr. 8.

29b. Arsen. XXVII, 35: Hom. Od. *Η*, 119.

29c. Arsen. XXVII, 36: Clem.

30. *Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας:* ὅτι οὐκ ἀπρονόητος· τὸν γὰρ Δία φασὶν εἰς διφθέρας τὰ πραττόμενα τοῖς ἀνθρώποις γράφειν· λέγεται ἐπὶ τῶν βραδέως τιμωρουμένων.

Τὸ ζ̃ μετὰ τοῦ η̃.

31 *Ζῆ χύτρα, ζῇ φιλία:* ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν.

32 *Ζήνωνος ἐγκρατέστερος:* οὗτος γὰρ ἀκριβῆ δίαιταν εἶχε καὶ λιτήν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι· ἑβδομήκοντα γὰρ πρὸς τοῖς ἓξ βιοὺς ἔτη κατέστρεψε τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.

33 *Ζητῶν ὄψον θοἰμάτιον ἀπώλεσα:* ἐπὶ τῶν ἀτυχεστάτων.

30a *Ζεὺς κύκνος, ταῦρος, σάτυρος, χρυσὸς δι' ἔρωτα*
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

30b *Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,*
ἠδ' ὅσοι οὐκ ἀλέγουσιν ἀναιδέα θυμὸν ἔχοντες.
καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι,
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται Εὐμενίδεσσι·
δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων:. 'Ορφέως.

30c *Ζεῦ πάτερ, Ἴδηθεν μεδέων κύδιστε, μέγιστε,*
Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
καὶ Ποταμοὶ καὶ Γαῖα, καὶ ὃς ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον, ὅτις κ' ἐπίορκον ὀμόσσῃ,
ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ' ὅρκια πιστά:. 'Ομήρου ὅρκος.

---

1. κατεῖχε N. 3. λέγεται κτλ.] Gregorius om. 6. Ζεῖ χύτρα AZ., Suidas. Addit in fine Suidas: καὶ ζῇ ἀντὶ τοῦ ὑπάρχει, βιοῖ. 8. ἀκριβῆ] ἄκραν Suidas. 9. ἑβδομήκοντα — τὸν] φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει· τῷ γὰρ ὄντι πάντας ὑπερεβάλλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι· κατέστρεψε δὲ τὸν Suidas. 12. ζητῶν γὰρ Ds. 19. Εὐμενίδεσσι] ἐν μὲν ἐς δεῖ codex A Stobaei, unde ἐμμενὲς αἰεὶ coniecit Elmsleius in Tyrwhittianis 110 probante Gaisfordo. Vulgatam defendit Lobeckius Aglaoph. II, 950. 23. ὅς] οἵ Homerus.

Alex. Stromm. VI, 2, 87, p. 279 Sylb. Terpand. fr. 4 Schneidew.

30. Greg. Cypr. L II, 19: Arsen. XXVII, 29. λέγεται κτλ.] Diog. IV, 95.

30a. Arsen. XXVII, 30: Anth. Pal. IX, 48.

30b. Arsen. XXVII, 31: Stob. Flor. 79, 28. Orphei fr. XI Herm.

30c. Arsen. XXVII, 32: Hom. Il. Γ, 276.

31. Suidas: Arsen. XXVII, 37. DV II, 79.

32. Suidas: Arsen. XXVII, 38. App. Provv. II, 98a: add. Meinekius Com. Gr. Fr. IV, p. 518.

33. K in nott. ad Diog. IV, 97: Arsen. XXVII, 39. Greg. Cypr. M III, 58.

34 *Ζητεῖς τὸν οὐ παρόντα: ὁ Ἡρακλῆς συμπλέων τοῖς Ἀργοναύταις περί τινα κρήνην ἀποστέλλει τὸν Ὕλαν ὑδρεύσασθαι. Νηρηΐδες δὲ τὸν νεανίαν λαβοῦσαι τοῖς ὕδασιν ἀπεθέωσαν. Ἡρακλῆς δὲ, μηκέτι τοῦ μειρακίου ὑποστρέφοντος, πᾶσαν ὕλην καὶ κρήνην περιτρέχων τὸν οὐ παρόντα ζητῶν κατεφαίνετο· περὶ οὗ φησι καὶ Θεόκριτος·*

Κὤχεθ' Ὕλας ὁ ξανθὸς ὕδας ἐπιδόρπιον οἴγων.

34a Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας· μετὰ γὰρ τῆς τοιαύτης τύχης ἥδιστα ἄν τις δύναιτο τὸν βίον διαγαγεῖν:. Ἰσοκράτους ἡ ὑποθήκη.

34b Ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διαπαντός:. Χίλωνος.

34c Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους, τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντας:. Πυθαγόρου.

34d Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαῤῥεῖν, ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην:. Τοῦ αὐτοῦ.

34e Ζηλωτὸν ἴσως ὁ πλοῦτος· τίμιον μέντοι καὶ θαυμαστὸν ἡ δικαιοσύνη:. Λυκούργου.

34f Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσι:. Σοφοκλέους.

34g Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε,
οὐδ' οἶδ' ὅτι Ζεύς ἐστ' ἐμοῦ κρείσσων θεός.

34h Ζηλωτὸς ὅστις εὐτύχησεν εἰς τέκνα
καὶ μὴ 'πισήμους συμφορὰς ὠδύρατο:. Δικαιογένους.

---

1. ζητεῖς] ποθεῖς Aristophanes, Suidas. παρόντα] οὐ μάτην καλεῖς addunt Aristophanes, Suidas, Z. Explicationem Suidas om. Ἐπὶ τῶν μάτην προσδοκούντων dici in Scholio novitio ad Arist. l. c. legimus. 7. ὕδωρ Theocritus. οἴσων idem. 9. ψυχῆς ἥδιστ' ἂν Isocrates. 10. ἡ ὑποθήκη] Νικοκλῆς ἢ Κύπριοι Stobaeus. 14. Πυθαγόρου Stobaeus om. 16. τοῦ αὐτοῦ in Stobaeo deest: Εὐαγρίου Maximus. 19. πεφυκόσιν cum Sophocle Stobaeus. Σοφοκλέους] Ἠλέκτρας Stobaeus apponit. 22. ἐς τ. Euripides, ἐν τέκνοις Stobaeus. 23. 'πισήμοις συμφοραῖς Stobaeus. ξυμφορὰς Euripides. ὠδύρετο Stobaeus, ἐκτήσατο Euripides. Δικαιογ.] Διογένους Stobaeus.

34. Arsen. XXVII, 40. ζητεῖς.. παρ.] Arist. Plut. 1127, ubi v. Scholl.: add. Suid. s. ποθεῖς. De tragoedia hunc versum derivatum esse Hemsterhusius ad Ar. l. c. sine certa causa coniecit. Ὁ Ἡρακλῆς κτλ.] Unde explicationem Apostolius mutuatus sit, non liquet: vide tamen Zenob. VI, 21. Suid. s. Ὕλαν κραυγάζειν. Apost. XVII, 9. Θεόκριτος] XIII, 36.

34a. Arsen. XXVII, 41: Stob. Flor. 24, 16. Isocrat. Nicocl. 39 A.

34b. Arsen. XXVII, 42: Stob. Flor. 5, 31.

34c. Arsen. XXVII, 43: Stob. Flor. 1, 21.

34d. Arsen. XXVII, 44: Stob. Flor. 5, 28. Max. Conf. Serm. 21, p. 599 Comb. Sententia simillima a Georgida in Boissonadi Anecd. I, 36 ex Aristippo affertur.

34e. Arsen. XXVII, 45. XIX, 71: Stob. Flor. 9, 50. Lyc. Fr. 97 Saupp.

34f. Arsen. XXVII, 46: Stob. Flor. 17, 1. Soph. Elect. 989.

34g. Arsen. XXVII, 47: Eurip. Cycl. 320.

34h. Arsen. XXVII, 48: Stob. Flor. 75, 10. Eurip. Orest. 542.

Τὸ ζ μετὰ τοῦ ω.

35 *Ζωπύρου τάλαντα:* Κρατῖνος περὶ Φίλιππον Πέρσην ὄντα ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ μαστιγῶσαι ἑαυτόν· καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀποστερήσαντα εἰςελθεῖν εἰς τὴν Βαβυλῶνα· καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν καταλαβεῖν τὴν πόλιν· καὶ ἐκ μεταφορᾶς εἰπεῖν, *τάλαντα καὶ ζυγά*, οἱονεὶ ἔργα καὶ πράξεις.

36 *Ζωὴ πίθου:* ἐπὶ τῶν μετρίως ζώντων· ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβή.

37 *Ζωὸς γενήσῃ κρομμύου μοῖραν λαβών:* ἐπὶ τῶν ἐκ μικρᾶς αἰτίας μεγάλην καρπουμένων.

34i *Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.*

34k *Ζηλωτὸν οὐδὲν καλὸν ἐξ αἰσχροῦ φυόμενον:.* Πλάτωνος.

34l *Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,*
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰςαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν,
μιχθεῖσ' ἐν φιλότητι, Διόνυσον πολυγηθῆ:. Ἡσιόδου Θεογονίᾳ.

34m *Ζῆλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους:.* Ἰσοκράτους.

34n *Ζῆθι ὦ ἄνθρωπε, μὴ μόνον ἵνα φάγῃς καὶ πίῃς, ἀλλ' ἵνα τὸ ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ:.* Ζήνωνος.

92 *Θρὶξ ὕστριχος: ἐπὶ τῶν εὐστόχως βαλλόντων:. Ὀνύχων ἀκμαῖς καὶ ὀδόντων διατομαῖς θαῤῥοῦσι καὶ ἄρκοι καὶ λύκοι καὶ πάρδοι καὶ λέοντες· τὴν δὲ ὕστριχα ἀκούω ταῦτα μὲν οὐκ ἔχειν, οὐ μὴν ὅπλων ὑπὸ τῆς φύσεως ἀμυντηρίων ἀπολελεῖφθαι ἐρήμην. τοῖς γοῦν ἐπιοῦσιν ἐπὶ λύμῃ τὰς ἄνωθεν τρίχας οἱονεὶ βέλη ἐκπέμπει, καὶ στοχῶς βάλλει πολλάκις τὰ νῶτα φρίξασα· καὶ ἐκεῖναί γε πηδῶσιν, ὥσπερ ἔκ τινος ἀφειμέναι νευρᾶς.*

κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ·
ἐν ἀσφαλεῖ γὰρ τὸν θανόντ' ἐπαινέσαι:. Διονυσίου τυράννου.

91f *Θνητὸς γὰρ ὢν θνητὰ πείσεσθαι δόκει:. Εὐριπίδου.*

91g *Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι:. Διφίλου.*

91h *Θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν:. Ἰσιδώρου.*

91i *Θρᾷκες ὄργια οὐκ ἐπίστανται: ἐπὶ τῶν ἀνόμων.*

91k *Θράσει μὲν οὐδεὶς οὐδέπω πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο:. Θεοκρίτου.*

91l *Θρᾷξ εὐγενὴς εἶ πρὸς ἄλ' ἠγορασμένος:. Θεοκρίτου.*

92a *Θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας ὥς τυ φάγοντι.*

92b *Θρὶξ ἀνὰ μέσον.*

---

7. *εὐστόχως* RNZW, *στοχῷ* As. 9. *ὥσπερ οὖν* As. 12. *καὶ θνητὰ* Stobaeus. 17. *Θεοκρίτου*] *Εὐριπίδου* Maximus et Antonius. Varios de hoc loco VV. DD. conatus v. apud Matthiaeum ad Eur. fr. inc. tragg. 88. Theocritum Chium intellige. 18. *Θεοκρίτου*] scribe *Μενάνδρου*. 19. *καὶ* Appendix om. *τε* Appendix. *φάγονται* eadem, *φάγωντι* Theocritus.

91f. Arsen. XXX, 7: Stob. Flor. 108, 15. Eurip. fr. incert. trag. 70 Matth.

91g. Arsen. XXX, 8: Stob. Flor. 118, 15. Diphili fr. inc. com. 35 Mein.

91h. Arsen. XXX, 9: Stob. Flor. 22, 27. Max. Conf. Serm. 67, p. 684 Comb. Etiam inter Men. Monost. versus relatus est: v. 249.

91i. Arsen. XXX, 10: Diog. V, 25. Macar. IV, 70.

91k. Arsen. XXX, 11: Max. Conf. Serm. 40, 634 Comb., Anton. Serm. 79, p. 137 Fabr.

91l. Arsen. XXX, 12: cf. Apost. II, 27.

92. Arsen. XXX, 13. *Ὀνύχων κτλ.*] Aelian: N. An. I, 31.

92a. Arsen. XXX, 14: Stob. Flor. Append. Florent. T. IV, p. 31 Gsf. Est Theocr. V, 38, ubi Scholia: *παροιμία ἐπὶ τῶν καθ' αὑτῶν ποιούντων τι, ἀπὸ Ἀκταίωνος τοῦ ὑπὸ ἰδίων κυνῶν βρωθέντος. τάσσεται δὲ ἐπὶ τῶν ἀχαρίστων τοῖς εὐεργέταις, ἤτοι τῶν μὴ ὁμολογούντων χάριν τοῖς εὐεργέταις.* Ad sententiam cf. Apost. XII, 66.

92b. Arsen. XXX, 15. Theocr. Id. XIV, 9: *λασῶ δὲ μανεὶς ποκα, θρὶξ ἀνὰ μέσσον*, quod sic explicant Scholia: *διὰ μέσου τὸ θρίξ, ἤγουν ὀλίγου δέεται τὸ μεταξὺ τοῦ πάντῃ με μανῆναι*: doctius Eustath. ad Hom. Il. *K*, 173, p. 796, 57: *ἐπεὶ δὲ ὁ ξυρὸς ὡς τὰ πολλὰ ὄργανόν ἐστιν ἢ σαρκῶν τομῆς ἢ τριχῶν, ἐνενοήσαντο μεταλαβόντες οἱ νεώτεροι ἐπὶ κινδύνων ἐξ αὐτοῦ παροιμίας*

Τὸ ϑ μετὰ τοῦ υ.

93 *Θυμὸς ἔσχατον γηράσκει:* λέγεται διὰ τοὺς πρεσβυτέρους· ὅσον γὰρ γηράσκουσι τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι.

94 *Θύραζε κᾶρες, οὐκέτ' Ἀνθεστήρια:* διὰ πλῆθος οἰκετῶν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων καὶ αὐτῶν.

95 *Θυμόσοφός ἐστιν:* ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν.

96 *Θυννίζειν:* ἀντὶ τοῦ κεντᾶν. τριαίναις γὰρ τοὺς θύννους κεντοῦσιν. ἐξ οὗ καὶ Λουκιανὸς, *θυννῶδες τὸ ἐνθύμημα*, ἀντὶ τοῦ ἀπότομον καὶ σκληρόν:. *Φασὶ δ' ὅτι* τῆς τῶν ὡρῶν μεταβολῆς ἔχουσιν αἰσθητικῶς οἱ θύννοι, καὶ ἴσασι τροπὰς ἡλίου ὀξύτατα, καὶ δέονται τῶν τὰ οὐράνια εἰδέναι προσποιουμένων οὐδέν· ὅποι γὰρ αὐτοὺς χειμῶνος ἀρχὴ καταλάβῃ, ἀτρεμοῦσιν ἀγαπητῶς· ὅτι δὲ τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσι, καὶ Αἰσχύλος ὁμολογεῖ λέγων,

τὸ σκαιὸν ὄμμα βαλὼν θύννου δίκην.

παρίασί τε εἰς τὸν Πόντον, καὶ κατὰ τὴν δεξιὰν αὐτῶν πλευρὰν τὴν γῆν λαμβάνουσι, καθ' ἣν καὶ βλέπουσιν· ἐξιόντες τε αὖ κατὰ τὴν ἀντίπεραν νέουσι τῆς γῆς ἐχόμενοι, τὴν φρουρὰν τοῦ σώματος κατὰ τὸν ὁρῶντα τῶν ὀφθαλμῶν λαμβάνοντες.

96a *Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,*
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς:. Εὐριπίδου.

---

5. *Κᾶρες* Ds. 6. *οἰκετῶν*] post hanc vocem excidisse voces nonnullas ad Diog. l. c. monui. 9. *θυννάζειν* Aristophanes aliique: *θυνίζειν* R. *κεντεῖν* A. 11. *φασὶ δ' ὅτι* As om. 12. *αἰσθητῶς* As. 14. *ποιουμένων* As. *γὰρ ἂν* As. 15. *ἐνταῦθα ἡσυχάζουσί τε καὶ ἀτρεμοῦσιν* As. *ἀγαπητῶς*] eodemque in loco eos permanere usque ad vernum aequinoctium ex Aristotele docet in sqq. As. 16. *ὁρῶσιν, τῷ δὲ ἄλλῳ οὐκέτι* As. 17. *παραβαλὼν* Z As. 18. *ἑαυτῶν* As. *ἀντίπερα* As. 21. *τὴν τοῦ* As. 22. *λαμβάνοντες προμηθέστατα* As.

ἑτέρας δύο, ποτὲ μὲν πήματα λέγοντες τομῶντα τὰ τομῆς δεόμενα, ποτὲ δὲ τριχὸς φάσκοντες ἠρτῆσθαι [DV II, 63] *τὰ πράγματα· ἐξ οὗ παραποιήσας ὁ Θεόκριτος ἔφη τὸ θρὶξ ἀνὰ μέσον.*

93. Greg. Cypr. L II, 23: Arsen. XXX, 16.

94. Diog. V, 23: Arsen. XXX, 17.

95. Greg. Cypr. L II, 26: Arsen. XXX, 18.

96. Arsen. XXX, 19. *θυννίζειν — σκληρόν*] Diog. V, 22. *Λουκιανός*] Iov. trag. 25. *φασὶ κτλ.*] Aelian. N. An. IX, 42. Aesch. fr. 284 Dind.

96a. Arsen. XXX, 20: Stob. Flor. 20, 38. Eur. Med. 1079.

Ἀρχὴ τοῦ ῖ στοιχείου.

Τὸ ῖ μετὰ τοῦ ᾶ.

97 *Ἰαλέμου ψυχρότερος*: Ἰάλεμον τὸν θρῆνον φασί. λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν.

98 *Ἴαννος ἄλλος*: ἐπὶ τῶν διπροσώπων. τοιοῦτος γὰρ ὁ Ἴαννος.

96b *Θυμῷ μάχεσθαι* μὲν χαλεπόν, ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.

96c *Θυγάτηρ ἐπίγαμος* κἂν ὅλως μηθὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει :. Μενάνδρου.

96d *Θυμοῦ λόγος ἰατρός*.

96e *Θύννοι τοὺς* ναυαγήσαντας φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται· τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δὲ ἀκουσίως κολάζουσιν.

96f *Θύοιμ' ἂν αὐτῷ* μᾶλλον ἢ θυμούμενος
πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν θεῷ :. Εὐριπίδου Βάκχαις.

97a *Ἰατρὸν καὶ φίλον* ἡγοῦ τοὺς ἐν ἀνάγκαις σπουδαίους :. Ἱέρωνος.

---

4. γενέσθαι] quomodo sequentia emendanda sint, dixi ad Greg. Cypr. l. c. 6. Scribe *Ἴανος*. 10. μηδὲν Meinekius. 13. *Θύνοι* Maximus. ναυαγοὺς idem. 14. ἑκουσίως] ἀκουσίως Orellius in Supplem. ed. Lips. Nicolai Dam. p. 66. 15. ἀκουσίως] ἑκουσίως Orellius l. c. Addit Maximus: ἐκ τῶν Νικολάου ἐθῶν.

96[b]. Arsen. XXX, 21: Stob. Flor. 20, 56. Max. Conf. Serm. 19, p. 594 Comb. Democr. fr. 77 Mull.

96[c]. Arsen. XXX, 22: Stob. Flor. 77, 2. Men. fr. inc. com. 114 Mein.

96[d]. Arsen. XXX, 23. Fluxit ex Aeschyli versu, Prom. V, 377: γιγνώσκεις, ὅτι Ὀργῆς [ψυχῆς v. l. antiqua: cf. Porso ap. Blomfieldum ad h. l.] νοσούσης εἰσὶν ἰατροὶ λόγοι: sententiam expressit Philem. fr. inc. 112 Mein.: ψυχῆς πόνος γὰρ ὑπὸ λόγου κουφίζεται: add. Menand. in Stob. Flor. 20, 20: οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον, Ἀλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου: Monostich. 37: ἆρ' ἐστι θυμοῦ φάρμακον χρηστὸς λόγος: ib. 550, 674 s. Apost. X, 76[c]: Euripides in annott. ad Apost. X, 76[b]: Isocrates orat. de pace 167 Steph., Themist. Oratt. VII, 98 C: alia Davisius ad Cic. Tusc. Q. III, 31, Wyttenbachius Consol. ad Apoll. 6, p. 103 F, intt. ad Hor. Ep. I, 1, 34 collegerunt.

96[e]. Arsen. XXX, 24: Max. Conf. Serm. 55, p. 661 Comb.

96[f]. Arsen. XXX, 25: Eurip. Bacch. 794.

97. Suidas: Arsen. XXXI, 33. Georg. Cypr. L II, 32.

97[a]. Arsen. XXXI, 34: Anton. Mel. 146, p. 233 Fabr.

98. Arsen. XXXI, 35. Eustath. ad Hom. Od. *Ε*, p. 1533, 5 ex Athen. XV, 692 D: ὅτι δὲ διαφορά ἐστι πλοίου καὶ σχεδίας, δηλοῖ ὁ γράψας [Draconem Corcyraeum intelligit], ὡς λόγος Ἴανον διπρόσωπον γεγονέναι.

99 *Ἰαίνεται τῇ διηγήσει τῶν τοιούτων λόγων:* ἐπὶ τῶν διαχεομένων τὴν ψυχὴν καὶ χαιρόντων ἐπαίνοις.

Τὸ ῑ μετὰ τοῦ δ̄.

100 *Ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ πήδημα:* ὅτι πᾶς λόγος πέριττος ἐστίν, ἂν μὴ πρόχειρος ἡ ἀπόδειξις τοῦ πράγματος.

99a *Ἴαμα γλώττης,* ἐγκράτεια κοιλίας.

99b *Ἴαμβος ἔστι πους* συγκείμενος ἐκ βραχείας υ καὶ μακρᾶς — οἷον Σόλων. ἐκλήθη δὲ ἴαμβος τοιούτῳ τρόπῳ· ὅταν ἡ Δημήτηρ περίλυπος ἦν ἐπὶ τῇ ἁρπαγῇ τῆς κόρης, παρεξενώθη τινὶ Κελεῷ καὶ Μετανίρῃ τῇ γαμετῇ αὐτοῦ ἐν τῇ Ἀττικῇ· καὶ ταύτης ἡ θεράπαινα Ἰάμβη λεγομένη παρεμυθεῖτο τὴν Δήμητρα τοιούτῳ ὀρχουμένη μέτρῳ:. Ἡ ἀπὸ Ἰάμβης τινὸς κόρης αἰσχρῶς ὑβρισθείσης καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης. ἢ ἀπὸ γραός τινος Ἰάμβης καλουμένης, ᾗ πλυνούσῃ συντυχὼν ὁ Ἱππῶναξ καὶ ἁψάμενος τῆς σκάφης, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια, ἤκουσε λεγούσης·

Ἄνθρωπ' ἄπελθε, τὴν σκάφην ἀνατρέπεις.

ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο.

100a *Ἰδοὺ χρυσοῦν ἀνδράποδον:* Σωκράτης εἶπε τουτὶ, ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον.

100b *Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων* εὐσχημονέστερος· πλοῦτος δὲ ὁ ἐκ τῶν ἰδίων πόνων:. Σωκράτους.

---

4. ἰδοὺ — ἰδοὺ] αὐτοῦ — αὐτοῦ Gregorius. 8. ἐκλήθη — ὅταν] ἄλλοι δέ φασιν ὅ τι Moschopulus. ὅταν] ὅτε W. 9. ἦν] οὖσα Moschopulus. 10. Μετανείρῃ idem. 12. ὀρχουμένη ἐν τοιῷδε μέτρῳ idem. 21. ὁ ἐκ] Stobaeus om.

99. Arsen. XXXI, 36. Quanta negligentia ei, qui seriore aetate proverbia collegerunt, in negotio suo versati sint, hic locus abunde docet, modo contuleris Etym. Gud. 18, 54: αἶνος, ὁ ἔπαινος, παρὰ τὸ ἰαίνω, ἀποβολῇ τοῦ ῑ. ἴαινος γάρ ἐστι καὶ αἶνος. παρὰ τὸ διαχέειν καὶ χαίρειν [sic] τὴν ψυχήν· τοῦτο δύναται καὶ ἐπὶ τοῦ μυθώδους καὶ παροιμιακοῦ λόγου· ἰαινόμεθα γὰρ τῇ διηγήσει τῶν τοιούτων λόγων: cf. Apost. praef. §. 6.

99a. Arsen. XXXI, 37.

99b. Arsen. XXXI, 38. Ἴαμβος — Σόλων] similiter multi: v. Drac. Straton. de Metr. 127. ἐκλήθη — μέτρῳ] Moschop. Opusc. p. 44 Titz.: eodem auctore usus est Moschopulus, quem Eustath. ad Hom. Od. Λ, p. 1684, 54 ante oculos habuit. ἢ — χρησαμένης] simili modo Moschopulus l. c. narrat: add. Drac. l. c. 164. ἢ — ἀνατρέπεις] paulum differt Drac. l. c. 162. ἢ ὅτι κτλ.] idem tradunt Moschop. l. c., Drac. l. c. 164., Scholl. ad Hephaest. 168 Gsf. aliique multi.

100. Arsen. XXXI, 39. Greg. Cypr. M I, 86.

100a. Arsen. XXXI, 40: Stob. Flor. 4, 85.

100b. Arsen. XXXI, 41: Stob. Flor. 94, 33.

Τὸ ῑ μετὰ τοῦ ε̄.

1 *Ἱερὰ ἄγκυρα: ἡ μεγάλη βοήθεια. ἄγκυρά ἐστιν ἐν τῇ νηῒ ἱερὰ καλουμένη, καὶ ὅτε μέγας καταλαμβάνει κίνδυνος τελευταία βάλλεται.*

2 *Ἱερόσυλος θεοσεβεῖ: ἐπὶ τῶν κλεπτόντων μὲν, λειτουργίας δὲ καλὰς ποιουμένων.*

Τὸ ῑ μετὰ τοῦ λ̄.

3 *Ἰλιὰς κακῶν ἐπῄει: ἐπὶ ταῖς μεγίσταις συμφορῶν κεχρημένων λέγεται.*

100c *Ἰδέα δέ ἐστιν οὖσα ἀσώματος, αὐτὴ μὲν ὑφεστῶσα καὶ καθ' αὑτήν, εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γιγνομένη τῆς τούτων δείξεως. Σωκράτης καὶ Πλάτων χωριστὸς τῆς ὕλης δείξεις, τὰς δὲ ἰδέας ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ, τουτέστι τοῦ νοῦ. Ἀριστοτέλης εἴδη μὲν ἀπέλιπε καὶ ἰδέας, οὐ μὴν κεχωρισμένης τῆς ὕλης, ἔξω γεγονὼς ὑπὸ τοῦ θεοῦ. οἱ ἀπὸ Ζήνωνος Στωϊκοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας:. Περὶ ἰδεῶν. ἐκ τῶν Πλουτάρχου.*

2a *Ἰχθὺς ἀποκείμενος: ὁ ὑπὸ τῶν φειδωλῶν εἰς τὴν αὔριον φυλαττόμενος. Πλούταρχος ἐν συμποσίοις· ὦ ἑταῖρε, τὸν ἐκ τῆς παροιμίας ἀποκείμενον ἰχθὺν οὐχ ἕλκομεν εἰς μέσον, μετὰ τῆς Πυθαγορικῆς χοίνικος.*

2b *Ἱκανότης ἐστὶν ἕξις ἐξικνουμένη πρὸς τὸ οἰκεῖον πέρας ἀνελλιπῶς καὶ ἀπερίττως· μήτηρ δὲ αὐτῆς ἡ δικαιοσύνη, τιθηνὴ δὲ ἡ αὐτάρκεια.*

---

2. *γάρ ἐστιν* K. 3. *ὅταν — καταλαμβάνῃ* K. 8. *ταῖς*] *τῶν* AZ. 10. *δὲ* Plutarchus om. *οὐσία* Plutarchus. *μὲν μὴ* idem. *καὶ* Plutarchus om. 11. *γινομένη* Plutarchus. 13. *δείξεις*] *οὐσίας* idem. *δὲ* idem om. *ἐν ταῖς* idem. 14. *νοῦ ὑφεστώσας* Plutarchus. *δ' εἴδη* idem. 15. *κεχωρισμένας* idem. *ἔξω — ὑπὸ*] *τὸ ἐξ ὧν γεγονὸς τὸ ὑπὸ* idem. 16. *ἰδέας ἔφασαν* idem. 20. *διὰ τί οὐχ* Plutarchus. 21. *χοίνικος*] pergit Plutarchus: *ἐφ' ἧς ἀπηγόρευε καθῆσθαι, διδάσκων ἡμᾶς ἀεί τι τοῦ παρόντος εἰς τὸ μέλλον ὑπολιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν.* 23. *αὐτῶν* Clemens.

100c. Arsen. XXXI, 42: Plut. de Plac. Philos. I, 10, p. 882 D.

1. K in nott. ad Diog. V, 29: Arsen. XXXI, 43. Greg. Cypr. M III, 77.

2. Arsen. XXXI, 44. Conflictum est ex Plutarchi loco, quem vide in Apost. XII, 53d. Sententiae causa affero Porphyr. ad Marcell. 14 [Orelli Op. Sent. T. I, p. 296]: *ὥστε κἂν ἑκατόμβας θύῃ, καὶ μυρίοις ἀναθήμασι τοὺς νεοὺς ἀγάλλῃ, ἀσεβής ἐστι καὶ ἄθεος καὶ τῇ προαιρέσει ἱερόσυλος.*

2a. Arsen. XXXI, 45. *Πλούταρχος*] Sympos. Q. VII, 4, 6. p. 703 E. Apte Walzius Arist. Ran. 982 contulit: add. infr. 18.

2b. Arsen. XXXI, 46: Clem. Alex. Paedag. II, 12, 128, p. 91 Sylb.

3. Arsen. XXXI, 47. Cf. Greg. Cypr. L II, 29 et DV II, 93.

Τὸ ῑ μετὰ τοῦ μ̄.

4 *Ἱματίῳ πῦρ περιστέλλεις:* ἐπὶ τῶν ἀδυνάτων.

5 *Ἱματισμὸς Διονυσίου:* ἐπὶ τῶν ἄχρηστα πεμπόντων. ταῖς γὰρ θυγατράσι τοῦ Ἀρχιδάμου ἱματισμὸν πολυτελῆ Διονυσίου τοῦ τυράννου Σικελίας πέμψαντος, οὐκ ἐδέξατο εἰπών, φοβοῦμαι μὴ περιθέμεναι αἱ κόραι φανῶσί μοι αἰσχραί.

Τὸ ῑ μετὰ τοῦ ν̄.

6 *Ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.*

Τὸ ῑ μετὰ τοῦ π̄.

7 *Ἱππομένους ἀσεβέστερος:* διὰ τὸ ἐπὶ θυγατρὶ μῖσος· καὶ γὰρ αὐτὴν μοιχευθεῖσαν ἵππῳ συγκατέκλεισεν εἰς θοίνην· διὰ τοῦτο καὶ τὴν Κοδριδῶν ἀρχήν φασι καταλυθῆναι, ἐξ ὧν ἦν ἐκεῖνος.

8 *Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ' ἐπίβαλλε:* ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥᾳστώνης.

9 *Ἱππόλυτον μιμήσομαι:* ἐπὶ τῶν σωφρονεῖν βουλομένων.

6a *Ἴνους ἄχη:* ἐπὶ τῶν ἄκρως δυστυχησάντων.

6b *Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου*
ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσάμενοι.

7a *Ἵππου γῆρας:* ἐπὶ τῶν ἐν νεότητι εὐδοκιμησάντων, ἐν γήρᾳ δὲ ἀτιμαζομένων.

---

4. γὰρ] δὲ Plutarchus. τοῦ Ἀρχιδάμου] αὐτοῦ idem, i. e. *Λυσάνδρου*: cf. Plut. Coniug. Praec. 141 D ibiq. v. Wyttenbachius. 9. γὰρ Ds om. 11. ἀσεβέστερος Ἱπ. Ds. 12. *μύσος* Ds: μῖσος τῇ Λειμωνίδι A: de puellae nomine v. Heckerus Comm. Callim. 62. 19. Explicationem Suidas non adiecit. 21. *ἀπωσόμενοι* Diog. Laert. I, 47. 22. εὐδοκιμησάντων] εὐδαιμονούντων W.

4. Arsen. XXXI, 48. Socrates in Stob. Flor. 6, 31: οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν, οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ.
5. Arsen. XXXI, 49. ταῖς γὰρ κτλ.] Plut. Apophth. Lac. 218 E.
6. Diog. V, 30: Arsen. XXXI, 50. Cf. Mant. Provv. s. ἵνα γάρ. De sententia dixerunt intt. ad Thucyd. I, 84, 3. Schoemannus ad Plut. Cleom. 9, p. 202. Welckerus Opusc. T. II, p. 316.
6a. Arsen. XXXI, 51: Suidas. Zenob. IV, 38.
6b. Arsen. XXXI, 52: Ulpian. ad Demosth. de falsa leg. 152 Dobs. Solon. fr. I, 7 Schneidew.
7. Diog. III, 1: Arsen. XXXI, 53. Cf. Apost. XIV, 10.
7a. Arsen. XXXI, 54. Macar. IV, 80.
8. Diog. V, 27. Cf. Obbarius ad Horat. Epist. I, 1, 8.
9. Diog. V, 32: Arsen. XXXI, 56. Greg. Cypr. M III, 74: add. Heliod. Aeth. I, 10: ἡ δὲ .. περιβαλοῦσα, Ὁ νέος Ἱππόλυτος, ὁ Θησεὺς ὁ ἐμός, ἔλεγε.

10 *Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν*:. Λέγει Εὔδημος ἵππου νέας καὶ τῶν νεμομένων τῆς ἀρίστης ἐρασθῆναι τὸν ἱπποκόμον, ὥσπερ καλῆς μείρακος, καὶ τῶν ἐν τῷ χωρίῳ ὡρικωτέρας. καὶ τὰ μὲν πρῶτα ἐγκαρτερεῖν, τελευτῶντα δὲ ἐπιτολμῆσαι τῷ λέχει τῷ ξένῳ καὶ ὁμιλεῖν αὐτῇ· τῇ δὲ εἶναι πῶλον, καὶ τοῦτον καλόν, θεασάμενόν γε τὸ πραττόμενον ἀλγῆσαι, ὥσπερ οὖν τυραννουμένης μητρὸς ὑπὸ τοῦ δεσπότου καὶ ἐμποδίσαι καὶ ἀποκτεῖναι τὸν ἄνδρα. εἶτα μέντοι καὶ φυλάξαι ἔνθα ἐτάφη, καὶ φοιτῶντα ἀνορύττειν αὐτὸν καὶ ἐνυβρίζειν τῷ νεκρῷ:. *Μόνας δέ φασι* τῶν ζῴων τὰς ἵππους καὶ κύουσας ὑπομένειν τῶν ἀῤῥένων μίξιν· εἶναι γὰρ λαγνιστάτας· διά ταῦτά τοι καὶ τῶν γυναικῶν τὰς ἀκολάστους ὑπὸ τῶν σεμνοτέρως αὐτὰς εὐθυνόντων ἵππους καλεῖσθαι.

11 *Ἵππον εἰς πεδίον διδάσκεις τρέχειν*: ταχύτερος γάρ ἐστιν ἐν προσομάλῳ τόπῳ.

12 *Ἵππος με φέρει καὶ βασιλεὺς με τρέφει*: Κοῤῥαῖόν φασιν ὑπὸ Φίλιππον στρατευσάμενον ἱππέα τῆς μητρὸς δεομένης αἰτήσασθαι ἄφεσιν τῆς στρατείας, εἰπεῖν τοῦτο.

13 *Ἱππέας εἰς πεδίον προκαλῇ*: ὅπερ ἐστι, τοὺς εὐδαιμονοῦντας εἰς ἅπερ εὐδαιμονοῦσιν ἔργα.

Τὸ ῑ μετὰ τοῦ σ̄.

14 *Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας*: τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.

---

4. ὥσπερ οὖν As. ὡρικωτέρας πασῶν As. 7. γε μὴν As. 9. ἐμποδίσαι] ἐμπηδῆσαι As. 11. νεκρῷ] καὶ λυμαίνεσθαι λύμην ποικίλην, οὐκ αἰσθανομένῳ ἀλγοῦντα αὐτόν As addit. δέ φασι] ἀκούω As. 12. τὴν τῶν As. 15. καλεῖσθαι ἵππους As. 16. διδάσκεις τρέχειν Ds om.: addidit Apostolius, ut proverbium simile redderet ei, in cuius comparationem a Diogeniano appositum erat, αἰετὸν ἵπτασθαι διδάσκεις. 18. καὶ recte Ds om. 19. Φιλίππου Ds. στρατευόμενον Z Ds. 20. καὶ εἰπεῖν Z.

10. Arsen. XXXI, 5. ἵππου — κρίνομεν] Plutarchus ap. Max. Conf. Serm. 6, p. 548 Comb.: fr. L Wyttenb. Λέγει — νεκρῷ] Aelian. N. An. IV, 8. Μόνας κτλ.] Aelian. l. c. 11.

11. Diog. I, 65.

12. Diog. V, 31. Nomen Κοῤῥαῖος reperitur etiam in inscriptione Spartana, quam Sauppius in Ritschlii et Welckeri Mus. Rhen. IV, 159. publici iuris fecit. Ad mediam comoediam haec referenda esse Meinekius Com. Gr. Fr. IV, 699 censet: causam non video.

13. Greg. Cypr. M III, 78: Arsen. XXXI, 56. DV II, 96. nott. ad Macar. III, 40.

14. Greg. Cypr. L II, 30: Arsen. XXXI, 57.

15 *Ἱστὸν ἀράχνης*: ἐπὶ τῶν εὐπετῶς διαλυομένων καὶ φθειρομένων:. Ὁ δὲ *ἀράχνης* λέγεται καὶ φάλαγξ· οὗτος δῶρα Ἐργάνης δαίμονος οὐκ οἶδε· τὸ δὲ γινόμενον αὐταῖς πάγη ἐστὶ καὶ οἷον κύρτος τοῖς ἐμπίπτουσιν· ἐντεῦθεν ἔχει καὶ τὴν δαῖτα. ἐμπίπτει δὲ ὅσον καὶ τὸ ὕφασμα κατέχει καὶ ἐκείνῳ δειπνεῖν ἀπόχρη:. *Οὐ μόνον* δὲ ἡ φάλαγξ ἐστὶν ὑφαντικὴ καὶ εὔχειρ κατὰ τὴν Ἀθηνᾶν, τὴν Ἐργάνην τε καὶ Πηνῖτιν θεάν, ἀλλὰ πέφυκε καὶ γεωμετρίαν δεινή· τὸ γοῦν κέντρον φυλάττει καὶ τὸν ἐξ αὐτοῦ κύκλον καὶ τὴν περιφέρειαν ἀκριβοῖ ἰσχυρῶς, καὶ Εὐκλείδου δέεται οὐδέν· κάθηται δὲ ἐν τῷ κέντρῳ μέσῳ ἐλλοχῶσα τὴν ἑαυτῆς ἄγραν· ἔστι δὲ ὡς ἰδόντι εἰπεῖν καὶ ὑφάντρια γενναία καὶ ἀκεστικὴ εὐπάλαμος. καὶ ὅ τι ἂν διαῤῥήξῃς τῆς εὐπήνου τε καὶ εὐμίτου σοφίας ἐκείνης, ἤδε ἀνακοῦται, καὶ ἀπαθὲς καὶ ὁλόκληρον αὖθις ἀποδείκνυται.

16 *Ἴσα πόλεμον οὐ ποιεῖ.*

17 *Ἰσότης φιλότης.*

---

2. ὁ δὲ — ἀπόχρη] in Aeliano haec ita leguntur: ὑφαντικὴν καὶ ὑφαίνειν καὶ δῶρα Ἐ. δ. οὔτε ἴσασιν αἱ φάλαγγες οὔτε εἰδέναι βούλονται. Ἡ [scribe ᾗ] τί ποτ' ἂν καὶ χρήσαιτο τῷ τοιῷδε ἐσθήματι τὸ τοιοῦτον θηρίον; τόδε ἄρα πάγη [corrige: τὸ δὲ ἄρα γενόμενον αὐταῖς πάγη ἐστὶ] καὶ οἱονεὶ κ. ἐστὶ [dele ἐστὶ] τ. ἐμπίπτουσι. καὶ ἡ μὲν ἀρκυωρεῖ, πάνυ σφόδρα ἀτρεμοῦσα καὶ ἔοικεν ἀκινήτῳ, καὶ τὸ μὲν ἔπεσεν ὅ τι ποτέ ἐστι τὸ ἐμπεσόν, ἡδ' [insere ἐντεῦθεν et post ἔχει vv. καὶ τὴν] ἔχει δαῖτα· τοσοῦτον δ' ἐμπίπτει, ὅσον κ. τὸ ὑφ. κατέχειν δυνατόν ἐστι καὶ ἐκείνην δειπνεῖν ἀπόχρη. 6. οὐ μόνον δὲ ἄρα ἦσαν ὑφαντικαὶ αἱ φάλαγγες As et sic semper in plurali numero. 8. ἀλλὰ πέφυκε] πεφύκεσαν δὲ ἄρα As. 11. κάθηνται γὰρ As. 12. ἔστι] ἦσαν As. 13. ἀκεστικὴν As. 14. ἐκείνων τῆς As. ἐκείνης As om. 17. Ἰ. φιλότητα ἀπεργάζεται: Πλάτων φησὶ τὸν λόγον τοῦτον παλαιὸν εἶναι καὶ πληθῆ, ἐν τῷ ϛ [p. 757 A] τῶν νόμων EZ: ἰ. σφιλότητα ἀπεργάζεται: μάλα μὲν ὀρθῶς εἴρηται καὶ ἐμμελῶς u.

15. *Ἀραχνῶν ἱστοί* Bacchylides Stob. Flor. 55, 3 proprie de ipsis aranearum telis posuit secutus Homerum Od. *Π*, 35: inde deflexus per comparationes sensus h. l. ab Apostolio designatus: Solon apud Diog. Laert. I, 58: τοὺς δὲ νόμους τοῖς ἀραχνίοις ὁμοίους: Plato comicus Suid. s. φάλαγξ: εἴξασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς Ἀραχνίοις: Aristo Stob. Flor. 82, 15 sive Arsen. XI, 85. Basil. in Hexaem. VI, p. 76 D, Ignatius apud Apost. XV, 30ª: alios indicat Meinekius Com. Gr. Fr. II, 2, 620. Neque plane aliena sunt ab his, quae Stanleius ad Aesch. Supplic. 894, Valckenarius in Diatr. Eurip. 168 C, Boissonadus ad Aen. Gaz. 356 excitaverunt. ὁ δὲ — ἀπόχρη] Aelian. Var. Hist. I, 2. οὐ μόνον κτλ.] id. Nat. An. VI, 57.

16. Greg. Cypr. M III, 79.

17. Greg. Cypr. M III, 92: Arsen. XXXI, 58. DV II, 94.

Τὸ ῖ μετὰ τοῦ χ̃.

18 *Ἰχθὺς ἐκ τῆς κεφαλῆς ὄζειν ἄρχεται:* ἐπὶ τῶν ἐπιστάτας φαύλους ἐχόντων.

19 *Ἰχθὺν νήχεσθαι διδάσκεις:* ἐπὶ τῶν διδασκόντων τινὰς ἃ ἐπίστανται.

Ἀρχὴ τοῦ κ̃ στοιχείου.

Τὸ κ̃ μετὰ τοῦ ᾶ.

20 *Κακοῦ κόρακος κακὸν ᾠόν:* Κόραξ τις συνετὸς ἀνὴρ κεχρῆσθαι πράγμασιν ἱκανός, συνιδὼν ὅτι οὐχ ὅμοιον τυράννῳ διακονεῖσθαι καὶ δήμου γνώμην χειρώσασθαι, ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων, δι' ὧν τὸν δῆμον ἔπειθεν. ἐντεῦθεν προήει βοῶν καὶ παρακαλῶν τὸν βουλόμενον μαθεῖν ἐπὶ ῥητῷ μισθῷ χιλίων δραχμῶν· ὁ τοίνυν Σιτίας προσῆλθε μαθεῖν καὶ μαθὼν ἠγνωμόνησεν αὐτῷ περὶ τὸν μισθόν. καὶ ἐπὶ τούτῳ συνέστη δικαστήριον, καὶ τῶν κριτῶν συνελθόντων ἔφη ὁ Κόραξ διλημματίῳ χρησάμενος· ὡς εἰ μὲν

17a *Ἶσον δὴ κακόν ἐσθ',* ὃς οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνει, καὶ ὃς ἐσύμενον κατερύκει.

19a *Ἰσχὺς καὶ εὐμορφίη* νεότητος ἀγαθά, γῆρας δὲ σωφροσύνης ἄνθος:. Δημοκρίτου.

19b *Ἱκανὸν ἂν εἴη μοι τό,* οὐ φροντὶς Ἱπποκλείδῃ.

19c *Ἱκανῶς βιώσεις* γηροβοσκῶν τοὺς γονεῖς.

19d *Ἱερὸν ἀληθῶς ἐστιν* ἡ συμβουλία.

19e *Ἱερὸν χρῆμα* σύμβουλος ἀνήρ.

---

4. τῶν et τινὰς L om. 8. οὖν τις Planudes. 14. *Τισίας* idem. 18. δή] τοι Homerus. 19. ἐσσύμενον idem.

17[a]. Arsen. XXXI, 59: Hom. Od. *O*, 72.

18. Arsen. XXXI, 60. Cf. Apost. IX, 2[a].

19. Greg. Cypr. L II, 31: Arsen. XXXI, 61.

19[a]. Arsen. XXXI, 62: Stob. Flor. 115, 19. Max. Conf. Serm. 41, p. 636 Comb.

19[b]. Arsen. XXXI, 63: Lucian. Apol. pro merc. Cond. fin. Cf. Apost. XIII, 70.

19[c]. Arsen. XXXI, 64: Men. Monost. 270.

19[d]. Arsen. XXXI, 65: Men. Monost. 256. DV II, 92.

19[e]. Arsen. XXXI, 66: fluxit e Plat. Theag. 122 B: *ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε συμβουλὴ ἱερὸν χρῆμα εἶναι:* cf. DV II, 92.

20. Arsen. XXXII, 5. *Κόραξ — ᾠόν*] Max. Planud. Prol. Rhett. in Walzii Rhet. Gr. T. V, 215. Simile dictum a Protagora contra Euathlum discipulum in lite iactum Diog. Laert. IX, 56 aliique tradiderunt: accurate de eo egit Freius

νικήσει ὁ Σιτίας, ὤφειλε παρασχεῖν, ὠφέληται γάρ· εἰ δὲ μὴ νικήσει, καὶ οὕτως ὤφειλε παρασχεῖν, ἡττήθη γάρ. Ὁ δὲ Σιτίας πρὸς ταῦτα λέγων ἀπεκρίνατο· ὡς εἰ μὲν νικήσω οὐκ ὤφειλον παρασχεῖν, νενίκηκα γάρ· εἰ δὲ μὴ νικήσω οὐκ ὤφειλον παρασχεῖν, οὐ γὰρ ὠφελήθην. ἀπορήσαντες οὖν οἱ δικασταὶ ἀνεβόησαν λέγοντες, κακοῦ κόρακος κακὸν ᾠόν. Ἢ ὅτι τὸ ζῷον ὁ κόραξ ἄβρωτόν ἐστι καὶ τὸ ᾠὸν αὐτοῦ:. ἢ ὅτι ὁ κόραξ ἤδη γέρων ὢν ὅταν μὴ δύνηται τρέφειν τοὺς νεοττούς, ἑαυτὸν αὐτοῖς προτείνει τροφήν· οἱ δὲ ἐσθίουσι τὸν πατέρα· κἀντεῦθεν ἡ παροιμία:. Λέγεται καὶ τοῦτο περὶ κοράκων· ὅτι ὀρνίθων πολυκλαγγότατός τε καὶ πολυφωνότατος ἐστί· μαθὼν δὲ ἀνθρωπίνην πρόσεισι φωνήν. φθέγμα δὲ αὐτοῦ παίζοντος μὲν ἄλλο, σπουδάζοντος δὲ ἕτερον· εἰ δὲ ὑποκρίνοιτο τὰ ἐκ θεῶν, ἱερὸν ἐνταῦθα καὶ μαντικὸν φθέγγεται· οἶδε δὲ καὶ διὰ τοῦ θέρους ἐνοχλούμενος ῥύσιν γαστρός, καὶ διὰ ταῦτα ἑαυτὸν ὑγρᾶς τροφῆς ἄγευστον φυλάττει:. Οἱ Λίβυες δὲ κόρακες, ὅταν οἱ ἄνθρωποι φόβῳ δίψους ὑδρασάμενοι πληρώσωσιν ἀγγεῖα ὕδατος, καὶ κατὰ τῶν τεγῶν θέντες ἐάσωσι τῷ ἀέρι τὸ ὕδωρ φυλάττειν ἄσηπον, ἐνταῦθα εἰς ὅσον μὲν αὐτοῖς τὰ ῥάμφη κάτεισιν ἐγκύπτοντες, χρῶνται τῷ ποτῷ· ὅταν δὲ ὑπολήξῃ, ψήφους κομίζουσι καὶ τῷ στόματι καὶ τοῖς ὄνυξι, καὶ ἐμβάλλουσιν εἰς τὸν κέραμον· καὶ αἱ μὲν ἐκ τοῦ βάρους ὠθοῦνται, καὶ ὑφιζάνουσι, τό γε μὴν ὕδωρ θλιβόμενον ἀναπλεῖ· καὶ πίνουσιν εὖ μάλα εὐμηχάνως εἰδότες φύσει τινὶ ἀποῤῥήτῳ δύο σώματα μίαν χώραν μὴ δέχεσθαι:. Φησὶ δὲ Ἀριστοτέλης εἰδέναι αὐτοὺς διαφορὰν γῆς εὐδαίμονός τε καὶ λυπηρᾶς, καὶ ἐν τῇ

4. οὐκ] καὶ οὕτως οὐκ Planudes. 7. ᾠόν] τουτέστι δεινοῦ διδασκάλου δεινὸς ὁ μαθητής Planudes subiungit. 8. ἢ — ὢν] ὁ κόραξ ὁ ἤδη γέρων As. ὢν As om. 10. κἀντεῦθεν ἡ παροιμία] καὶ τὴν παροιμίαν ἐντεῦθέν φασι τὴν γένεσιν λαβεῖν τὴν λέγουσαν, Κακοῦ κ. κ. ᾠόν. 11. λέγεται κτλ. ANO om. λέγεται — ὅτι] ἦν δὲ ἄρα As. 12. ἐστί As om. δὲ] γὰρ καὶ As. 13. προΐησι As. 15. τῶν θεῶν As. οἶδε] ἴσασι et in sqq. pluralem As posuit. 16. δὲ καὶ] καὶ As om. 17. οἱ As om. 18. ὑδρευσάμενοι As. 19. τὰ ἀγγεῖα As. στεγῶν As. 20. ἄσηπτον As. 26. εὐμηχάνως οἱ κόρακες As. 27. φησὶ δὲ] λέγει ὁ As. αὐτοὺς] τοὺς κόρακας As. 28. λυπρᾶς As. ἐν μὲν As.

Quaest. Protag. 146. ἢ — αὐτοῦ] Greg. Cypr. L II, 34. ἢ — παροιμία] Aelian. N. An. III, 43. Λέγεται — φυλάττει] id. ib. II, 51. Natum e corvi voce etiam proverbium, quod infr. XI, 89ª. proferetur, ubi v. annot. Οἱ δὲ — δέχεσθαι] Aelian. N. A. II, 48. φησὶ δὲ κτλ.] id. ib. 49. Ἀριστοτέλης] Histor. Anim. IX, 21.

παμφόρῳ καὶ πολυφόρῳ κατά γε ἀγέλας καὶ πλήθη φέρεσθαι, ἐν δὲ τῇ ἀγόνῳ καὶ στερίφῃ κατὰ δύο.

21 Καὶ τὸν ἀπὸ γραμμῆς κινεῖ λίθον: ἤτοι, ἀπ' ἀρχῆς βάλλει.

22 Καὶ ἐπὶ τῷ βωμῷ τὸν ἐπίβουλον: λείπει, χρὴ κτείνειν. Ἀγασικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς ἐφεστὼς ποτε τῷ βωμῷ τῆς Χαλκιοίκου καὶ βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν οὐ διετράπη, λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων ἀπέκτεινε προσειπών, νὴ τοὺς θεοὺς ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ.

23 Καλὴ μὲν ὄψις, ἐν δὲ δειλίᾳ φρένες.

24 Καὶ βαίτυλον ἂν κατέπιες: ἐπὶ τῶν ἄγαν λιμβῶν. Βαίτυλος δέ ἐστιν ὁ ἐσπαργανωμένος λίθος, ὃν Κρόνος κατέπιεν ἀντὶ τοῦ Διός.

20a Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.

20b Κἀγὼ 'μαυτῷ βαλανεύσω: ἀντὶ τοῦ αὐτὸς ταῖς ἐμαυτοῦ χρείαις ὑπηρετήσω.

20c Καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος:. Πλάτωνος.

24a Καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισι.

24b Καίπερ γέρων ὤν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὼ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ:. Σοφοκλέους.

24c Καιρῷ δουλεύειν καὶ θεὸς ὢν ἔμαθον.

---

1. τε καὶ As. κατά τε As. 3. γραμμᾶς Theocritus. 6. Ἀγησίλαος Plutarchus. 7. καὶ Plutarchus om. 11. φρένες] παρέσον ἐν τοῖς φοβεροῖς δεῖ φρονεῖν τὰ δέοντα EZ explicationis causa addunt. 20. δόμοισιν Homerus. 22. Σοφοκλέους Θυέστῃ Stobaeus.

20[a]. Arsen. XXXII, 6: Menand. Monost. 274.

20[b]. Arsen. XXXII, 7: Arist. Pac. 1103: ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω. Greg. Cypr. M III, 5.

20[c]. Arsen. XXXII, 8: Plat. Legg. VII, 808 B.

21. Theocr. VI, 18. Suid. s. ἀπὸ γραμμῆς. Apost. III, 48.

22. Arsen. XXXII, 9. Ἀγασικλῆς κτλ.] Plut. Apophth. Lac. 208 E.

23. Diog. V, 89.

24. Arsen. XXXII, 10. Βαίτυλος κτλ.] Haec procul dubio ex aliquo interpretum Gregorii Nazianzeni descripta sunt: v. Pasinus Catal. Codd. Taurin. I, 72 et Nonnus Montacutii p. 158: nonnihil discrepant explicationes Etym. M. 192, 58 et Etym. Gud. 102, 46. De re cf. Hoeckius Rer. Cretic. T. I, 167.

24[a]. Arsen. XXXII, 11: Hom. Od. γ, 313.

24[b]. Arsen. XXXII, 12: Stob. Flor. 115, 16. Soph. fr. 238 Dind.

24[c]. Arsen. XXXII, 13: Palladas in Anth. Palat. IX, 441, 6.

25 *Καταφρόνει θανάτου:* ὅτι οἱ τοιοῦτοι μεγίστην ἑαυτοῖς δόξαν περιποιοῦσι. Παραινετική.

26 *Κανθάρου μελάντερος:* καί· *Κανθάρου σοφώτερος:* ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων· Κάνθαρος γάρ τις πονηρὸς ἐγένετο∴ *Κάνθαρος* ἄθηλυ ζῷον ἐστί, σπείρει δὲ εἰς τὴν σφαῖραν ἣν κυλίει· ὀκτὼ δὲ καὶ εἴκοσι μερῶν τοῦτο δράσας καὶ θάλψας αὐτήν, εἶτα μέντοι τῇ ἐπὶ ταύταις προάγει τὸν νεοττόν. Αἰγυπτίων δὲ οἱ μάχιμοι ἐπὶ τῶν δακτυλίων εἶχον ἐγγεγλυμένον κάνθαρον αἰνιττομένου τοῦ νομοθέτου, δεῖν ἄῤῥενας εἶναι πάντας πάντῃ τοὺς μαχομένους ἐπὶ τῆς χώρας, ἐπεὶ καὶ ὁ κάνθαρος θηλείας φύσεως οὐ μετείληχεν.

27 *Καρκίνος λαγὼν αἱρεῖ:* ἐπὶ τῶν ἀδυνάτων.

28 *Κατὰ μυὸς ὄλεθρον:* ἐπὶ τῶν κατὰ μικρὸν ἀποῤῥεόντων καὶ ὑπεκχωρούντων τοῦ βίου∴ *Οἱ γὰρ μῦς* ἀποθνήσκοντες καθ' ἑαυτοὺς ἐκ μηδεμιᾶς ἐπιβουλῆς, ἀποῤῥεόντων αὐτοῖς τῶν μελῶν, κατὰ μικρὸν ἀπέρχονται τοῦ βίου. λέγουσι δὲ αὐτοὺς καὶ λαγνιστάτους εἶναι· καὶ μαρτυρεῖ *Κρατῖνος* ἐν Δραπέτισι·

24d *Καὶ κηπωρὸν μισῶ τὸν ἐκ ῥιζῶν ἐκτέμνοντα τὰ λάχανα:* Ἀλέξανδρος εἶπε τοῦτο πρὸς τὸν συμβουλεύοντα λαμβάνειν τέλη πλείονα ἐκ τῶν πόλεων.

---

2. παραινετική AN om. 5. κάνθαρος ἄθηλυ] ὁ κάνθαρος ἀθ. As Z. 6. *εἴκοσιν ἡμερῶν* As: μερῶν etiam ER praebent. 9. *ἐγγεγλυμμένον* RZ As. 11. ἐπὶ] ὑπὲρ As. 15. γὰρ μῦς] *μύες* As. 16. καὶ ἐκ As. 17. μικρὰ As. 18. βίου] pergit As: ἔνθεν καὶ ἡ παροιμία λέγει, *Κατὰ μυὸς ὄλεθρον*· μέμνηται δὲ αὐτῆς Μένανδρος ἐν τῇ Θαΐδι [fr. IV Mein.]. Τρυγόνος δὲ λαλίστερον ἔλεγον: nunc sequitur huius proverbii explanatio. αὐτοὺς καὶ] τοὺς μῦς As. καὶ μάρτυρά γε Κρατῖνον ἐπάγονται, εἰπόντα ἐν ταῖς *Δραπέτισι* As. 20. εἰπόντος αὐτῷ τινος τῶν δοκούντων ἐννοεῖν ὅτι Δύνανται αἱ πόλεις σου πλεῖον παρέχειν ἐξόδους, ἔφη Κηπουρὸν κτλ. Maximus.

24d. Arsen. XXXII, 14. Alexandri Magni dictum: v. Max. Conf. Serm. 13, p. 575 Comb. Cf. Tiberii imperatoris dictum in Mant. Provv. s. τὸν πόκον περικείρεσθαι illustratum.
25. Arsen. XXXII, 29. Plut. Apophth. Lacon. 210 F: ἐρωτώμενος [sc. Agesilaus] δὲ πῶς μεγάλην δόξαν περιεποιήσατο, Θανάτου καταφρονήσας, ἔφη. Idem fere de Agide narratur ibid. 216 C.
26. Κανθάρου — κακοήθων] Greg. Cypr. L II, 41: Arsen. XXXII, 22. Κάνθαρος — ἐγένετο] Diog. V, 40. Κάνθαρος ἄθηλυ κτλ.] Aelian. N. An. X, 15.
27. K in nott. ad Diog. V, 96: Arsen. XXXII, 26. Greg. Cypr. M III, 93.
28. Mant. Provv. s. μυόλεθρος. Οἱ γὰρ κτλ.] Aelian. N. An. XII, 10. Κρατῖνος] fr. IV, p. 46 Mein. Ἐπικράτης] v. Meinekii Com. Gr. Fr. III, 369. Φιλήμων] fr. inc. 32 Mein.

Φέρε νῦν σοι
ἐξ αἰθρίας καταπυγοσύνην μυὸς ἀστράψω
Ξενοφῶντος.

Ὁ δὲ θῆλυς εἰς τὰ ἀφροδίσια λυττικὸς, ὡς Ἐπικράτης φησί·

Τελείως δ' εὖ με ὑπῆλθεν ἡ κατάρατος μα-
στροπὸς
ἐπομνύουσα τὰν Κόραν, τὰν Ἄρτεμιν,
τὰν Φαραφάτταν, ὡς δάμαλις, ὡς παρθένος,
ὡς πῶλος ἀδμής· ἡ δ' ἄρα ἦν μυωνία·

Εἰς ὑπερβολὴν δὲ λαγνιστάτην αὐτὴν εἰπεῖν θέλων, μυωνίαν ὅλην ὠνόμασε· καὶ Φιλήμων·

μῦς λευκός ὅταν τις αὐτὴν, ἀλλ' αἰσχύνομαι
λέγειν, κέκραγεν τηλικοῦτον εὐθὺς ἡ
κατάρατος μαστροπὸς ὥστ' οὐκ ἔστι πολλά-
κις λαθεῖν.

29 Κακῶν πανήγυρις: ἐπὶ πλήθους κακῶν.

30 Καδμεία νίκη: ἡ ἐπὶ κακῶν νίκη. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης υἱοὶ Οἰδίποδος, τινὲς δὲ Κάδμου, οὗ τὴν βασιλείαν οἱ υἱοὶ διεδέξαντο, συνέθεντο πρὸς ἀλλήλους ἕνα καὶ ἕνα χρόνον βασιλεύειν αὐτούς· βασιλεύσας δὲ ὁ Ἐτεοκλῆς οὐκ ἐβούλετο Πολυνείκην κατὰ τὸ δόξαν βασιλεῦσαι, καὶ τῷ πολέμῳ ἀλλήλους διεχειρίσαντο, καὶ ἐπὶ κακῷ νενικήκασιν, ὅτι ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον.

31 Καὶ τίς ἂν ταύτην τὴν πόλιν ἐπαινοίη δεόντως, ἣν οὐδεὶς ἔστερξε γενόμενος βελτίων; εἴρηται διὰ τὸ φθόνῳ τοὺς βελτίστους ὑπερορίζεσθαι.

---

1. Versus non distinxit Apostolius. 4. ὁ δὲ θῆλυς] καὶ ἔτι μᾶλλον τὸν θῆλυν ἔλεγον As. εἶναι λυττητικὸν As. ὡς — φησὶ] pluribus As utitur verbis. 5. τελέως δέ μ' ὑπῆλθεν As, τ. μ' ὑπῆλθεν Meinekius. 8. Φερσέφατταν As. 9. ἄρ' As. 10. θέλων] ἠθέλησε As. 11. ὀνομάσας As. 12. αὐτὴν τις As. 13. κέκραγε As. 14. μαστροπὸς recte Bentleius delevit. 17. κακῷ R Gregorius. 19. οἱ υἱοὶ dele. καὶ συνέθεντο RNO. 20. καὶ] scribe καθ'. 24. δεόντως ἐπαινοίη Plutarchus, qui explicationem hoc loco propositam non habet. Sensum dicti paulo obscuriorem explanare studet Wyttenbachius ad Plut. l. c.

29. Greg. Cypr. L II, 43: Arsen. XXXII, 15.
30. Greg. Cypr. L II, 45: Arsen. XXXII, 19.

31. Arsen. XXXII, 20. Dictum a Plutarcho Apophth. Lac. 220 F ad Eudamidam, Archidami filium, refertur.

32 *Καλῶς ἀκούειν πρός σέ ἐστι καὶ ἄλλως:* ἀντὶ τοῦ, σὺ εἶ σαυτῷ καὶ τοῦ ἐπαινεῖσθαι καὶ τοῦ ψέγεσθαι αἴτιος.

33 *Καὶ Ἡρακλῆς παρὰ τῶν ἀναισθήτων ἰσχὺν ἐλάμβανεν:* ὅτι καὶ ἀπ' ἐλαχίστων ἐστὶν εὑρεῖν τι ἀγαθόν.

34 *Καθ' ἑαυτοῦ Βελλεροφόντης:* ἐπὶ τῶν καθ' ἑαυτῶν τι ποιούντων.

35 *Κἂν αἲξ δάκῃ ἄνδρα πονηρόν.*

36 *Κακὸν ἄγγος οὐ κλᾶται:* παραπλησία τῇ· *Κακὸς ἀνὴρ μακρόβιος.*

37 *Κατὰ θεὸν ἥκεις:* ἀντὶ τοῦ, ἐγκαίρως.

38 *Κατὰ βοὸς εὔχου:* ἐπὶ τῶν μέγα βοώντων.

39 *Καύνιος ἔρως:* ἐπὶ τῶν μὴ κατορθουμένων ἐπιθυμιῶν. Καύνου γὰρ ἐρασθεῖσα ἡ ἀδελφὴ καὶ μὴ τυχοῦσα τοῦ ἔρωτος ἀνεῖλεν ἑαυτήν.

40 *Κανθάρου σκιά:* ἐπὶ τῶν φοβουμένων ἔνθα οὐ δεῖ.

41 *Κἂν ἐπὶ νεκροῦ κερδαίνειν:* ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τεθνεώτων.

42 *Καιρὸς ψυχὴ πράγματος.*

---

1. καὶ ἄλλως natum est ex καὶ καλῶς. Plutarchus: πάλιν οὖν τοῦ Σμικύθου λέγοντος, ὅτι θαυμαστὰ περὶ αὐτοῦ [Philippum innuit] πρὸς ἅπαντας ἐγκώμια λέγων ὁ Νικάνωρ διατελεῖ, Ὁρᾶτε οὖν, εἶπεν, ὅτι πρὸς ἡμᾶς αὐτούς ἐστι καὶ τὸ καλῶς καὶ τὸ κακῶς ἀκούειν: ubi πρὸς ἡμᾶς recte Baguetus ad Chrysipp. frr. p. 222 in παρ' ἡμᾶς mutandum esse contendit: eodem modo παρὰ adhibitum videbimus Apost. XIII, 26. 7. ποιούντων] ἡ ἱστορία ἐν Ἰλιάδι R addit: cf. Hom. Il. Z, 170 et v. Diog. V, 45. 9. ἄγγος] ἄγγελος N. 12. βοώντων] ἢ ἐπὶ τῶν εὐχομένων ἐφ' ὧν οὐ δεῖ in Z additur. 17. κερδαίνει N: κἂν ἀπὸ νεκροῦ φέρῃ Z. 19. πράγματος] Γλαύκωνος Z addit.

32. Arsen. XXXII, 16. Dictum Philippi regis, quod servavit Plut. Apophth. Reg. cett. 177 D.

33. »Fabula quae tangitur ignoro. An illa, qua Hercules, ut infr. XIII, 1 exponitur, mortuus ex nidore coturnicis assae revixisse dicitur«? Pantinus.

34. Greg. Cypr. L II, 46: Arsen. XXXII, 21.

35. Diog. V, 87.

36. Arsen. XXXII, 17. »Simili metaphora dicunt et hodie vulgo, malam herbam non perire«: Erasmus III, 2, 99. Κακὸς κτλ.] admovit Boissonadus Constantino Man. de Dros. amor. IV, 66: ὁ μὲν γὰρ κάκιστος ἀνὴρ τῷ βίῳ συγγηράσκει Καὶ ζῇ μακροὺς λυκάβαντας ἕως τριχὸς πολέμου [f. πολιοῦ] κτλ.

37. Philostr. Heroic. 665 Ol.: ἀλλ' οὐκ ἀλύω, βέλτιστε, κατὰ δὲ θεόν, νὴ τὴν Ἀθηνᾶν, ἥκω: ibid. 666: κατὰ θεὸν ἥκεις ἀληθῶς, ξένε, ubi v. Boissonadum.

38. Greg. Cypr. L II, 48: Arsen. XXXII, 31.

39. Diog. V, 71.

40. Greg. Cypr. L II, 50: Arsen. XXXII, 23.

41. Greg. Cypr. M III, 92: Arsen. XXXII, 24.

42. Isocr. ad Demon. 8 Steph.: τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν:

43 *Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς:* Κράτωνος.

44 *Κατόπιν ἑορτῆς ἥκεις:* ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων.

45 *Κατὰ πυρὸς ξαίνεις:* ἐπὶ τῶν ἀδυνάτων· ὁμοία τῇ, *Κατὰ πετρῶν σπείρεις.*

46 *Κασιωτικὸν ἅμμα:* ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους· οὗτοι γὰρ ἅμματά τινα δύσλυτα ἐπιτεχνάζονται.

47 *Κακὴ πρόσοδος:* ἐπὶ τῶν μετὰ τὴν μίξιν τὸν συγκείμενον μισθὸν κομιζομένων.

48 *Κατὰ ποδὸς βάσιν:* ἐπὶ τῶν κατὰ μικρόν τι πραττόντων καὶ μετὰ τέχνης. ὅμοιον τῷ, *Ἐν νυκτὶ βουλή.*

49 *Καὶ δρῦς μαινὰς ἐγένετο:* ἐπὶ τῶν μόγις κηλουμένων βίᾳ ἡτινιοῦν· φασὶ γὰρ καὶ δρῦν ἐρασθῆναι Ὀρφέως ᾠδῆς ἕνεκεν.

50 *Καρκίνος ὀρθὰ βαδίζειν οὐ μεμάθηκεν:* ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων περί τι φαῦλον. *Ἡ πίννα, θαλάττιον ζῶον,* καὶ ἔστι τῶν ὀστρείων· κέχηνε δὲ τῇ διαστάσει τῶν περικειμένων ὀστράκων, καὶ προτείνει σαρκίον ἐξ ἑαυτῆς οἱονεὶ δέλεαρ τῶν ἰχθύων τοῖς παρανηχομένοις· ὁ καρκίνος δὲ αὐτῇ παραμένει σύντροφός τε καὶ σύννομος. οὐκοῦν ὅταν τι τῶν ἰχθύων προσνέῃ, ὁ δὲ ὑπένηξεν ἡσυχῇ αὐτήν. καὶ ἐδέξατο ἔσω τοῦ ἐπιόντος ἰχθύος τὴν κεφαλήν — καθίησι γὰρ ὡς ἐπὶ τροφῇ — καὶ ἐσθίει αὐτήν.

---

2. Κράτωνος] Ἀντιφάνους Stobaeus: compara Apost. VII, 27. 7. Κασσιωτικὸν Z. 9. πρόσοδος] πρόδοσις male Diogenianus. ἐπὶ τῶν] ἐπὶ τῶν ἀπὸ καλοῦ πράγματος ἀπολειπομένων. ἢ Z praemittit. 10. οὐ κομιζομένων recte Meinekius in Com. Gr. Fr. II, 1, 416. 17. φαῦλον c. seqq. N om. πίννη As. 21. ὁ As om. 22. ἐπένυξεν RZ As. 23. αὐτήν.] καὶ ἡ πίννη μᾶλλον ἀνέφυξεν ἑαυτὴν addunt As Z.

id. ad Nicocl. 21 Steph.: κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν: add. Bias Arsenii XIV, 18 et infr. 57. 59d.

43. Stob. Flor. 97, 1. Antiph. fab. inc. fr. 62 Mein.

44. Greg. Cypr. M III, 89: Arsen. XXXII, 30. Cf. Apost. XIV, 10.

45. Cf. Apost. VI, 72. Κατὰ π. σπ.] Plut. Boiss. 1: cf. adnott. ad DV II, 61.

46. Diog. V, 44.

47. Diog. V, 74.

48. Diog. V, 95. Macar. IV, 97. Ἐν ν. β.] Apost. VII, 47.

49. Max. Tyr. Diss. XXXVII, 6, p. 210 R.: ἀλλ' εἵποντό γε Ὀδρύσαι ἑκόντες ἡγεμόνι Ὀρφεῖ, καλῇ κηλούμενοι τῇ ᾠδῇ· τοῦτο τό· ἄρα καὶ δρῦς μαινὰς ἐγένετο, ἄρ' ἦν, εἰκαζόντων τὸ ἀγεννὲς τοῦ τῶν κηλουμένων τρόπου ἀψύχοις σώμασιν: ita dedi locum ex emendatione R. Ungeri: v. Theb. Parad. I, 443.

50. Arsen. XXXII, 27. Natum est ex apologo: v. Aesop. Fab. 205

51 *Καὶ μία μείζων βία τῶν Μηνιάδων: ἐπὶ τῶν ἀφορήτοις περιπεσόντων δεινοῖς.* Εὐφορίων λέγει τὴν Σάμον ἐν τοῖς παλαιοτάτοις χρόνοις ἐρήμην γενέσθαι, φανῆναι γὰρ ἐν αὐτῇ θηρία μεγέθει μὲν μέγιστα, ἄγρια δὲ προςπαλαῖσαι, καλεῖσθαι δὲ Μηνιάδας, ἅπερ οὖν καὶ μόνῃ τῇ βοῇ ἐῤῥήγνυ τὴν γῆν· κἀντεῦθεν διαῤῥεῖν λέγεται τὴν παροιμίαν ἐν Σάμῳ.

52 *Καρικὸς τράγος: ἐπὶ τῶν εὐτελῶν.*

53 *Καρικὸς τάφος: ἐπὶ τῶν πολυτελῶν.*

54 *Κακά τοι φάμα κακκέχυται. ταύτην ἀπόθευ ἢ μὴ ἔσο:* Λάκαινά τις ἀκούσασα περὶ τοῦ υἱοῦ ὡς κακῶς ἐπὶ ξένης ἀναστρέφοιτο, τοῦτ' ἔγραψεν.

55 *Καθώσπερ αἱ τίτθαι στίζεις κακῶς: ἐπὶ Κλέωνος ἐῤῥήθη,* ὃς ὀλίγα τῷ δήμῳ χαριζόμενος τὰ πλείω ἐκέρδαινε. λέγεται δὲ, ὅταν προφάσει τινὸς λαμβάνων τις χρή-

---

1. *καὶ — Μηνιάδων*] quo modo haec emaculanda sint, v. infr.: similiter corruptum in quibusdam Aeliani codd. proverbium exstare, Iacobsius in adnott. ad Aeliani l. c. docet. *ἐπὶ — δεινοῖς*] in Aeliano non leguntur. 2. *Εὐφορίων δὲ ἐν τοῖς ὑπομνήμασι* As. 3. *παλαιτάτοις τοῦ χρόνου ἐρήμην, γενέσθαι δὲ ἐν αὐτῇ* As: Apostolii lectionem probat Meinekius: assensum retinet Iacobsius. 5. *προςπαλαῖσαι*] *καὶ προςπελάσαι τῷ δεινά* As. *δὲ* [*γε* Meinekius] *μὴν νηάδας* As: »quod *Μηνιάδας* vocat Apostolius belluas istas pro *νηάδας* vel *νηΐδας*, id fluxit ex vitioso, quo usus est, Aeliani codice, in quo scriptum invenerat *καλεῖσθαί γε μηνιάδας* pro *καλεῖσθαί γε μὴν νηάδας*«: Meinekius. 6. *βοῇ ῥήγνυται* As. *κἀντεῦθεν κτλ.*] *παροιμίαν οὖν ἐν τῇ Σάμῳ διαῤῥεῖν τὴν λέγουσαν. Μεῖζον βοᾷ τῶν νηάδων* As. 9. Explicationem Eudocia ignorat. *πολυτελῶν*] *ὁ δὲ τάφος ἦν Μαυσώλου* Z addit. 10. *τοι*] *τευ* Valckenaerius ad Theocr. Adon. 260 A. *ταύταν* Plutarchus. *ἀπώθευ* Valckenaerius. Teles sic refert: *κακὰ φάμα τεῦ κακκέχυται· τὺ ὦν ἢ ταύταν ἀπότριψαι, ἢ μὴ δ' ἀμῖν φάνευ.* 12. *ἐπὶ τῆς* Valckenaerius.

Fur.: alludit Aristoph. Pac. 1083, quem affert Apost. XIII, 46ª: add. Basil. Epist. ad Calligr. 334 (180): *μηδὲ βιάζου τὸν κάλαμον λοξὰ βαδίζειν ὥςπερ τὸν παρ' Αἰσώπῳ καρκίνον.* *Ἡ πίννα κτλ.*] Aelian. N. An. III, 29.

51. Aelian. N. An. XVII, 28. *Εὐφορίων*] v. Meinekius Anal. Alex. 61: add. Schneidewinus ad Heracl. Polit. 10, p. 71 sqq.

52. Diog. V, 48: Arsen. XXXII, 28. Cf. DV II, 98. III, 2.

53. Eudoc. 286. De Mausoli sepulcro nota omnia: v. Strabo XIV, 2, 656. Pflugkius de Theop. Chii v. et script. 25. Proverbialiter eo usus est Ioann. Sicel. in Walzii Rhett. Gr. T. VI, 265: *τί μοι πρὸς τοῦτο τὸ ἔργον αἱ ἑπτάπυλοι Θῆβαι καὶ οἱ Αἰγύπτιοι καὶ Μαυσώλου Καρικὸς τάφος καὶ πυραμίδες;* add. Greg. Naz. Epigr. 57, T. II, p. 1188 Caill. et *Μαυσώλου θησαυροὶ* apud Maxim. Tyr. Dissertt. XXXV, p. 167 R.

54. Plut. Apophth. Lacaen. 241 D: adhibet Teles apud Stob. Flor. 108, 83.

55. K in nott. ad Greg. Cypr. P. II, 82: Arsen. XXXII, 25. Greg. Cypr. L II, 35.

ματα κατεσθίει αὐτά. αἱ γὰρ τίτθαι διαμασώμεναι τὰς τροφάς, ἐξαίρουσαι τοῦ στόματος τοῖς τῶν παιδίων ἐντιθέασιν· εἶτα συμβαίνει αὐτὰς ὀλίγα μὲν τοῖς παιδίοις διδόναι, τὰ πλείω δὲ κατεσθίειν.

56 *Καρκίνον δασύποδι συγκρίνεις: ἐπὶ τῶν τὰ ἀνόμοια παρατιθεμένων.*

57 *Κακὸν τὸ καλὸν, ἤν τι μὴ καιροῦ τύχῃ.*

58 *Κακὸν δῶρον, ἴσον ζημίᾳ.*

59 *Κατὰ ῥοῦν φέρεται: ἐπὶ τῶν εὐπλοούντων καὶ εὐτυχούντων.*

60 *Καὶ τὸ ἄμεινον εἰς τοὐναντίον ἀποτελευτᾷ.*

61 *Κατ' αἶγας ἀγρίας· ὁμοία τῇ, Ἐς κόρακας.*

62 *Κακὰ μὲν θρῖπες, κακὰ δὲ ἶπες: ἄμφω γὰρ λυμαντικοί· καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ τὰ κρέατα ἐσθίουσι.*

59a *Καπνὸν φεύγων εἰς πῦρ περιέπεσον.*

59b *Κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν: οἱ τὰ ξενὰ ζητοῦντες ἀπαλλοτριοῦνται καὶ τῶν οἰκείων.*

59c *Κάτοπτρον εἴδους χαλκός ἐστιν, οἶνος δὲ νοῦ :· Εὐριπίδου.*

59d *Καλόν τι καιροῦ παντὸς εἰδέναι μέτρον.*

---

1. κατεσθίῃ ταὐτὰ K. 3. ὀλίγας K. 5. Explicationem Ds non agnoscit. 7. Scribe κακόν γε. 8. κακόν γε δῶρον Erasmus IV, 3, 4. 14. κέρατα Gregorius: cf. nott. ad Diog. V, 78. 19. εἴδους] οἴνου Ab. ἐστ' Stobaeus, Maximus. Εὐριπίδου] Αἰσχύλου Z Stobaeus, Αἰσχίνου Maximus. 20. καλὸν τὸ Menander.

56. Diog. I, 56.

57. Cf. nott. ad Apost. IX, 42.

58. Arsen. XXXII, 17. Cf. adnott. ad Mant. Provv. s. *κέρδος αἰσχρόν.*

59. Diog. V, 82: Arsen. XXXII, 32. Greg. Cypr. L II, 38.

59a. Arsen. XXXII, 33. Cf. Macar. VIII, 42.

59b. Arsen. XXXII, 34. Apost. VIII, 43.

59c. Arsen. XXXII, 35. VII, 93: Stob. Flor. 18, 13. Max. Conf. Serm. 30, p. 618 Comb. De altera versus parte v. Macar. VIII, 40. Diog. VII, 28. De sententia cf. Apost. XII, 49. Est Aesch. fr. 274 Dind.

59d. Arsen. XXXII, 36: Men. Monost. 273. Cf. Apost. IX, 42.

60. Similes sunt hae formulae: Plat. Theaet. 162 D: *νῦν δὲ τοὐναντίον ταχὺ μεταπέπτωκε*: id. Menon. 70 C: *ἐνθάδε δὲ .. τὸ ἐναντίον περιέστηκεν*: Luc. pro lapsu int. salut. §. 15: *τὸ σφάλμα .. περιετράπη καὶ εἰς τὸ ἄμεινον παρώλισθεν*: Anon. in Crameri An. Oxon. III, 211: *εἰς τὸ ἐναντίον τὰ πρᾶγμα περιετράπη μοι*: ibid. 218, 1: alia habet Iacobsius Lectt. Stob. 27 sqq.: add. Apost. V, 90k.

61. Diog. V, 49. Macar. III, 59. *Ἐς κόρ.*] Apost. VI, 65.

62. Greg. Cypr. M III, 98: Arsen. XXXII, 18.

63 *Κατὰ βῆμα τῆς ἀρετῆς μέμνησο: Λάκαινα ἐπ' ἀδικήματι τῷ παιδὶ κρινομένῳ τοῦτ' εἶπε τἀπόφθεγμα.*

Τὸ κ̃ μετὰ τοῦ ε̃.

64 *Κερκωπίζειν: ἀντὶ τοῦ, ἀπατᾶν καὶ δολιεύεσθαι· μετήνεκται δὲ ἀπὸ τῶν Κερκώπων οὕτω λεγομένων ἀνδρῶν. ὧν τὰ ὀνόματα ἀναγράφει Αἰσχίνης ὁ Σαρδιανὸς ἐν τοῖς ἰάμβοις, Ἄνδουλον καὶ Ἄτλαντον αὐτοὺς ὀνομάζων. Ξεναγόρας δὲ Πιθήκους αὐτοὺς καλεῖ, ἐξ ὧν κληθῆναι καὶ τὰς Πιθηκίνους νήσους.*

65 *Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν: ἤτοι πρὸς τὸ προκείμενον ἐπάνηκε. νύσσα δέ ἐστιν ὁ καμπτός, καθ' ὃν οἱ ἱππεῖς δρόμῳ φθάνοντες ἔκαμπτον καὶ εἰς τὴν ὕσπληγκα ἐπανήρχοντο. ὁ δὲ πρῶτος φθάσας ἐταινιοῦτο.*

66 *Κενὰ κενοὶ βουλεύονται.*

---

1. Quae explicationis gratia adduntur, per errorem huc ex apophthegmate undecimo posita sunt. 5. *μετενήνεκται* Gregorius. *οὕτω κτλ.* A om. 7. *αὐτοὺς ὀνομάζων* ab Harpocratione absunt. 8. *δὲ — καλεῖ*] *δὲ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησι* Harpocratio. 9. *Πιθηκίνους* etiam in codd. AB Harpocrationis legitur: scribe *Πιθηκούσσας* cum Bekkero. *νήσους*] *τούτους ἐτιμωρήσατο Ἡρακλῆς διὰ τὴν κλοπὴν τῶν βοῶν τοῦ Γηρυόνου* EZ ex Scholl. ad Aeschin. or. II, §. 40, p. 29b, 27 addunt: cf. Zenob. V, 10. 10. Explicationem Suidas non affert: nam quae apud Kusterum leguntur: *σπεῦδε δηλονότι ἐπὶ τὸ προκείμενον*, ea optimos codd. secutus Bernhardius delevit. Ceterum cum nostro proverbio cohaerere videntur quae exstant in Etym. Gud. 314, 56: *κέντριον τὸ βούκεντρον. κέντει τὸν πῶλον, κεντρίσας τὸν πῶλον.* 11. *καμπτὸς*] Pantinus *καμπτήρ* corrigendum putat: sine causa: v. Etym. M. 609, 29. Zonar. Lex. 1409. 12. *ὕσπληγγα* ZW. 14. *Κενοὶ κενὰ λογίζονται* u. Explicat A: *ἐπὶ τῶν ματαίως βουλευομένων.*

63. Plut. Apophth. Lacaen. 14, p. 241 E.

64. *Κερκωπίζειν — ἀνθρώπων*] Greg. Cypr. L II, 47: Arsen. XXXII, 37. *οὕτω — ἀνδρῶν*] e Diog. V, 51 fluxere. *ὧν κτλ.*] Harpocr. 110, 2 Bekk. Cf. DV II, 100.

65. Suidas: Arsen. XXXII, 38. Usurpat Greg. Naz. Or. 38, p. 618 A: *ἀλλὰ τί τούτων ἡμῖν τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων, κέντει τὸν πῶλον περὶ τὴν νύσσαν*: add. eiusd. Or. 20, p. 332 C: *ἀλλ' ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος*: Euagr. Hist. Eccles. I, 11: *ἐπὶ τὴν νύσσαν τὸν πῶλον ἐκκεντήσωμεν.* Explicatio sine dubio ex interprete aliquo Gregorii Nazianzeni descripta est: quae nunc notae sunt nonnihil discrepant: v. tamen Tzetzen ad Lycophr. Cass. 15. *ὕσπληγγα*] hoc loco inter vv. *ὕσπληγξ* et *νύσσα* s. *ἀφετηρία* distinguitur: idem fit apud Eustath. ad Dion. Perieg. 117 et Schol. ad Theocr. VIII, 57: quum etiam de eodem hippodromi loco dicerentur, factum est, ut in proverbii fere consuetudinem veniret *ἀπὸ ὕσπληγγος θεῖν*, de quo v. Lucian. Catapl. §. 4. Timon. 20,, intt. Hesych. s. v. et Coraes ad Heliod. Aeth. II, 2.

66. Greg. Cypr. M III, 96: Arsen. XXXII, 41.

67 *Κεναῖσιν ἐλπίσι θερμαίνεται:* ἐπὶ τῶν μάτην ἐλπιζόντων.

68 *Κέρδος αἰσχύνης ἄμεινον:* ἐπὶ τῶν διὰ κέρδος αἰσχύνην προςποριζόντων ἑαυτοῖς καὶ μὴ ἐπιστρεφομένων ταύτης.

69 *Κερκυραία μάστιξ:* ἐπὶ τῶν μεγάλων μαστίγων· τοιαύτας γὰρ εἶχον οἱ Κερκυραῖοι.

70 *Κέσκων πόλις:* ἐπὶ τῶν ἀνοήτων· οἱ γὰρ ἐν ταύτῃ κατοικοῦντες τῇ πόλει τοιοῦτοι.

71 *Κεραμέως πλοῦτος:* ἐπὶ τῶν σαθρῶν καὶ ἀβεβαίων καὶ εὐθράστων.

72 *Κεραμεὺς ἄνθρωπος:* ἐπὶ τοῦ σαθροῦ.

73 *Κενταύρων ὕβριν μεμίμηται:* ἐπὶ τῶν ἐπὶ πλούτῳ γαυριώντων καὶ ὑβριζόντων:. *Λέγεται δὲ τοὺς Κενταύρους*, ὡς θηρία ἐγένοντο, καὶ ἵππον μὲν εἶχον ὅλην τὴν ἰδέαν πλὴν τῆς κεφαλῆς· εἴτις οὖν πείθεται τοιοῦτον θηρίον γενέσθαι, ἀδυνάτοις πιστεύει· οὔτε γὰρ ἡ φύσις σύμφωνος ἵππου καὶ ἀνδρός, οὔτε ἡ μορφὴ ὁμοία, οὔτε διὰ στόματος καὶ φάρυγγος ἀνθρωπείου δυνατὸν ἵππου τροφὴν διελθεῖν· εἰ δὲ τοιαύτη ἰδέα τότε ἦν, καὶ νῦν ἂν ὑπῆρχε. τὸ δὲ ἀληθὲς ἔχει ὧδε· Ἰξίονος, βασιλέως ὄντος Θεσσαλίας, ἐν τῷ Πηλίῳ ὄρει ἀπηγριώθη ταύρων ἀγέλη,

66a *Κενὰ τὰ τύχης:* πρὸς ἀνεπιτηδείους.

---

3. *δ. τι κέρδος* Ds. Ceterum v. quae de hoc proverbio in Schneidewini Philologo III, 570 disputavi. 7. *οἱ Κερκυραῖοι* Ds om. 10. *κεράμειος πλ.* Erasmus I, 10, 56. 11. *εὐθραύστων* R Ds. 12. *κεραμεὺς*] *κέραμος* ex codd. affert Erasmus II, 10, 90. 13. *τῶν ἐπὶ* A om. 14. *λέγεται — Κενταύρους*] *φασὶν* Ps. 15. *ἱππῶν* [sic] A, *ἵππου* ZR, *ἵππων* Ps. 16. *κεφαλῆς*] *ταύτην δὲ ἀνδρός* Ps addit. 17. *ἀδύνατον πεπίστευκεν* Ps Fischeri: *ἀδυνάτοις πεπ.* Westermannus. *ἄλλως αἱ φύσεις σύμφωνοι* Ps Westermanni. 18. *μορφὴ*] *τροφὴ* AN Ps. 19. *φάρυγγος* RANZ Ps. 21. *Ἰξίωνος* A. 22. *Πηλείῳ* RNZ. 23. Scribe *κενὰ τὰ τῆς τυχῆς*.

66ᵃ. Arsen. XXXII, 42.

67. Soph. Aiac. 477: *οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν Ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται*, ubi v. Lobeckius. Sententia illustratur in ann. ad Provv. App. I, 59.

68. Diog. V, 42. Macar. V, 13. VI, 98.

69. Diog. V, 50. De explicationis auctore Nauckius ad Aristoph. Byz. frr. p. 239 disputat.

70. Diog. V, 52.

71. Diog. V, 97.

72. Diog. V, 98. Verrem Cicero *luteum hominem* dixit in Verr. III, 14, 35, Epicurum id. in or. c. Pison. 25, 59 *homullum ex argilla et luto fictum*.

73. Arsen. XXXII, 39. *Ὕβριν* Centaurorum notant Theogn. 541, Lucian. Iov. Trag. 21. de Saltat. 48 aliique, quos recenset Boettiger

καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει· εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι ἔσινον τὰ δένδρα καὶ τοὺς καρποὺς καὶ ὑποζύγια διέφθειρον. ἐκήρυξεν οὖν ὁ Ἰξίων, ὡς εἴτις οὖν ἕλοιτο τοὺς ταύρους, δώῃ χρήματα πάμπολλα. νεανίσκοι δέ τινες ἐκ τῆς ὑπερορίας ἐκ κώμης τινὸς καλουμένης Νεφέλης ἐπινοοῦσιν ἵππους κέλητας διδάξαι· πρότερον γὰρ οὐκ ἠπίσταντο ἐφ' ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο. οὕτω δὲ ἀναβάντες τοὺς κέλητας ἤλαυνον ἐφ' οὗ οἱ ταῦροι ἦσαν, καὶ ἐπειςβάλλοντες ἐν τῇ ἀγέλῃ ἠκόντιζον· καὶ ὅτε μὲν ἐδιώκοντο ὑπὸ τῶν ταύρων, ἔφευγον οἱ νεανίαι· ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι· ὅτε δὲ ἔστησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον· καὶ τοῦτον τὸν τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς ταύρους ἐκέντουν· οὐδὲν γὰρ πρόςεστι ταύρου τοῖς Κενταύροις, ἀλλ' ἵππου καὶ ἀνδρὸς ἰδέα ἐστὶν ἀπὸ τοῦ ἔργου· λαβόντες οὖν οἱ Κένταυροι τὰ Ἰξίονος χρήματα καὶ γαυριῶντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ, ὑβρισταὶ ὑπῆρχον καὶ ὑπερήφανοι καὶ πολλὰ κακὰ εἰργάζοντο, καὶ δὴ καὶ κατ' αὐτοῦ Ἰξίονος, ὃς ᾤκει τὴν καλουμένην Λάρισαν πόλιν· οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες Λαπίθαι ἐκαλοῦντο· κεκλημένοι δὲ οἱ Κένταυροι παρὰ τῶν Λαπιθῶν ἐπὶ θοίνην, μεθυσθέντες ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν, καὶ ἀναβιβάσαντες ἐπὶ τοὺς ἵππους αὐτὰς ᾤχοντο εἰς τὴν οἰκείαν φεύγοντες, ὅθεν ὡρμῶντο. ἐπολέμουν οὖν τοῖς Λαπίθαις, καὶ καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία ἐνέδρας ἐποίουν. ἡμέρας δὲ γενομένης ἁρπάζοντες ἀπέτρεχον ἐπὶ τὰ ὄρη. οὕτως δ' ἀπερχομένων αὐτῶν ἵππων οὐραὶ καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο· ξένην οὖν ὁρῶντες θέαν ἔλεγον, Οἱ Κένταυροι ἡμᾶς κατατρέχοντες ἐκ Νεφέλης πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ

---

2. ἐσίνοντο Westermannus. 3. τὰ ὑποζ. RZ Ps. συνδιέφθειρον Fischerus. 4. οὖν ἕλοιτο] ἀνέλοι Ps. τούτῳ δώσειν Ps, τούτῳ δφῇ Z. 5. ὑπωρείας AN Ps. 8. οὕτως RZ. 9. ἐν Ps recte om. 10. διώκοιντο Westermannus. ἀπέφευγον Ps. 11. σταίησαν Westermannus. 14. κατεκέντουν Fischerus. 16. ἀπὸ] ὑπὸ N. γοῦν Ps. τὰ] παρὰ Ps. 19. καὶ κατ'] κατ' Westermannus. τοῦ Ἰξίονος Ps. τὴν νῦν Ps. 20. Λάρισσαν RNZ Ps. 24. φεύγοντες post ᾤχοντο Ps collocat. ὁρμῶντο A. 26. ἐποιοῦντο Ps. 27. ἐπέτρεχον Z. οὕτω Ps.

Pictur. Vas. fasc. 3, p. 99: add. ται κτλ.] Palaeph. Incred. 1, ubi v. Scholl. ad Arist. Ran. 38. Λέγε- Fischerus.

ταύτης τῆς ἰδέας καὶ τοῦ λόγου ὁ μῦθος ἐπλάσθη, ὡς ἐκ νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγεννήθη ἐν τῷ ὄρει.

74 Κεκύλισται ὁ πίθος: ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων μάτην τι ποιούντων.

75 Κερκιώνων ἐλευθερία: ἐπὶ τῶν ἀδεσπότως ζῆν ἐθελόντων:· Γίνεται ἐν τοῖς Ἰνδοῖς ὄρνις ὄνομα κερκίων, μέγεθος κατὰ ψᾶρας, καὶ ἔστι ποικίλον καὶ μουσωθὲν ἀνθρώπων φωνήν. εἶτα μέντοι τῶν ψιττακῶν ἐστι λαλίστερόν τε καὶ θυμοσοφώτερον. οὐ μὴν τὴν ἐξ ἀνθρώπων τροφὴν ἡδέως ὑπομένει, ἀλλὰ ἐλευθερίας πόθῳ καὶ παῤῥησίας κατὰ τὴν συντροφίαν ἐπιθυμίᾳ, ἀσπάζεται λιμὸν μᾶλλον ἢ δουλείαν μετὰ τρυφῆς, καὶ καλεῖται κερκίων, ἐπειδὴ καὶ αὐτὸς διασείει τὸν ὄῤῥον, ὥσπερ οὖν καὶ οἱ κίγκλοι.

76 Κεστρεὺς νηστεύει: ἐπὶ τῶν λαιμάργων· ἄπληστον γὰρ τὸ ζῷον.

Τὸ κ μετὰ τοῦ η.

77 Κηρὸν τοῖς ὠσὶν ἐπαλείφεις: ἐπὶ τῶν παραιτουμένων ἀκοῦσαί τινων εἴτε φαύλων εἴτε σπουδαίων.

76a Κέρδους ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι:· Ἀριστοφάνους Εἰρήνῃ.

76b Καὶ τοῦτο δὴ τὸ τῆς εὐχῆς· ἀποτείνοντε τὼ πόδε καθεύδειν.

77a Κισσὸς μετ' Ἀνθεστῆρα: ἐπὶ βραδέων.

---

1. τοῦ Ps om. μῦθος ἀπίστως Ps. ἐκ τῆς Ps. 4. τι μάτην Gregorius. 6. ἐν — ψάρους] ἐν Ἰ. καὶ ἄλλο ὄρνεον, καὶ ἔχει τὸ μέγεθος κατὰ τοὺς ψάρους As. 8. σιττακῶν As. 9. τὴν] τε R. 11. τῆς κατὰ As. 12. καὶ κ. Κ.] pluribus hoc ipsum As exponit. 19. ἕκατι Aristophanes. 22. μεθ' O.

74. Greg. Cypr. L II, 52: Arsen. XXXII, 40.

75. *Γίνεται κτλ.*] Aelian. N. An. XVI, 3.

76. Greg. Cypr. M III, 95: Arsen. XXXII, 43. DV III, 1.

76[a]. Arsen. XXXII, 44: Arist. Pac. 699. Macar. IV, 69.

76[b]. Arsen. XXXII, 45.

77. Philostr. Heroic. 717 Ol.: .. καὶ ὁπόσα αἱ Σειρῆνες ᾖδον, οὐδὲ ἀκούειν ξυγχωρεῖ ὁ Πρωτεσίλεως, ἀλλ' ἐπαλείφειν ἡμᾶς κηρὸν τοῖς ὠσὶ καὶ παραιτεῖσθαι αὐτὰ οὐχ ὡς οὐ πλέα ἡδονῆς .., ἀλλ' ὡς ἀπίθανα. Natum est a cera, qua Ulixes sociorum aures adversus Sirenum cantilenas illeverat: Hom. Od. *M*, 177: ἐξείης δ' ἑτάροισιν ἐπ' οὔατα πᾶσιν ἄλειψα: Alcman in Scholl. Ven. ad Hom. Il. *Π*, 236: καί ποτ' Ὀδυσσῆος ταλασίφρονος ὤαθ' ἑταίρων Κίρκη ἐναλείψασα.

77[a]. Arsen. XXXII, 46: Apost. praef. §. 5.

Τὸ κ̃ μετὰ τοῦ ι̃.

78 *Κιλίκιοι τράγοι:* οἱ δασεῖς· ὅθεν καὶ τὰ ἐκ τριχῶν κιλίκια λέγεται.

79 *Κινεῖς τὸν ἀνάγυρον:* ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ ὁ ἀνάγυρος ἄνθος, ὃ τριβόμενον ὄζει, καὶ δῆμος τῆς Ἀττικῆς, καὶ ὄνομα κύριον ἥρωος. τούτου δέ τις ἔκοψε τὸ ἄλσος· ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἀπέμηνε τὴν παλακήν. ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα, διέβαλλεν ὡς ἀσελγῆ τῷ πατρί· ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλακὴ εἰς φρέαρ ἑαυτὴν ἔῤῥιψεν· ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν, ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα. ὅταν οὖν ἐπὶ οἰκείοις κακοῖς πράσσῃ τίς, λέγεται, *Κινήσεις τὸν ἀνάγυρον.*

80 *Κινήσω τὴν ἀφ' ἱερᾶς:* ἐπὶ τῶν τὰ ἔσχατα κινδυνευόντων.

79a *Κιχάνει τοι βραδὺς ὠκύν:* ἐπὶ τῶν ἡττωμένων παρὰ τῶν ὑποδεεστέρων.

Ὡς καὶ νῦν Ἥφαιστος, ἐὼν βραδύς, εἷλεν Ἄρηα,
ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
χωλὸς ἐών, τέχνῃσι· τὸ καὶ μοιχάγρι' ὀφέλλει.

---

4. ἐπὶ — ὄζει] in Suida singula membra aliter se excipiunt. 6. καὶ — ἥρωος] pluribus Suidas exponit. 7. τούτου] Ἀναγυράσιος δαίμων, ἐπεὶ τὸν παροικοῦντα πρεσβύτην καὶ ἐκτέμνοντα τὸ ἄλσος ἐτιμωρήσατο Ἀνάγυρος ἥρως. [Ἀναγυράσιοι δὲ δῆμος τῆς Ἀττικῆς] τούτου Suidas. ἐξέκοψε idem. ἐπέμηνε idem. 8. παλλακὴν idem, A. 9. διέβαλεν AZ Suidas. 11. παλλάκην AZ Suidas. 12. τραγῳδοποιῶν Suidas Kusteri. 14. κινήσεις τ. ἀν.] Suidas s. κίνησον τὸν ὀνόγυρον ὁ ὀνόγυρος εἶδος λυγώδους φυτοῦ. ὅθεν δηλοῖ ὅτι τὰς μάστιγας κίνησον: hanc proverbii formam Suid. v. ἀνάγυρος respicit, quum dicit: οἱ δὲ ὀνόγυρον αὐτὸ [sc. τὸ φυτόν] φασίν. Ceterum de hac planta disserit Galenus de simplic. medicam. temperam. VI, 40, T. XI, 829 Kuehn.: add. intt. Hesych. s. ἀναγυράσιος. 18. ὑποδεεστέρων] Ὅμηρος in margine ab alia manu additum est in A.

78. Greg. Cypr. M III, 86: Arsen. XXXII, 47.
79. Arsen. XXXII, 48. κινεῖς — ὄζει] Suid. s. ἀνάγυρος: add. Zenob. II, 55. Diog. III, 31. Suid. s. κινεῖς. Apost. II, 96. IX, 98. καὶ—Φοίνικα] Suid. v. Ἀναγυράσιος. Ἱερώνυμος] v. Vossius de Histor. Gr. 454 Westerm. ὅταν κτλ.] v. Diog. l. c. ibiq. narrationem e C exscriptam.
79a. Arsen. XXXII, 49. ὡς κτλ.] Hom. Od. Θ, 330. Bene Walzius citat Aristid. ὑπὲρ τ. τεττ. 259: ὅταν ἐκπίπτῃ μὲν τοῦ ἅρματος ὁ ἡνίοχος, ἐν ᾧ πρόσθεν εἱστήκει βεβαίως ... ἰλιγγιᾷ δὲ ὁ κρείττων ὑπὸ τοῦ χείρονος, κιχάνῃ δὲ βραδὺς ὠκύν, πάντα δ' ἄνω καὶ κάτω περιχωρῇ τότ' ἂν τις κτλ.
80. Diog. V, 41. Cf. Apost. IV, 55.

81 *Κινδυνώδης ἡ ἐν πρώρᾳ σελλίς:* οἱ γὰρ πολέμιοι πρῶτα τὴν πρώραν κατέχουσιν.

82 *Κίγκλου πενέστερος:* ὁ κίγκλος ζῷόν ἐστι πτηνὸν ἀσθενὲς τὸ κατόπιν· καὶ διὰ τοῦτό φασι μηδὲ ἰδίᾳ μηδὲ καθ' ἑαυτὸν δυνάμενον αὐτὸν νεοττιὰν συμπλέξαι, ἐν τοῖς ἄλλοις τίκτειν· ἔνθεν καὶ τοὺς πτωχοὺς κίγκλους ἐκάλουν. κινεῖ δὲ οἱ τὰ οὐραῖα πτερά, ὥσπερ ῥῦν ὁ παρὰ τῷ Ἀρχιλόχῳ κηρύλος.

Τὸ κ μετὰ τοῦ λ.

83 *Κλαίει ὁ νικήσας, ὁ δὲ νικηθεὶς ἀπόλωλεν:* Ἀθηναῖοι νικηθέντες ἀπώλοντο· Φίλιππος νικήσας, ὑπὸ Πανσανίου ἀνῃρέθη.

84 *Κλιτοριάζειν:* ἐπὶ τῶν παιδεραστῶν· ἢ ἐπὶ τῶν γυναιξὶν ἀκολάστων.

Τὸ κ μετὰ τοῦ ν.

85 *Κνὶψ ἐκ χώρας:* ἐπὶ τῶν τάχυ πηδώντων· ὁ γὰρ κνὶψ τὸ θηρίον τοιοῦτον.

Τὸ κ μετὰ τοῦ ο.

86 *Κόσμει σπάρταν, ἣν ἔλαχες:* ἐπὶ τῶν κοσμούντων τὸ κληρονομιαῖον γήδιον· σπαρτίῳ γὰρ ἐκληροδατοῦντο.

86a *Κόγχης ἄξιος:* ἀντὶ τοῦ, οὐδενὸς λόγου ἄξιος.

---

1. κινδυνώδης] κίνδυνος A, Zenobius. σελίς AZ. In A haec legitur explicatio: ἐκεῖ γὰρ οἱ πειραταὶ πρῶτον ἀναβαίνουσι μαχησόμενοι. 3. κ. πενέστ.] πτωχότερος κίγκλου· παροιμία, ᾗ κέχρηται Μένανδρος Θαΐδι Suid. s. κίγκλος, Photius: v. Meinekii Menandr. p. 76: πτωχότερος λεβηρίδος καὶ κιγκάλου Suid. s. κίγκαλος. ὁ δὲ As. 5. νεοττείαν As. 6. ἄλλοις] ἄλλων δὲ As. ἐκάλουν αἱ τῶν ἀγροίκων παροιμίαι As. 8. κηρύλος] poetarum locos, in quibus commemoratur motacilla, As subiungit. 10. νικήσας] νικηθεὶς Plutarchus. νικηθεὶς] νικήσας idem. 13. Κλειτοριάζειν Ds. Scribe ἐν γυναιξίν. 16. ὁ σκνὶψ ἐν χώρᾳ Zenob. V, 35: de hac lectione cf. Apost. XII, 54. ταχυπόδων Ds, ταχέως μεταπηδώντων Zenobius. 19. κ. ἂν ἔλαχες Σπάρταν Suidas. 21. ἄξιον bis Suidas. ἀντὶ τοῦ et λόγου Suidas om.

81. Diog. V, 55: Arsen. XXXII, 50.
82. Suid. s. κίγκλος, s. κίγκαλος, s. πτωχοῦ, Phot. s. κίγκλος: v. Apost. X, 49. XV, 4. Ὁ κίγκλος κτλ.] Aelian. N. An. XII, 9. Ἀρχιλόχῳ] fragm. 130 Bergk., de quo vid. quae monui in Schneidewini Philol. II, 22.
83. Diog. V, 75. Sibyllae oraculum ex quo versus petitus est, Plutarch. V. Demosth. 19 affert.
84. Diog. V, 77. Macar. V, 16.
85. Diog. V, 91. Cyrillus in Cram. Anecd. Paris. IV, 190: Σκνῖπες: ζῷον ὅμοιον κώνωπος, ὥς φησιν Διογενιανός.
86. Arsen. XXXII, 51: cf. Apost. VIII, 59. σπαρτίῳ] Hesych. s. Σπάρτη: πόλις· καὶ στάθμη τεκτονική. Cf. Greg. Cypr. M III. 82.
86a. Arsen. XXXII, 52: Suidas: add. Hesych., ubi v. intt. Simili modo Pherecrates Tyrannidis fr. 1, 3 ap. Athen. XI, 481 A vocem adhibuit: ποτήρια . . . κοὐχὶ χωροῦντ' οὐδὲ κόγχην.

87 *Κορώνη γράμμα κομίζει:* ἐπὶ τῶν ἀγγελίας ταχείας φερόντων:· Τῷ γὰρ βασιλεῖ τῶν Ἰνδῶν, Μάρης οὗτος ἐκαλεῖτο, ἦν κορώνη θρέμμα πάνυ ἥμερον· καὶ τῶν ἐπιστολῶν ἃς ἐβούλετό οἱ κομισθῆναί που θᾶττον ἐκόμιζεν αὕτη, καὶ ἦν ἀγγέλων ὠκίστη, καὶ ἀκούσασα ᾔδει, ἔνθα ἰθῦναι χρὴ τὸ πτερὸν καὶ τίνα χρὴ παραδραμεῖν χῶρον, καὶ ὅπου ἤκουσαν ἀναπαύσεσθαι, ἀνθ' ὧν ἀποθανοῦσαν αὐτὴν ὁ Μάρης ἐτίμησε καὶ στήλῃ καὶ τάφῳ:· *Λέγεται καὶ τοῦτο* περὶ κορωνῶν, ὅτι ἀλλήλαις εἰσὶ πιστόταται, καὶ ὅταν εἰς κοινωνίαν συνέλθωσι, πάνυ σφόδρα ἀγαπῶσιν ἀλλήλας· καὶ οὐκ ἂν ἴδοι τις μιγνύμενα ταῦτα τὰ ζῷα ἀνέδην καὶ ὡς ἔτυχε· κἂν ἀποθάνῃ τὸ ἕτερον, τὸ λοιπὸν χηρεύει. ἐπεὶ δὲ ἡ γλαῦξ ἐστιν αὐτῇ πολέμιον, καὶ νύκτωρ ἐπιβουλεύει τοῖς ᾠοῖς τῆς κορώνης, ἡ δὲ μεθ' ἡμέραν ἐκείνην ταὐτὸ δρᾷ.

88 *Κοινὰ τὰ τῶν φίλων.*

89 *Κοσκίνῳ μαντεύεται:* ἐπὶ τῶν εὐτελῶν μάντεων.

90 *Κόρακες ἀηδόνων αἰδεσιμώτεροι:* ἐπὶ τῶν ἀνομοίων.

91 *Κοσκίνῳ ὕδωρ φέρει:* ἐπὶ τῶν ἀδυνάτων.

92 *Κορυδέως εἰδεχθέστερος:* ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο.

86b *Κολακευτικώτερος πιθήκων.*

---

1. γράμματα Z. 2. γὰρ As om. τῶν Ἰνδῶν] τῷ τῶν Αἰγυπτίων As. Μάῤῥης δὲ As. 3. κορώνης As. 4. ποι As. 7. ἀναπαύσασθαι As. 8. αὐτὴν As om. Μάῤῥης As. ἐτίμησεν αὐτὴν As. λέγεται — ἀλλήλαις] κορῶναι ἀλλήλων As. 10. ἀγαπῶσι σφᾶς As. 12. κἂν] λέγουσι δὲ οἱ τὰ ὑπὲρ τούτων ἀκριβοῦντες, ὅτι κἂν As. 13. χηρεύει] adiungit alia de fido cornicum coniugio As. 15. δρᾷ τοῦτο, εἰδυῖα ἔχειν τὴν ὄψιν τηνικαῦτα τὴν γλαῦκα ἀσθενῆ As.

86b. Arsen. XXXII, 53: v. Lucian. Piscat. 34.
87. Τῷ — τάφῳ] Aelian. N. An. VI, 7. Λέγεται κτλ.] id. ibid. III, 9.
88. Greg. Cypr. L II, 54: Arsen. XXXII, 54.
89. Greg. Cypr. M IV, 12: Arsen. XXXII, 56. Cf. Apost. XV, 95.
90. Usurpat Greg. Nazianz. Ep. 155 (12): νῦν γὰρ ἔγνων ὅτι ψυχὴ μετρεῖται καὶ ἀρετὴ ταλαντεύεται καὶ τιμιώτεραι τῶν μαργάρων αἱ πέτραι καὶ κόρακες ἀηδόνων αἰδεσιμώτεροι.
91. Plut. Provv. 50 Boiss. Dionys. Halic. Antt. Rom. II, 69, p. 383 R.: γενομένην δὲ τοῦ ποταμοῦ πλησίον [Tucciam, virginem Vestalem] τὸ παροιμιαζόμενον ἐν τοῖς πρώτοις *τῶν ἀδυνάτων* τόλμημα ὑπομεῖναι, ἀρυσαμένην ἐκ τοῦ ποτάμου κενῷ *κοσκίνῳ* καὶ μέχρι τῆς ἀγορᾶς ἐνέγκασαν παρὰ πόδας τῶν ἱεροφαντῶν ἐξερεῦσαι τὸ ὕδωρ: cf. Klausenius de Aen. et Pen. II, 629.
92. Greg. Cypr. L II, 51: Arsen. XXXII, 57.

93 *Κολοφῶνα κακῶν ἐπέθηκας*: ἤτοι τὸ τέλειον καὶ πλῆρες.

94 *Κολοφωνία ὕβρις*: ἐπὶ τῶν πλουσίων καὶ ὑβριστικῶν· τοιοῦτοι γὰρ οἱ Κολοφώνιοι.

95 *Κουρήτων στόμα*: ἐπὶ τῶν μαντεύεσθαι ὑπισχνουμένων· μαντικοὶ γὰρ οἱ Κρῆτες.

96 *Κοινὸν ναυάγιον τοῖς πᾶσι παραμύθιον*: ὅτι ῥᾳδίως φέρουσιν ἄνθρωποι τὰς συμφορὰς, ὁρῶντες καὶ ἄλλους ταὐτὸ παθοῦντας.

97 *Κόκκος σίτου προυξένησε θάνατον*: ἐπὶ τῶν διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένων κίνδυνον.

97a *Κουφότερος φελλοῦ*: ἐπὶ τῶν εὐμεταβόλων.

---

3. ὑβριστῶν Ds. 6. μαντικοὶ κτλ.] τοιοῦτοι γὰρ οὗτοι Ds. Κρῆτες] *Κουρῆτες* Z. 8. οἱ ἄνθρωποι AZ. 9. ταυτοπαθοῦντες AN. 10. κ. σ. μικρὸς τὸν θάνατόν μοι προυξένησεν Aesopus. ἐπὶ τῶν] ὁ μῦθος πρὸς τοὺς . . . ὑφισταμένους idem.

93. Greg. Cypr. P II, 86: Arsen. XXXII, 58. Greg. Cypr. L II, 17. Apost. XVI, 92.

94. Diog. V, 79: Macar. V, 24.

95. Diog. V, 60: Arsen. XXXII, 59.

96. Arsen. XXXII, 60. Eadem sententia pronuntiatur in Achill. Tat. VII, 2: ἐπεὶ φάρμακον αὐτῷ τοῦτο τῆς ὧν ἔπαθε λύπης ἡ πρὸς ἄλλον εἰς τὸ παθεῖν κοινωνία: Heliod. Aeth. I, 9: μεγίστην ἡγούμενοι παραψυχὴν τὴν τῶν ὁμοίων ἀκοήν: Theodos. Monach. de Expugn. Syracus. 180 A Has.: πέφυκε γὰρ διηγούμενος τὸ λυποῦν παραμυθεῖσθαι τὸ ἀνιώμενον: add. Mant. Provv. s. φέρει locique ab Ioanne Damasceno in Sacr. Parall. Opp. T. II, 679 C allati: sed propius ad nostrum proverbium accedit Nicephor. Chum. Ep. 82 fin.: καὶ τῆς *ἀληθινῆς* πάντως ἐκοινωνήσαμεν *παροιμίας*, ἥτις ἐν κοιναῖς συμφοραῖς βούλεται κοινὴν εἶναι παραμυθίαν, ad quem locum v. Boissonadus, cui adiungas Valckenaerium ad Callim. Eleg. p. 206 et Wyttenbachium ad Plut. Consol. ad Apoll. p. 106 B. Expressit Publ. Syr. Sent. 139: *Commune naufragium omnibus solatio est.*

97. Arsen. XXXII, 61. Ex Aesopi fab. 228 Fur. sumptum est.

97a. Arsen. XXXII, 62. Commemoratur a Strab. I, 36: καὶ καθάπερ εἰσί τινες ὑπερβολαὶ ἐπὶ ὑπερβολαῖς ὡς τὸ *Κουφότερον εἶναι φελλοῦ* [hic excidit ἢ aut adiectivum] *σκιᾶς, δειλότερον δὲ λαγῶ Φρυγός* [cf. Apost. V, 90a.], *ἐλάττω δ' ἔχειν γῆν τὸν ἀγρὸν ἐπιστολῆς Λακωνικῆς*· οὕτως ἐξοχὴ ἐπὶ ἐξοχῆς συντρέχει ἐπὶ τοῦ διιπετῆ τὸν Νεῖλον λέγεσθαι: dicitur autem in homines leves atque inconstantes, ut docet Horat. Carm. III, 9, 22: *tu levior cortice*, ubi v. intt. Hanc corticis levitatem respiciens Pindarus scripsit Pyth. II, 79: ἅτε γὰρ εἰνάλιον πόνον ἐχοίσας βαθὺ Σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, φελλὸς ὣς ὑπὲρ ἕρκος, ἅλμας: ubi de subere cogitandum, quod ad nassas indicandas piscatores solent adhibere: v. Berglerum ad Alciph. Epist. I, 1. Wyttenbachium ad Plut. Praec. Sanit. tuend. 127 C et Boeckhium ad Pind. l. c. Ceterum notat Plin. N. H. XVI, 40, 76: *in aquis non fluitat suber, si dematur cortex.*

98 *Κόττου ἰσχυρότερος καὶ Βριάρεω*: φασὶ περὶ τούτων ὡς ἔσχον ἑκατὸν χεῖρας ἄνδρες ὄντες. πῶς δὲ οὐκ εὔηθες τὸ τοιοῦτον; τὸ δ' ἀληθὲς οὕτως ἔχει· τῇ πόλει ὄνομα ἦν Ἑκατονταχειρία, ἐν ᾗ ᾤκουν. ἦν δὲ πόλις τῆς καλουμένης Ὀρεστιάδος. ἔλεγον οὖν οἱ ἄνθρωποι, Κόττος καὶ Βριάρεως οἱ ἑκατοντάχειρες βοηθήσαντες τοῖς θεοῖς, ἐξήλασαν τοὺς Τιτᾶνας ἐκ τοῦ Ὀλύμπου.

99 *Κορώνη τὸν σκορπίον*: ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι ἐπισπωμένων. ὁμοία ταῖς· *Κόνιν φυσᾷς*. *Εὖ κείμενον κακὸν κινεῖς*. *Λέοντα νύσσεις*. *Ἀνάγυρον κινεῖς*.

100 *Κόρκορος ἐν λαχάνοις*: ἐπὶ τῶν εὐτελῶν μὲν ὄντων, μεγάλοις δὲ παραβαλλόντων ἑαυτούς· εἶδος γάρ ἐστι βοτάνης ὁ κόρκορος εὐτελοῦς.

1 *Κοινὸς Ἑρμῆς*: οἷον, κοινὸν τὸ εὕρεμα· κλεπτίστατος γὰρ ὢν ὁ Ἑρμῆς κατέδειξε κοινὰ εἶναι τὰ φώρεια.

2 *Κομπᾶς Μάξιμος*: ἐπὶ τῶν ὑπὲρ τὸ δέον φρονεῖν οἰομένων· οὗτος γὰρ ὁ Μάξιμος ἀλαζὼν ἐγένετο.

3 *Κοροίβου ἠλιθιώτερος*: οὗτος γὰρ τὰ κύματα τῆς θαλάσσης ἠρίθμει.

---

4. *Ἑκατογχειρία* WZ Westermannus. ἦν δὲ τῆς Μακεδονίας τῆς νῦν Ὀρεστιάδος καλουμένης. τεκμαίρομαι δὲ ὅτι μετὰ τῶν Ὀλυμπίων ἐμαχέσαντο τὴν πρὸς Τιτᾶνας μάχην· ταῦτα γὰρ τὰ χωρία ὁμορά ἐστι τῷ Ὀλύμπῳ Ps e recensione Westermanni. 6. Βριάρεως καὶ Γύγης Ps. *ἑκατόγχειρες* Ps. 8. Κορώνη τ. σκ.] Αἴξ τὴν μάχαιραν Ds. 9. ταῖς] Κορώνη τὸν σκορπίον Ds addit. 12. *κόρχορος* bis Ds. 15. *εὕρημα* RDs. 16. γὰρ Ds om. 17. Κομπᾶς] *Κοττᾶς* Macarius. 18. οἰομένων] νοούντων Ds. γὰρ ὁ] articulum R om.

98. Arseń. XXXII, 63. Nomine Briarei fortissimos et praevalidos homines significare solebant: Timocles Athen. VI, 224 A: ὁποῖος; Βριαρεύς, Ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων κτλ., de quo loco v. Meinekius Com. Gr. Fr. III, 399: Posidippus ib. IX, 376 F, vs. 7: ξεναγὸς οὗτος ὅστις ἂν θώραξ' ἔχῃ ... Ἐφάνη Βριάρεως· ἂν τύχῃ δ', ἐστὶν λαγώς: Greg. Naz. Or. 18, p. 290 A: καίτοι γε τοὺς ἄλλους ὁρῶν τὰς Βριάρεω χεῖρας ἐπιβάλλοντας τοῖς δημοσίοις. Φασὶ κτλ.] Palaeph. Incred. 20.
99. Diog. I, 52. Greg. Cypr. M III, 85. Ἀνάγ. κ.] sup. 79. Εὖ — κινεῖς] Apost. XI, 45.
100. Diog. V, 36.
1. Diog. V, 38. Apost. VII, 94.
2. Diog. V, 46. Macar. V, 17.
3. Diog. V, 56: cf. nott. critt. ad Apost. VIII, 53. V, 27. Macar. V, 77: add. Suid. s. *Βουταλίων*: Βουτ. καὶ Κόροιβος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. Usurpat Aristocles in Euseb. Praep. Evang. XIV, 761 D: οὐ γὰρ μᾶλλον Πύῤῥωνα θαυμάσαι τις ἂν ἢ τὸν Κόρυβον [sic] ἐκεῖνον ἢ τὸν Μελιτίδην, οἳ δὴ δοκοῦσι μωρίᾳ [cf. Apost. XI, 93] διενεγκεῖν: Zenob. IV, 58.

Τὸ ϰ μετὰ τοῦ ϱ.

4 *Κραδίην δ' ἐλάφοιο*: δηλονότι ἔχει· ἐπὶ τῶν ἄγαν δειλῶν:. *Ἡ γὰρ ἔλαφος* τῇ δειλίᾳ παρὰ τὰς ὁδοὺς τίκτει, σοφίᾳ τοῦτο δρῶσα. δέδοικε γὰρ τὰ θηρία καὶ τὰς ἐξ αὐτῶν ἐπιβουλάς, τοὺς δὲ ἀνθρώπους μᾶλλον θαῤῥεῖ, ὅτι ἐκείνων μὲν πέφυκεν ἀσθενεστέρα οὖσα, τούτους δὲ ἀποδρᾶναι δύνασθαι οὐκ ἀμφιβάλλει. καταπιανθεῖσα δὲ οὐκ ἂν ἔτι τέκοι παρὰ τὰς ὁδούς· οἶδε γὰρ ὅτι δραμεῖν ἐστι νωθεστέρα· τίκτει οὖν ἐν τοῖς ἄγγεσι καὶ ἐν τοῖς δρυμοῖς:. *Οἱ ἔλαφοι* τὰ κέρατα ἀποβάλλοντες, εἰςδύνονται παρελθόντες εἰς τὰς λόχμας, τοὺς ἐπιόντας σφίσι φυλαττόμενοι· ἔρημοι γὰρ τῶν ἀμυντηρίων ὄντες, ἀφῃρῆσθαι καὶ τὴν ἀλκὴν πεπιστεύκασιν ἐν τῷ τέως· φυλάττονται δέ, μήποτε ἄρα νεαροῖς οὖσιν αὐτῶν τοῖς ἕλκεσιν, εἶτα προςπίπτουσα ἡ ἀκτίς, πρὶν ἢ παγῆναι καὶ τοὺς καλουμένους χόνδρους λαβεῖν, ἤδε τὴν σάρκα ὑποσήψῃ:. *Οἱ ἐν Σύροις ἔλαφοι*, ὅταν βουληθῶσι περαιώσασθαι θάλασσαν, ἐπὶ τὰς ἠϊόνας ἀφικνοῦνται ἡ ἀγέλη, καὶ ἀναμένουσι τοῦ πνεύματος τὴν φύσιν, καὶ ἡνίκα ἂν αἴσθωνται πρᾷον αὐτὸ καὶ ἥσυχον καταπνέον, τηνικαῦτα ἐπιθαῤῥοῦσι τῷ πελάγει· νέουσι δὲ κατὰ στοῖχον καὶ ἀλλήλων ἔχονται, τὰ γένεια αἱ ἑπόμεναι τῶν προηγουμένων τῇ ὀσφύϊ ἐπερείδουσαι· ἡ τελευταία δὲ γενομένη τῇ πρόσθεν ἐπὶ πάσαις ἑαυτὴν ἐπαναπαύουσα, εἶτα οὐραγεῖ. στέλλονται δὲ ἐπὶ τὴν Κύπρον. λέγεται γὰρ εἶναι βαθεῖα, καὶ νομὰς ἀγαθὰς ἔχειν:. *Ἔλαφοι ἐκ Σικελίας* ἐπὶ Ῥηγίου περαιοῦνται, νηχόμεναι ὥρᾳ θέρους ἐπιθυμίᾳ καρπῶν· ἅτε δὲ ἐν μακρῷ πλῷ περαιουμένη ἐξασθενεῖ ἡ ἔλαφος ἀνέχουσα τὴν κορυφὴν ὑπὲρ τοῦ ὕδατος· κουφίζονται δὴ τὸν κάματον ὧδέ πως· νήχον-

---

3. *ἡ — δρῶσα*] *τίκτει δὲ ἔλαφος παρὰ τ. ὁ. καὶ ἔοικέ γε σοφίᾳ τοῦτο δρᾶν* As. 5. *ὅτι*] *καὶ* As. 6. *πέφυκεν*] *πεπίστευκεν* As. 9. *ἄγκεσι* As. *ἐν* om. As. *κ. τ. δρυμοῖς καὶ* [*ἐν*] *τοῖς αὐλῶσιν* As. 11. *φυλαττόμενοι, καὶ εἰκότως* As. 13. *φυλάττονται δὲ*] *λέγονται δὲ καὶ φυλάττεσθαι* As. 16. *Οἱ*] *αἱ* As. *ἔλαφοι*] addit locos Libyae As, in quibus cervi nascantur. 17. *θάλατταν* As. 18. *ἠόνας* As. 23. *τῇ* uncis Iacobsius circumdedit. *ἐπαναπαύσασα* As. 24. *Κύπρον πόθῳ τῆς πόας τῆς ἐκεῖ· λέγονται γὰρ εἶναι βαθεῖαι* As. 27. *περαιουμένη* Maximus om.

4. Hom. Il. Δ, 225: *Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο*: Greg. Cypr. L II, 11. *Ἡ —* *δρυμοῖς*] Aelian. N. An. VI, 11. *Οἱ — ὑποσήψῃ*] ibid. VI, 5. *Οἱ ἐν — ἔχειν*] id. ib. V, 56. *Ἔλαφοι —*

ται ἐπὶ μιᾶς τεταγμέναι, ἀλλήλαις ἑπόμεναι, ὥσπερ στρατόπεδον ἐπὶ κέρως βαδίζον· νήχονται δὲ, ἐπιθεῖσα ἑκάστη τὴν κορυφὴν τῇ τῆς ἡγουμένης ἰξύϊ· ἡ δὲ στρατηγοῦσα τῆς τάξεως ἐπειδὰν κάμῃ, ἐπὶ τὸ οὐραῖον μεθίσταται, καὶ ἡγεῖται ἄλλη, καὶ οὐραγεῖ ἄλλη· ὡς ἐν τοῖς στρατοπέδοις Ξενοφῶν μὲν οὐραγεῖ, ἡγεῖται δὲ Χειρίσοφος· ὥστε καὶ στρατηγίας τακτικῆς μεταποιεῖται ταυτὶ τὰ θηρία:. Δημόκριτος αἰτίαν λέγει τοῖς ἐλάφοις τῆς τῶν κεράτων ἀναφύσεως ἐκείνην εἶναι. ἡ γαστὴρ αὐτῆς ὥς ἐστι θερμοτάτη ὁμολογεῖ· καὶ τὰς φλέβας δὲ αὐτῶν τὰς διὰ τοῦ σώματος πεφυκυίας παντὸς ὡραιοτάτας λέγει. καὶ τὸ ὀστέον τὸ κατειληφὸς τὸν ἐγκέφαλον λεπτότατον εἶναι καὶ ὑμενῶδες καὶ ἀραιόν, φλέβας τε ἐντεῦθεν καὶ ἐς ἄκραν τὴν κεφαλὴν ὑπανίσχειν παχυτάτας· τὴν γοῦν τροφήν, καὶ ταύτης γε τὸ γονιμώτατον, ὤκιστα ἀναδίδοσθαι· καὶ ἡ μὲν πιμελὴ αὐτῆς ἔξωθεν, φησί, περιχεῖται, ἡ δὲ ἰσχὺς τῆς τροφῆς ἐς τὴν κεφαλὴν διὰ τῶν φλεβῶν ἀναθόρνυται, ἔνθεν οὖν τὰ κέρατα φύεσθαι διὰ πολλῆς ἐπαρδόμενα τῆς ἰκμάδος. συνεχὴς οὖσα ἐπιῤῥέουσά τε ἐξωθεῖται προτέρα· καὶ τὸ μὲν ὑπερίσχον ὑγρὸν τοῦ σώματος ἔξω σκληρὸν γίνεται, πηγνύντος αὐτὸ καὶ κρατοῦντος τοῦ ἀέρος· τὸ δὲ ἔνδον ἔτι μεμυκὸς ἁπαλόν ἐστί· καὶ τὸ μὲν σκληρύνεται ὑπὸ τῆς ἔξωθεν ψύξεως, τὸ δὲ ἁπαλὸν μένει ὑπὸ τῆς ἔνδον ἀλέας. οὐκοῦν ἡ ἐπίφυσις τοῦ νέου κέρατος τὸ πρεσβύτατον ὡς ἀλλότριον ἐξωθεῖ, θλίβοντος τοῦ ἔνδοθεν καὶ ἀνωθεῖν τοῦτο ἐθέλοντος, καὶ ὀδυνῶντος καὶ σφύζοντος, ὥσπερ οὖν ἐπειγομένων τεχθῆναι καὶ προελθεῖν· ἡ γάρ τοι ἰκμὰς πηγνυμένη καὶ ὑπανατέλλουσα ἀτρεμεῖν ἀδύνατός ἐστί· γίνεται γὰρ καὶ αὐτὴ σκληρὰ καὶ ἐπωθεῖται τοῖς προτέροις. καὶ τὰ μὲν πλείω ἐκθλίβονται ὑπὸ τῆς ἰσχύος τῆς ἔνδον· ἤδη δέ τινα καὶ κλάδοις περισχεθέντα καὶ ἐμποδίζοντα εἰς τὸν ὠκὺν δρόμον ὑπὸ ῥώμης τὸ θηρίον ὠθούμενον ἀπήραξε· καὶ τὰ μὲν ἐξώλισθε, τὰ δὲ ἕτοιμα ἡ φύσις ἐκκύπτειν προάγει.

---

4. τὸ οὐραῖον] articulum Maximus om. Maximi locum R om. 8. αἰτίαν δὲ ὁ αὐτός λέγει As. 9. αὐτοῖς As. 11. ἀραιοτάτας As. 16. αὐτοῖς As. 18. ἐκφύεσθαι As. 19. οὖν οὖσα As. ἐξωθεῖται As. 20. ἔξω τοῦ σ. As. 21. κερατοῦντος As. 24. πρεσβύτερον As. 26. ἐπειγομένου R As. 30. ἐκθλίβεται As. 33. ἐξώλισθεν As. ἐκκύπτειν ἡ φύσις As.

θηρία] Max. Tyr. Dissert. 12, 3, lian. N. An. XII, 18. Democr. fr. p. 215 R. Δημόκριτος κτλ.] Ae- 5, p. 228 Mull.

5 *Κράτης ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα:* οὗτος γὰρ ἐκ Βοιωτίας ἕλκων τὸ γένος, φιλοσοφῆσαι θέλων τὴν Κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔῤῥιψε τῷ δήμῳ εἰπὼν τὸν παροιμιώδη τοῦτον λόγον.

5a *Κράτηρ τρίτος Διὸς σωτῆρος:* εἰώθασι γὰρ ἐν συμποσίοις οἱ παλαιοὶ κιρνᾶν κρατῆρα πρῶτον Ὀλυμπίῳ Διΐ, δεύτερον τοῖς ἥρωσι, τὸν δὲ τρίτον Διὸς σωτῆρος· Σοφοκλῆς τοῦτο μαρτυρεῖ ἐν Ναυπλόῳ·

Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου σπονδαὶ τρίτου κρατῆρος.

---

2. οὗτος — γένος] Κράτης Θηβαῖος ἦν τῆς Βοιωτίας τὸ γένος· οὗτος Nonnus. 5. εἰπὼν — λόγον] κηρύξας οὕτως· Κράτης κτλ. Nonnus. 9. Ναυπλίῳ Boeckhius. 10. σπονδὴ idem: Arsenii lectionem commendat Welckerus de trag. Gr. I, 190.

5. Nonnus Exp. Narrat. 137 Mont. s. Cosmas in A. Maii Spicil. Rom. T. II, 233: Arsen. XXXII, 64. Quam dicti Cratetei formam quamquam St. Hieronymus ante oculos habuisse videtur c. Iovian. II, c. 9 scribens: *abite, inquit, pessum malae cupiditates: ego vos mergam, ne ipse mergar a vobis:* saepius tamen occurrit versus a Suida in v. Κράτης adscriptus: ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης, quem ab ipso Cratete factum atque pronunciatum esse Boissonadus probare conatus est in libro, qui inscribitur: *Notices et Extraits* cett. T. X, 164: v. Origen. Comm. in Evang. Matth. XV, 15: Κράτητα γὰρ τὸν Θηβαῖον ... φασὶν ἀποδόμενον πᾶσαν τὴν οὐσίαν τῷ Θηβαίων δήμῳ δεδωρῆσθαι μετὰ τοῦ εἰρηκέναι· ὅτι σήμερον ὁ Κράτης Κράτητα ἐλευθεροῖ: id. adv. Celsum II, 41: Isidor. Pelus. Epist. II, 146, p. 173 Rittersh.: Κράτης Κράτητα Θηβαῖον ἐλευθεροῖ: eundem Apuleius Flor. II, 14 latinitate donavit: *Crates ... rem familiarem abiicit velut onus stercoris magis labori quam usui. dein coetu facto maximum exclamat, Crates, inquit, Crateta manumittet:* sic enim ex cod. Florentini primi auctoritate locus constituendus est. Paulum recedit ab his forma a Simplicio in Comm. ad Epict. Man. 10, p. 64 C prolata: Κράτης Κράτητα χρημάτων ἀποστερεῖ. Cratetem tranquillae et philosophicae vitae desiderio captum opes magnas a patre relictas ultro abiecisse et civibus distribuisse a veteribus saepe, sed nulla de ipsis Cratetis verbis mentione iniecta commemoratur: v. Plut. de aere al. 8, p. 831 E, Aelian. V. Hist. III, 6. Iulian. Or. VI, 201 A: Greg. Nazianz. Or. III, p. 78 D: μέγας ὑμῖν ὁ Κράτης, καὶ γὰρ ὄντως φιλόσοφον, τὸ μηλόβοτον ἀφεθῆναι τὴν οὐσίαν καὶ τοῖς παρ' ἡμῖν φιλοσόφοις ὅμοιον: Scholl. ad Lucian. Nigrin. 26. Hieron. Epist. ad Paulin. 58, 2. id. Ep. ad Licin. 71, 3. id. Epist. ad Pammach. 66, 8 Vallars., unde venit in morem, inter probatissima vitae frugalis atque severae exempla Cratetem nominare: Apul. Apol. c. 22: Ioann. Chrysost. ad viduam iunior. T. I, 346 B Montf.: ἀλλ' ἀκριβέστερον ἡμῶν οἶδας τὸν Ἐπαμινώνδαν, τὸν Σωκράτην, τὸν Ἀριστείδην, τὸν Διογένην, τὸν Κράτητα, τὸν μηλόβοτον ἀνέντα τὴν χώραν τῆς αὐτοῦ: add. id. in or. adv. Oppugnat. vitae Monast. T. I, 95 E, Simplic. ad Epict. Man. 16, p. 112 B. A quibus diversa Philostr. Vit. Apoll. T. I, 13 profert: τὸν δὲ Θηβαῖον Κράτητα καταποντώσαντα τὴν οὐσίαν οὔτε ἀνθρώποις γενέσθαι ἐπιτήδειον οὔτε προβάτοις, quibus affinia Diog. Laert. VI, 87 narrat.

5a. Arsen. XXXII, 65: excerpta sunt e Scholl. ad Pind. Isthm. V,

6 *Κρὴς πρὸς Αἰγινήτην:* ἐπὶ τῶν πανουργίᾳ πρὸς ἀλλήλους χρωμένων.

7 *Κρητίζειν:* ἐπὶ τοῦ ψεύδεσθαι· ἀπατητικοὶ γὰρ οἱ Κρῆτες.

8 *Κριὸς τροφεῖα ἀπέτισεν:* ἐπὶ τῶν ἀχαρίστων· οἱ γὰρ κριοὶ τὰς φάτνας πλήττουσι καὶ τοὺς τρέφοντας:. *Ἀκούω τὸν κριὸν τὸν ζῷον* ἓξ μηνῶν χειμεριωτάτων κατὰ τῆς ἀριστερᾶς πλευρᾶς κεῖσθαι καὶ καθεύδειν, ἀπὸ δὲ τῆς ἐαρινῆς ἰσημερίας ἔμπαλιν ἀναπαύεσθαι καὶ κατὰ τῆς δεξιᾶς κεῖσθαι.

9 *Κριὸς ἀσελγόκερως:* ἐπὶ τῶν μεγάλων καὶ ἀσελγῶν.

10 *Κρείσσον' ἃ παρέλιπες:* ἐπὶ τῶν μωρολογούντων. Θεόκριτος τοῦτ' εἶπεν ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιούμενος, εἶτα ἐρωτώμενος ὑπ' αὐτοῦ ποῖα ἐστὶ τὰ καλῶς εἰρημένα.

11 *Κρόνου πυγή:* τὸ ἀρχαῖον καὶ ἀναίσθητον κρέας.

8a *Κρίνει φίλους ὁ καιρός,* ὡς χρυσὸν τὸ πῦρ.

8b *Κρεῖσσον τὸ δοκεῖν,* κἂν ἀληθείας ἀπῇ.

---

2. *χρωμένων πρὸς ἀλλήλους λέγεται* Ds. 7. *τὸ ζ.* As. *μηνῶν τῶν* As. 8. *καθεύδειν, ὅταν αὐτὸν αἱρῇ καὶ περιλαμβάνῃ ὕπνος* As. 9. *καὶ κατὰ*] *κατὰ δὲ* As. 12. *κρείσσον' — μωρολογούντων*] Maximus om. 13. *τοῦτ'*] *ὁ Χῖος* Maximus. 14. *εἶτα* abest ab Maximo. *εἰρημένα, ἔφη, Ἃ παρέλιπες* Maximus. 15. *πηγὴ* R. 17. *δὲ τὸ* Euripides.

10; eadem fere in Hesych. s. *τρίτος κρατήρ* leguntur et in Apost. X, 77ª. XVII, 28, ubi v. annott. Poculum vini aqua temperati in honorem Iovis Servatoris mensa sublata et exhausto *ἀγαθοῦ δαίμονος* poculo ministrare solebant: v. Apost. I, 10. Wichersius ad Theopompi Fr. p. 280. Osannus Symb. ad Lit. Graec. et Rom. Hist. I, 102. *Σοφοκλῆς*] fr. 375 Dind.

6. Diog. V, 92: Macar. V, 28.

7. K in nott. ad Diog. V, 58: Arsen. XXXII, 66. Greg. Cypr. M III, 87. Apost. XV, 1ª. Zenob. IV, 62.

8. K in nott. ad Diog. V, 62: Arsen. XXXII, 69. Greg. Cypr. M III, 97. *Ἀκούω κτλ.*] Aelian. N. An. X, 18.

8ª. Arsen. XXXII, 70: Menand. Monost. 276. Sententiam illustrat Boissonadus ad Nicet. Eugen. T. II, 414 et 431 sq.

8ᵇ. Arsen. XXXII, 71: Eurip. Orest. 236. De sententia cf. Schneidewinus ad Simon. Rell. p. 122.

9. Diog. V, 61. Hesych. s. *κριὸς ἀσελγόκερως: ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς· ἀσελγόκερων δὲ αὐτὸν εἶπε Πλάτων ὁ κωμικὸς* [fab. inc. fr. 24 Mein.], *διὰ τὸ μέγαν εἶναι καὶ συναριθμεῖ αὐτῷ τόν τε Δούριον ἵππον,* ubi in fine vv. *καὶ τὸν βοῦν τὸν χαλκοῦν* addenda esse Meinekius Exercc. Phil. in Athen. Sp. I, p. 30 monuit. Cf. Greg. Cypr. L I, 70.

10. Maxim. Conf. Serm. 17, p. 586 Comb.: Arsen. XXXI, 10. Stob. Append. Florent. p. 66 Oxf.

11. Diog. V, 64.

12 Κρεῖσσον ἐστὶ πολλοῦ ἄξιον εἶναι ἢ κεκτῆσθαι πολλοῦ ἄξια: ἐκ τῶν ἀποφθεγμάτων τοῦ Παυσανίου.

13 Κρεῖσσον ταῖς ἀλγηδόσι τελευτᾶν ἢ περίφωρον γενόμενον, διὰ μαλακίαν τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι: ἐξ ἀποφθέγματος.

14 Κρείσσων Ζώπυρος ἑκατὸν Βαβυλώνων: ἐπεὶ γὰρ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς παρ' αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν· πολλάκις οὖν ὁ Δαρεῖος εἶπεν, οὐκ ἂν ἐθελήσαιμι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

15 Κρεῖσσον ὀλίγον φωτίζεσθαι, ἢ παντελῶς σκοτίζεσθαι.

16 Κριτὴς κάκιστος ὑπάρχεις, καὶ φίλων καὶ πολεμίων: ὑπατεύοντι τῷ Φαυρικίῳ, προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρός, ἐπαγγελλόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν. ὁ δὲ Φαυρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν, αἰσθέσθαι κελεύσας διότι καὶ φίλων κάκιστός ἐστι καὶ πολεμίων· ἐπεὶ δὲ φωράσας τὴν ἐπιστολὴν ὁ Πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ Φαυρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκε, μὴ δόξῃ λαμβάνειν μισθόν. οὐδὲ γὰρ χάριτι Πύῤῥου μεμηνυκέναι τὴν ἐπιβουλήν, ἀλλ' ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κτείνειν, ὡς φανερῶς νικᾶν οὐ δυνάμενοι.

17 Κροκοδείλου δάκρυα: ἐπὶ τῶν ἐθελόντων τινὸς θά-

---

1. ἐστὶ] ἔφη, αὐτοὺς εἶναι Plutarchus. ἀξίους idem. εἶναι Plutarchus om. 2. ἐκ κτλ.] Plutarchus ignorat: praemisit vero apophthegmati: θαυμαζόντων δέ τινων ἐν τοῖς λαφύροις τῶν βαρβάρων τὴν πολυτέλειαν τῆς ἐσθῆτος. κρεῖσσον κτλ. 7. γὰρ] δὲ Plutarchus, καὶ W. 9. παρ'] ὑπ' Plutarchus. 10. οὖν deest in Plutarcho. ἐθελῆσαι Plutarchus. 11. ἐπὶ μὴ τῷ N. 15. ὑπατέοντι [sic] A. δὲ τῷ Φαβρικίῳ Plutarchus. 17. Φαβρίκιος Plutarchus. 18. πρὸς τὸν Πύῤῥον Z. 19. καὶ N om. ἐστι κριτὴς καὶ AN Plutarchus. 20. ἐπιστολὴν] ἐπιβουλὴν Plutarchus. 21. Φαβρικίῳ idem. ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεάν, ἀλλ' ἴσους ἀντέδωκε, μὴ AN Plutarchus.

12. Plut. Apophth. Lacon. 230 E.
13. Plut. Apophth. Lacon. 234 A: Arsen. XXXII, 67. Cf. Plut. V. Lycurg. 18.
14. Plut. Apophth. Reg. cett. 173 A. Cf. Apost. VIII, 35.
15. Arsen. XXXII, 72.
16. Plut. Apophth. Reg. cett. 195 A: Arsen. XXXII, 73. Cf. Plut. V. Pyrrh. 21. Aelian. V. Hist. XII, 33 et quos Wyttenbachius ad Apophth. l. c. citat.
17. Mazaris in Boiss. Anecd. III, 179: αὐτοκράτωρ . . . τὰς ἐκ-

νατον, κλαιόντων δ' ὅμως ἐπιτηδευτῶς:. Ὁ γὰρ κροκόδειλος ὕδατος ἐμπλήσας τὸ στόμα ἐγχεῖ κατὰ τῆς ἀτραποῦ, δι' ἧς οἶδε κατιόντα ἐς ποταμὸν ἢ ἐφ' ὑδρείαν ἄνθρωπόν τε καὶ ἄλλα ζῷα ὀλισθηρὰν αὐτὴν ἐργάσασθαι θέλων· τὰ γάρ τοι κατολισθαίνοντα οὐ κρατεῖ τῆς ἐπιβάθρας, ἀλλ' ἐκεῖνα μὲν κατηνέχθη, ὁ δὲ ὑπεπήδησεν ὑπολαβὼν καὶ δειπνεῖ:. Ἐπὰν δὲ καταφάγῃ πάντα τὸν ἄνθρωπον χέει δάκρυα κατὰ τῆς κεφαλῆς καὶ ψιλωθείσης τῆς κεφαλῆς τῇ θερμότητι τῶν δακρύων κατεσθίει καὶ ταύτην:. Ὅταν οὖν οἱ κροκόδειλοι τέκωσι, τὸν δὲ τὸν τρόπον ἐλέγχουσι τὸ γνήσιον καὶ τὸ νόθον. ἐάν τι παραχρῆμα ἐκριφεὶς ἁρπάσῃ, τελεῖ τὸ λοιπὸν εἰς τὸ γένος καὶ πεπίστευται κροκοδείλων εἶς εἶναι· ἐὰν δὲ ἐλινύσῃ καὶ βλακεύσῃ καὶ μὴ λάβῃ ποθὲν ἢ μυῖαν ἢ σέρφον ἢ ἔντερον γῆς ἢ σαύρων τῶν νεαρῶν, διέσπασεν αὐτὸν ὁ πατὴρ ὡς κίβδηλον:. Ἱστόρηται ὅτι γυναικὶ Αἰγυπτίᾳ θρέμμα ἦν κροκόδειλος σκύλαξ. ἐμακάριζον οἱ Αἰγύπτιοι τὴν γυ-

---

1. ὁ γὰρ . . τὰ γάρ] κροκοδείλου δὲ κακουργία καὶ ἐκείνη εἰς ἀνθρώπου τε θήραν καὶ ζῴου ἑτέρου [ἐτράπη] τὴν ἀτραπὸν δι' ἧς οἶδε κατιόντας ἐς ποταμὸν ἢ ἐφ' ὑδ., ἢ ἵππου τινὸς ἀρδείαν ἢ καμήλου, ἢ καὶ νὴ Δία ὥστε ἐπιβῆναι πλοίου, ταύτην τοι νύκτωρ καὶ πολλῷ τῷ ὕδατι καταρραίνει ἐμπλήσας τὸ στόμα καὶ ἐγχεῖ κ. τ. ἀ. πολλάκις, ὀλισθηρὰν αὐτὴν ἐργ. θέλων, καὶ εὐκολωτέραν ἑαυτῷ τὴν ἄγραν ἀποφαίνων· τὰ γάρ As. 5. κατολισθάνοντα As. 10. ὅταν — νόθον] οὖν om. et verba aliter collocat As. 12. ἐκριφεὶς] ἐκγλυφεὶς As. γένος καὶ φιλεῖται τοῖς γειναμένοις καὶ As. 13. εἶναι, καὶ ἠρίθμηται As. ἐλινύσῃ As. 15. σαῦρον As. 16. ὡς ἀδόκιμόν τε καὶ κίβδηλον καὶ προσήκοντά οἱ οὐδέν As. ἱστόρηται ὅτι Maximus om. 17. κροκοδείλου Maximus.

δρομὰς καὶ ἐνέδρας καὶ ἐκστρατείας, ἔτι τε τοῦ κροκοδείλου τοὺς λόγους. τοὺς ἀπάτης καὶ δόλου μεστούς: id. ib. 130: καὶ νῦν μὲν ὡς κροκόδειλος δακρύων, νῦν δ' ὡς χαμαιλέων στενάζων, νῦν δέ, ὡς Πρωτεὺς μᾶλλον .. εἵλκυσέ με κτλ. ὁ γὰρ . . δειπνεῖ] Aelian. N. An. XII, 15. ἐπὰν — ταύτην] eandem rem refert Asterius in Phot. Bibl. c. 271, p. 503 Bekk.: ἢ τοὺς Νειλῴους κροκοδείλους μιμεῖσθαι, οὓς φασι ταῖς κεφαλαῖς ἐπιθρηνεῖν τῶν ἀνθρώπων ὧν ἔφαγον καὶ δακρύειν ἐπὶ τοῖς λειψάνοις τῶν φόνων, οὐ μετάνοιαν τῶν γεγενημένων λαμβάνοντας, ἀλλὰ τὸ ἄσαρκον τῆς κεφαλῆς, ἐμοὶ δοκεῖν, ὀδυρομένους ὡς εἰς βρῶσιν οὐκ ἐπιτήδειον; add. Eustath. Opusc. 165, 54 Taf.: ψευδόμεθα τὸ κλαίειν, ὅτε καὶ κροκοδειλίζομεν, ἐφ' οἷς μὴ ἔχομεν κατεσθίειν ὁλοκλήρως τοὺς ἀδελφούς. καὶ γάρ τοι καὶ κροκόδειλος ποτάμιος ἀνθρώπου περιγενόμενος, καὶ τὸν ὅλον κατασπάσας ἄχρι καὶ εἰς κεφαλήν, εἶτα μαθὼν ἄσαρκον αὐτὴν εἶναι καὶ ἀχρείαν εἰς βρῶσιν, κλαίειν ἐθέλει, οὐ πρὸς οἶκτον, ἀλλ' ὅτι μικρὰ κερδαίνει τοῦ ἐγκαταλείμματος. Ὅταν — κίβδηλον] Aelian. N. An. IX, 3. Ἱστόρηται κτλ.] Max. Tyr. Diss. VIII, 5, p. 137.

ναῖκα ὡς ἐπιτιθηνουμένην θεόν· τινὲς αὐτῶν καὶ προσέῤῥιπτον καὶ αὐτὴν καὶ τὸν τρόφιμον. ἦν αὐτῇ παῖς ἡβάσκων, ἡλικιώτης τοῦ θεοῦ, συναθύρων αὐτῷ καὶ συντρεφόμενος· ὁ δὲ τέως μὲν ὑπὸ ἀσθενείας ἦν τιθασός, προελθὼν δὲ εἰς μέγεθος ἤλεγξε τὴν φύσιν καὶ διέφθειρε τὸν παῖδα· ἡ δὲ δύστηνος Αἰγυπτία ἐμακάριζε τὸν υἱὸν τοῦ θανάτου, ὡς γενόμενον δῶρον ἐφεστίῳ θεῷ.

Τὸ κ̃ μετὰ τοῦ ῡ.

18 *Κύκνειον ᾆσμα: ἐπὶ τῶν ἐγγὺς θανάτου ὄντων. οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσι:. Καὶ ἴσασιν ὁπότε τοῦ βίου τὸ τέρμα ἀφικνεῖται αὐτοῖς, καὶ μέντοι καὶ εὐθύμως φέρουσιν αὐτὸ προσιόν. ἄνθρωποι δὲ ὑπὲρ οὗ οὐκ ἴσασι δεδοίκασι καὶ ἡγοῦνται μέγιστον εἶναι κακὸν αὐτό. ἀναγηρύονται δὲ ἐπὶ τῇ τελευτῇ οἷον ἐπικήδειόν τι μέλος. ὁ δὲ ἀετὸς ἀδίκων ἄρχων πρὸς αὐτὸν οὐδέποτε ἐκράτησεν, ἡττήθη δὲ ἀεί.*

19 *Κυλώνειον ἄγος: ἐπὶ τῶν μεμυασμένων:. Κύλων εἷς ἦν τῶν ἐνδόξων Ἀθηναίων, ἀνὴρ Ὀλυμπιονίκης. ἐπιθυμήσας τυραννῆσαι τῶν Ἀθηναίων, παρεγένετο ἐπὶ θεοῦ χρηστήριον καὶ ἐπηρώτα· τοῦ δὲ θεοῦ ἐπιχρήσαντος, ἐν τῇ μεγάλῃ ἑορτῇ ἐπιθέσθαι τῇ τυραννίδι, ἀγομένων τῶν Ὀλυμπίων, δόξας ταύτην εἶναι τὴν μεγάλην ἑορτήν, ἐπέθετο καὶ κατέλαβε τὴν ἀκρόπολιν τῶν Ἀθηναίων. Περικλῆς ἔχων σὺν αὐτῷ τοὺς συμπράττοντας ἐπανέστη. ὁ δὲ Κύλων δείσας τὸν Περικλέα συνέθετο ὅπως ὑπόσπονδος σὺν ἀδείᾳ κατέλθοι, καὶ γενομένων τῶν σπονδῶν κατῄει.*

---

1. *τιθηνουμένην* Maximus. *τινὲς δὲ* idem. *προσέῤῥιπτον*] *προσετρέποντο* idem. 2. *παῖς ἄρτι* idem. 9. *θανάτῳ* M. 10. *καὶ ἴσασι*] *οἶδέ τε γὰρ* As. 11. *αὐτῷ* As. 12. *φέρειν* As. *προσιόν, ὑπὸ τῆς φύσεως λαβὼν ἔχει δῶρον τὸ κάλλιστον· πεπίστευκε γὰρ ὅτι μηδενὸς ἀλγεινοῦ μηδὲ λυπηροῦ μέτεστι θανάτῳ* As. 14. *ἀναγηρύονται κτλ.*] permulta Apostolius omisit. 17. *Κυλώνιον* R. 23. *Περικλῆς*] hunc in hac re etiam Suid. s. *κυλώνειον* et s. *Περικλῆς* nominat: mihi nomen ex *Μεγακλῆς* corruptum videtur, de quo v. Plut. Solon. 12.

18. Greg. Cypr. M III, 84: Arsen. XXXII, 74. *Καὶ — ἀεί*] Aelian. N. An. V, 34.

19. *Κυλώνειον ἄγος* sine explicatione Hesychius et Zonar. 1268 commemorant: breviter explicatur a Suida. Narratio ex integrioribus quam nunc sunt Scholiis ad Arist. Equitt. 443 transcripta videtur.

ἐκδησάμενοι ἀπὸ τοῦ ναοῦ τῆς Ἀθηνᾶς μήρινθον, ὡς δὴ ἱκετὴς τοῦ θεοῦ, οἱ περὶ τὸν Περικλέα οὐ κατασχόντες τὴν ὀργὴν ἀπέκτεινον αὐτὸν κατερχόμενον. τοῦτο ἐστὶ τὸ Κυλώνειον ἄγος.

20 *Κυπαρίττου καρπός: ἐπὶ τῶν καλὰ καὶ ὑψηλὰ λεγόντων, ἄκαρπα δέ.*

21 *Κυρνία γῆ: ἐπὶ τῶν χωρῶν τῶν λῃστὰς ἐχουσῶν· τοιαύτη γὰρ ἡ Κύρνος πρώην.*

22 *Κυνόσαργες: ὁ τόπος ἐν ᾧ οἱ νόθοι ἐξεκρίνοντο. Κύνα γάρ τινα λέγεται ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι, καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμὸν, Ἡρακλέους ἱδρῦσαι ἐκεῖ ἄγαλμα· ἐξ οὗ καὶ τοὺς νόθους συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἴσα θεοῖς ἐτιμήθη. λέγεται ἡ παροιμία ἐπὶ τῶν νόθων.*

23 *Κύων ἐπισπεύδουσα τυφλὰ γεννᾷ.*

24 *Κυζικηνοὶ στατῆρες: ἐπὶ τῶν εὖ κεχαραγμένων στατήρων· διαβόητοι γὰρ οὗτοι.*

20a *Κύκλωπος δωρεά: ἀντὶ τοῦ ἀνωφελής.*

---

1. *ἐκδησάμενος* R: *ἐκδησάμενοι* antiqua lectio est et vv. *ἱκετὴς, αὐτὸν κατερχόμενον* ab Apostolio contra historiae fidem mutata: v. Thucyd. I, 126 sq. *Ἀθηνᾶς*] Furiarum templum Suidas nominat. *μήρινθον*] *κρόκην κλωστὴν* Plut. l. c. 3. *αὐτὸν*] Cylonem ab Atheniensibus interfectum esse etiam Suidas l. c. narrat; sed v. Meierum de bonis damn. 4. *Κυλώνιον* R. 9. *ὁ — ἁρπάσαντα*] *εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾗ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ τάχεος. καὶ γὰρ Ἡρακλεῖ θύοντας* [sic] *κύνα λευκὸν ἢ ταχὺν ἀετὸν ἁρπάσαντα* Suidas. 12. *ἱερὸν Ἡρακλέους* Suidas. *ἐκεῖ ἄγαλμα*] *τῷ τόπῳ* Suidas. 13. *νόθους ἐκεῖ* idem. 14. *λέγεται κτλ.*] Suidas om.

20. Arsen. XXXII, 75. Fructus cupressi inutiles: cf. Plin. N. H. XVI, 60, 139. Proverbium attigit Cael. Rhodiginus V. L. XXV, 2.

20[a]. Arsen. XXXII, 76. Fluxit ex Hom. Od. *I*, 369: adhibuit Luc. Catapl. 14: *ἄκουσον, ὦ βελτίστη Μοιρῶν. οὐ πάνυ με ἡ τοῦ Κύκλωπος εὐφραίνει δωρεά, τὸ ὑπισχνεῖσθαι, ὅτι πύματον ἐγὼ τὸν Οὖτιν κατέδομαι*: ubi v. Scholia. »Cuiusmodi sunt ferme tyrannorum et latronum beneficia, qui solent hoc ipsum magni beneficii loco imputare, quod aut minus aut serius noceant. In hanc sententiam Cic. Philipp. II, [3, 5]: *quod est aliud, P. C., beneficium latronum, nisi ut commemorare possint, eis se dedisse vitam, quibus non ademerint?*« Erasmus I, 4, 5. Add. Xenoph. Anab. II, 6, 27: *εὐεργεσίαν δὲ καταλέγειν* [Menonem], *ὁπότε τις αὐτοῦ ἀφίστατο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν*, et quae Abramius ad Cic. l. c. attulit.

21. Diog. V, 35.

22. Suid. s. *εἰς Κυνόσαργες*: Arsen. XXXII, 77. Greg. Cypr. L II, 56. Apost. VI, 66: similiter rem narrat Nonnus ad Gregor. Naz. p. 146 Mont. s. Cosmas in A. Maii Spicil. Rom. II, 147.

23. Macar. V, 32.

24. Diog. V, 66. Respexit Eu-

25 *Κύων παρ' ἐντέροις*: ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν προκειμένων.

26 *Κύων ἐπὶ δεσμά*: ἐπὶ τῶν ἑαυτοὺς εἰς δεσμὰ ἐμβαλλόντων.

27 *Κύρβεις κακῶν*: ἐπὶ πλήθους κακῶν· κύρβεις γὰρ ξύλα τινὰ πινακοειδῆ, ὅπου τοὺς νόμους ἔγραφον.

28 *Κύκλος τὰ ἀνθρώπινα*: σαφὴς ἡ παροιμία· καὶ προςέτι σοφή.

29 *Κύνα δέρειν δεδαρμένην*: ἐπὶ τῶν μάτην τι ποιούντων.

30 *Κύων εἰς τὸν ἴδιον ἔμετον*: ἐπὶ τῶν ἀπὸ τῶν ἀγαθῶν εἰς τὰ κακὰ ἐπανακαμπτόντων:. *Λέγεται* ὡς ἐν πολέμῳ Κάλβου τοῦ Ῥωμαίου σφαγέντος οὐδεὶς τῶν ἐχθρῶν τοῦ ἀνδρὸς τὴν κεφαλὴν ἠδυνήθη ἀποτεμεῖν, καίτοι μυρίων ἀγώνισμα τιθεμένων τοῦτο, πρὶν ἢ παρεστῶτά οἱ κύνα ἀποκτεῖναι, ὑπ' αὐτοῦ τραφέντα καὶ μέντοι ὑπερμαχοῦντα τοῦ κειμένου, ὥσπερ συστρατιώτην καὶ σύσκηνον ἀγαθόν. *** οἷον δ' αὖ καὶ τότε ἔῤῥεξεν οὐκ ἀνὴρ μὰ Δί', ἀλλ' ἀγαθὸς κύων καὶ τὴν γνώμην καρτερός. ὁ Ἠπειρώτης Πύῤῥος ὡδοιπόρει, καὶ περιτυγχάνει νεκρῷ πεφονευμένῳ καὶ κυνὶ παρεστῶτι καὶ φρουροῦντι τὸν δεσπότην, ἵνα μὴ πρὸς τῷ φόνῳ καὶ τῷ νεκρῷ λυμαίνηταί τις. ἔτυχε δὲ ἄρα τρίτην ἔχων ὁ κύων ἀπόσιτος τὴν ἡμέραν ἐπὶ τῇ φιλοπόνῳ καὶ καρτερωτάτῃ φρουρᾷ. τὸν μὲν οὖν ᾤκτειρε

---

12. λέγεται — πολέμῳ] ἔν τινι τῶν ἐμφύλων πολέμων ἐν τῇ Ῥώμῃ As. 13. οὐδεὶς μέντοι As. 14. ἠδυνήθη τὴν κ. As. 15. τοῦτο] σφίσι καὶ καλλώπισμα τοῦτο As. ἢ τὸν As. 16. μέντοι καὶ τὴν εὔνοιάν οἱ πιστότατα ἀποσώζοντα καὶ ὑπερμ. As. 17. ὥσπερ οὖν As. τε καὶ As. 18. ἀγαθόν] post hanc vocem pars versus dimidia vacua relicta est: ἀγαθὸν καὶ ἐς τὰ ἔσχατα φίλον As. δ' αὖ] δὲ αὖ R. τότε] τόδε R As. 19. Δία As. καρτερός, μαθεῖν ἄξιον As. 20. καὶ] εἶτα μέντοι As. 22. φόνῳ καὶ μέντοι καὶ τῷ As. λυμήνηται As. 24. καρτερικωτάτῃ As. τὸν] ὅπερ οὖν διδαχθεὶς ὁ Πύῤῥος τὸν μὲν ᾤκτ. As.

polis in Scholl. ad Arist. Pac. 1176: ἥδε Κύζικος πλέα στατήρων.

25. Diog. V, 67.
26. Diog. V, 68: DV III, 3.
27. Diog. V, 72.
28. Aristot. Probl. 17, 3: ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ καὶ ἑκάστου τῶν ἄστρων φορᾷ κύκλος τις ἐστί, τί κωλύει καὶ τὴν γένεσιν καὶ τὴν ἀπώλειαν τῶν φθαρτῶν τοιαύτην εἶναι, ὥστε πάλιν ταῦτα γίνεσθαι καὶ φθείρεσθαι; καθάπερ καὶ φασι κύκλον εἶναι τὰ ἀνθρώπινα: cf. Soph. Electr. 917 et v. nott. ad Apost. XVII, 33.
29. Diog. V, 85.
30. Arsen. XXXII, 78. Greg. Cypr. L II, 36. Λέγεται κτλ.] Aelian. N. H. VII, 10.

καὶ ταφῆς ἠξίωσε, τόν γε μὴν κύνα προσέταξε τυχεῖν κηδεμονίας, καὶ ἐδίδου ὅσα κυνὶ παρόντι ἐκ χειρὸς καὶ μάλα γε ἱκανὰ καὶ ἐφολκά. οὐ μετὰ μικρὸν ἐξέτασις ὁπλιτῶν ἦν, καὶ ὁ βασιλεὺς ὃν προεῖπον ἐθεᾶτο καί οἱ παρῆν ἐκεῖνος ὁ κύων, καὶ τὰ μὲν ἄλλα ἑαυτὸν σιγῇ κατεῖχεν. ἐπεὶ δὲ ἄρα τοὺς τοῦ δεσπότου φονέας ἐν τῇ τῶν στρατιωτῶν εἶδεν ἐξετάσει, ὁ δὲ οὐκ ἐκαρτέρησεν, ἀλλὰ εἰς αὐτοὺς ἐπήδα καὶ ὑλάκτει ἀμύσσων τοῖς ὄνυξι καὶ ἐς τὸν Πύῤῥον ἅμα ἐπιστρεφόμενος, ὡς οἷός τε ἦν ἐπήγετο μάρτυρα, ὅτι ἄρα τοὺς ἀνδροφόνους ἔχει. οὐκοῦν ὑπόνοια εἰςέρχεται καὶ τὸν βασιλέα καὶ τοὺς περιεστῶτας αὐτόν, καὶ ποιοῦνται ἐνθύμιον τὴν τοῦ κυνὸς ὑλακὴν τὴν ἐς τοὺς προειρημένους. καὶ συλληφθέντες στρεβλοῦνται καὶ κατεῖπον ὅσα ἐτόλμησαν.

31 *Κυνὶ δίδως ἄχυρα, ὄνῳ δ' ὀστέα*: ἐπὶ τῶν τἀναντία ποιούντων.

32 *Κύνες Ἰνδικοί*: θηρία δὲ οἶδε τὴν ψυχὴν θυμοειδέστατα· καὶ τῶν μὲν ἄλλων ζώων ὑπερφρονοῦσι, λέοντι δὲ ὁμόσε χωρεῖ κύων Ἰνδικὸς καὶ ἐγκείμενον ὑπομένει καὶ βρυχωμένῳ ἀνθυλακτεῖ καὶ ἀντιδάκνει δάκνοντα· καὶ πολλὰ λυπήσας τελευτῶν ἡττᾶται ὁ κύων. εἴη δ' ἂν καὶ λέων ἡττηθεὶς ὑπὸ κυνὸς Ἰνδοῦ, καὶ μέντοι καὶ δακὼν ὁ κύων ἔχεται καὶ μάλα ἐγκρατῶς· κἂν προςελθὼν μαχαίρᾳ τὸ σκέλος ἀποκόπτῃς τοῦ κυνός, ὁ δὲ οὐκ ἄγει σχολὴν ἀλγήσας ἀνεῖναι τὸ δῆγμα, ἀλλ' ἀπεκόπη μὲν πρότερον τὸ σκέλος, νεκρὸς δὲ ἀνῆκε τὸ στόμα:. *Ἀνθρώπου μόνου καὶ κυνὸς κορεσθέντων* ἀναπλεῖ ἡ τροφή. καὶ τοῦ μὲν ἀνθρώπου

30a *Κύων τεῦτλα οὐκ ἐσθίει.*

3. ἐφολκὰ εἰς τὴν ἑαυτοῦ φιλίαν τε καὶ εὔνοιαν, κατὰ μικρὰ ὑπάγων τὸν κύνα ὁ Πύῤῥος. καὶ ταῦτα μὲν ἐς τοσοῦτον. εἶτα μέντοι οὐ μετὰ μακρὸν ἐξέτασις As. 5. κατεῖχεν] εἶχε καὶ πρᾳότατος ἦν As. 7. ἐκαρτέρησεν ἐνταῦθα ἀτρεμεῖν As. ἐς As. 17. θηρία] θουρία R. δὲ — καὶ τῶν] καὶ οἵδε εἰσί, καὶ ἀλκὴν ἄλκιμοι καὶ ψυχὴν θυμ., καὶ τῶν πανταχόθεν κυνῶν μέγιστοι. Καὶ τῶν As. 20. βρυχωμένων R. 21. αὐτὸν λυπήσας καὶ κατατρώσας τελευτῶν As. 22. Ἰνδοῦ, καὶ διαφθαρείη δ' ἂν ἐν θήρᾳ. Καὶ As. 24. ἀποκόπτοις As. 26. στόμα, καὶ κεῖται βιασθεὶς ἀποστῆναι τῷ θανάτῳ As. 27. ἀναπλεῖ] ἀπλῇ As.

30a. Arsen. XXXII, 79: cf. Apost. XIII, 23.

31. Arsen. XXXII, 80. Dictum in eos, qui munera praepostera atque incongrua largiuntur: ossa enim canum, asinorum paleae sunt esca. Attigit Gatacker Advers. Post. 43, p. 872.

32. *Κύνες — στόμα*] Aelian. N. An. IV, 19. *Ἀνθρώπου — ἑτέροις*]

ἡ καρδία τῷ μαζῷ τῷ λαιῷ προςήρτηται, τοῖς γε μὴν ἄλλοις ζώοις ἐν μέσῳ τῷ στήθει προςπέλασται. γαμψώνυμον δὲ ἄρα οὐδὲ ἓν οὔτε πίνει, οὔτε οὐρεῖ, οὔτε μὴν συναγελάζεται ἑτέροις:. *Νικίας τις τῶν κυνηγούντων* ἀπροόπτως φερόμενος εἰς ἀνθρακευτῶν κάμινον κατηνέχθη, οἱ δὲ κύνες οἱ σὺν αὐτῷ τοῦτο ἰδόντες οὐκ ἀπέστησαν, ἀλλὰ τὰ μὲν πρῶτα κνιζόμενοι περὶ τὴν κάμινον καὶ ὠρυόμενοι διέτριβον, τὰ δὲ τελευταῖα μονονουχὶ τοὺς παριόντας ἠρέμα καὶ πεφεισμένως κατὰ τῶν ἱματίων δάκνοντες, εἶτα εἷλκον ἐπὶ τὸ πάθος, οἷον ἐπικούρους τῷ δεσπότῃ παρακαλοῦντες τοὺς ἀνθρώπους γενέσθαι. καὶ γοῦν εἷς ὁρῶν τὸ γενόμενον ὑπώπτευσε τὸ συμβάν, καὶ ἠκολούθησε καὶ εὗρε τὸν Νικίαν ἐν τῇ καμίνῳ καταφλεγέντα, ἐκ τῶν λειψάνων συμβαλὼν τὸ γενόμενον.

Τὸ κ̃ μετὰ τοῦ ω̃.

33 *Κωφότερος κίχλης*: παρόσον ἄφωνον τὸ ζῷον.

34 *Κωφότερος τοῦ Τορωναίων λιμένος*: λιμήν τις ἦν στενὰς ἔχων τὰς εἰςβάσεις.

35 *Κῷος πρὸς Χῖον*: ὅταν ἐλάττω πρὸς μείζω τις παραβάλλει.

33a *Κωφὸν γὰρ βέλος* ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.

33b *Περὶ τῶν ἐννέα Μουσῶν*
καὶ ποίας τέχνης ἑκάστη ἐπικρατεῖ καὶ τίς ἀκριβέστερον ἑκάστῃ τέχνῃ ἐχρήσατο.

Κλειὼ ἱστορίας· Ἡρόδοτος. *Θάλεια* κωμῳδίας· Μένανδρος. *Μελπομένη* τραγῳδίας· Εὐριπίδης. *Εὐτέρπη* αὐλῶν· Στησίχορος. *Τερψιχόρη* λύρας· Πίνδαρος. *Ἐρατὼ* κυμβάλων· Ἑρμῆς· *Καλλιόπη* ποιήσεως· Ὅμηρος. *Οὐρανία* ἀστρονομίας· Ἄρατος. *Πολυμνία* γεωμετρίας· Εὐκλείδης.

---

2. προςπέπλασται As. γαμψώνυχον R As. 4. δέ τις As. κυνηγετούντων As. 7. κνυζώμενοι As. 9. ἕλκοντες As. 11. γενέσθαι] οἱ κύνες As. γιγνόμενον As. 13. καταφλεχθέντα As. 19. ἐλάττονα Ds. μείζονα Ds. παραβάλλῃ Ds. 23. ἐπικρατεῖ — ἐχρήσατο] ἐπιστατεῖ· καὶ τίς ὁ ταύτης ἐν βίῳ ἐφευρετής Moschopulus.

id. ib. IV, 20. Νικίας κτλ.] id. ib. I, 8.
33. Greg. Cypr. L II, 49: Arsen. XXXII, 81.
33a. Arsen. XXXII, 82: Hom. Il. Λ, 390.
33b. Arsen. XXXII, 83: Moschop. Opusc. p. 59 Titz.
34. Diog. V, 43. Cf. nott. critt. ad Apost. XVII, 18.
35. Diog. V, 70. Cf. ann. ad Apost. XVIII, 26a.

36 *Κωφῷ ὁμιλεῖς:* ἐπὶ τῶν ἀδυνάτων.

37 *Κώνωπος ἐλέφας Ἰνδὸς οὐκ ἀλεγίζει.*

Ἀρχὴ τοῦ λ̄ στοιχείου.

Τὸ λ̄ μετὰ τοῦ ᾱ.

38 *Λάβρακας Μιλησίους:* ἐπὶ τῶν λαιμάργων. ἔστι δὲ ὁ λάβραξ εἶδος ἰχθύος· τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι γίνονται λάβρακες καὶ πλεῖστοι διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάττης καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις:. *Λάβραξ καρίδων ἅπτεται·* καὶ εἴη ἂν εἰ καὶ πταίσας ἐρῶ ἰχθύων ὀψοφαγίστατος. αἱ δὲ ἀμύνασθαι αὐτοὺς ἀδυνατοῦσαι, αἱροῦνται συναποθνήσκειν· ὅταν γοῦν αἴσθωνται λαμβανόμεναι, τὸ ἐξέχον τῆς κεφαλῆς, ἔοικε δὲ τριήρους ἐμβόλῳ καὶ μάλα γε ὀξεῖ· τοῦτο τοίνυν αἱ γενναῖαι σοφῶς ἐπιστρέψασαι, πηδῶσι τε καὶ ἀναθόρνυνται κοῦφα καὶ ἀλτικά. κέχηνε δὲ ὁ λάβραξ καὶ μέγα, καὶ ἔστιν οἱ τὰ τῆς δέῤῥης ἁπαλά. οὐκοῦν ὁ μὲν συλλαβὼν τὴν καρίδα καμοῦσαν, οἴεται δεῖπνον ἔχειν· ἡ δὲ ἐν ἐξουσίᾳ τε καὶ εὐρυχωρίᾳ σκιρτᾷ, τῆς φάρυγγος, ὡς ἂν εἴποις, καταχορεύουσα· εἶτα ἐμπήγνυται τῷ δειλαίῳ θηρατῇ τὰ κέντρα καὶ ἕλκοῦταί

---

5. *Λάβρακας . . ἰχθύος*] *Λάβραξ.* εἶδος ἰχθύος. *Καὶ παροιμία. Λάβρακας Μιλησίους* Suidas. 9. *διὰ*] *Μίλητος δὲ πόλις Ἀσίας, ἔνθα πολλοὶ γίνονται λάβρακες, διὰ* Suidas. 12. *ὁ λάβραξ καρίδος ἥττηται* As. 14. *ὀψοφάγιστος* R As. *αἱ δὲ ἀμύνασθαι*] *οὐκοῦν ἔλειοι ὄντες τὰς ἐλείους ἐλλοχῶσιν. εἰσὶ γὰρ τῷ γένει τριτταί· καὶ αἱ μὲν αὐτῶν, οἵας προεῖπον, αἱ δὲ ἐκ φυκίων, πετραῖαί γε μὴν αἱ τρίται. ἀμύνεσθαι δὲ* As. 15. *ὅταν*] *καὶ τόγε σόφισμα εἰπεῖν οὐκ ὀκνήσω αὐτῶν. ὅταν* As. 17. *τοῦτο*] *καὶ ἄλλως ἐντομὰς ἔχει δίκην πρίονος, τοῦτο* As. 19. *δέρης* As. 21. *ἕξειν* As.

36. Plut. Prov. 43 Boiss. Greg. Cypr. M IV, 89.
37. Phalar. Epist. 29: *πολλὰ λέγειν ἔχων καὶ κατὰ σοῦ, καὶ περὶ ἧς κατ' ἐμοῦ πεφλυάρηκας ἐν Λεοντίνοις δημοκοπίας, οὐδὲν ἐρῶ περισσότερον, πλὴν ὅτι κώνωπος ἐλέφας Ἰνδὸς οὐκ ἀλεγίζει:* ubi v. Lennepius: add. annott. ad Apost. VII, 8.
38. Suidas: Arsen. XXXIII, 50. Append. Provv. III, 57. *Λάβραξ κτλ.*] Aelian. N. An. I, 30.

οἱ τὰ ἔνδον καὶ ἀνοιδήναντα αἷμα ἐκβάλλει πολὺ καὶ ἀποπνίγῃ καὶ καινότατα δήπου ἀποκτείνασα ἀνῄρηται.

39 Λάβωμεν τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ: ἐπὶ τῶν ἑνὶ πόνῳ δύο κατωρθωκότων· ἐκ τῶν Θεμιστοκλέους ἀποφθεγμάτων.

40 Λαγωὸς καθεύδων: ἐπὶ τῶν προσποιουμένων καθεύδειν, ἢ πανουργευομένων.

41 Λαγωὸς περὶ τῶν κρεῶν τρέχει: δειλὸν τὸ ζῷον· ὅθεν καὶ Ῥηγῖνος λαγὼς ἐλέχθη· καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν. λέγεται δὲ ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων:. Εἰς τὴν κοίτην τὴν συνήθη οὐ πάρεισιν ὁ λαγὼς πρὶν ἢ ταράξῃ τὰ ἴχνη, πῇ μὲν εἰσιών, πῇ δὲ ἐξιών, ἵνα ἀφανίσῃ τὴν ἐκ τῶν θηρατῶν εἰς αὐτὸν ἐπιβουλήν:. Λέγεται καὶ τάδε περὶ αὐτῶν· τίκτειν καὶ ἄῤῥενας λαγὼς καὶ ἔχειν παιδοποιεῖσθαί τε ἅμα καὶ ὠδίνειν, ὡς τῆς φύσεως μὴ ἀμοιρεῖν ἑκατέρας:. Ἔστι δ' ὁ λαγὼς καὶ ἀνέμων τε καὶ ὡρῶν ἐπιστήμων· ἐν χειμῶνι οὖν κοίτην ἐν τοῖς προσηλίοις τίθεται· δῆλα γὰρ δὴ ὅτι θάλπεται μὲν ἀσμένως, κρύει δὲ ἐχθρῶς ἔχει· θέρους δὲ πρὸς ἄρκτον ἀποκλίνει πόθῳ ψύχους. τῆς δὲ τῶν ὡρῶν διαφορᾶς αἱ ῥῖνες αὐτῷ γνώμων. οὐ μὴν ἐπιμύει καθεύδων ὁ λαγώς, καὶ τοῦτο αὐτῷ ζῴων μόνῳ περίεστιν, οὐδὲ νικᾶται τῷ ὕπνῳ τὰ βλέφαρα. Φασὶ δὲ αὐτὸν καθεύδειν μὲν τὸ σῶμα, τοὺς δὲ ὀφθαλμοὺς τηνικάδε ὁρᾶν.

---

1. ἀνοιδήσαντα As. ἀποπνίγει As. 2. ἀποκτείνουσα As. 7. ἢ πανουργευομένων Ds om.: v. K in nott. cr. ad Diog. l. c. 8. λαγὼς τὸν περὶ τ. κ. τρέχων Zenobius. ἄγαν τὸ idem. 10. λέγεται δὲ] παροιμία δέ τις ἐστὶν Ὁ λαγὼς τὸν περὶ τῶν κρεῶν τρέχει, Zenobius. 11. ἀγωνιζομένων τασσομένη idem. 13. ταράξαι As. 14. ἐπιβουλήν] de leporis sapientia nonnulla As addit. λέγεται — ἔχειν] τίκτειν γὰρ δὴ καὶ ἄῤῥενας λαγὼς ἔλεγε, καὶ ἔχειν As. 17. ἔστι δ'] ἦν δὲ ἄρα As. 18. ἐν — κοίτην] σοφὸν γάρ τι χρῆμα αὐτοῦ, ἀλλ' οὐκ εὔχαρι ὄν. χειμῶνος οὖν κοῖτον As. 25. τοὺς δὲ ὀφθαλμοὺς As.

39. Plut. Themist. c. 16.
40. Diog. VI, 1: Arsen. XXXIII, 51. DV III, 6.
41. Zenob. IV, 85: Arsen. XXXIII, 52. DV III, 8: add. Apost. XVI, 99c. δειλὸν] cf. Apost. V, 90a. Ῥηγίνους] cf. Apost. XV, 22. λέγεται κτλ.] Anonym. apud Hasium ad Leon. Diac. p. 257 D: ὡς δ' ἀφῖκτο καθαρῶς ὁ κίνδυνος, ... ὡς τὰ περὶ ψυχῆς νῦν ἡμῖν κινδυνεύεται, τὸν μὲν τότε ὄλεθρον σοφώτατ' ὡς εἶχεν ἀπεκρουσάμην: add. Boettiger in Amalth. I, 48 a Walzio ad h. l. laudatus. Εἰς — ἐπιβουλήν] Aelian. N. An. VI, 47. Λέγεται — ἑκατέρας] id. ib. XIII, 12. Ἔστι κτλ.] id. ib. XIII, 13.

42 *Λακωνικὸν τρόπον*: περαίνειν ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις· ἥκιστα γὰρ τὰς γυναῖκας ἐφύλασσον οἱ Λάκωνες. καὶ *Λακωνίζειν*, τὸ παιδικοῖς χρῆσθαι.

43 *Λακκόπλουτος εἶ κατὰ τὸν Καλλίαν*: οὕτως ἔλεγον Καλλίαν τὸν Ἀθηναῖον ἐξ αἰτίας τοιαύτης. Ξέρξην ἡττηθέντα ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ φυγεῖν ἐξ Ἀθηνῶν· ἐσταθμευκότος δέ τινος τῶν Περσῶν ἐν τοῖς Καλλίου καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φυγὴν ποιησαμένων, ἐμβαλεῖν τοὺς οἰκέτας τοῦ Πέρσου πολὺν χρυσὸν εἰς λάκκον, ἐλπίζοντας ὕστερον ἀνασώσειν ἐπανελθόντας. οὐ μὴν γενέσθαι λέγεται· πρότερον γὰρ κυριεῦσαι τῶν χρημάτων Καλλίαν.

44 *Λαμίας δυσμορφότερος*: ταύτην ἐν τῇ Λιβύῃ Δοῦρις ἐν δευτέρᾳ Λιβυκῶν ἱστορεῖ γυναῖκα καλὴν γενέσθαι,

43a *Λάμβδα* ἐπὶ ταῖς ἀσπίσιν οἱ Λακεδαιμόνιοι ἐπέγραφον, ὥσπερ οἱ Μεσσήνιοι μ̄. Εὔπολις· Ἐξεπλάγη γὰρ ἰδὼν στίλβοντα τὰ λάμβδα. οὕτως καὶ Θεόπομπος.

---

1. τρόπον περαίνει N: τρόπον. τὸ περαίνειν καὶ παιδεραστεῖν, τὸ παρέχειν κτλ. Hesychius. 2. φυλάσσουσιν Photius cum Suida, φυλάττουσιν Hesychius. 3. καὶ κτλ.] s. Λακωνίζειν haec afferunt Suidas et Hesychius. χρῆσθαι] Ἀριστοφάνης Θεσμοφοριαζούσαις β' Photius et Suidas addunt: fr. 322 Dind. 4. λακκόπλουτος — Ἀθηναῖον] Λακκόπλουτον. Καλλίαν τὸν Ἀθ. οὕτως ἔλεγον Suidas. 6. τῇ περὶ Suidas. 10. πολὺν] πολλὴν N. ἐλπίζοντος Suidas. 13. δυσμορφώτερος RZ. 14. δευτέρῳ Suidas. Λιβυκῶν] »Λιβυκῶν vereor ne compendio debeatur, cum Λιβύης vel ἐν Λιβύῃ esset significatum«: **Bernhardius**. De Libycis enim a Duride scriptis altum apud veteres silentium.

42. Phot. Suid. Hesychius: Arsen. XXXIII, 53. Saepissime comici poetae libidinosos Lacaenarum mores perstrinxerunt: cf. O. Muellerus Dor. II, 287. 296.

43. Arsen. XXXIII, 54. οὕτως κτλ.] Suidas, Photius: Hesych. s. λακκόπλουτος: ὁ Καλλίας, ὑπὸ τῶν κωμικῶν, διὰ τὸ περιτυχεῖν χρυσῷ εἰς φρέαρ βεβλημένῳ. De difficultatibus, quibus laboret narratio, Bosslerus de gentt. Att. sacerd. disp. p. 33 et Bernhardius ad Suidae l. c. exposuerunt. Lemmatis causa appono Alciph. Ep. I, 9: βούλομαι δὲ πρὸς ἕνα τῶν λακκοπλούτων . . . οἰκείως ἔχειν: Max. Tyr. Diss. XI, 7, p. 202: τί τοῖς θεοῖς ἐνοχλεῖς; μηδὲν τὸ παρὰ τὴν ἀξίαν φοβηθῇς, καὶ πλουτήσεις, κἂν Ἱππόνικος ᾖς: add. Themist. Or. 294 A.

43a. Arsen. XXXIII, 55: Photius. Idem narrat Eustath. ad Hom. Il. *B*, 581, p. 293, 39: ἱστορεῖται δὲ ὅτι Λακεδαιμόνιοι λάμβδα ἐπὶ ταῖς ἀσπίσιν αὐτῶν εἰς παράσημον ἔγραφον ἐκ τοῦ κατάρχοντος στοιχείου χαρακτηρίζοντες ἑαυτούς, ὥσπερ οἱ Μεσσήνιοι, πλησιόχωροι ὄντες αὐτοῖς καὶ πολέμιοι τὸ μ̄. Εὔπολις· Ἐξεπλάγην — λάμβδα, ἤγουν τὰς κακωτικὰς ἀσπίδας. Εὔπολις] fr. inc. fab. 37 Mein. Θεόπομπος] fabb. inc. fr. 16 Mein.: historico vindicat Wichersius: cf. fr. 325.

44. Arsen. XXXIII, 56. ταύτην κτλ.] haec e Photio aut Suida s. Λαμία transcripta sunt, qui Scholl.

μιχθέντος δὲ αὐτῇ τοῦ Διὸς, ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολύναι· διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν. Ἔστι δὲ καὶ πόλις Θεσσαλίας, ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ τὸν Ἀλεξάνδρου θάνατον Ἀθηναίων ἡγουμένων τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν. Μένανδρος ἐν Ἀνδρογύνῳ·

πλήσας γὰρ ἔφθειρεν ἐκ παρατάξεώς ποθεν τὰς ἐν Λαμίᾳ πάσας.

45 *Λαρινοὶ βόες: ἐπὶ τῶν εὐτραφῶν. ἀπὸ Λαρίνου βουκόλου τοῦ ἐν Ἠπείρῳ κλέψαντος τὰς Ἡρακλέους βοῦς, ὡς Λύκος ὁ Ῥηγῖνος, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε·*

---

1. *τοῦ* in Suida deest. *ζηλοτυπουμένης* Z, quod Hullemannus defendit. 2. *ἀπολλύναι* RWZ Suidas. 5. *μετὰ*] *κατὰ* m. 7. *Ἀνδρογύνῃ* Z. 8. *πλήσας*] *πάσας* A, *πλήρας* N. *ἔφθειρεν*] *ἔφερεν* Photius, *ἔφθειρ'* Bernhardius. 10. *ἐπὶ τῶν εὐτραφῶν*] absunt a Suida: sumpta sunt ex Scholl. ad Aristoph. l. c.: *λαρινῷ βοΐ*] *ἀντὶ τοῦ μεγάλῳ καὶ εὐτραφεῖ.* *ἀπὸ — κλέψαντος*] *οἱ ἐν Ἠπείρῳ, ἀπὸ Λαρίνου βουκόλου, κλέψαντος* Suidas.

ad Arist. Pac. 751. Vesp. 1030 in angustum deduxerunt. Similia in Scholl. ad Aristid. p. 19 Fromm. leguntur. *Δοῦρις*] fr. 37 Hullem.: in secundo de rebus Agathoclis libro Duris haec exposuit. *Ἔστι κτλ.*] cf. Etymol. M. s. *Λαμία* et v. Grauerti Anal. I, 250 sqq. *Ἀνδρογύνῳ*] fr. 5 Mein. Lamiae nomine non solum mulieres deformes turpesque notabantur: Apul. Metam. I, c. 17. V, c. 11: sed etiam infantes a nutricibus territabantur: Dio Chrysost. Or. 55, p. 285 R.: *θαυμάζεις τοὺς λέοντας ..., οἷς ἐκεῖνος ἐκήλει τοὺς ἀναισθήτους, ὥσπερ αἱ τίτθαι τὰ παιδία διηγούμεναι τὴν Λαμίαν*: add. Strab. 1, p. 19. Scholl. ad Arist. Equitt. 693 et Choerobosc. in Crameri Anecdd. Oxon. T. II, 239, 13: *Λαμία* [cod. *Λοιμία*]: *ὄνομα κύριον· γέγονεν δὲ ἡ γυνὴ Δημητρίου τοῦ Φαλήρεως* [cf. Ostermannus de Demet. Phal. Comm. I, p. 8]· *ἔστιν δὲ καὶ προσηγορικὸν, τὰ φάσματα* [cod. *χάσματα*]. *οὕτω Διογενιανός*: affinia terriculamentorum nomina peti possunt ex annott. ad Zenob. I, 53. III, 3: add. Apost. X, 89. Fluxit autem hic usus e fabulis, quas multas et miras Graecorum ferax rerum fictarum ingenium de Lamia emisit: v. Diod. XX, 41. Klausenius de Aen. et Pen. I, 207.

45. Suidas: Arsen. XXXIII, 57: Photius. Quae h. l. leguntur, e Scholl. ad Arist. Pac. 925 descripta sunt, quibuscum consentit enarrator Pindari in Nem. IV, 82. Aliam viam instituit Eustathius ad Hom. Il. Φ, 392, p. 1243, 11: *καὶ ὅτι ἀπὸ τοῦ ῥινοῦ καὶ βόες λαρινοὶ καὶ ταῦροι οἱ μέγα καὶ παχὺ δέρμα ἔχοντες*: suo denique more ineptit Tzetzes Chil. VIII, 270. et in Scholiis a Cramero Anecd. Ox. III, 362 editis. *Λύκος*] *ἐν ταῖς πρὸς Ἀλέξανδρον*, ut Scholl. ad Aristoph. l. c. docent. Egit de Lyco Ungerus Parad. Theb. I, 383. *Πρόξενος*] *ἐν Ἠπειρωτικοῖς*, ni fallor: v. Vossius Hist. Gr. 493 West. *Ἀπολλόδωρος*] p. 450 Heyn. Epirotici boves et maximi erant et praepingues ob pascua eximia: Aelian. N. An. XII, 11. Oppian. Cyneg. II, 109: hinc saepe cum laude memo-

Πρόξενος δὲ αὐτὸν τὸν Ἡρακλέα ἀνεῖναί τινας τῷ Δωδωναίῳ Διΐ· Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς λαρινοὺς καλεῖ· λαρινεύειν γὰρ τὸ σιτεύειν.

46 *Λάρος κεχηνώς: ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν.*

47 *Λακωνικὰς σελήνας: ἐπὶ τῶν ἀμφιβόλως συνθήκας ποιουμένων· οὗτοι γὰρ βοήθειαν αἰτούμενοι ἀνεβάλλοντο, τὴν σελήνην προφασιζόμενοι.*

48 *Λάρος ἐν ἕλεσιν: ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.*

Τὸ λ̃ μετὰ τοῦ ε̃.

49 *Λεβηρίδος γυμνότερος καὶ κινδάλου: ἔστι δὲ λεβηρὶς τὸ δέρμα ὃ ἀποδύεται ὁ ὄφις· ὁ δὲ κίνδαλος εἶδος ὀρνέου ἀσάρκου.*

---

1. *Πρόξενος κτλ.* nunc non comparent in Schol. Arist. l. c. *τὸν* RZ om. 2. *αὖ τοὺς*] *αὐτοὺς* NRZ. 3. *καλεῖ* Suidas om. 4. *λεπτῶν* N: Suidas addit: *ἐπεὶ καὶ ὁ λάρος ὀρνεόν ἐστιν ἁρπακτικὸν καὶ ἀδηφάγον.* 8: *λάρος ἐν Νεμέσει* Photius. *παροιμία ἐπὶ* Photius et Suidas. 10. Suidas: *λεβηρίς. τὸ γῆρας, ὁ . . . ὄφις. καὶ παροιμία· Τυφλότερος λεβηρίδος κ. κ. ἔστι δὲ εἶδος ὀρνέου ἀσάρκου καὶ λεπτοῦ. ἄλλως δὲ γυμνότερος. φασὶ γὰρ ὅτι Λεβηρὶς πένης ἐγένετο, ἐξ οὗ καὶ ἡ παροιμία μετήχθη.*

rantur: Aristoph. Pac. 925. Aristot. H. An. III, 16, 7. Varr. R. R. II, 5, 10: plura praebent Schneiderus ad Aristot. et Varr. ll. cc., et O. Muellerus Dor. I, 424.

46. Suidas: Arsen. XXXIII, 58. Arist. Equitt. 956: *λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.* Larus, avis praedae avida et vorax, quum facile inescari patiatur: Hom. Od. *Ε*, 51. Aristoph. Av. 567. Schneiderus ad Arist. H. An. V, 8, 4: eius nomine a Graecis non solum homines rapaces ac lucro furtisque dediti appellantur: Aristoph. Nub. 591: *ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς:* Matron apud Athen. IV, 134 E: *Χαιρεφόων, πεινῶντι λάρῳ ὄρνιθι ἐοικώς, Νήστης, ἀλλοτρίων εὖ εἰδὼς δειπνοσυνάων:* Timocles apud eundem VIII, 342 A: *ὥστε τοὺς λάρους εἶναι Σύρους:* Lucian. de Merc. Conduct. 3: *καθάπερ ὁ λάρος ὅλον περιχανὼν τὸ δέλεαρ:* Aelian. Epist. Rust. 18, p. 421 Cuiac.: *Λάχης . . . λάρου βίον ζῇ καὶ ἀνέμοις μάχεται:* sed etiam fatui atque stulti: Eustath. ad Hom. l. c. p. 1522, 56: *ἰστέον δέ, ὅτι τὸν λάρον, τῇ εὐηθείᾳ ἢ ὕστερον προςοχὴ παροιμιακῶς ἀπακληροῖ· ὅθεν καὶ λάρους τοὺς εὐήθεις φαμέν:* Luc. Timon. 12, ubi v. Hemsterhusius, cui add. Huschkius de Annio Cimbr. disput. 32.

47. Diog. VI, 30.

48. Suidas: Arsen. XXXIII, 59: Photius.

49. Suidas: Arsen. XXXIII, 60. De cindalo cf. Apost. IX, 82: cf. Diog. III, 73. App. Provv. III, 58. Apost. V, 67[a]. Dici *ἐπὶ τῶν πάνυ πτωχῶν* refert Diogenianus. Usurpaverant ut videtur Aristophanes et Strattis: Erotian. Lex. Hippocr. 244 Fr.: *Λεβηρίδος: ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις:* v. Meinekius Com. Gr. II, 2, 782.

50 *Λειβηθρίων ἀνοητότεροι:* Θουκυδίδης ταύτῃ ἐχρήσατο. οἱ γὰρ Λειβήθριοι ἔθνος ἦν μωρόν, ἀπὸ τόπου Λειβήθρα καλουμένου, ἐν ᾧ κατῴκουν, οὕτω παρωνομαζόμενον.

51 *Λέγειν μὲν τὰ ἄριστα, πράττειν δὲ τὰ κάλλιστα:* ταῦτο ἐξ ἀποφθέγματος.

52 *Λευκώλενον λίνον κέρδει γαμεῖς:* ἐπὶ τῶν αἰσχρὰς ἐπὶ κέρδει γαμούντων.

53 *Λεωκόριον οἰκεῖς:* ἐπὶ τῶν λιματτόντων· ἔστι δὲ τόπος τῆς Ἀττικῆς· ἐλίμωξέ ποτε ἡ Ἀττικὴ καὶ λύσις ἦν τῶν δεινῶν παιδὸς σφαγή· Λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν· καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον. ὁ Λεὼς δὲ ἦν υἱὸς Ὀρφέως· οὗτος δ' ὁ Λεὼς ἔσχεν υἱὸν Κύλανθον· ἦν

52a *Λέγεις· ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις:* Μένανδρος.

52b *Λευκώνης ζῆλος:* ἐπὶ τῶν ζήλῳ κακῶς ἀποθανόντων. Κνάνιππος τῷ γένει Θεσσαλὸς γήμας Λευκώνην τὰ πολλὰ διὰ φιλοκύνηγον ἐνέργειαν ἐν ὕλαις διέτριβεν. ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν αὐτὸν ἔχειν μεθ' ἑτέρας γυναικός, κατ' ἴχνος ἠκολούθησε τούτῳ καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ τὸ μέλλον ἀπεκαραδόκει· τῶν δὲ πέριξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιβευταὶ κύνες, δόξαντες καὶ αὐτήν, ἀλόγου ζῴου δίκην

---

1. *Λειβηθρίων — μωρὸν*] *Λειβήθριοι, ἔθνος μωρόν* Zonaras. *ἀνοητότεροι*] *ἀμουσότεροι* Zenob. I, 79. 3. *κατῴκουν κτλ.*] *κατοικοῦσι ἀνόητοι ἄνθρωποι. Θουκυδίδης· Λ. ἀν.*, ubi *Θουκυδίδης* in *Θουγενίδης* mutandum esse Tittmannus coniecit: cf. nott. critt. ad Diog. II, 26. *παρονομαζόμενον* WZ. 4. Plutarchus: *ἐρωτηθεὶς δὲ πῶς ἄν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη, Εἰ λέγοι, εἶπε, τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα.* 5. *τοῦτο ἐξ*] *ἐκ τοῦ* Z. 6. *κερδογαμεῖς* Z Ds. 8. *Λεωκόριον — ἐλίμωξε*] *Λεωκόριον, τόπος τῆς Ἀττικῆς, ἀπὸ ἱστορίας. ἐλίμωξε* Suidas. 12. *ὁ Λεὼς κτλ.*] apud Suidam haec sic leguntur: *Λεωκόριον. ἡρῷον ἐν μέσῳ τῷ Κεραμεικῷ· Λεὼς γὰρ ὁ Ὀρφέως υἱὸν μὲν ἔσχεν Κύλανθον, θυγατέρας δὲ τρεῖς, Φασιθέαν* [*Πραξιθέαν* Aelianus], *Θεόπην, Εὐβούλην· ἃς ὑπὲρ τῆς χώρας σφαγιασθείσας ἔτι παρθένους ἐτίμησαν Ἀθηναῖοι τῷ ἡρῴῳ.* 15. *Λευκώνης — ἀποθανόντων*] Stobaeus om. 19. *τούτῳ*] *τῷ προειρημένῳ* Stobaeus. 21. »leg. *θηρίον δόξαντες εἶναι* e Plutarch. II, p. 310 E:« Gaisfordus.

50. Zonar. 1294: Arsen. XXXIII, 61. Apost. II, 67.
51. Plut. Apophth. Lac. 213 C: Arsen. XXXIII, 62. Est Agesilai.
52. Diog. VI, 22. DV III, 4.
52[a]. Stob. Flor. X, 6. Max. Conf. Serm. 12, p. 571 Comb.: Arsen. XXXIII, 64. Men. fr. inc. fab. 284 Mein.
52[b]. Arsen. XXXIII, 65. X, 44: Stob. Flor. 64, 33.
53. Suidas: Arsen. XXXIII, 63: add. Phot., Scholl. ad Thuc. I, 20. Aelian. V. H. XII, 28. De re post Meursium Ceram. Gem. c. 17 dixerunt Lobeckius Aglaoph. I, 326 et C. O. Muellerus ind. lectt. univ. Gotting. aest. 1840, p. 7.

δὲ τὰ ὀνόματα τῶν θυγατέρων τούτου, ἃς ὑπὲρ τῆς χώρας δέδωκεν εἰς σφαγὴν, Φρασιθέα, Θεόπη καὶ Εὐβούλη.

54 *Λέοντα ξυρᾶν, ἢ κολωνὸν κυρίττειν*: ἐπὶ τῶν μὴ πειθομένων περί τι:. *Λέγει Εὔδημος* νεανίᾳ θηρατικῷ συντρόφους εἶναι κύνα καὶ ἄρκτον καὶ λέοντα· καὶ ταῦτα μὲν χρόνου πρὸς ἄλληλα εἰρήνην ἄγειν καὶ σφίσι φίλα νοεῖν. μιᾶς δὲ τυχεῖν ἡμέρας τὸν κύνα προςπαίξαντα τὴν ἄρκτον καὶ ὑπαικάλλοντα καὶ ἐρεσχελοῦντα, τὴν δὲ οὐκ εἰωθότως ἐκθηριωθῆναι καὶ ἐμπεσεῖν τῷ κυνὶ καὶ λαφύξαι τοῦ δειλαίου τὴν γαστέρα καὶ διασπάσασθαι αὐτόν. ἀγανακτῆσαι δὲ τῷ συμβάντι τὸν λέοντα καὶ μισῆσαι τὴν ἄρκτον καὶ τὰ αὐτὰ δρᾶσαι αὐτήν, ἅπερ οὖν ἐκείνη τὸν κύνα εἰργάσατο. Ὅμηρος μὲν οὖν φησίν·

ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι·

ἔοικε δὲ ἡ φύσις δεικνύναι, ὅτι καὶ φίλον ἑαυτῷ τιμωρὸν καταλιπεῖν, ὦ φίλε Ὅμηρε, κέρδος ἐστί.

55 *Λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα*: ἐπὶ τῶν ἀμηχάνων.

56 *Λεπτὴν πλέκει*: λεγόμενόν τι ἐπὶ τῶν πενήτων, οἷον ἀκριβῆ, στενὴν, ἀσθενῆ.

διεσπάραξαν· τῆς δὲ πράξεως αὐτόπτης γενόμενος Κυάνιππος ἑαυτὸν συγκατέσφαξεν:. *Σώστρατος* ἱστορεῖ ἐν β' Κυνηγετικῶν.

---

4. τι] ἢ ματαιοπονούντων. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ [T. II, 192 Dind.]· ὥσθ' ὁρᾷ, μὴ λέοντα ξυρεῖν ἐπιχειρῶμεν, οὐ Θρασύμαχον συκοφαντεῖν [cf. Plat. Reip, I, 341 C.] ἐπιχειροῦντες, ἀλλὰ κωμῳδεῖν Περικλέα καὶ ταῦτα δειλίας A addit. Λέγει — κύνα] prolixius haec As descripsit. 7. φίλα ν. σφ. λέγει ὁ Εὔδημος As. προςπαίζοντα As. 8. ἄρκτον As. 11. λέοντα — καὶ τὰ] leonis animum atque cogitationes pluribus As exornavit. 17. ἐστὶν R As. 19. ἀμηχάνων] εἴρηται ἡ παροιμία Suidas addit. 23. ἐπικατέσφαξεν Stobaeus, κατέσφαξεν Ab.

54. Arsen. XXXIII, 66. Λέοντα ξ.] DV II, 61. Κολωνὸν κ.] Aliud proverbium ab arietis cornibus ductum commemorat Greg. Nazianz. Epist. 62 [191]: ἄνδρα σοφιστὴν ἐνουθέτησα . . καὶ οὐδὲ ὑπὸ τῆς παροιμίας τῆς ἰδιωτικῆς ἐπαιδεύθην, φαλακρὸς ὢν κατὰ κριοῦ μὴ νυστάζειν ἀντὶ προςώπου μηδὲ σφηκιὰς ἐγείρειν κατ' ἐμαυτοῦ [cf. Macar. VII, 94], γλῶσσαν πρὸς τὸ κακῶς λέγειν ἑτοιμοτέραν. Λέγει κτλ.] Aelian. N. An. IV, 45. Ὅμηρος] Od. γ, 196.

55. Suidas: Arsen. XXXIII, 67. Est versus Arist. Equitt. 1249, de quo v. Porso ad Eurip. Orest. 68. Respexit comici versum Aristid. ὑπ. τ. τεττ. p. 193 Iebb.: τὸ μὲν γὰρ μέλλον ἅπασιν ἦν ἐν ἀφανεῖ, λεπτὴν καὶ ἄπιστον ἔχον τὴν ἐλπίδα.

56. Suidas: Arsen. XXXIII, 68. Greg. Cypr. L II, 59.

57 *Λέρνη θεατῶν: καί· Λέρνη κακῶν:* ἀντὶ τοῦ, κακὸν θέατρον· Κρατῖνος. οἱ μὲν διὰ τὴν Ὕδραν· οἱ δὲ διὰ τὸ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφέρειν. ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιαδῶν ἀπέθετο καὶ ὡς εἰκὸς ἐφ' ὕβρει ἐκέλευσε τὰ δυσοιώνιστα ἐκεῖ ῥίπτειν· ἦν δὲ ἡ Λέρνη πηγή.

58 *Λεσβίων ἀξία:* ἐπὶ τῶν ἀπράκτων.

59 *Λέσχῃ ἐγκάθῃ:* ἐπὶ τῶν διαλεγομένων καὶ φιλοσοφούντων· τὸ γὰρ παλαιὸν αἱ καθέδραι καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμεναι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. οὕτω φησὶ καὶ Ἱεροκλῆς ἐν πρώτῃ Φιλοσοφουμένων.

57a *Λεσβιάζειν:* τὸ τῷ στόματι αἰσχρόν τι ποιεῖν· Θεόπομπος· ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλλούμενον δι' ἡμετέρων στομάτων εἴπω σόφισμα, ὃ φασι παῖδας Λεσβίων εὑρεῖν.

58a *Λέριοι κακοί, οὐχ ὁ μέν, ὁ δ' οὔ, Πάντες πλὴν Πατροκλέους, καὶ Πατροκλέης Λέριος·* ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

---

1. *καὶ — κακῶν*] Suidas N om. 2. *κακῶν θέατρον* Suidas. 4. *Αἰγυπτιάδων* RAZW. 6. *ἦν κτλ.*] *οἱ δὲ, Λέρνη κακῶν* Suidas. *πηγή*] *λίμνη* Gregorius: utrumque recte: v. Paus. II, 36. 37. Scholl. ad Pind. Ol. VII, 60 et Rossii Itiner. Gr. I, 150. 7. *παροιμία ἐπὶ* Suidas. 9. *γὰρ*] *δὲ* Suidas. 10. *ἀθροιζόμενοι* NZ Suidas. 11. *πρώτῃ*] *α´* Suidas. 13. *θρυλούμενον* Scholiasta. 14. *σόφισμ', ὃ* idem. De metro dixit Meinekius. 16. *Λέριοι*] *Καὶ τόδε Φωκυλίδεω· Λέριοι* Strabo: est Phocyl. fr. 1 Schneidew. 17. *Πατροκλέους* et *Πατροκλέης* vitia sunt ex compendio orta: v. Tzschuckius ad Strab. l. c. Simile mendum in nott. critt. ad Apost. I, 19 monstravi. Vera lectio *Προκλέους* et *Προκλέης*, quam Erasmus II, 4, 48 primus commendavit, non solum libris manu exaratis et Eustathii testimonio, sed etiam Demodoci imitatione defenditur. *ἐπὶ κτλ.*] *διεβέβληντο γὰρ ὡς κακοήθεις οἱ ἐνθένδε ἄνθρωποι* Strabo l. c.

57. Suidas: Arsen. XXXIII, 69. Greg. Cypr. M IV, 23. *Κρατῖνος*] Com. Gr. Fr. II, 1, 201 Mein.

57a Arsen. XXXIII, 70: Scholl. ad Arist. Vesp. 1337. Pertinet huc Aristoph. Eccles. 920: *δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς Λεσβίους*, de quo cf. Iacobsius Ann. ad Anth. II, 3, p. 77: add. annott. ad App. Provv. IV, 73. *Θεόπομπος*] Com. Gr. II, 2, p. 805 Mein.

58. Suidas: Arsen. XXXIII, 71. Zenob. IV, 88. Phot. Epist. 185 init.: *σὺ δὲ, ὡς ἐκεῖνον ὁρῶν ἐστί, κἂν λέγει, Λεσβίαν αὐτῷ δεξιὰν προτείνεις.*

58a. Arsen. XXXIII, 72: Strab. X, 5, 12, p. 487. Eustath. ad Dion. Perieg. 530. Phocylidem imitatus est Demodocus: v. Anth. Pal. XI, 235. 236. Aristot. Eth. ad Nicom. VII, 9.

59. Arsen. XXXIII, 74. *τὸ γὰρ κτλ*] Suid. s. Phot. v. *λέσχη*. Attigit Zellius, *Ferienschriften* I, 12. De Hierocle cf. Apost. VII, 12. Ceterum comparari poterit Apost. I, 52.

60 *Λευκὴν μάζαν φυρῶσιν:* ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων.

61 *Λέων τὴν τρίχα, ὄνος τὸν βίον:* ἐξ ἱστορίας ἡ παροιμία· Καρχηδόνιόν φασι νεανίαν ἀγρεῦσαι λέοντα ἄρτι ἐκ γάλακτος καὶ ἡμερῶσαι τοῦτον παρανόμῳ τροφῇ καὶ τὸν θυμὸν αὐτοῦ ἐξελεῖν διαίτῃ νόθῳ, ὥστε ἐπιθεὶς αὐτῷ φορτίον ἤλαυνε δι' ἄστεος ὄνου δίκην. ἀλλὰ ἀπέκτειναν γε αὐτὸν Καρχηδόνιοι μισήσαντες τῆς παρανομίας, ὡς τύραννον μὲν τῇ φύσει, ἰδιώτην δὲ τῇ δυστυχίᾳ.

62 *Λευκὴ ψῆφος:* ἐπὶ τῶν εὐδαιμόνως βιούντων.

63 *Λέων εὐθὺς εἰς ἀγῶνας:* ἐπὶ τῶν ἀνδρείως ἀγωνιζομένων:. *Τὴν ὕαιναν* τῆτες μὲν εἰ θεάσαιο ἄῤῥενα, τὴν αὐτὴν εἰς νέωτα ὄψει θῆλυν· εἰ δὲ θῆλυν νῦν, μετὰ ταῦτα ἄῤῥενα· κοινωνοῦσί τε καὶ γαμοῦνται, ἀνὰ ἔτος πᾶν ἀμείβουσαι τὸ γένος. οὐκοῦν τὸν Καινέα καὶ τὸν Τειρεσίαν ἀρχαίους ἀπέδειξε τὸ ζῷον τοῦτο, οὐ κόμποις, ἀλλὰ τοῖς ἔργοις αὐτοῖς:. *Φοιτᾷ δὲ νύκτωρ* καὶ πρὸς τὰ αὔλια καὶ μιμεῖται τοὺς ἐμοῦντας. ἀκούοντες δὲ οἱ κύνες προσίασιν ὡς ἐπ' ἄνθρωπον· ἡ δὲ αὐτοὺς συλλαμβάνει καὶ ἐσθίει.

64 *Λευκὴ στάθμη λευκῷ λίθῳ:* ἐπὶ τῶν τὰ ἄδηλα ἀδήλοις σημειουμένων· ἢ ἐπὶ τῶν μηδὲν συνιέντων.

Τὸ λ μετὰ τοῦ η.

65 *Λήμνιον κακόν:* ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι καὶ τεκνοποιησάμενοι ἐξ αὐτῶν, κατέσφαξαν αὐτὰς μετὰ τῶν τέκνων· ἔπειτα δὲ πάντας αἱ γυναῖκες τοὺς ἄνδρας, ὅτι αὐταῖς οὐ προσεῖχον, ἀνεῖλον ἅμα ταῖς τῶν Θρᾳκῶν γυναιξὶν, ἐπὶ τῇ δυσωδίᾳ· ἣν Μυρσίλος μὲν διὰ τὸν τῆς Μηδείας ἐπὶ Ὑψιπύλῃ ζῆλον κα-

---

1. *φυρῶ σοι* Suidas. *παροιμία ἐπὶ* idem. 4. *φασὶ δὲ καὶ Καρχηδόνιον* Maximus. 12. *τὴν κτλ.*] A om. *ἄῤῥενα εἰ θ.* As. 14. *κοινωνοῦσί τε ἀφροδίτης ἑκατέρας καὶ γαμοῦσι τε καὶ γαμοῦνται* As. 20. *λευκῷ λίθῳ* Suidas om.: cf. Greg. Cypr. M IV, 19. 21. *συνιέντων*] Ab addit: *Σοφοκλῆς· Τοῖς μὲν λόγοις τοῖσιν* [sic] *οὐ τεκμαίρομαι.* 25. *ἔπειτα*] *ἐπεὶ* Suidas. 27. *Μύρσιλον* W.

60. Suidas: Arsen. XXXIII, 75. Diog. VI, 12.
61. Arsen. XXXIII, 77. *Καρχηδόνιον κτλ.*] Max. Tyr. Diss. II, 3, p. 23.
62. Diog. VI, 9: Arsen. XXXIII, 78. Macar. V, 57.
63. Arsen. XXXIII, 76. *τὴν — αὐτοῖς*] Aelian. N. An. I, 25. *φοιτᾷ κτλ.*] id. ib. VII, 22.
64. Suidas: Arsen. XXXIII, 79. 78. Greg. Cypr. L II, 67.
65. Arsen. XXXIII, 80. *Λήμνιον — Καύκασος δὲ*] Suid. s. *λήμνιον*,

Πελοποννησιακοῖς κατὰ πάντων Νικίαν πέμψαντες Ἀθηναῖοι ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποστῆναι αὐτῶν πρώην ὑποτελῆ οὖσαν. Μῆλος δὲ πόλις Θεσσαλίας. οἱ δὲ Μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ Ἀθηναίων ἐπείσθησαν καὶ προδεδώκασιν ἑαυτούς.

71 *Λίνδιοι τὴν θυσίαν: ἐπὶ τῶν σκωπτόντων καὶ δυσφήμως ἱερουργούντων. Ἡρακλῆς γὰρ ἥρπασε τὸν βοῦν τινος τῶν Λινδίων, καὶ ἐθοινίσατο· ὁ δ' ἐλοιδορεῖτο αὐτῷ.*

72 *Λίθος κυλιόμενος φῦκος οὐ ποιεῖ: ἐπὶ τῶν διὰ τὰς συνεχεῖς μεταστάσεις πλοῦτον μὴ κεκτημένων.*

73 *Λίνον λίνῳ συνάπτειν: ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων ἢ λεγόντων.*

74 *Λιτύερσαν ᾠδὴν ᾄδεις: ἐπὶ τῶν ἐπιβούλων. Μένανδρος Χαλκηδονίῳ·*

ᾄδοντα Λιτυέρσην, ἀπ' ἀρίστου τέως.

Μίδου δὲ ἦν ὁ Λιτυέρσης νόθος υἱός, κατοικῶν δὲ ἐν Κελαιναῖς τοὺς παριόντας ὑποσχόμενος ἠνάγκαζε μετ' αὐτοῦ

72a *Λιπαρώτερος λύχνου καὶ ληκυθίου: ἐπὶ τῶν ὑπερβολικῶν· ὡς τό· Ἀκόνην σιτίζεις.*

73a *Λιμῷ γὰρ οὐδὲν ἐστιν ἀντειπεῖν ἔπος.*

73b *Λιβυκὸν ὄρνεον: ἤγουν μέγα.*

---

1. *Πελοποννησιακοῖς* Suidas. 5. *οὖσαν*] *ἢ ἀντὶ τοῦ μεγίστῳ* addit Suidas. 9. *τὸν* A om. 10. *ἐθοινήσατο* Ds. 13. *συνάπτεις* Scholiasta. 14. *δρώντων κτλ.*] *ἢ λεγόντων ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων* idem. *ἢ*] *καὶ* RZ. 15. *Λιτύερσαν — ἐπιβούλων*] *Λιτυέρσης εἶδος ᾠδῆς* Suidas. 16. *Καρχηδονίῳ* Meinekius. 19. *ὑποσχόμενος*] *ὑποδεχόμενος* Suidas. 23. *ὡς ἐν Λιβύῃ πολλῶν ὀρνίθων καὶ εὐτραπέλων ὄντων* Suidas addit.

71. Diog. VI, 15: Arsen. XXXIII, 89.

72. Arsen. XXXIII, 90. Senec. Epist. 2: *non convalescit* [v. l. coalescit] *planta, quae saepe transfertur*.

72a. Arsen. XXXIII, 91: Diog. VI. 31. *Ἀκ. σ.*] Apost. II, 8.

73. Scholl. ad Plat. Euthyd. p. 369 Bekk.: Arsen. XXXIII, 92. Greg. Cypr. M IV, 16.

73a. Arsen. XXXIII, 93: Menand. Monost. 321.

73b. Arsen. XXXIII, 94: Suidas.

74. Arsen. XXXIII, 95. *Μένανδρος κτλ.*] Suidas, Photius: Cramer. Anecdd. Gr. Oxon. III, p. 412: doctiora praebet Schol. ad Theocr. X, 41 ex Apollodoro: *καθάπερ ἐν μὲν θρήνοις ἰάλεμος, ἐν δὲ ὕμνοις ἴουλος, ἀφ' ὧν καὶ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν θεριστῶν ᾠδὴν φησὶ* quae illustrantur ab Muellero Dorr. I, 347. Welckero Opusc. I, 11. Panofka in Gerhardi Diar. Archaeol. II, 392. *Μένανδρος*] Com. Gr. Fr. IV, p. 146 Mein.

θερίζειν. εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράμασιν. εἰς τιμὴν δὲ τοῦ Μίδου θερικὸς ὕμνος ἐπ' αὐτῷ συνετέσθη.

75 *Λιβυκὸν θηρίον: ἐπὶ τῶν πολυτρόπων καὶ πολυειδῶν καὶ ποικίλων· διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι· καὶ πολλὰ ζῷα συνιέντα ἀλλήλοις καὶ ἐπιβαίνοντα ἐξηλλαγμένα ἀποτελεῖν καὶ σύμμικτα ζῷα:. Λέγει ὁ Εὔδημος τὰ ἐν Λιβύῃ ζῷα, ὅ τι ἂν θηράσῃ, ποιεῖν μοίρας ἕνδεκα, καὶ τὰς μὲν δέκα σιτεῖσθαι, τὴν δὲ ἑνδεκάτην ἀπολείπειν· (ὅτῳ δὲ καὶ ἀντὶ τοῦ καὶ ἐννοίᾳ τινὶ σκοπεῖν ἄξιον). οὐκοῦν ἐκπλαγῆναι δίκαιον τὴν αὐτοδίδακτον σοφίαν· τὴν γάρ τοι μονάδα καὶ δυάδα καὶ τοὺς ἑξῆς ἀριθμοὺς ζῷον οἶδεν ἄλογον· ἀνθρώπῳ δὲ δεῖ πόσων μὲν τῶν μαθημάτων, πόσων δὲ τῶν πληγῶν, ἵνα ἢ μάθῃ ταῦτα εὖ καὶ καλῶς, ἢ πολλάκις μὴ μάθῃ.*

Τὸ λ μετὰ τοῦ ō.

76 *Λοκρῶν συνθήματα· τάσσεται ἐπὶ τῶν παρακρουομένων· οἱ γὰρ Λοκροὶ τὰς συνθήκας παρέβαινον.*

76a *Λόγῳ μ' ἔπεισας, φαρμάκῳ σοφωτάτῳ.*
76b *Λόγος μέν ἐστι φάρμακον λύπης μόνος.*
76c *Λόγος ἰατρὸς τοῦ κατὰ ψυχὴν πάθους.*
76d *Λόγος μὲν ἐσθ' ἀρχαῖος ἀνθρώπων φανείς,*

---

1. *ὑποκόπτων* RZ. 2. *δράγμασιν* Suidas: *τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνειλῶν ᾖδεν* Schol. Theocr. l. c. *εἰς*] *ἀπέθανε δὲ ὑπὸ Ἡρακλέους· εἰς συνετέθη* Suidas. 6. *ζῷα*] de uno animalium Libycorum genere haec ab Eudemo affirmari Aelianus dicit. 7. *λέγει — ζῷα*] pluribus, haec As exponit. 10. *ἀπολιπεῖν* As. 11. *ἄξιον*] *ἀπαρχήν γε τινὰ ἢ δεκάτην, ὡς ἂν εἴποις* As addit. 12. *γάρ τοι*] *δέ γε* As. 17. *σύν[έ]θη[ον]μα* Ds. 18. *παραβαίνουσιν* A. 19. *με πεῖσον* Menander. 20. *λόγος μέν*] *λογισμός* idem. 21. *ἰατρὸς ὁ λόγος* idem.

75. Arsen. XXXIII, 96. *ἐπὶ — ζῷα*] videntur e Diog. VI, 11 derivata. *λέγει κτλ.*] Aelian. N. An. IV, 53.
76. Diog. VI, 17: Arsen. XXXIII, 97. Macar. V, 65.
76a. Arsen. XXXIII, 98: Menand. Monost. 313.
76b. Arsen. XXXIII, 99: Menand. Monost. 315. Comparetur Men. Monost. 610: *λύει δὲ λύπην παντὸς ἀνθρώπου λόγος*: ib. 319: *λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος*: quibuscum ex Euripide similia Meinekius ad Com. Gr. Fr. T. IV, p. 708 composuit. Respexisse videtur Diphilus, cuius locum v. in Mant. Provv. s. *λύπης*: add. Theoph. Simoc. Epist. 25 et annott. ad Apost. VIII, 96d.
76c. Arsen. XXXIII, 100: Menand. Monost. 674.
76d. Arsen. XXXIV, 1: Stob.

77 *Λούσαιο τὸν Πελίαν:* ἀπὸ τῶν τῷ Πελίᾳ συμβάντων παρήχθη.

78 *Λοκρικὸς βοῦς:* ἐπὶ τῶν εὐτελῶν· Λοκροὶ γὰρ ἀποροῦντες βοῶν πρὸς θυσίας ξύλα σχηματίσαντες εἰς βοῦν οὕτω τὸ θεῖον ἱλεώσαντο.

Τὸ λ μετὰ τοῦ υ.

79 *Λυγγέως ὀξύτερον ὁρᾷ:* ἐπὶ τῶν ὀξυδορκούντων. *Λέγουσι τὸν Λυγγέα* ὡς τὰ ὑπὸ γῆν ἑώρα· τοῦτο δὲ

ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοι βροτῶν, πρὶν ἂν
θάνοι τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός. Σοφοκλέους Τραχινίαις.

77a *Λοιβὰς μὲν πρῶτον* ὡραίου γάμου Ἥρας τε·
εἶτα· Τὴν δευτέραν κρᾶσιν Ἥρωσιν νέμω.

77b *Λόγον παρ' ἐχθροῦ* μήποθ' ἡγήσῃ φίλον.

78a *Λουτρὰ ἀνθρωπογναφεῖα:* οὕτως ἐκάλουν οἱ παλαιοὶ τὰ λουτρὰ, ἐπεὶ θᾶττον ἢ προσῆκε ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει.

78b *Λόγος πάντα ποιεῖ* καὶ διδάσκει καὶ παιδαγωγεῖ. ἵππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δ' ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται. οὗτος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινόν, ταύρῳ ζυγόν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ, οὗτος πολιτεύεται καὶ γεωργεῖ, καὶ τὰ ἄλλα δημιουργεῖ·

ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν ἠδὲ θάλασσαν,
ἐν δὲ τὰ τείρεα πάντα τάτ' οὐρανὸς ἐστεφάνωται.

---

1. λούσαις R. 7. *Λυγκέως* C. ὁρᾷ] βλέπει C. 8. *Λυγκέα λέγουσι ὡς* Ps. 9. ἐκμάθοις Sophocles. 10. θάνῃ Stobaeus. 12. *Αἰσχύλος ἐν Ἐπιγόνοις· Λοιβὰς Διὸς μὲν* Scholiasta. 13. δευτέραν γε idem. 17. ἀναγκάζει] καθέψονται κατὰ τὰ αὐτὰ τῷ σιδήρῳ μαλασσομένης τῇ θερμότητι τῆς σαρκός Clemens addit. 18. πάντα ὁ λόγος καὶ ποιεῖ Clemens. 23. γεωργεῖ] ἄρχει καὶ ὑπουργεῖ addit Clemens. 25. ἠδὲ] ἐν δὲ Clemens, Homerus.

Flor. 105, 38. Est Soph. Trach. 1, ubi v. Hermannus.
77. Diog. VI, 6: Arsen. XXXIV, 4.
77a. Arsen. XXXIV, 6: Scholl. ad Pind. Isthm. VI, 10. Aesch. fr. 49 Dind.: cf. Apost. X, 5a.
77b. Arsen. XXXIV, 7: Menand. Monost. 325.
78. Diog. VI, 23: Arsen. XXXIV, 3.
78a. Arsen. XXXIV, 2: Clem. Alex. Paed. III, 9, 46, p. 103 Sylb. Attigit Hemsterhusius ad Arist. Plut. p. 395.
78b. Arsen. XXXIV, 8: Clem. Alex. Paed. III, 12, 99, p. 114 Sylb. Ἐν μὲν κτλ.] Hom. Il. Σ, 483. 485.
79. Arsen. XXXIV, 9. Λυγγέως — ὀξυδ.] App. Provv. III, 71: v. Greg. Cypr. L II, 61. Lucian. Hermot. §. 20: σὺ δὲ ὑπὲρ τὸν Λυγκέα ἡμῖν δέδορκας καὶ ὁρᾷς τὰ ἔνδον, ὡς ἔοικε, διὰ τοῦ στέρνου καὶ

ψεῦδος· τὸ δ' ἀληθὲς ἔχει ὧδε. Λυγγεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ λοιπά· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν τὸν σίδηρον καὶ χρυσόν· ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι Λυγγεὺς καὶ ὑπὸ γῆν ὁρᾷ, καὶ καταδύνων ἀργύριον περιφέρει.

80 *Λύκου πτερὰ ζητεῖς*: ἐπὶ τῶν ἀδυνάτων:. *Αἰλιανός φησιν*, ὅτι λύκοι βοὸς εἰς τέλμα βαθὺ ἐμπεσόντος ἐάν πως περιτύχωσι, ταράττουσι μὲν αὐτὸν ἔξωθεν καὶ ἐκφοβοῦσι, διανήξασθαι καὶ ἐπιβῆναι τῆς γῆς οὐκ ἐπιτρέποντες, ἀναγκάζουσι δὲ τῷ χρόνῳ στρεβλούμενον καὶ ἰλυσπώμενον ἀποπνιγῆναι. εἶτα εἷς αὐτὸς ὁ τελεώτατος ἐμπηδήσας τῷ ὕδατι, ἐλάβετο τὸ στόματι τῆς οὐρᾶς τοῦ βοὸς καὶ ἕλκει εἰς τὸ ἔξω. καὶ ἕτερος τῆς ἐκείνου λαβόμενος αὐτὸν ἕλκει, καὶ τὸν δεύτερον ὁ τρίτος, καὶ τοῦτον ὁ τέταρτος· καὶ οὕτως ἐξαγαγόντες τὸν βοῦν ποιοῦνται δεῖπνον.

81 *Λυδὸν εἰς πεδίον ἴσθι προκαλούμενος*: ἐπὶ τῶν θᾶττον βουλομένων τι δρᾶσαι καὶ προθύμως.

82 *Λυδὸς ἐν μεσημβρίᾳ παίζει*: ἐπὶ τῶν ἀκολάστων· ὡσαύτως καὶ ἐπὶ τῶν ταῖς ὥραις ἀκολασταινόντων.

---

1. ψευδῶς R. 3. καταφέρων Ps. 4. ἐκεῖσε] ἐπὶ τοῦ τόπου Ps. 5. καὶ τὸν σίδηρον Ps, vv. καὶ χρ. omissis. Λυγκεὺς Z. 6. καὶ τὰ .. ἀναφέρει Ps. Westermanni codd. cum Apostolio concordant. 7. ζητεῖς pars codd. Diogeniani om. 8. βοὶ As. ἐμπεσόντι As. 10. φοβοῦσι As. 12. αὐτῶν As. 13. ὕδατι καὶ προσνεύσας As. τῷ As. 15. τέταρτος, καὶ δρᾶται τὸ εἰρημένον μέχρι τοῦ τελευταίου, ὅσπερ [οὖν] ἔξω τοῦ ὕδατος ἕστηκεν. καὶ τὸν τρόπον τοῦτον ἐξαγαγόντες As. 18. θᾶττον καὶ προθύμως βουλομένων τι δρᾶσαι A. 20. ὡσαύτως κτλ.] rectius Suidas: ὡς ταύταις ταῖς ὥραις ἀκολασταινόντων. In AEZ e Suida additur: τοιαύτῃ γὰρ ὥρᾳ οἱ αἰπόλοι ἀκολασταίνουσιν ἐκεῖ.

ἀνέῳκταί σοι τὰ πάντα: id. pro Imagg. 20: Nazarii Panegyr. 11: *non hinc tecum Lynceus ille certaret, qui, ut poetae ferunt, parietum septa et arborum truncos visu facile traiiciebat*: ubi v. Baunius et Livineius: add. Hemsterhusius ad Luc. Timon. 25. λέγουσι κτλ.] Palaeph. Incr. c. 10.

80. Arsen. XXXIV, 11. Λύκου — ἀδυνάτων] Diog. VI, 4: DV III, 7. λύκοι κτλ.] Aelian. N. An. VIII, 14.

81. Arsen. XXXIV, 12. Lemma e Liban. Epist. 532 sumptum videtur: ἐπεὶ δὲ πλήθους ἐπιθυμεῖς, Λυδὸν εἰς π. ἰ. προκαλούμενος: idem proverbium adhibet Manuel. Palaeol. in Combefisii Auct. Patr. II, 1107: εἰ γὰρ φαῦλον ἐπὶ φαῦλα καλέσας τις ἢ καὶ χρηστὸν ἐπ' ἀγαθά, Λυδὸν εἰς πεδίον, φασί: add. Theodor. Hyrtac. in Boiss. Anecd. II, 413: μετῄει δ' οὕτω σπουδαίως, ὥστ' ἀμφοτέραν παροιμίαν τήν τε Λυδὸς ἐς πεδίον, τήν τε φυτὸν αὐτίκα μέλλον κάρπιμον ἔσεσθαι [Diog. V, 15], ἔργῳ μᾶλλον ἢ λόγῳ συνιστάναι τοῖς φήσασιν: et qui in ann. ad Diog. I, 65 et Apost. XI, 1 allati sunt.

82. Suidas: Arsen. XXXIV, 10. Greg. Cypr. L II, 63.

83 *Λυδὸς καπηλεύει:* λέγεται Κῦρον περιγενόμενον τῶν Λυδῶν, καπηλεύειν προςτάξαι.

84 *Λύκος ἀετὸν φεύγει:* ἐπὶ τῶν ἀφύκτων:. Οὐ ῥᾳδίως οἱ λύκοι τὴν ὠδῖνα ἀπολύουσιν, ἀλλὰ ἐν ἡμέραις δώδεκα καὶ νυξὶ τοσαύταις, ἐπὶ τοσούτῳ χρόνῳ τὴν Λητὼ εἰς Δῆλον ἐξ Ὑπερβορέων ἐλθεῖν Δήλιοι φασί.

85 *Λύκος ἔχανε:* λέγουσι τὸν λύκον, ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ' αὐτό· ὅταν οὖν μὴ λάβῃ, ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασίν. ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δέ.

86 *Λύκος περὶ φρέαρ χορεύει:* ἐπὶ τῶν πονούντων περί τι μάτην. καὶ ὅτι ἄπρακτοι περίεισιν, ὅταν διψήσῃ μὴ δυνάμενος πιεῖν. καὶ ἐπὰν διώκοντος αὐτοῦ τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ.

87 *Λύκῳ συννόμῳ καὶ ἵππῳ, λέοντί γε μὴν οὐκέτι:* ἐπὶ τῶν μὴ συναγελαζομένων· λέαινα γὰρ καὶ λέων οὔτε τὴν αὐτὴν ἴασιν, οὔτε ἐπὶ θήρας, οὔτε πιόμενος· τὸ δὲ αἴτιον, τῇ τοῦ σώματος ῥώμῃ θαῤῥοῦντες ἄμφω· οὐ γὰρ δεῖται θατέρου ὁ ἕτερος:. Τῷ λύκῳ ὁ τράχηλος εἰς βαθὺ συνῆπται· οὔκουν οἷός τε ἐπιστραφῆναι, ὁρᾷ δὲ εἰς τὸ πρόσω ἀεί· εἰ δὲ βούλοιτό ποτε εἰς τοὐπίσω θεάσασθαι, πᾶς ἐπιστρέφεται. ὀξυωπέστατον δέ ἐστι ζῷον, καὶ μέντοι καὶ νύκτωρ, καὶ σελήνης οὔσης, ὁρᾷ. ἔνθεν τοι καὶ λυκόφως κέκληται ὁ καιρὸς οὗτος τῆς νυκτός, ἐν ᾧ μόνος ἐκεῖνος τὸ φῶς ὑπὸ τῆς φύσεως προςλαβὼν ἔχει. δοκεῖ δέ

---

2. *προςτάξαι αὐτοῖς καπηλεύειν* Ds, *αὐτοῖς προςτάξαι* AZ. 5. *ἐπὶ*] *ἐπεὶ* As. 7. *ἔχανεν*] *ἐπὶ τῶν τῆς ἐλπίδος ἀποτυγχανόντων· οἱ γὰρ λύκοι τὰ θηρία* [*ἀθηρίᾳ* Ds] *περιπεσόντες χαίνουσι διερχόμενοι λέγουσι κτλ.*] AZ: sunt Diogen. VI, 20. 10. *διαμαρτόντων* R. *δέ*] *δὲ λέγουσιν.* *Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'* addunt Suidas et Photius: v. Macar. V, 76. 12. *ἄπρακτος* Suidas, *ἄπρακτα* A. 13. *καὶ* A Suidas om. *τι τὸ* Suidas. Sensus est mutilus: suppleri potest e Zenob. IV, 100. 16. *ἐπὶ τ. μὴ σ.* As. om. 17. *οὐ τὴν* As. *πιόμενοι* As. 19. *οὐ γὰρ*] *εἶτα οὐ* As. *ἕτερος, ὥς φασιν οἱ πρεσβύτεροι* As. 20. *βραχὺ συνῆκται* As. *τέ ἐστιν* As. 23. *οὐκ οὔσης* A As. *ὁ δὲ ὁρᾷ· καὶ ὅτε πᾶσιν ἐστι σκότος, ἐκεῖνος βλέπει* As.

83. Diog. VI, 3: Arsen. XXXIV, 13.
84. Arsen. XXXIV, 14. *Λύκος — ἀφύκτων*] Greg. Cypr. M IV, 17: cf. Apost. X, 92. 98a. *Οὐ κτλ.*] Aelian. N. An. IV, 4.
85. Suidas: Arsen. XXXIV, 15. Greg. Cypr. M IV, 15.
86. Suidas: Arsen. XXXIV, 17. Greg. Cypr. M IV, 15.
87. Arsen. XXXIV, 18. *λύκῳ — ἕτερος*] Aelian. N. An. IV, 3. *τῷ λύκῳ κτλ.*] id. ib. X, 26. *Ὅμηρος*] Il. *H*, 433.

μοι καὶ Ὅμηρος λέγειν ἀμφιλύκην νύκτα, καθ' ἣν ἤδη βλέποντες λύκοι βαδίζουσι.

88 *Λύειν δ' οὐκ ἔστιν, ἀγνοοῦντα τὸν δεσμόν*: σαφής.

89 *Λύκον εἶδες*: ἐπὶ τῶν ἀφνίδιον ἀχανῶν γενομένων:. Ὁ λύκος ἐμπλησθεὶς εἰς κόρον οὐδ' ἂν τοῦ βραχίστου τὸ λοιπὸν ἀπογεύσαιτο· περιτείνεται μὲν γὰρ ἡ γαστὴρ τῷδε, οἰδαίνει δὲ ἡ γλῶττα, καὶ τὸ στόμα ἐμφράγνυται· καὶ οὐκ ἂν ἐπιβουλεύσαιτο ἢ ἀνθρώπῳ ἢ θρέμμασιν, οὐδὲ εἰ τῆς ἀγέλης βαδίζει μέσος. μειοῦται δὲ ἡσυχῇ κατ' ὀλίγον ἡ γλῶττα αὐτῷ, εἶτα εἰς τὸ ἀρχαῖον σχῆμα ἐπάνεισι καὶ λύκος γίνεται αὖθις.

90 *Λύχνου ἀρθέντος γυνὴ πᾶσα ἡ αὐτή*: τοῦτο πρὸς τοὺς μοιχικοὺς καὶ ἀκολάστους εἴρηται καλῶς. τὴν δὲ γα-

---

2. βαδίζουσιν Z. 5. γινομένων Suidas. 7. ἐπιγεύσαιτο As. 8. πρᾳότατος δὲ ἐντυχεῖν ἐστιν ἀμνοῦ δίκην, καὶ οὐκ ἂν ἐπιβουλεύσαι ἢ As. 10. καὶ κατ' As. 13. λύχνου — αὐτή] γυνή τις πρὸς τὸν Φίλιππον ἄκουσαν ἐφελκόμενον αὐτήν, Ἄφες με, εἶπε· πᾶσα γ. τοῦ λύχνου ἀ. ἡ αὐτή ἐστι Plutarchus. αὐτὴ ἐστί A.

88. Arsen. XXXIV, 19.

89. Arsen. XXXIV, 22. Λύκον — γενομένων] Suidas: cf. Diog. IV, 64 s. Apost. VI, 50. Docte Donatus de proverbio egit ad Terent. Ad. IV, 1, 21: *silentii indictio est in hoc proverbio: atque eiusmodi silentio vel in ipso verbo, ut ipsa fabula conticescat. quia lupum vidisse homines dicimus, qui repente obmutuerint. quod fere iis evenit, quos prior viderit lupus: ut cum cogitatione in qua fuerint, etiam voce et verbis careant. Sic Theocritus* [XIV, 22]: οὐ φθεγξῇ; Λύκον εἶδες, [ἔπαιξέ τις, ὡς σοφὸς εἶπεν]. *Et Virgilius* [Ecl. IX, 53]: . . *vox quoque Moerin Iam fugit ipsa, lupi Moerin videre priores. Alii putant ex nutricum fabulis natum, pueros ludificantium terrore lupi, paulatim Capua venientis usque ad limen cubiculi* [cf. annott. ad Apost. X, 44]. *Nam falsum est quod dicunt, intervenisse lupum Naevianae fabulae Alimoniae Remi et Romuli* [cf. Klussmannus ad Naev. Rell. p. 129], *dum in theatro ageretur*: Scholl. ad Theocr. l. c.: παροιμία δέ ἐστι τὸ Λύκον εἶδες, ὅτι οἱ λύκον ἰδόντες δοκοῦσιν ἄφωνοι γίνεσθαι: Themist. Oratt. 21, p. 253 C: καὶ μικροῦ γίνεσθαι ἀναύδους, καθάπερ φασὶ τοὺς ὑπὸ λύκου πρότερον ὀφθέντας: idem de lupis dicit Anon. in Crameri Anecd. Oxon. IV, 268. Pulcre hac vulgi opinione usus est Plato Reip. I, 336 D, ubi v. Muretus. Pertinet huc Latinorum proverbium *lupus in fabula*, de quo haec habet Serv. ad Verg. l. c.: *hoc etiam Physici* [v. Plin. N. H. VIII, 22, 80.] *confirmant, quod voce deseratur is, quem prior viderit lupus. Unde etiam proverbium hoc natum est: Lupus in fabula: quotiens supervenit ille, de quo loquimur, et nobis sua prudentia amputat facultatem loquendi*: v. Plaut. Stich. IV, 1, 71: *atque eccum tibi lupum in sermone*: Terent. l. c., Cic. Epist. ad Attic. XIII, 33, 4. Ceterum quod hic de lupis relatum est, id Solinus, si verba eius non corrupta sunt, miro errore in solos Italiae lupos cadere contendit Polyhist. 2, 35. Ὁ λύκος κτλ.] Aelian. N. An. IV, 15.

90. Plut. Praec. Coniug. 46, p. 144 E: Arsen. XXXIV, 23.

μετὴν δεῖ μάλιστα τοῦ φωτὸς ἀρθέντος εἶναι μὴ τὴν αὐτὴν ταῖς τυχούσαις γυναιξίν, ἀλλὰ φαίνεσθαι τοῦ σώματος μὴ βλεπομένου τὸ σῶφρον αὐτῆς καὶ ἤδιον τῷ ἀνδρὶ καὶ τεταγμένον καὶ φιλόστοργον.

91 *Λυκόπους εἶ:* ἤγουν τῶν τυράννων οἰκέτης· τοὺς γὰρ δορυφόρους τῶν τυράννων οὕτως ἐκάλουν· διὰ τὸ τοὺς ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ βάλλειν. λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους, ὥςτε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. ἢ διὰ τὸ ἔχειν ἐπὶ τὴν ἀσπίδα ἐπίσημον λύκον.

92 *Λύκον εἶδες, βέβηκε ταῦρος ἀν' ὕλαν.*

93 *Λύκου δεκάς:* ἐπὶ τῶν καλῶς δεκαζόντων. ἐπεὶ Λύκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις, ἔνθα προςήδρευον οἱ συκοφάνται. ἀφώριστο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας.

93a *Λυπηρότερον σταλαγμοῦ:* διὰ τὴν ἐν τῷ συνεχῶς καταστάζεσθαι δυςχέρειαν λέγεται.

---

3. *ἴδιον* Plutarchus. 4. *ὑποτεταγμένον* Reiskius suspicatur. 5. *Λυκόπους — οἰκέτης*] *Λυκόποδες* Suidas. *γὰρ* Suidas om. 6. *διὰ τὸ τοὺς*] *τοὺς γὰρ* Suidas. 7. *βάλλειν*] corrige *λαβεῖν*: *ἔλαβον* Suidas; *ἔβαλλον* Schol. Arist. c. codd. nonnullis Suidae. 11. *λύκον*] Suidas addit: *ὁ δὲ Ἀριστοφάνης ἐν Λυσιστράτῃ τοὺς Ἀλκμαιωνίδας φησίν. οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας, ἐτείχισαν Λειψύδριον* [cf. Apost. VII, 70.] *τὸ ὑπὲρ Πάρνηθος· εἰς ὃ συνῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.* 13. *ἐπὶ . . δεκαζόντων*] *παροιμιῶδες* Suidas. 16. *λυπηρότεροι* Suidas. *καταστάζεσθαι*] *καταδικάζεσθαι* Photius, *κατασκευάσθαι* N, *καταστοχάζεσθαι* W.

91. Suidas. Scholl. ad Aristoph. Lysist. 665: Arsen. XXXIV, 24: Phot. Hesychius.

92. Theocr. XIV, 43: *αἶνος θήν λέγεταί τις, ἔβα καὶ ταῦρος ἀν' ὕλαν:* ubi Scholia: *παροιμία ἐστὶν ἐπὶ τῶν μὴ ἀναστρεφόντων διὰ τὸ τοὺς ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι:* rectius derivabitur a tauris *ἀτιμαγέλαις*, iis scilicet, qui tum demum, cum coeundi tempus adfuerit, cum vaccis prata pascere incipiunt: ante id tempus solitarii per nemora vagantur nullo feminarum desiderio tacti: Aristot. Hist. An. VI, 18. Suid. s. *ἀτιμαγέλου:* cf. I. H. Vossius ad Verg. Georg. III, 209. Iacobsius ad Philost. Imagg. 588: de eiusmodi tauro cogitavit Sophocles in Oed. Tyr. 476: *φοιτᾷ γὰρ ὑπ' ἀγρίαν Ὕλαν, ἀνά τ' ἄντρα καὶ πέτρας ὡς ταῦρος.* Quadrabit igitur proverbium *ἔβα τ. ἀν' ὕλαν* in amantem, qui abiit fessus libidine neque curat ad pristinam redire consuetudinem.

93. Suidas: Arsen. XXXIV, 25. Macar. V, 74. Rem illustrat Schol. ad Aeschin. or. c. Timarch. §. 84: *δεκάσαι ἐστὶ τὸ διαφθεῖραί τινας χρήμασι παραδεκάσαι ἤ τι τοιοῦτον ποιῆσαι. ἐδέκαζεν οὖν διέφθειρεν ἀργυρίῳ τοὺς δικαστάς. ἤρξατο δὲ τοῦ τοιούτου πρῶτος Ἄνυτος. ὠνομάσθη δὲ τὸ δεκάζειν ἀπὸ τοῦ δέκα συνισταμένους μισθαρνεῖν ἐν πόλει:* cf. Zenob. V, 2, ubi v. annot., et Apost. VIII, 49.

93[a]. Arsen. XXXIV, 26: Suidas. Photius.

94 *Λύκος πρὸ βοῆς σπεύδει:* ἐπὶ τῶν ὑπερσπευδόντων. καὶ γὰρ τὸ θηρίον ἁρπάσαν φεύγει.

95 *Λύχνον ἐν μεσημβρίᾳ ἅπτειν:* ἐπὶ τῶν παρὰ καιρόν τι ποιούντων.

96 *Λυσίζωνος γυνή:* ἐπὶ τῶν παρθένων τῶν πρώτως πλησιαζουσῶν ἀνδρί· αἱ γὰρ παρθένοι, μέλλουσαι πρὸς μίξιν ἔρχεσθαι, ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας τῇ Ἀρτέμιδι.

97 *Λυσικράτης ἕτερος:* ἐπὶ τῶν μελανοτρίχων· οὗτος γὰρ φαρμάκῳ τινὶ ἐμέλαινε τὰς ἑαυτοῦ τρίχας, σιμὸς ὢν καὶ μέλας, αἰσχρὸς καὶ κλέπτης.

98 *Λυσιστράτου πλοῦτον πλουτεῖς:* ἐπὶ τῶν λίαν πενήτων· οὗτος γὰρ πένης ἦν λίαν.

99 *Λύσιοι τελεταὶ καὶ λύσαν ἀλλήλους:* ἐπὶ τῶν διὰ μέθην ἐλευθερωθέντων· οἱ γὰρ Βοιωτοὶ ἁλόντες ὑπὸ

96a *Λύε λέσχας:* Πλάτων φησὶ λέγειν, ὁπόταν περὶ τὰ ἔργα ἐξήρχοντο.

96b *Λύκος ποιμήν:* ἐπὶ τῶν μετὰ σχήματος φιλικοῦ ἐπιβουλευόντων τισί.

98a *Λύκος ἀετὸν φεύγει:* ἐπὶ τῶν μὴ δυναμένων ἐκφυγεῖν τὸν κίνδυνον.

---

2. γὰρ] ὁ λύκος Z addit. ἁρπάξαν Ds, ἁρπάσας Z. 3. ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ ποιούντων τί N e Suida. 4. ποιούντων. ὡς καὶ τό· Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις AZ: v. Apost. VII, 19. 5. ἐπὶ — ἀνδρί] ἢ ἀνδρὶ πλησιάσασαι Suidas. 9. ἕτερος — μελανοτρίχων] Suidas om. ἕτερος] εἷ AN. 11. μέλας Suidas om. κλέπτης] Suidas addit: καὶ ἄσημος. καὶ παροιμία· *Λυσικράτης δωροδοκῶν.* στρατηγὸς Ἀθηναίων: cf. Aristoph. Av. 513 c. Scholiis. 13. γὰρ N om. 14. καὶ — Βοιωτοὶ] αἱ Διονύσου. Βοιωτοὶ γὰρ Suidas. 16. λέγων Ds. περὶ] ἐπὶ Ds.

94. Diog. VI, 26. DV III, 11.
95. Diog. VI, 27: Arsen. XXXIV, 32. DV III, 12.
96. Suidas: Arsen. XXXIV, 27. De virginum zona explicat Etym. M. s. ζώνη. Ἀρτέμιδι] hinc λυσίζωνος dicebatur: v. Hesych. s. λυσίζωνος ibiq. Albertius. Locutiones poeticas a zona virginali deductas collegerunt Spanhemius ad Callim. h. in Iovem 21 et Schraderus ad Mus. carm. de H. et Leand. p. 340 Lugd.
96[a]. Arsen. XXXIV, 16: Diog. VI, 32.
96[b]. Arsen. XXXIV, 20. Natum est ex apologo: cf. Aesop. fabb. 105 Fur. et v. ann. ad Diog. V, 96. Ad similis argumenti fabulam Leo Diacon. p. 45 B Has. respexisse videtur.
97. Suidas: Arsen. XXXIV, 28: add. Suid. s. φάρμακον et Scholl. ad Aristoph. Eccl. 630. 736.
98. Arsen. XXXIV, 29. Lysistratus extremae paupertatis homo ab Arist. Equitt. 1268 carpitur: v. ibi Scholia et cf. Suid. s. Λυσίστρατος et s. ἀνίστιος.
98[a]. Arsen. XXXIV, 30. Cf. Apost. X, 84.
99. Suidas: Arsen. XXXIV, 31: Photius. Narrationem tangit Pau-

Θρᾳκῶν καὶ φυγόντες εἰς Τροφωνίου, κατ' ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶ καὶ διελύθησαν· οἳ καὶ Διονύσου Λυσίου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός. Ἀριστοφάνης δὲ διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον.

100 *Λυδοὶ πονηροί*, δεύτεροι Αἰγύπτιοι, τρίτοι δὲ πάντες ὤν Κᾶρες ἐξωλέστατοι.

1 *Λύδιον ἅρμα*: ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων. ὁ γὰρ Πέλωψ Λύδιος ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι· καὶ ἔκτοτε ἡ παροιμία, παραλύδιον ἅρμα θέειν· ἡ παρα πρόθεσις σημαίνει καὶ πλησιότητα, ὡς τὸ ἕζετο, παρέζετο, καὶ τὴν πλείονα σχέσιν, ὡς τὸ ὁρμᾷ, παρορμᾷ· σημαίνει καὶ τὴν ἐκτὸς σχέσιν, τὴν ἔξω τοῦ πρέποντος· ὡς τὸ ἄνομος, παράνομος· ὥστε, ὡς *πεζοὶ ἦμεν ἡμεῖς παραλύδιον ἅρμα θέοντες*. ἀντὶ τοῦ, ἔξω καὶ μακρὰν τοῦ Λυδικοῦ ἅρματος τρέχοντες κατὰ σύγκρισιν. τάχιστα γὰρ τὰ Λύδια ἅρματα.

99a *Λυδία ἐλέγξει τὸ κίβδηλον*: ἤγουν ἡ λίθος· ἐπὶ τῶν δοκιμαζομένων, εἰ εἰσὶν ἀληθῶς οἷοι λέγουσιν εἶναι.

---

3. καὶ διελύθησαν] καὶ ἐλύθησαν N, ἔλυσαν ἀλλήλους Suidas: ex hoc loco caput glossae natum est. οἳ καὶ] καὶ Suidas. 6. Scribe δ' Αἰγύπτιοι. πάντες ὤν] πάντων Ds. 8. ἅρμα] Z addit: καί, Παραλύδιον. 9. Πέλοψ Λυδὸς L. 10. παρὰ Λύδιον L. 11. καὶ τὴν L. 13. ὁρμῶ, παρορμῶ L. 14. ὡς τὸ, ὡς L. 15. παρὰ Λύδιον L. Proverbium ipsum sic profert Moschop. περὶ σχεδῶν 179: ὡς πεζοὶ παρὰ Λύδιον ἅρμα. 18. ἤγουν] λείπει Z.

san. IX, 16, 4: v. de ea deque Baccho Liberatore Wyttenbachius ad Plut. Opp. Mor. 68 D et C. O. Muellerus Orchom. 386. Ἀριστοφάνης] ad glossas Atticas retulit Meierus ind. lectt. univ. Hal. 1842, p. X, n. 90, ad proverbia Nauckius Arist. Byz. fr. p. 240. Nulla adest causa, cur ab Meieri iudicio recedamus.

99a. Arsen. XXXIV, 21. Geminus in Crameri An. Oxon. III, 223: οὐκ ἄρα οὐδὲ σοὶ ἀποχρῶν ἔσται τὸ λέγειν εἶναι γραμματικῷ, εἰς ἔνδειξιν τοῦ εἶναι τοιούτῳ· μὴ καὶ δοκιμασθέντι γε πρότερον· τάχα γὰρ ἡ Λυδία ἐλέγξει τὸ κίβδηλον καὶ τὸν νόθον ὁ Ῥῆνος [v. Apost. XIII, 1b] καὶ τὸν οὐκ ἀετιδέα [Apost. XII, 32] ὁ ἥλιος: Gemini enim esse disputationem a Cramero l. c. editam ex Iriartis Catal. Codd. Matrit. 388 L. Dindorfius in Stephani Thes. L. Gr. v. Λυδὸς docuit. Similia v. in ann. ad Greg. Cypr. L I, 64. Macar. V, 74. Apost. I, 3.

100. Diog. VI, 24: Arsen. XXXIV, 33: Eustath. ad Dion. Perieg. 839: διαβάλλονται δὲ οἱ Λυδοὶ ἐπὶ πονηρίᾳ, ὅθεν καὶ ἡ παροιμία *Λυδοὶ πονηροί, δεύτεροι δ' Αἰγύπτιοι καὶ τρίτοι Κᾶρες*. Attigit Nauckius ad Arist. Byz. Fr. p. 180.

1. Greg. Cypr. L II, 58: Arsen. XXXIV, 33.

Τὸ λ μετὰ τοῦ ω.

2 *Λωτοῦ ἔφαγες:* ἐπὶ τῶν σχόντων λήθην τῶν οἴκοι, καὶ βραδυνόντων ἐπὶ ξένης. ἔστι δὲ πόα τὸ λωτὸν, λήθην ἐμποιοῦν τῷ φαγόντι.

Ἀρχὴ τοῦ μ̃ στοιχείου.

Τὸ μ̃ μετὰ τοῦ ᾱ.

3 *Μᾶλλον ὁ Φρύξ:* ἡ παροιμία ἐνθένδε· οἱ ἑπτὰ σοφοὶ ἐρωτώμενοι ὑπὸ Κροίσου, τίς τῶν σοφῶν εὐδαιμονέστατος, οἱ μὲν ἀπεκρίνοντο, τὰ ἄγρια ζῷα· ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει· οἱ δὲ, πελαργούς· δίχα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσι. Σόλων δὲ οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. παρεστὼς δὲ Αἴσωπος ὁ λογοποιὸς Φρὺξ τὸ γένος, τοσοῦτον, εἶπεν, ὑπερέχειν τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν· ἀκούσας δὲ Κροῖσος εἶπε· *Μᾶλλον ὁ Φρύξ.*

3a *Μακαρεὺς, ὁ τοῦ Αἰόλου υἱός,* ἔφθειρε τὴν αὐτοῦ ἀδελφὴν Κανάκην.

---

3. πόα R om. 7. ὁ] ὢ u. 8. τίς — σοφῶν] τίς τῶν ὄντων Suidas: τί τῶν ζῴων WZ. 10. πελαργοί Photius. δίχα γὰρ] γὰρ Photius om. 13. ὑπερέχεις Z Photius.

2. Arsen. XXXIV, 34. Natum est ex Hom. Od. *I*, 94: τῶν δ' ὅστις λωτοῖο φάγοι μελιηδέα καρπόν, Οὐκέτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν, οὐδὲ νέεσθαι: ad quem locum Eustathius sic disserit: τὸ δὲ Λωτοῖο φαγεῖν, τὸ αἴτιόν ἐστι τῆς τῶν Λωτοφάγων κλήσεως· ποιητικώτερον δὲ τὸ Λωτοῖο πάσασθαι [Hom. l. c. 93]. καὶ ἔτι πλέον τὸ Λωτὸν ἐρέπτεσθαι: Hom. l. c. 97: locum Homericum respiciunt Lucian. de merc. cond. 8. Max. Tyr. Diss. XX, 4. Vim dicti explicationis auctor non recte percepit: meliora docebunt Plut. de Repugn. Stoic. 2, p. 1033 B: ἀλλ' ἐπὶ ξένης, ὥσπερ τινὲς λωτοῦ, γευσάμενοι σχολῆς, τὸν πάντα βίον ... διήγαγον ἐν λόγοις: Lucian. Nigrin. fin.: ἐλελήθεις τέ με πολλῆς ὡς ἀληθῶς τῆς ἀμβροσίας καὶ τοῦ λωτοῦ κεκορεσμένος: Liban. Epist. 277: ἔμεινας δὲ, καθάπερ λωτοῦ γευσάμενος: ibid. 1228: εἰ δ' εὑρήσῃ λωτὸν ἐν Ἑλλάδι, δῆλον δὲ ὡς εὑρήσει, σὺ δὲ κτλ.: ib. 1354: Βέῤῥοιαν γὰρ ἰδὼν ἐπελάθετο τοῦ μείζονος. καὶ εἰ μὲν λωτὸν ἔφυσεν ἡ γῆ, συγγνώμη: Anon. in Crameri An. Pariss. T. IV, 420: δευτέραν δὲ ὅτι ταῦτα ἡδέως μανθάνομεν, πάσχοντες τὸ τῶν λωτοφάγων· γευσάμενοι γὰρ αὐτῶν, οὐ θέλομεν αὐτῶν ἀποστῆναι, ἀλλ' ἐχόμεθα αὐτῶν ὡς λωτοῦ: Mich. Acumin. 84 Elliss. De arbore exponunt Scholl. ad Plat. 416 Bekk. Eustath. l. c. et Plin. N. H. XIII, 17, 104, unde vv. λήθην κτλ. inepte addita esse apparet.

3. Photius: Arsen. XXXV, 12. Zenob. V, 16.

3a. Arsen. XXXV, 13: ex Scholl. ad Arist. Nub. 1374 sumptum videtur.

4 *Μασχαλισθήσῃ ποτέ:* ἔθος ἦν τοῖς παλαιοῖς ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινά, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρόν, καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντες, κρημνύναι κατὰ τραχήλου κατὰ τῶν μασχαλῶν διάραντας· ἀφ᾽ οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτὰ καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ καὶ Τρωΐλῳ.

5 *Μαχητὴς ἐπέμφθης, οὐκ ἀγγελιαφόρος:* ἐπὶ τῶν μὴ φυλαττόντων τὴν ἑαυτῶν τάξιν.

6 *Μαρσύας κομπάζων ἐρίζει:* ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι, καὶ πολὺ ἀπολιμπανομένων:. Ὁ γὰρ Μαρσύας ἀγροῖκος ἦν· γίνεται δ᾽ οὕτω μουσικός. ἐμίσησεν Ἀθηνᾶ τοὺς αὐλούς· οὐκ ὀλίγον γὰρ ἀφῃροῦντο τοῦ κάλλους, ἡ πηγὴ τὴν εἰκόνα δεξαμένη τὸ συμβὰν ἐδίδαξεν καὶ οὕτω δὲ ἐῤῥιμμένων τῶν αὐλῶν ὁ Μαρσύας ὑφίσταται· προσάπτει

5a *Μαχαίρᾳ μὴ πῦρ σκαλεύειν:* τουτέστι, τὸν θυμούμενον λόγοις μὴ ἐρεθίζειν.

---

1. Caput glossae unde sumpserit Apostolius, incertum est. 3. ποιήσαντας Suidas. 4. τοῦ τραχήλου idem. 5. διείροντας idem. 6. καὶ Σ. κτλ.] Σοφοκλῆς ἐν Τρωΐλῳ πλήρη μασχαλισμάτων εἴρηκε τὸν μασχαλισμὸν καὶ ἐν Ἠλέκτρᾳ Suidas: tentaverunt haec verba post Brunckium aliosque Bernhardius, Welckerus Trag. Gr. I, 126 et Nauckius ad Arist. Byz. p. 222. 7. ἐπέμφθην Plutarchus. ἐπὶ κτλ.] Plutarchus ignorat. 9. πομπάζων (κ superscr.) A. 10. γὰρ Ps non agnoscit. 12. ἡ δὲ πηγὴ Ps Z. 13. καὶ Ps om. 15. σκαλεύειν] ἐν οἰκίᾳ addit Plut. de Is. et Osir. l. c.

4. Suid. s. ἐμασχαλίσθη: Arsen. XXXV, 14. Locum ex Aristophanis Byzantii Commentariis derivatum esse, docent Phot. et Suid. s. μασχαλίσματα. De verbo dixit Stanleius ad Aesch. Choeph. 437, de more C. O. Muellerus ad Aesch. Eumen. p. 144.

5. Plutarch. Apophth. Lac. 221 C: Arsen. XXXV, 15. Leonidae adscripsit Plut. de Malign. Herod. 32, 866 C, Megistiae Herod. VII, 221, ubi cf. Valckenaerius.

5a. Arsen. XXXV, 16. Copiose dicti vim enucleat Iamblichus Adhort. ad Philos. 334 Kiessl.: paucis docet Plutarchus, qui proxime ad Arsenium accedit, de educ. liber. 17, p. 12 E: ἀντὶ τοῦ, μὴ ἐρεθίζειν θυμούμενον, οὐ γὰρ προσῆκεν, ἀλλ᾽ ὑπείκειν τοῖς ὀργιζομένοις: non multum differunt Demetrius ap. Athen. X, 452 D. Diog. Laert. VIII, 18. Porphyr. de Vit. Pythag. §. 42. Procl. ad Hesiod. Op. et D. 742. Eustath. Opusc. p. 192, 96 Taf. Deridetur symbolum ab Hor. Serm. II, 3, 275: *adde cruorem Stultitiae atque ignem gladio scrutare modo, inquam:* a Luc. Ver. Histor. II, 28: καρτερήσειν δὲ καὶ εἴποτε ἀφικοίμην ἐς τήνδε τὴν γῆν μήτε πῦρ μαχαίρᾳ σκαλεύειν μήτε θέρμους ἐσθίειν μήτε παιδὶ ὑπὲρ τὰ ὀκτωκαίδεκα ἔτη πλησιάζειν: et ab aliis, quos indicat Rittershusius ad Porphyr. V. Pyth. p. 226 Kiessl.: add. Apost. VII, 33: cum veneratione contra saepius commemoratur a Plutarcho: v. V. Num. 14. Quaest. Rom. c. 72, p. 281 A, de Is. et Osir. 10, p. 354 F.

6. Arsen. XXXV, 17. ἐπὶ—ἀπο-

οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν, οἱ δὲ ᾖδον θείᾳ δυνάμει καὶ ἄκοντος τοῦ χρωμένου. τέχνην ὁ Μαρσύας ἐνόμισεν εἶναι δύναμιν, καὶ χωρεῖ μὲν κατὰ Μουσῶν, χωρεῖ δὲ κατὰ Ἀπόλλωνος, λέγων οὐδὲ θέλειν εἶναι λοιπόν, ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος. ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται καὶ τὸ δέρμα μετὰ ἧτταν ἐκδύεται. εἶδον ἐγὼ ποταμὸν ἐν Φρυγίᾳ· Μαρσύας ὄνομα τῷ ποταμῷ· καὶ ἔλεγον οἱ Φρύγες ὅτι τὸ ῥεῦμα τοῦτο ἐξ αἵματός ἐστι τοῦ Μαρσύου.

7 *Μαργίτης εἶ*: οὗτος μωρὸς ἦν· καὶ ἐμέτρει τὰ κύματα, οὐ πλεῖον τῶν ἑκατὸν δυνάμενος ἀριθμεῖν.

8 *Μανίαι οὐ πᾶσιν ὅμοιαι*: τῶν μανιῶν αἱ μὲν εἰσιν ἄτοποι, αἱ δ' ἀρετῆς καὶ εὐχῆς ἄξιαι, ὡς αἱ τῶν χρησμολόγων.

7a *Μακραὶ τυράννων χεῖρες*: ἐπὶ τῶν ἄγαν δυναμένων.

8a *Μάστιξ ἐλαύνει*: ἐπὶ τοῦ ῥᾳδίου.

8b *Μασχάλην αἴρειν*: ἀντὶ τοῦ κωθωνίζεσθαι καὶ πίνειν.

---

3. τὴν δύναμιν Z Ps. 4. ἐθέλειν Z. 6. μετὰ τὴν Ps Z. 16. μία μάστιξ Ds.

λιμπ.] huc Apostolius ex XI, 1 transtulit. ὁ γὰρ κτλ.] Palaeph. Incr. 48.

7. Arsen. XXXV, 18. De Margite Suid. s. *Μαργίτης* haec habet: ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος· ὅν φασιν ἀριθμῆσαι μὲν μὴ πλείω τῶν ε' δυνηθῆναι· νύμφην δὲ ἀγόμενον μὴ ἅψασθαι αὐτῆς, ἀλλὰ φοβεῖσθαι λέγοντα, μὴ τῇ μητρὶ αὐτὸν διαβάλῃ· ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον καὶ πυνθάνεσθαι τῆς μητρός, εἴ γε ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἐτέχθη, quae e Tzetzae Chil. IV, 837 et Eustathio in adnot. ad Apost. V, 27 exscripto augeri possunt: add. perbreves explicationes Hesychii s. v., Phot. s. *Μελιτίδης*, Etym. M. 577, 34, Etymol. in Crameri Anecdd. Pariss. IV, 11, Zonar. 1329 et cf. annott. ad Macar. V, 76. Apost. V, 27. VIII, 53. X, 3. 50, ad Zenob. IV, 58. Diog. V, 56. Carmine Homerico factum est, ut Margitae nomen in proverbii consuetudinem veniret: Harpocr. 123, 19: *Μαργίτης*: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος [§. 160]· „ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθετο." καὶ Μαρσύας ἐν ε' τῶν περὶ Ἀλεξάνδρου ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον: Lucian. Hermot. 17: οἴει Μαργίτῃ διαλέγεσθαί τινι: Basil. de legend. libris gent. 6, p. 180 E: ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ' ἀροτῆρα, οὔτε σκαπτῆρα οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτηδείων εἶναι Ὅμηρος ἔφησεν, εἰ δὴ Ὁμήρου ταῦτα, ubi v. docta Fremionis disputatio.

7a. Arsen. XXXV, 19. Alexander, rex Macedoniae, apud Herod. VIII, 140: καὶ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλέος ἐστὶ καὶ χεὶρ ὑπερμήκης.

8. Diog. VI, 47: Arsen. XXXV, 20.

8a. Arsen. XXXV, 21: Diogen. VI, 65.

8b. Arsen. XXXV, 22: Diog. VI, 33. Greg. Cypr. L I, 6.

9 *Ματιολοιχὸς τυγχάνεις*: ἐπὶ τῶν περὶ τὰ μικρὰ πανούργων καὶ λίχνων· μάτιον γὰρ τὸ μικρόν· ἢ ἐπὶ τῶν μικροφάγων· ἐπεὶ μάτιον τὸ ἐλάχιστον φασί· καὶ τοῦ λοχῶ τὸ ἐπιβουλεύομαι, ματιολοιχός· ἢ ἐπὶ τῶν κρουσιμέτρων· μάτιον γὰρ εἶδος μέτρου· ὀξυτόνως δὲ ἀναγνωστέον, ὥς φησιν Ἡρωδιανός.

Τὸ μ̃ μετὰ τοῦ ε̃.

10 *Μεγαρέων δάκρυα*: ἐπεὶ πλεῖστα ἐν τῇ Μεγαρίδι σκόροδα φύεται· εἴρηται ἐπὶ τῶν προςποιητῶς δακρυόντων. ἄλλοι δέ φασιν, ὅτι τοῦ βασιλέως αὐτῶν ἀποθανόντος, ἠναγκάσθησαν πάντες ὑπὸ τῆς αὐτοῦ γυναικὸς δακρῦσαι.

11 *Μένε βοῦς ποτε βοτάνην*: ἐπὶ τῶν βραδέων.

12 *Μένε γραῦ ἐμόν σε παῖδα φιλήσοντα*: ὁμοία τῇ προτέρᾳ.

13 *Μεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον*: ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν προςδοκώντων ὠφέλειαν.

9a *Μάρτυς ἐκ Διὸς δέλτων*: ἤγουν ἀναμφίβολος καὶ πιστός.

10a *Μέλει μοι τῶν τοιούτων οὐδὲν ἧττον τῶν ἐν τοῖς τέλμασι βατράχων.*

---

1. *ματτυολοιχός* G. Hermannus in Arist. Nub. 450 edidit Brunckio Bentleioque obsecutus. Praeter codd. obstat etiam Athenaeus, qui XIV, 663 A in perdocta de v. *ματτύη* disputatione Aristophaneum locum vix omisisset, si in libris *ματτυολοιχός* scriptum exstitisset. *τυγχάνεις — λίχνων*] *ὁ περὶ . . πανοῦργος καὶ λίχνος* Suidas. 2. *γάρ*, *ὡς βέλτιον τῷ τόνῳ*, *τὸ* idem. *ἢ ὁ μικροφάγος* idem. 3. *καὶ — κρουσιμέτρων*] *καὶ ἐκ τοῦ κτλ.* Z: *ἢ ὁ μάταια βουλευόμενος καὶ λοχῶν· ἢ ὁ κρουσιμέτρης* Suidas. 9. *εἴρηται — δακρυόντων*] *εἰς παροιμίαν ἦλθεν ἐπὶ τῶν προςποιητῶς καὶ πρὸς βίαν δακρυόντων, καὶ μὴ ἐπὶ οἰκείῳ πάθει* Suidas. 10. *ἄλλοι — ὅτι*] Ds om. 11. *δακρῦσαι*] ZA add.: *ὁμοία τῇ· Πρὸς σῆμα μητρυιᾶς θρηνεῖν*: cf. Apost. XIV, 99. 12. *ποτ' ἐν βοτάνῃ* Ammonius. 16. *προςδοκόντων* N, *προςδωκοίντων* R, *προςδοκούντων* B. 18. *οὐδὲν* Iulianus et Stobaeus om. *τῶν*] *ἢ τῶν* Iulianus, Suidas: *ἧττον ἢ βατράχων τῶν ἐν τοῖς τέλμασιν* Stobaeus.

9. Suidas: Arsen. XXXV, 23: breviter nec satis castigate Photius et Hesychius. Fluxerunt haec ex Scholl. ad Aristoph. Nub. 450.

9a. Arsen. XXXV, 24. Macar. III, 68.

10. Arsen. XXXV, 27. *Μεγαρέων — δακρυόντων*] Suidas. *ἄλλοι κτλ.*] Diog. VI, 34. Macar. V, 87.

10a. Arsen. XXXV, 28: Suid. s. *μέλλει*, s. *τέλμα*: Stob. App. Florent. 21 Gaisf. Adhibuit Iulian. Misopog. 357 D.

11. Ammon. de diff. verbb. 8 Lugd.: Arsen. XXXV, 32. Cf. Apost. praef. §. 5. Erasmus III, 4, 80 comparavit Ovid. Her. 17, 263: *et adhuc tua messis in herba est*, ubi v. Heinsius et Burmannus.

12. Arsen. XXXV, 33.

13. Suidas: Arsen. XXXV, 31. App. Provv. III, 83. Usurpat Lu-

14 *Μέγας κηληκτὰς ἐν μικρῷ πράγματι*: ἐπὶ τῶν πλουτησάντων τέχνῃ οὐ τιμίᾳ· ψάλτου γάρ τινος εὐημερήσαντος, Εὐδαμίδας ἔφη πρὸς τὸν ἐρωτήσαντα, ποδαπός τις αὐτῷ δοκεῖ εἶναι.

15 *Μεγαρικαὶ Σφίγγες*: πόρνας τινὰς οὕτως ἐκάλουν.

16 *Μείζονα βοᾷ δάφνης χλοερᾶς καιομένης*: ἐπὶ τῶν μέγα βοώντων.

17 *Μεῖζον φρονεῖ ἢ Πηλεὺς ἐπὶ μαχαίρᾳ*: σωφροσύνης γὰρ δῶρον αὐτῷ ἐδόθη.

15a *Μέγιστα ἀδικήματα* εἶναι φησὶ Λυκοῦργος, θεῶν καταφρόνησις, γονέων κάκωσις ἑκούσιος καὶ ἀρχόντων καὶ νόμων ὀλιγωρία καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. δικαιότατον δὲ εἶναι καὶ ὁσιώτατον τὸν ταῦτα τιμῶντα καὶ ἐμφανίζοντα πρὸς τὰς πολίτας καὶ ἄρχοντας κατὰ τῶν καταφρονούντων.

17a *Μεμνῆσθαι θεῶν* ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων. καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τούτων, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστου τῆς ἀπαλλαγῆς τοῦ ζῆν:. Ζαλεύκου τοῦ νομοθέτου ὑποθήκη.

17b *Μεμψιμοιρία ἐστὶ* λάθριος ψόγος.

17c *Μέμψις* ἐστὶ ψόγος ὀλιγωρούντων. ἢ ἀμελούντων.

---

1. κελίστης Z, κηλίστης G. Dindorfius in Stephani Thes. L. Gr. s. v., δεικηλικτάς Wyttenbachius, Ahrensius de Dial. dor. 92: cf. Apost. XIII, 66. ἐπὶ — τιμίᾳ] Plutarchus ignorat. 2. γὰρ] δὲ Plutarchus. 3. Εὐδαμίδας — ἐρωτήσαντα] ἠρώτησαν αὐτὸν idem. 5. αἱ πόρναι οὕτως εἴρηνται Suidas cum Photio. 10. ἔστω δὲ μέγιστα Stobaeus. εἶναι — Λυκοῦργος] desunt in Stobaeo. 11. καὶ γονέων Stobaeus. 12. δικαιότατος δὲ ἔστω κ. ὁσιώτατος πολίτης ὁ τ. τιμῶν κ. ἐμφανίζων πρὸς π. κτλ. Stobaeus. 13. τὰς] scribe τούς. 15. ἐπιπεμπόντων τοῖς ἀδίκοις Stobaeus. 16. τοῦτον idem. 17. ἑκάστῳ idem. 19. ψόγος] τεχνικῇ βοηθείᾳ καὶ αὐτὴ σωτηρίαν οἰκονομουμένη ἐν παρακαλύμματι Clemens addit. 20. ψόγος ὡς Clemens.

cian. Dial. Meretr. 9, 2: τὸ μὲν γὰρ ἀργύριον μηδὲ ἀριθμῷ ἄγειν αὐτὸν ἀλλὰ μεδίμνῳ ἀπομεμετρημένον πολλοὺς μεδίμνους. Latinorum similes locutiones Salmasius de usur. p. 307 et intt. ad Petron. Sat. c. 37 contulerunt. Ceterum vere dixit L. Dindorfius in Stephani Thes. L. Gr. v. μέδιμνος explicationem absurdam esse.

14. Plut. Apophth. Lac. 220 F: Arsen. XXXV, 29.

15. Suid., Photius: Arsen. XXXV, 35. Hesych.: Καλλίας πόρνας τινὰς οὕτως εἴρηκεν: Callias, poeta comicus, perstrinxit hoc dicto Megarenses, quorum urbem receptaculum quasi quoddam scortorum fuisse verisimile est: Arist. Ach. 524. Reinganum Megar. 148 coll. p. 58.

15a. Arsen. XXXV, 36: Charondas in Stob. Flor. 44, 40, p. 290 Grot.

16. Diog. VI, 52: Arsen. XXXV, 37. DV III, 22.

17. Diog. VI, 44: Arsen. XXXV, 38. Macar. V, 86.

17a. Arsen. XXXV, 38. XXXVII, 61: Stob. Flor. 44, 20.

17b. Arsen. XXXV, 39: Clem. Alexand. Paedag. I, 9, 80, p. 54 Sylb.

17c. Arsen. XXXV, 40: Clem. l. c. I, 9, 77, p. 53 Sylb.

18 *Μειλανίωνος σωφρονέστερος*: ἐπὶ τῶν πάνυ σωφρόνων· ἦν δὲ ὁ Μειλανίων σώφρων.

19 *Μελαμπύγων τύχοις*: μελάμπυγοι ἐγένοντο πέρπεροι, Λίμνης υἱοί· ἀκολασταινόντων δὲ αὐτῶν πολλὰ ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι, μήποτε ἐμπέσωσιν εἰς δασύπρωκτον. ἐμπεσόντες οὖν εἰς Ἡρακλέα, ἐν ἀνωφόρῳ ἐδεήθησαν· εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας ἐπυνθάνετο τὴν αἰτίαν· οἱ δὲ ἔλεγον ὅτι λόγιον ἦν τὸ τῆς μητρός, ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον· καὶ γελάσαντα τὸν Ἡρακλέα ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν.

20 *Μέχρι τούτου κρείσσων σοῦ ἐστιν ὁ πατήρ, μέχρις ἂν καὶ σὺ γεννήσῃς*: Κλεόμβροτος ὁ Παυσανίου τοῦτ' ἔφη πρὸς Ξέρον διαφερόμενον περὶ ἀρετῆς πρὸς τὸν αὐτοῦ πατέρα.

21 *Μεταβλητότερος Μήτρας*: τῆς Ἐρισίχθονος φασίν, ὡς ὁ ποιητής, ὅτε βούλοιτο, ἀλλάσσειν τὴν ἰδέαν· ὁ δὲ μῦθος καταγέλαστος· πῶς γὰρ εἰκὸς ἐκ κόρης γενέσθαι βοῦν, καὶ αὖθις κύνα ἢ ὄρνεον; τὸ δ' ἀληθὲς ἔχει ὧδε. Ἐρισίχθων ἦν ἀνὴρ Θετταλός, καὶ διαφθείρας τὰ χρήματα πένης ἐγένετο. ἦν δὲ θυγάτηρ αὐτῷ καλὴ καὶ ὡραία, Μήτρα ὄνομα. ὅστις δὲ εἶδεν αὐτὴν ἤρα ταύτης. ἀργυρίῳ μὲν οὖν οἱ τότε ἄνθρωποι οὐκ ἐμνηστεύοντο, ἐδίδοσαν δὲ οἱ μὲν ἵππους, οἱ δὲ βοῦς, τινὲς δὲ πρόβατα ἢ ὃ ἂν ἐθέλῃ ἡ Μήτρα· ἔλεγον οὖν οἱ Θετταλοὶ ὁρῶντες ἀθροιζόμενον τῷ Ἐρίχθονι τὸν βίον ὅτι, ἐγένετο ἡ Μήτρα αὐτῷ, καὶ ἵππος καὶ βοῦς καὶ τἄλλα. ἀφ' ὧν ὁ μῦθος.

17d *Μετὰ τῆς ἰσχύος τὴν πραότητα σῶζε*, ἵνα μὴ φοβερός, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσι:. Φίλωνος ἡ ὑποθήκη.

---

1. Μειλανίωνος A, *Μειλανίωνος* Suidas. Explicatio a Suida abest. 2. ἦν κτλ.] A om. Scribe *Μειλανίων*. 3. *Μελαμπύγου* Suidas. μὴ τύχοις E, μὴ τύχῃς Z. 6. *ἀναφόρῳ* Suidas. *ἐδεήθησαν* N Suidas. 13. πρὸς — περὶ] *ξένου τινὸς διαφερομένου περὶ* Plutarchus. 15. Μήτρας] *Μήστρας* Prellerus de Cer. et Proserp. 334. τῆς] *περὶ Μήτρας τῆς* NOZ Ps. 16. ὡς — βούλοιτο] *ὡς ὁπότε βούλοιτο* Ps. 20. δὲ N om. 21. *τὸ ὄνομα* Ps. 24. *ἐθέλοι* Ps. οὖν] δὲ Ps. 25. *Ἐρισίχθονι* Ps. ἐκ Μήτρας Ps. 26. Scribe *αὐτῷ πάντα*. μῦθος προσανεπλάσθη Ps.

17d. Arsen. XXXV, 41.
18. Suidas: Arsen. XXXV, 30. Cf. Arist. Lysistr. 786.
19. Suidas: Arsen. XXXV, 34. Greg. Cypr. L II, 73.
20. Plut. Apophth. Lac. 223 A: Arsen. XXXV, 43. Attigit Wyttenbachius ad Plut. l. c.
21. Arsen. XXXV, 43a. τῆς κτλ.] Palaeph. Incr. 24.

22 *Μέλος ἀγρέως:* ἐπὶ τῶν τῇ εὐμουσίᾳ κηλόντων:. Ὁ δὲ ἀγρεύς ἐστι ζῷον πτηνόν, τὸ γένος κοσύφων φράτωρ καὶ συγγενής, μέλας τὴν χρόαν, μουσικὸς τὴν γλῶτταν. κέκληται δὲ ἀγρεὺς δικαίως· τῷ γάρ τοι μέλει αἱρεῖ τῶν ἄλλων ὀρνέων τὰ ἁπαλὰ προςπετόμενα τῇ τῆς εὐμουσίας θέλξει. εἰδὼς οὖν τὸ συμφυὲς αὐτῷ πλεονέκτημα, ἀκούων μὲν ἑαυτοῦ εὐφραίνεται, θηρῶν δὲ τὰ προςιόντα ἐμπίπλαται. τοῦτον εἴ τίς ποτε ἐθήρασε καὶ ἐν οἰκίσκῳ καθεῖρξεν, ἔχει ἄφωνον τὸν ὄρνιν, ὥσπερ οὖν τὸν θηράσαντα ἀμυνόμενον ὑπὲρ τῆς δουλείας τῇ σιωπῇ.

23 *Μεθυσοκότταβος ἐγένου:* πλάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην, εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀπὸ ὕψους ἐῤῥίπτουν ἐπὶ τῷ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. ἐκ τούτου οὖν μεθυσοκότταβος.

24 *Μελιτηροὶ κύνες:* ἐπὶ τῶν ἐπὶ τέρψει καλῶς τρεφομένων· τῶν γὰρ κυνῶν οἱ μὲν ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί· οἱ δὲ ἐπὶ τέρψει.

---

1. *κηλούντων* ZAW. *ὁ δὲ — δικαίως*] *λέγεται δὲ Ἀγρεὺς δικαίως* Z. *ὁ δὲ — τὸ*] *Ἀγρεὺς τὸ ὄνομα, τὴν φύσιν πτηνός, τὸ γ. κοσύφων* As. 4. *καὶ δικαίως* As. 6. *πλεονέκτημα ,ἔοικε χρῆσθαι τῷ παρὰ τῆς φύσεως δώρῳ καὶ εἰς ἡδονὴν ἅμα καὶ τροφήν* As. 7. *μὲν γὰρ* As. 8. *καθεῖρξεν, οὐδὲν αὐτῷ πλέον τὸ τῆς σπουδῆς· ἔχει γὰρ ἄφωνον ὄρνιν* As. In fine As verba aliter collocat. 11. *μεθυσοκότ. ἐγένου*] *μεθυσοκότταβοι* Suidas. *λάταξ* idem, N. 14. *κότταβος* Suidas. 16. *μεθυσοκότταβος* idem. 17. *Μελιτηροὶ*] *Μελιτηνοὶ* Holstenius Castig. in Stephan. p. 203, Boissonadus Anecd. V, 411: *Μελιτήσιοι* Ulitius ad Grat. Cyneg. 404, *Μελιταῖοι* W. *Μελιτηροὶ — τῶν*] *Μελιταῖον κυνίδιον. Τῶν* Suidas. 20. *τέρψει*] pergit Suidas: *ὡς τὰ Μελιταῖα κυνίδια*, quibus codd. nonnulli adiungunt: *καὶ Μελιτηροὶ*

22. Arsen. XXXV, 42. *ὁ δὲ κτλ.*] Aelian. N. A. VIII, 24.
23. Arsen. XXXV, 46. *πλάταξ κτλ.*] Suid. s. *μεθυσοκότταβος*: v. Scholl. ad Arist. Ach. 525. De cottabo v. Athen. XV, 667 E.
24. Suidas s. *Μελιταῖον*: Arsen. XXXV, 45. Callimachus aliique canes Melitenses a Melita insula, quae Epirum inter et Italiam locatur, appellatos censent: Plin. N. H. III, 26: v. Heckerus Comm. Callim. 41: a Melita vero Africae adiacente Strab. VI, 277. Scholl. ad Clem. Alex. Paed. III, 4, 30. aliique, quos Boettiger Sabin. II, p. 40 recenset. Saepe commemorantur ab scriptoribus: v. Boissonadus ad Herod. Epim. 82, cui add. Aristot. Problem. X, 12: *καὶ ἐνίους ἰδεῖν ἔστι μικροὺς μὲν σφόδρα, συμμέτρους δέ, ὥσπερ τὰ Μελιταῖα κυνίδια*: Diogenes Cynicus apud Diog. Laert. VI, 55: *ἐρωτηθεὶς ποταπὸς εἴη κύων, ἔφη, Πεινῶν Μελιταῖος, χορτασθεὶς δὲ Μολοττικός.*

25 *Μετάδος μοι πηγάνου, ἵνα μὴ βασκάνῃς με:* τὸ γὰρ πήγανόν φασι βασκανίας φάρμακον εἶναι· ὡς Ἀριστοτέλης ἐν τοῖς προβλήμασιν.

26 *Μερὶς οὐ πνίξ:* τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ἐπεὶ ἄρα αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ μερισμός· καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων ἐπεφώνει· *Μερὶς οὐ πνίξ*· ἢ καὶ οὕτως· Μερὶς οὐ πνιγή.

27 *Μετὰ Λέσβιον ᾠδόν:* παρὰ Κρατίνῳ παροιμία λεγομένη, ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν, χρησμὸς ἐγένετο, τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι, ἤκουσαν αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν. ἢ διότι Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον, ὃς ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν· εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινος ἤκουον οἱ Λακεδαιμόνιοι ἔλεγον, *Μετὰ Λέσβιον ᾠδόν.*

28 *Μετὰ Μουσῶν Κόρυδος:* ἐπὶ τοῦ πεπαιδευμένου· ἢ κοινῇ ἐπὶ τοῦ συνόντος ἀπαιδεύτου τοῖς πεπαιδευμένοις. καθ' ὑπόκρισιν δὲ ἀναγνωστέον. ὁμοία τῇ· *Καρικὴ Μοῦσα.*

κύνες· οἱ ἐπὶ τέρψει τρεφόμενοι. Ceterum Suidae locus ex Artemid. Oneirocr. II, 11, p. 95 sumptus est.

1. *βασκήνης* Z. 7. *διαμερισμός* Suidas. 8. *καὶ οὕτως*] *οὕτως γράφε* idem. *πνίγει* idem. 14. *ἤκουον* Photius. 15. *ἢ διότι*] *ὅτι οἱ* Suidas. 18. *μετὰ*] *ἐπὶ* Z. 21. *κόρυδος* AN Suidas om. *ἐπὶ — κοινῇ*] N om. 23. *καθ' ὑπόκρισιν*] *ut per ironiam efferatur:* Erasmus III, 6, 89. *ὁμοία κτλ.*] NA Suidas om.: adiecta sunt e Diogeniano.

25. Aristot. Probl. 20, 34: *διὰ τί τὸ πήγανον βασκανίας φασὶ φάρμακον εἶναι; ἢ διότι βασκαίνεσθαι δοκοῦσι λάβρως ἐσθίοντες; ἢ ὑφορώμενοί τινας δυσχερείας καὶ περὶ τὰ προσφερόμενα ὑπόπτως ἔχοντες; ἐπιλέγουσι γοῦν, ὅταν τῆς αὐτῆς τραπέζης ἰδίᾳ τι προσφέρωνται, μεταδιδόντες, „ἵνα μὴ βασκάνῃς με«:* rutam vario modo a veteribus in fascinationibus adhibitam esse Palladius docet R. R. IV, 9, 14, ubi cf. Schneiderus.

26. Suidas: Arsen. XXXV, 47. Macar. V, 83.

27. Arsen. XXXV, 48. *μετὰ — κατεστάλησαν*] Photius. *ἢ κτλ.*] Suidas. *Κρατίνῳ*] Chiron. fr. 19 Mein. V. Schneidewini de hoc proverbio disputationem in annott. ad Heracl. Polit. p. 51 sq. Cf. Zenob. V, 9.

28. Suidas: Arsen. XXXV, 50. Diog. VI, 50. *Καρ. Μ.*] Mant. Provv. s. *Καρικὴ.*

29 *Μετὰ γραμμάτων Ἐφεσίων παλαίεις:* ἐπὶ τῶν ἐπῳδαῖς ἰσχυόντων. ταῦτα δὲ ἦσαν ἐπῳδαί τινες δυςπαρακολούθητοι· ἅς καὶ Κροῖσος ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν Ὀλυμπίοις Μιλησίου καὶ Ἐφεσίου παλαιόντων, τὸν Μιλήσιον μὴ δύνασθαι παλαίειν διὰ τὸ τὸν ἕτερον παρὰ τῷ ἀστραγάλῳ ἔχειν τὰ Ἐφέσια γράμματα· φανεροῦ δὲ γενομένου καὶ λυθέντων αὐτῷ τριάκοντα ἑξῆς πεσεῖν τὸν Ἐφέσιον.

30 *Μετὰ πόλεμον ταραχὴ ἢ συμμαχία:* καί, *μετὰ Μαραθῶνα μάχη:* ἐπὶ τῶν μετὰ ὑπόθεσίν τινα ἐπικίνδυνον, ἑτέρᾳ ἐντυχόντων οὐκ ἐλάττονι τῆς προτέρας.

31 *Μέτρῳ ὕδωρ πίνοντες, ἀμετρίᾳ δὲ μᾶζαν ἔδοντες:* οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις. ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται ἀπώλοντο ὑπὸ τῶν Κροτωνιατῶν· τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη.

32 *Μέλιτος μυελός:* ἐπὶ τῶν ἄγαν ἡδέων.

33 *Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ:* οἷον, πολλὴ παῤῥησία πάντων εὐφορίας γενομένης.

31a *Μέχρι βωμοῦ φίλος εἰμί.*
31b *Μεταβολὴ πάντων γλυκύ.*
31c *Μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.*

---

1. μετὰ — ἦσαν] Suidas om. 3. Κροῖσον Suidas. εἶπεν Z. 4. Ὀλυμπίᾳ Suidas. 5. περὶ idem. 7. τὸ ἑξῆς idem. 8. μετὰ τὴν ἐν Μαραθῶνι μάχην, sc. ἡ συμμαχία S. 11. ἀμετρὶ AN, Suidas s. ἀμετρί: cf. Schaeferus ad Phocyl. 130 in Brunckii PP. Gnom. Gr. p. 164 s. in Iacobitzii edit. min. Lucian. Char., Vit. Auct. et Piscat. 299 sq. 14. τῶν Suidas om. 17. τὸ N om. 19. πρὸς δὲ φίλον τινὰ μαρτυρίας ψευδοῦς δεόμενον, ᾗ προςῆν καὶ ὅρκος, ἔφησε Μέχρι τοῦ β. φ. εἶναι Plutarchus.

29. Suidas s. Ἐφέσια: Arsen. XXXV, 49. Apost. VIII, 17.

30. Arsen. XXXV, 51. Macar. V, 85. Cf. Apost. XV, 95d.

31. Suidas: Arsen. XXXV, 52. Zenob. V, 19.

31a. Arsen. XXXV, 53: Pericles in Plut. Apophth. Regg. cett. 186 C, ubi v. Wyttenbachius.

31b. Arsen. XXXV, 54: Eurip. Orest. 234: de sententia v. Porsonem ad Eur. l. c. et Wyttenbachium ad Plut. Apophth. Lac. κβ', p. 210 B.

31c. Arsen. XXXV, 55: Hesiod. Ἔργ. κ. Ἡμ. 694, ubi Scholl. afferunt Plat. Legg. IV, 709 B: ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. Cf. ann. ad Greg. Cypr. L II, 79.

32. Suidas: Arsen. XXXV, 44. DV III, 20.

33. Suidas: Arsen. XXXV, 43. Diog. VI, 48.

Τὸ μ̃ μετὰ τοῦ η̃.

34 *Μητραγύρτου θάνατος*: οὗτος ἐλθὼν εἰς τὴν Ἀττικὴν ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοί φασι. οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτὸν ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν· λοιμοῦ δὲ γενομένου, ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον. καὶ διὰ τοῦτο ᾠκοδόμησαν δικαστήριον, ἐν ᾧ ἀνεῖλον τὸν μητραγύρτην, καὶ παραφράττοντες αὐτὸν καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν, ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῷ μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ, καταχώσαντες καὶ τὸ βάραθρον.

35 *Μὴ προσοβήσῃς τὴν θήραν*: ἐπὶ τῶν παρὰ καιρὸν πραττόντων τι.

36 *Μὴ σπεῦδε γῆμαι πρὶν τελευτήσαντ' ἴδῃς*:

34a *Μήτε κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον*: ἀντὶ τοῦ μὴ προτίμα τοὺς φίλους τῶν ἀδελφῶν.

34b *Μηδὲ ὑπὲρ τὸν πόδα ἔστω τὸ ὑπόδημα*: ἤγουν μηδὲν ἔξω τοῦ μέτρου ποίει καὶ τῆς δυνάμεως.

34c *Μηδέ μοι αὐτὴ ὄρνις κακὸς ἐνὶ μεγάροισι πέλευ.*

34d *Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι.*

34e *Μηδ' Ἡρακλῆς πρὸς δύο.*

---

2. *Μητρ. θ.*] *Μητραγύρτης* Suidas. *οὗτος ἐλθὼν*] *ἐλθών τις* idem. 7. *δικαστήριον*] *βουλευτήριον* idem. 8. *περιφράττοντες αὐτὸ* idem. 14. *μὴ — τι*] Plutarchus ignorat. 19. *μεγάροισι κακὸς* Homerus.

34. Suidas: Arsen. XXXV, 56. Consentit Photius: paulo aliter rem narrat Suid. v. *βάραθρον*: v. Lobeckius Aglaoph. I, 659.

34[a]. Arsen. XXXV, 57: Hesiod. *Ἔργ.* 705, ubi v. Scholia et Goettlingium.

34[b]. Arsen. XXXV, 58. Lucian. pro imagg. §. 10: *σὺ δὲ τὰ ἀνθρώπινα ταῦτα ἐπαίνει αὐτήν, μηδὲ ὑπὲρ τ. π. ἔ. τὸ ὑ., μὴ καὶ ἐπιστομίσῃ με, φησίν, ἐμπεριπατοῦσαν αὐτῷ*, ubi Scholl. T. IV, 165 Iacob.: *παροιμία ἐπὶ τῶν ὑπερτείνειν ἀξιούντων τὰ καθ' ἑαυτοὺς πράγματα, ὃ ποιεῖν φιλοῦσιν οἱ αὐχηματίαι.* »Cfr. Plut. Apophth. Lacon. 208 C: *ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, οὐδὲ σκυτοτόμον, ἔφησεν* [Agesilaus], *ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησι*: Clem. Paedag. III, 8, p. 277, 16: *καθάπερ ὁ ποὺς τοῦ ὑποδήματος, οὕτω καὶ τῆς κτήσεως ἑκάστου τὸ σῶμα*, ubi v. Potterus.« Walzius.

34[c]. Arsen. XXXV, 59: Hom. Il. *Ω*, 218 sq.

34[d]. Arsen. XXXV, 60: Hesiod. *Ἔργ.* 715. Cf. Aristot. Eth. ad Nicom. IX, 10.

34[e]. Arsen. XXXV, 61: Apost. XIII, 29.

35. Synes. or. de Regno 3 A: *σοφὸν γὰρ ἂν εἴη μὴ προσοβῆσαι τὴν θήραν*: in quo loco Petavius a Synesio respici monet Plat. Lysid. 206 A: *ποῖός τις οὖν ἄν σοι δοκοῖ θηρευτὴς εἶναι, εἰ ἀνασοβοῖ θηρεύων καὶ δυσαλωτοτέραν τὴν ἄγραν ποιοῖ;*

36. Plut. Apophth. Reg. 184 A: Arsen. XXXV, 75: eadem paucis

ἐπὶ τῶν ἀκαίρως καὶ ῥαθύμως ποιούντων τί. Εὐμενὴς γὰρ ἐπιβουλευθεὶς ὑπὸ Περσέως ἔδοξε τεθνάναι· τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης, Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα καὶ τὴν γυναῖκα γήμας ἐβασίλευσε· πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν ἀπήντησεν ὥσπερ εἰώθει μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων. Ὁ δὲ Εὐμενὴς φιλοφρόνως ἀσπασάμενος αὐτὸν καὶ πρὸς τὸ οὖς εἰπὼν τοῦτο, οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ' εἶπεν ὕποπτον, οὔτ' ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν.

37 *Μὴ τέφραν φεύγων, εἰς ἀνθρακιὰν πέσῃς.*

38 *Μὴ κακούργει τὴν μουσικήν:* ἀντὶ τοῦ, μὴ ἀσύμφωνα λέγε· Ἐμηρεπὴς εἶπε τοῦτο Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα γε ἐκτεμών.

39 *Μηχανικώτερος κόκκυκος:* σοφώτατος ὁ κόκκυξ καὶ πλέκειν εὐπόρως ἐξ ἀπόρων μηχανὰς δεινότατος. ἑαυτῷ μὲν γὰρ συνεπίσταται ἐπῳάζειν οὐ δυναμένῳ καὶ ἐκλέπειν, διὰ

36a *Μὴ μνησικακήσῃς εἰ σὺ Φυλὴν κατέλαβες.*

38a *Μὴ μεγάλα λέγε:* τοὺς μεγαλαυχοῦντας ἕλκει πρὸς μετριότητα ἡ παροιμία· ὡς καὶ Θέογνις·

μήποτε Κύρν' ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων, ὅτι νὺξ χἠμέρα ἀνδρὶ τελεῖ.

---

1. γὰρ a Plutarcho abest. 8. τοῦτο] μὴ σπεῦδε γ. π. τ. ἴ. Plutarchus. 10. ἀπέλιπεν] Plutarchus pergit: ἀνθ' ὧν ἐκεῖνος οὐδὲν ἐξ ἑαυτοῦ τέκνον ἔθρεψε, πολλῶν γενομένων, ἀλλὰ τῷ Εὐμενοῦς υἱῷ τὴν βασιλείαν ἔτι ζῶν ἐνηλίκῳ γενομένῳ παρέδωκε. 11. εἰς τὴν Ds. ἐμπέσῃς Ds. 12. μὴ — μουσικὴν] in fine Plutarchus posuit. κακούργει] κακηγόρει W. ἀντὶ — λέγε] Plutarchus ignorat. 13. Ἐμηρεπὴς ἔφορος Plutarchus: Ἐκπρέπης idem V. Agid. 10. εἶπε τοῦτο] Plutarchus om. Φρύνιδος] Terpandrum nominat Plut. Institt. Lacon. c. 17. 14. γε ἐκτεμὼν] ἐξέτεμεν, εἰπών, μὴ κ. τ. μ. Plutarchus. 15. Scribe κόκκυγος. 16. εὐπόρους As. 22. χἠμέρη Theognis.

mutatis in eiusd. l. de frat. amor. 18, p. 489 D leguntur. Senarius ad versus Sophoclei imitationem compositus est: Stob. Flor. 105, 21: μήπω μέγ' εἴπῃς πρὶν τελευτήσαντ' ἴδῃς, quem in proverbium abiisse Porphyrio in Scholl. Ven. ad Hom. Il. Θ, 5 monet, addens: ἤγουν μὴ θαυμάσῃς τὸν μεγάλα ἐπαγγελλόμενον. Usurpavit Cic. Epist. ad Attic. IV, 8, 1.

36a. Arsen. XXXV, 76: Arist. Plut. 1146.

37. Diog. VI, 68: Arsen. XXXV, 78: Suid. s. τεφρώσας. Cf. Apost. XVI, 41.

38. Plut. Apophth. Lacon. 220 C: Arsen. XXXV, 66: add. Plut. de sent. profect. in virt. 13, p. 84 A. De re dixerunt C. O. Muellerus Dor. II, 322 et Schoemannus ad Plut. Agid. l. c. p. 130.

38a. Arsen. XXXV, 67: Macar. V, 92. Theogn. 159.

39. Σοφώτατος κτλ.] Aelian. N. An. III, 30.

ψυχρότητα τῆς ἐν τῷ σώματι κράσεως. οὐκοῦν ὅταν τίκτῃ, οὔτε αὐτὸς νεοττιὰν ὑποπλέκει, οὔτε τιθηνεῖται τὰ βρέφη· φυλάττει δὲ ἄρα τοὺς τῶν νεοττειῶν δεσπότας καὶ πλανωμένους, καὶ παρελθὼν εἰς καταγωγὴν ὀθνείαν, ἐντίκτει. οὐ πάντων δι' ὀρνίθων καλλιαῖς ἐπιπηδᾷ οὗτός γε, ἀλλὰ κορύδου καὶ φάβης καὶ χλωρίδος· τούτους γὰρ συνεπίσταται ὅμοια ᾠὰ τίκτειν. καὶ κενῶν μὲν αὐτῶν οὐσῶν, οὐκ ἂν παρέλθῃ· ᾠῶν δὲ ἔνδον ὄντων, εἶτα μέντοι τὰ ἑαυτοῦ παρενέμιξεν· ἐὰν δὲ ᾖ πολλὰ τὰ ἐκείνων, τὰ μὲν ἐκκυλίσας ἠφάνισε, τὰ δὲ ἑαυτοῦ κατέλιπε φωραθῆναι δι' ὁμοιότητος μὴ δυνάμενα. καὶ οἱ μὲν ὄρνιθες οἱ προειρημένοι τὰ μηδὲν σφίσι προςήκοντα ἐκλέπουσιν· ὑποπηγνύμενα δὲ ἐκεῖνα, ἑαυτοῖς συνεγνωκότα τὴν νοθείαν ἐπιπέταταί τε, καὶ παρὰ τὸν γεινάμενον στέλλεται. ἦρος δὲ ὑπερχομένου ἐμφανής ἐστιν ὁ κόκκυξ εἰς ἀνατολὰς σειρίου, εἶτα τῆς τῶν πολλῶν ὄψεως ἀνεχώρησαν.

40 *Μὴ πρίω μικρὰν ἡδονὴν μεγάλου κινδύνου.*

41 *Μὴ νεκρῶν θήκας κίνει: ἐπὶ τῶν φιλαργύρων. ἡ γὰρ Σεμύραμις ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν· ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς διελὼν τὸ μνημεῖον, ὅσα βούλεται λαμβανέτω· Δαρεῖος οὖν διελὼν χρήματα μὲν*

---

1. *συγκράσεως, ὥς φασιν* As. 3. *νεοττιῶν* R As. *δεσπότας ἀφεστῶτας καὶ* As. 5. *καλιαῖς* As R. 6. *φάττης* As. *καὶ πάππου· τούτοις* As. 7. *ὅμοια αὐτῷ* As. *τίκτουσι* As. 8. *παρέλθοι* As. 10. *κατέλιπεν, διαγνωσθῆναί τε καὶ* As. *ὁμοιότητα* R As. 12. *ἐκλέπουσιν*] *ἐκγλύφουσιν* As. 13. *ἐκπέτεται* As. *τε*] *γε* R. 14. *στέλλεται*] causas cur ad parentem accedant addit As. *δὲ ὑπερχ.*] *γὰρ ὑπαρχομένου καὶ αὐτὸς* As. 15. *ὁ κόκκυξ* As om. 16. *ἀνεχώρησεν* As. 18. *φιλαργύρων* A. 19. *ἡ γὰρ κτλ.*] A om. *ἡ — ἑαυτῇ*] *Σεμίραμις δὲ ἑαυτῇ* Ab Stobaeus. *Σεμίραμις* iidem. 20. *ἂν* iidem om. *διελὼν* (*ὄντα*) cod. A Stobaei, *διελόντα* Ab. 21. *λαβεῖν* Stobaeus Ab. *οὖν*] *δὲ* Ab.

40. Xanthus in St. Max. Conf. Serm. 3, p. 540 Comb.: *Ξάνθος ὁ σοφὸς θεασάμενος ἐπὶ θύραις εὐπρεποῦς γυναικὸς ἄνδρα οἰκοφθόρον ἔφη, οὗτος ἡδονὴν μικρὰν ὠνεῖται μεγάλῳ κινδύνῳ*: Arsen. XXXVIII, 36.

41. Arsen. XXXV, 68. *ἡ κτλ.*] Arsen. VII, 84. Stob. Flor. X, 53: Plut. Apophth. Regg. 173 A. Fons narrationis est Herod. I, 187. Semiramidis dictum respicit Max. Tyr. Diss. 27, 8, p. 30 R.: *φήμη δὲ αὐτὸν* [regem Persarum] *ἐπεσπάσατο χρυσοῦ κατορωρυγμένου σὺν τῷ νεκρῷ, καὶ ἐτυμβωρύχει ὁ μέγας βασιλεὺς, ὁ τὴν τιάραν ἔχων, καὶ τὸν μὲν χρυσὸν οὐχ εὗρεν, ἐπίγραμμα δὲ ἔνδοθεν ἐπὶ τῷ τάφῳ, ὁ νεκρὸς λέγει· Ὦ πάντων ἀνθρώπων ἀπληστότατε, ὃς ἔτλης νεκροῦ θιγεῖν δι' ἔρωτα χρυσοῦ*: sententiae causa v. Apost. II, 3, DV III, 23 et inscriptionem a Welckero in Mus. Rhen. a. 1841, p. 206 editam.

οὐχ εὗρε, γράμμασι δὲ ἐνέτυχε τάδε φράζουσιν· εἰ μὴ κακὸς ἦσθα ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις. ἐνθεῦτεν οὖν ἡ νουθετικὴ παροιμία αὕτη παρήχθη.

42 *Μὴ ὢν Σύρος, μὴ σύριζε: ἐπὶ τῶν παρ' ἀξίαν τι ποιούντων.*

43 *Μηδικὴ τράπεζα: ἐπὶ τῶν εὐπόρων· ἁβροδίαιτοι γὰρ οἱ Μῆδοι.*

44 *Μὴ κίνει κακὸν εὖ κείμενον: ἐπὶ τῶν παρακινούντων τινὰ ἐπὶ σφετέρᾳ βλάβῃ.*

45 *Μήτε μέλι, μήτε μελίσσας: ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι εὐκταῖον μετὰ πόνου.*

46 *Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης: ἐπὶ τῶν κατ' ἰσχὺν ἀνίσων.*

47 *Μὴ κάρφος κινεῖν: ἐπὶ τῶν ἡσύχων.*

48 *Μὴ μάχαιραν αἴρει θῆλυ: ἐπὶ τῶν ἀδυνάτων βοηθεῖν.*

49 *Μὴ κίνει Καμάριναν: λίμνη ἦν, ἣν μετοχετεῦσαι βουλόμενοι ἐχρήσαντο τῷ θεῷ, ὁ δὲ εἶπε· μὴ κίνει Καμάριναν· οἱ δὲ παρακούσαντες ἐβλάβησαν. οἱ δέ φασι βοτάνην δυςωδίαν ἀποπέμπουσαν ἐν τῷ κινεῖσθαι.*

50 *Μήτε τυφλὸν ὁδηγὸν, μήτ' ἀνόητον ξύμβουλον: παραινετική ἐστι.*

50a *Μήτις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω*

---

1. *δὲ ἑτέροις* Ab, Stobaeus. 2. *ἦσθα*] *ἦς* iidem. 3. *θήβας* Ab. *ἐντεῦθεν κτλ.*] Ab, Stobaeus om. 7. *ἁβροδίαιτοι κτλ.*] DV om. 11. *μηδὲ* bis KNA. 12. *ἀπευκταῖον μετὰ ἀγαθοῦ* KNA. 14. *κατ'*] *τὴν* Ds. 15. *μὴ*] *μηδὲ* Ds. 16. *αἴρε* Ds. 17. Zenobius uberius rem exponit. 19. *οἱ δὲ κτλ.*] AN om. 22. *παραιν. ἐ.* A om.

42. *Συρίζειν* de eo, qui barbaro atque inculto sermone utitur, a Luc. de Merc. Cond. §. 10 aliisque dicitur. Cf. Apost. XV, 71.

43. DV III, 14: Arsen. XXXV, 63.

44. Arsen. XXXV, 72. Greg. Cypr. L II, 78: add. Sappho apud Etym. M. 808, 35: *μὴ κίνει χεράδας*, et cf. sup. 41.

45. K in nott. ad Diog. VI, 58: Arsen. XXXV, 62. DV III, 25.

46. Diog. VI, 59: Arsen. XXXV, 73. DV III, 26.

47. Diog. VI, 67.

48. Diog. VI, 72. DV III, 28.

49. Zenob. V, 18: Arsen. XXXV, 69. Greg. Cypr. M IV, 41.

50. Arsen. XXXV, 79. E Plutarcho Max. Conf. Serm. 60, p. 670 Comb. affert: *ὁδηγὸν τυφλὸν λαβεῖν καὶ σύμβουλον ἀνόητον ἴσον ἐστί*: Plut. fr. 18 Wytt.: similiter idem Coniug. Praec. 139 A: *αἱ βουλόμεναι μᾶλλον ἀνοήτων κρατεῖν ἀνδρῶν ἢ φρονίμων ἀκούειν, ἐοίκασι τοῖς ἐν ὁδῷ βουλομένοις μᾶλλον ὁδηγεῖν τυφλοῖς, ἢ τοῖς γινώσκουσιν ἀκολουθεῖν καὶ βλέπουσι.*

50a. Arsen. XXXV, 80: Hom. Od. *B*, 230.

51 *Μὴ παιδὶ μάχαιραν:* μὴ τοῖς ἀπείροις ἐγχειρίζειν πράγματα μεγάλα, μή πως καθ' ἑαυτῶν χρήσωνται.

52 *Μὴ εἰκῇ τὴν Ἄβυδον:* λείπει, παραπλεῖν. ἐπὶ τῶν διακινδυνευόντων.

53 *Μήτε νεῖν, μήτε γράμματα:* ἐπὶ τῶν ἀμαθῶν· ταῦτα γὰρ ἐκπαιδόθεν ἐν ταῖς Ἀθήναις ἐμάνθανον.

54 *Μηδέποτε μηδεὶς Μεγαρέων γένοιτο σοφώτερος:* ἐπὶ τοῦ ἀναισθήτου. χαριεντιζόμενοι δὲ τοῦτο ἔλεγον.

55 *Μὴ λόγους ἀντ' ἀλφίτων:* ἐπὶ τῶν τινος ἀξιούντων τυχεῖν.

56 *Μηδέποτε ἔρδειν γέροντα μηδὲ γυναῖκα μηδὲ παῖδα βάσκανον μηδὲ κύνα τινὸς μηδὲ λάλον κωπηλάτην:* παραινεῖ εἰς ἄχρηστα μὴ ἀναλίσκειν.

57 *Μῆλα Ἑσπερίδων μοι ἐδωρήσω:* ἐπὶ τῶν πολυτελῆ χαριζόντων:. *Λέγουσιν ὅτι γυναῖκές τινες ἦσαν* Ἑσπερίτιδες· ταύταις δ' ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἃ

σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι.

53a *Μηδ' ἕτερον κεύθῃς κραδίῃ νόον, ἄλλ' ἀγορεύων·*
μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χῶραν ἀμείβου:. Φωκυλίδου.

---

2. μεγάλα κτλ] AN om. 3. παραπλεῖν ἢ διαφοιτᾶν· λέγεται δὲ Suidas. 7. γένοιτο Μεγαρέων Meinekius Com. Gr. Fr. IV, p. 700. 11. μηδέποτε — βάσκανον] μηδέποτ' εὖ ἔρ. γυναῖκα Suid. s. μηδέποτ': μήποτ' εὖ. ἔρ. γέροντα μηδὲ παῖδα μηδὲ γυναῖκα Suid. s. μήποτ': μήποτ' εὖ ἔρ. γέροντα, μὴ παῖδα βάσκανον Suid. s. ἄχρηστα: μήποτ' εὖ ἔρδειν γέροντα, μηδὲ παῖδα βάσκανον Meinekius Com. Gr. Fr. IV, 699. μήποτ' εὖ A. ἄρδειν R. γέροντας A. 12. βάσκανον A om. μηδὲ — τινός] μήτε γυναῖκα λάλον, μήτε παῖδα νήπιον μήτε γείτονος κύνα Suid. s. ἄχρηστα: μηδὲ γείτονος κύνα Suid. s. μηδέποτ' et μήποτ': μηδὲ δαψιλῆ γυναῖκα μηδὲ γείτονος κύνα Meinekius. μηδὲ — κωπ.] μὴ λ. κωπ. Suid. s. ἄχρηστα: μηδὲ κυβερνήτην φίλυπνον μὴ λ. κ. Suid. s. μηδέ ποτ': μήτε κυβ. φίλυπνον μὴ λ. κωπ. Suid. s. μήποτ': μὴ κυβερνήτην φίλυπνον, μὴ λάλον κωπηλάτην Meinekius. 13. μὴ εἰς Ds. 15. ἦσαν αἱ Ps. 16. Ἑσπερίδες Ps: Apostolii lectionem L. Dindorfius in Steph. Thes. L. Gr. III, 2096 comparata forma Ἑλικωνῖτις defendit. ἃ] ἦν Ps. 20. χῶρον Phocylides.

51. Diog. VI, 46: Arsen. XXXV, 74. Greg. Cypr. L II, 70.
52. Suid. s. εἰκῇ: Diog. VI, 53. Cf. Macar. III, 50.
53. Diog. VI, 56: Arsen. XXXV, 64. DV III, 18.
53ª. Arsen. XXXV, 65: Pseudophocyl. 48. Cf. Greg. Cypr. L I, 4.
54. Diog. VI, 57.
55. Diog. VI, 60. Macar. V, 97.
56. Diog. VI, 61: Arsen. XXXV, 77. Cf. Apost. V, 35ª.
57. Arsen. XXXV, 71. Μῆλα Ἑσπερίδων memorat Poll. VI, 47: add. Plin. N. H. XIX, 4, 49: *antiquitas nihil prius mirata est, quam Hespe-*

ἐφύλασσε δράκων· ἐφ' ἃ μῆλα καὶ Ἡρακλῆς ἐστρατεύσατο· ἔχει δὲ ἡ ἀλήθεια ὧδε. Ἕσπερος ἦν ἀνὴρ Μιλήσιος, ὃς ᾤκει ἐν τῇ Καρίᾳ, καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίτιδες· τούτῳ δὲ ἦσαν ὄϊς καλαὶ καὶ ἔγκαρποι, οἷαι καὶ νῦν αἱ ἐν Μιλήτῳ. ἐπὶ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ· κάλλιστον γὰρ ὁ χρυσός· ἦσαν δὲ ἐκεῖναι κάλλισται. μῆλα δὴ καλεῖται τὰ πρόβατα· ἅπερ ἰδὼν ὁ Ἡρακλῆς βοσκόμενα περὶ τὴν θάλατταν, περιελάσας ἐνέθετο εἰς τὴν ναῦν, καὶ τὸν ποιμένα αὐτῶν ὀνόματι Δράκοντα εἰςήγαγεν εἰς οἶκον, οὐκέτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον οὖν οἱ ἄνθρωποι, ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγεν ἐξ Ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα.

58 Μὴ θεᾶς ἄνθρωπον ὡς Ἀθάμας: λείπει τὸ ἔλοιϊ. ἐπὶ τῶν αἱρουμένων τῶν κρειττόνων τὰ ἥττονα:. Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχε, Φρύξον καὶ Ἕλλην· ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη· ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπέπτη εἰς οὐρανὸν καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφε δὲ θεωροὺς εἰς Ἀπόλλω Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ· ἡ οὖν τούτου γυνὴ θέλουσα Φρύξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντα, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ὁ Πύθιος, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσειε παῖδας. ἀκούσας οὖν ὁ Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων· εἷς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος λέγει Φρύξῳ καὶ Ἕλλῃ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλ-

---

4. Ἑσπερίδες Ps. εὔκαρποι Ps. 7. δὲ Ps. ἅπερ — ὁ] ἰδὼν δ' ὁ Z. 8. παρὰ τῇ θαλάττῃ Ps. περιεργάσας Z. 12. τὸν Δράκοντα Z. 14. τῶν κρειττόνων N om. ἥττω RNAZ. 16. ἐπιμίγη Z. 18. ἀχμῷ N. πέπομφεν οὖν ARZ Scholiasta. 19. Ἀπόλλωνα Scholiasta, Ἀπόλλωνος Z. 20. Φρίξον (η) A: v. Lobeckius Paralipp. Gr. Gr. 404. 21. Ἀθάμαντι Z Scholiasta. 22. ἡ Πυθία Scholiasta. 23. θύσαιεν idem. ὁ ANO Scholiasta om. 24. μεταπέμπει R, μεταπέμπεσθαι Z. 25. Φρίξῳ A. τὰ περὶ Scholiasta.

ridum hortos ac regum Adonis [DV I, 12] *et Alcinoi* [v. Firmi Ep. 35 in Muratori Anecdd. Gr. 313.], *itemque pensiles, sive illos Semiramis sive Assyriae rex Cyrus fecit.* Λέγουσι κτλ.] Palaeph. de Incr. 19.

58. Arsen. XXXV, 70. Ἀθά-

λήσποντος κέκληται. Φρύξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριόν, ὃς ὑπὸ θεῶν χρυσόμαλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ· καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ· ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη· Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προςαχθεὶς οὖν στεφανηφορῶν, ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγιαζόμενος ὑπὸ Ἡρακλέους σέσωστο· οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε κατὰ τὸν μῦθον. τὸ δὲ ἀλεθὲς οὕτως ἔχει. Ἀθάμας ὁ Στόλου τοῦ Ἕλληνος ἐβασίλευσε τῆς Φθίας· ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτροπος τῶν χρημάτων, ὃν μάλιστα πιστὸν ἡγεῖτο, ὀνόματι Κριόν. ὃς αἰσθόμενος τὸν Ἀθάμαντα ἀποκτεῖναι ἐθέλοντα τὸν Φρύξον, δηλοῖ τοῦτο τῷ Φρύξῳ· ὁ δὲ Φρύξος κατεσκεύασε ναῦν, καὶ ἔθετο ἐν αὐτῇ χρήματα πάμπολλα, ἐν ᾗ νηῒ καὶ ἡ μήτηρ Πέλοπος· ὄνομα δ' αὐτῇ Ἠώς· καὶ αὕτη ἐκ τῶν αὐτῆς χρημάτων εἰκόνα ποιησαμένη χρυσῆν ἐνέθετο. σὺν τοῖς χρήμασι γοῦν καὶ Φρύξον καὶ Ἕλλην ὁ Κριὸς ἐν ταύτῃ ἐνθεὶς ᾤχετο ἀπιών· ἡ μὲν οὖν Ἕλλη κατὰ τὸν πλοῦν ἀσθενήσασα ἀπέθανεν· ἐξ ἧς καὶ Ἑλλήσποντος ἐκλήθη· αὐτοὶ δὲ ἀφικόμενοι εἰς τὸν Φάρον κατοικοῦσιν αὐτοῦ, καὶ γαμεῖ Φρύξος τὴν τοῦ τῶν Κόλχων βασιλέως θυγατέρα Αἰήτου, δοὺς ἕδνα τούτῳ τὴν χρυσῆν εἰκόνα τῆς Ἠοῦς, ἀλλ' οὐχὶ δέρμα κριοῦ. οὕτως ἡ ἀλήθεια ἔχει.

Τὸ μ̃ μετὰ τοῦ ῑ.

59 **Μικρὸν κακὸν μέγα ἀγαθόν**: πολλάκις μικρὸς πόνος καὶ κακόν τι δοκοῦν μεγάλων γίνεται πρόξενον καλῶν.

60 **Μικρὸς ὁ σὸς ἀεὶ πῶλος**: ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νεάζειν λεγόντων.

61. **Μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε, μήτε φύτευε**:

---

1. Φρίξος A. 3. ὑπὸ τῶν θεῶν NAZ Scholiasta, ἀπὸ τῶν θ. R. χρυσόμαλλος R Scholiasta. 7. σφαγησόμενος Scholiasta. 8. τοῦ Ἡρακλέους RNAZ. σέσωσται Scholiasta. 9. κατὰ τ. μῦθον Scholiasta om. ἀληθὲς RANZ Ps. 10. Αἰόλου Ps. 12. Κριός Ps. 14. ἐνέθετο O Ps. 16. αὐτῆς R om. 20. εἰς] κατὰ R. 21. τ. Φάρον] τοὺς Κόλχους Ps. Φρίξος semper Ps. 28. ἀεὶ ὁ σὸς Z Diog. VI, 64.

μας — μῦθον] Scholl. ad Arist. Nub. 258. τὸ δὲ κτλ.] Palaeph. Incr. 31. Cf. Zenob. IV, 38.

59. Diog. VI, 62.
60. Suidas. Mac. V, 99.
61. Aristot. Probl. XX, 2: διὰ τί

ἐπὶ τῶν φθειρόντων, μηδὲν δ' ἀνδρεῖον ἢ θυμῶδες ἐνδεικνυμένων.

62 *Μίτος ἔριδος τότ' ἦν: ἐπὶ τῶν ἐριζόντων καὶ διατεινομένων.*

63 *Μία χελιδὼν ἔαρ οὐ ποιεῖ: βούλεται δὲ εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν:. Ἐν τῇ Ἀλεξανδρείᾳ τοῦ Πύῤῥου παιδὸς σκηνῇ χελιδὼν νεοττεύουσα εἶτα μέντοι ἀτελῆ τὴν πρᾶξιν αὐτῷ ἐφ' ἥνπερ οὖν ὡρμᾶτο ὑπεσήμηνεν, οὐ πάνυ τοι οὖσαν ἀγαθήν. καὶ Ἀντιόχῳ δὲ νεοττεύουσα ἐν αὐτοῦ τὰ μέλλοντά οἱ ἀπαντήσεσθαι ὑπηνίξατο· ἀνελθὼν δὲ ἐς τοὺς Μήδους εἶτα μέντοι οὐκ ἐπανῆλθεν ἐς τοὺς Σύρους, ἀλλ' ἑαυτὸν κατά τινα ἔωσε κρημνόν· ὥρμητο δὲ ἄρα ἐπὶ πρᾶξιν οὐ χρηστὴν καὶ οὗτος. ἡνίκα δὲ ἐξέλιπε τὴν ἀκρόπολιν τὸ πρότερον Διονύσιος, συνανήχθησάν οἱ καὶ αἱ νεοττεύουσαι χελιδόνες ἐκεῖθι, καὶ ἐμαντεύοντο τὴν ἐπάνοδον:. Ἔτι φασὶ τὰς χελιδόνας ὑπὸ τῶν μητέρων τὴν παρ' αὐταῖς ᾠδὴν ἐκδιδάσκεσθαι.*

64 *Μία μάστιξ ἐλαύνει: ἐπὶ τοῦ ῥᾳδίου.*

65 *Μίδας ὄνου ὦτα: ὅτι ὠτακουστὰς εἶχεν. οἱ δὲ χωρίον αὐτοῦ φασιν οὕτω καλεῖσθαι ὑπ' αὐτοῦ ληφθὲν ἀνάλωτον.*

66 *Μισθὸς ἀρετῆς ἔπαινος, κακίας δὲ ψόγος.*

67 *Μίδου χρήματα: ἐπὶ τῶν ἄγαν πλουσίων:. Οὗτος*

---

5. *δέ τι* Suidas. 6. *ἐμβαλεῖν, καὶ δυςημερία μία τὸν σοφὸν εἰς ἀμαθίαν* idem. 7. *Ἀλεξάνδρου* Z As. 9. *πάνυ τι* As. 11. *δὲ*] *γὰρ* As. 16. *ἔτι κτλ.*] v. Boissonadus ad Theoph. l. c. p. 166. 20. *ὦτα εἶχεν* Z. 22. *κακίας κτλ.*] Antonius om. *κακοῦ* Z.

λέγεται »*μίνθην — φύτευε*«; *ἢ ὅτι καταψύχει τὰ σώματα; δηλοῖ δὲ ἡ τοῦ σπέρματος φθορά. τοῦτο δὲ ὑπεναντίον πρὸς ἀνδρείαν καὶ θυμὸν ταὐτὸν ὂν τῷ γένει:* Pantinus.

62. Tertull. adv. Iudaeos 1: *proxime accidit, disputatio habita est Christiano et proselyto Iudaeo: alternis vicibus contentioso fune uterque diem in vesperam traxerunt:* id. adv. Marcion. IV, 4: *funis ergo ducendus est contentionis, pari hinc inde nisu fluctuante:* id. de Pudic. 2: *sed non decet ultra de auctoritate scripturarum eiusmodi funem contentiosum alterno ductu in diversa distendere:* comp. Apost. III, 47.

63. Suidas: Arsen. XXXV, 81. Greg. Cypr. L II, 71. Apost. XVII, 20b. *ἐν — ἐπάνοδον*] Aelian. N. An. X, 34. *ἔτι δὲ κτλ.*] Theophyl. Simoc. Dial. init.

64. Diog. VI, 65.

65. Diog. VI, 73. DV III, 29.

66. Cyrillus in Anton. Mel. p. 5 Fabr. Isocrat. ad Demon. 9 Steph.: *ἀρχὴ γὰρ φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος.*

67. Arsen. XXXV, 82. *Μίδου — πλουσίων*] cf. Diog. VIII, 53. Apost. XVII, 17. *οὗτος — πραττόμενα*] Scholl. ad Arist. Plut. 287. Respexit Midae fortunam Lucian. Navig. 21: *ὅρα μόνον μὴ ὥσπερ τῷ*

ὁ *Μίδας* σφόδρα πλούσιος ἦν. ᾔτησε δὲ, ὥς φασί, τοὺς θεοὺς, ὅ τι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γενέσθαι. καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν· ὅσα γὰρ ἐλάμβανεν εἰς χρυσὸν μετεβάλλετο· μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἱάπερ ὄνος. τὸ δὲ ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντ' ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ' αὐτὸν χώρᾳ λεγόμενα καὶ πραττόμενα :. *Μάξιμος* δὲ ὁ *Τύριος* περὶ αὐτοῦ ὧδέπως ἱστόρηκεν. Ἀνὴρ Φρὺξ ἀργὸς τὸν βίον, ἐραστὴς χρημάτων, λαμβάνει τὸν Σάτυρον, ὥς φησὶν ὁ μῦθος, δαίμονα φίλοινον, κεράσας οἴνῳ κρήνην, εἰς ἣν φοιτῶν διψήσας ἔπινεν. εὔχεται ὁ ἀνόητος Φρὺξ δαίμονι αἰχμαλώτῳ, εὔχεται δὲ εὐχὴν, οἵαν εἰκὸς ἦν καὶ τοῦτον αἰτεῖν καὶ ἐκεῖνον τελεσιουργεῖν, γενέσθαι αὐτῷ τὴν γῆν χρυσῆν καὶ τὰ δένδρα χρυσᾶ καὶ τὰ λήϊα καὶ τοὺς λειμῶνας καὶ τὰ ἐν αὐτοῖς ἄνθη. δίδωσι ταῦτα ὁ Σάτυρος. ἐπεὶ δὲ αὐτῷ ἐχρύσωτο ἡ γῆ, λιμὸς εἶχε Φρύγας· καὶ ὁ Μύδας ὀδύρεται τὸν πλοῦτον καὶ ποιεῖται παλινῳδίαν τῆς εὐχῆς καὶ εὔχεται Σατύρῳ μὲν οὐκέτι, θεοῖς δὲ καὶ θεαῖς, ἐλθεῖν αὐτῷ τὴν ἀρχαίαν πενίαν, τὴν εὔφορον ἐκείνην καὶ πάμφορον καὶ καρποτρόφον, τὸν δὲ χρυσὸν ἀπελθεῖν εἰς ἐχθρῶν κεφαλάς. ὁ μὲν ταῦτα εὔχετο ποτνιώμενος, ἐτελεῖτο δὲ οὐδὲν μᾶλλον. ἐπαινῶ τὸν μῦθον τῆς χάριτος καὶ τῆς πρὸς τἀληθὲς ὁδοῦ. τί γὰρ ἄλλο αἰνίττεται, ἢ ἀνοήτου ἀνδρὸς εὐχὴν ἐπ' οὐδενὶ χρηστῷ, εὐχομένου μὲν ἵνα τύχῃ, μεταγινώσκοντος δὲ ἐπειδὰν τύχῃ; τὴν δὲ θήραν τοῦ Σατύρου καὶ τὰ δεσμὰ καὶ τὸν οἶνον ᾐνίξατο ὁ μῦθος· ὅτι οἱ μὲν ἀπαιτήσαντες, οἱ δὲ καὶ βιασάμενοι, τυχόντες ὧν ἐπεθύμουν, οὐχ ὧν εὔξαντο, ἀνατιθέασι θεοῖς τὴν δωρεάν, οὐ παρ' ἐκείνων λαβόντες. οὐδὲν γὰρ τῶν μὴ καλῶν δίδωσιν

---

2. γίνεσθαι Scholiasta. 3. ἐλάμβανεν] ἐς τροφὴν Iuntina addit. 7. αὐτῷ Scholiasta, αὐτῶν Z. 8. τε καὶ Scholiasta. Μάξιμος κτλ.] AR om. 17. ἐκεχρύσωτο Maximus. *Μίδας* idem. 24. γὰρ] δὴ idem. 28. ἀπαιτήσαντες idem.

Μίδᾳ καὶ ὁ ἄρτος σοι καὶ τὸ ποτὸν χρυσὸς γένηται καὶ πλουτῶν ἄθλιος ἀπόλῃ λιμῷ διαφθαρεὶς πολυτελεῖ add. Dion. Chrys. Or. 64. Greg. Nazianz. Carm. 18, 407, p. 210 D. ὄνος] de Mida eiusque imagine in vasis et nummis expressa dixit Panofka in Gerhardi Diar. Archaeol. T. II, 385 sqq. Ἀνὴρ κτλ.] Max. Tyr. Diss. 11, 1, p. 186 R.

ὁ θεός. ἀλλ' ἐστὶ ταῦτα δωρεὰ τύχης, ἄλογος ἀλόγου, οἶμαι αἱ παρὰ τῶν μεθυόντων φιλοφροσύναι.

68 Μία λόχμη δύο ἐριθάκους οὐ τρέφει: ἐπὶ τῶν ἐκ μικροῦ τινος κερδαίνειν σπουδαζόντων· ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

69 Μικρὸς ἥλικος Μόλων: ἐπὶ τῶν πάνυ βραχέων.

70 Μικρὸν τὸ ὀβολοῦ τίμιον: λέγεται ἐπὶ τῶν πονηρῶν.

71 Μικρόθεν ἡ ἀγαθὴ ἄκανθα φαίνεται: ἐπὶ τῶν ἐκ πρώτης ἡλικίας φαινομένων ἀγαθῶν γενέσθαι.

69a Μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη: ὁμοία τῇ· Εἷς ἀνὴρ οὐδεὶς ἀνήρ.

71a Μισῶ πονηρὸν χρηστὸν ὅτ' εἴπῃ λόγον.

71b Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

71c Μισῶ μνήμονα συμπότην.

---

1. ὁ θεὸς] articulus in Maximo deest. 2. καὶ αἱ Maximus. 6. Suidas in fine addit: δύο δὲ ἐγένοντο Μόλωνες, εἷς ὑποκριτὴς καὶ ὁ λωποδύτης. 7. Suidas: ὀβολοῦ: τίμιον. λέγεται δὲ ἐ. τ. π. Εὔπολις Μαρικᾷ [fr. 20 Mein.]· τῶν γὰρ πονηρῶν μικρὸν ἐπὶ τοῦ ὀβολοῦ, ubi cum Porto legendum μικρόν ἐστι τοὐβολοῦ. »Μικρὸν τοὐβολοῦ de levissima re, quae obolo constet vel aequipararetur verissime dici demonstrat Antiphan. ap. Ath. IV, 161 A: τῆς πλείστης τοὐβολοῦ μάζης. Itaque τίμιον refertur ad interpretationem genitivi. Ceterum vereor ne pristinam explicationem oblitterarint inverta de versu continuo τῶν πονηρῶν«: Bernhardius ad Suid. l. c. 10. στείχω. μιᾶς κτλ. Euripides. 12. ὅτ'] ὅταν Stobaeus.

68. K in nott. ad Diog. VI, 39: Arsen. XXXV, 83. DV III, 15.
69. Suidas: Arsen. XXXV, 84. Est Aristoph. Ran. 57, ubi v. Scholl. Contrarium docet Eustath. ad Hom. Od. Σ, in., p. 1834, 32: καὶ Μόλωνες [sc. καλοῦνται] οἱ πολυμεγέθεις, ἀπὸ τοιούτου Μόλωνος.
69a. Arsen. XXXV, 85. Est Eurip. Heracl. 275. εἷς κτλ.] Apost. VI, 55b.
70. Suidas: Arsen. XXXV, 86: Photius.
71. Arsen. XXXV, 87.
71a. Arsen. XXXV, 88: Stob. Flor. 2, 5. Menand. Monost. 352. Anton. Serm. 170, p. 278 Fab.
71b. Arsen. XXXV, 89: Palladas in Anth. Palat. X, 95. Cf. Zenob. III, 23 et Iacobsii Annott. ad Anth. III, 2, p. 247.
71c. Arsen. XXXV, 90: Mant. Provv. s. μισῶ. Explicatur a Plut. Q. Sympos. I, praef. init.: Τὸ μισέω μν. σ., . . ἔνιοι πρὸς τοὺς ἐπιστάθμους εἰρῆσθαι λέγουσι, φορτικοὺς ἐπιεικῶς καὶ ἀναγώγους ἐν τῷ πίνειν ὄντας· οἱ γὰρ ἐν Σικελίᾳ Δωριεῖς, ὡς ἔοικε, τὸν ἐπίσταθμον μνάμονα προσηγόρευον. ἔνιοι δὲ τὴν παροιμίαν οἴονται τοῖς παρὰ πότον λεγομένοις καὶ πραττομένοις ἀμνηστίαν ἐπάγειν· διὸ τήν τε λήθην οἱ πάτριοι λόγοι καὶ τὸν νάρθηκα τῷ θεῷ συγκαθιεροῦσιν, ὡς ἢ μηδενὸς δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων ἢ παντελῶς ἐλαφρᾶς καὶ παιδικῆς νουθεσίας δεομένων· ἐπεὶ δὲ καὶ σοὶ δοκεῖ τῶν μὲν ἀτόπων ἡ λήθη τῷ ὄντι σοφὴ κατ' Εὐριπίδην [Orest. 213] εἶναι: quorum partem idem repetiit in libro de mulierum educatione: v. Stob. Flor. 18, 28 s. Plut. fr. 22, 4 Wytt.: add. Eustath.

Τὸ μ̃ μετὰ τοῦ ν̃.

72 *Μνήμην καμήλου:* ἐπὶ τῶν μνημονικωτάτων· μνημονικώτατον γὰρ τὸ ζῷον ἡ κάμηλος:. *Δότε μοι τοὺς* τραγῳδούς, πρὸς τοῦ πατρῴου Διός, καὶ πρό γε ἐκείνων τοὺς μυθοποιοὺς ἐρέσθαι, τί βουλόμενοι τοσαύτην ἄγνοιαν τοῦ παιδὸς τοῦ Λαΐου κατέχουσι καὶ τοῦ Τηλέφου τοῦ συνελθέντος τῇ μητρὶ τὴν δυστυχῆ σύνοδον, τοῦ μὴ πειραθέντος μὲν τῆς ὁμιλίας, συγκατακλιθέντος δὲ τῇ γειναμένῃ καὶ πράξαντος ἂν τὰ αὐτά, εἰ μὴ πολλάκις θείᾳ πομπῇ διεῖρξεν ὁ δράκων· εἴ γε ἡ φύσις τοῖς ἀλόγοις ζῴοις τοιαύτην μίξιν καὶ ἐκ τοῦ χρωτὸς προσαψαμένοις δίδωσι κατανοῆσαι, οὔποτε οὖν τῇ τεκούσῃ ὁμιλήσει ὁ κάμηλος. ὁ δέ τοι νομεὺς τῆς ἀγέλης κατακαλύψας τὸν θῆλυν, ὡς οἷόν τε ἦν, καὶ ἀποκρύψας πάντα πλὴν τῶν ἄρθρων, ἐπάγει τῇ μητρὶ τὸν παῖδα καὶ ἐκεῖνος λάθριος ὑπὸ ὁρμῆς τῆς πρὸς μίξιν ἔδρασε τὸ ἔργον καὶ συνῆκε· καὶ τὸν μὲν αἴτιον τῆς ὁμιλίας οἵ τῆς ἐκθέσμου δάκνων καὶ πατῶν καὶ τοῖς γόνασι παίων ἀπέκτεινεν, ἑαυτὸν δὲ κατεκρήμνισεν. ἀμαθὴς δὲ καὶ κατὰ τοῦτο Οἰδίπους, οὐκ ἀποκτείνας, ἀλλὰ πηρώσας τὴν ὄψιν.

71d *Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.*

---

6. καταχέουσι As. 7. τοῦ μὴ] καὶ μὴ As. 8. συγκατακλινέντος As. 11. τὴν τοιαύτην As. 12. οὔποτε — τῇ] καὶ οὐ δεῖται γνωρισμάτων, οὐδὲ τοῦ ἐκθέντος εἰς τὸν Κιθαιρῶνα, ὡς ὁ Οἰδίπους ὁ τοῦ Σοφοκλέους. οὐκ ἂν γοῦν ποτε τῇ As. ὁμιλῆσαι κάμηλος As. 15. λαθρίως R. 18. τοῖς] ἐν τοῖς R. ἀπέκτεινεν ἀλγεινότατα As. 19. ἀμαθῶς As.

ad Hom. Il. *Ι*, p. 770, 13: τὸ μέμνημαι . . . καὶ ἀντὶ τοῦ ἐπιμελεῖσθαι λαμβάνεται . . . καὶ ἐν τῷ μισῶ μν. σ.. οὐ δεῖ γάρ, φασί, δέχεσθαι τουτέστι νοεῖν μνάμονα, ὡς ἔνιοι, τὸν μεμνημένον χθιζῶν ἁμαρτημάτων συμποσιακῶν, ἀλλὰ τὸν ἄγαν ἐπιμελητὴν τοῦ συμποσίου· μισοῦμεν γὰρ τὸν ἐν τοιούτοις ἐπιμελούμενον καὶ ἐπιτάσσοντα: id. ad Od. *Γ*, 332, p. 1470, 40: χρὴ τὰ ἐν συμποσίῳ σιγᾶν· ὅθεν καὶ παροιμία· μισῶ μν. σ., ὃ ἔστι τὸν τὰ ἄξια σιγῆς ἐν μνήμῃ ἔχοντα καὶ ἐκκαλύπτοντα. ἄλλως γάρ, ἐπαινετέος ὁ τῶν ἀξίων σπουδῆς μεμνημένος συμπότης. καὶ ἀντὶ τῆς χθιζῆς ἑωλοκρασίας [cf. Apost. XVIII, 70.], σπουδαίους λόγους ἐξερευνώμενος οὓς χθὲς τὸ συμπόσιον εἶχε τῷ κρατῆρι συμμεμιγμένους: eadem in Scholl. ad Od. l c. et in Phavor. s. ἀλλ᾽ ἄγε p. 53 leguntur. Adhibetur a Luc. Conviv. §. 3: μισῶ γάρ, φησὶ καὶ ὁ ποιητικὸς λόγος, μνάμονα σ.: Martial. Epigr. I, 27 fin.: add. Antipater in Anth. Pal. XI, 31, 4: καὶ μύθων μνάμονας ὑδροπότας.

71d. Arsen. XXXV, 91: Menand. Monost. 332. Publ. Syr. 604: *odi sapientem, qui sibi ipsi non sapit.* Versu usus est Alexander: Plut. V. Alex. 53: add. poeta Christianus in Crameri Anecd. Pariss. IV, 343, 21.

72. *Δότε κτλ.*] Aelian. N. An. III, 47.

73 *Μνησικακία καμήλου*: ἐπὶ τῶν ἄγαν μνησικάκων. φασὶ γὰρ αὐτὴν πάνυ τοι μέχρι πολλοῦ διαμνημονεύειν ὧν ἂν τύχοι παθοῦσα κακῶν, καὶ ἀνιστορεῖν τοὺς ταῦτα πεπραχότας, εἴ που ἐντύχοι:. Ὁ δὲ *στρουθοκάμηλος* ᾠὰ μὲν ἀποτίκτει πολλά, καὶ πάντα δὲ τρέφει, ἀλλὰ ἀποκρίνει τὰ ἄγοντα, τοῖς ἐγκάρποις δ' ἐπῳάζει· καὶ ἐκ μὲν τούτων τοὺς νεοττοὺς ἐξέλεψεν, ἐκεῖνα δὲ τὰ ἐκφαυλισθέντα τούτοις τροφὴν παρατίθησιν. εἰ δὲ διώκοιτο καὶ ἁλίσκεσθαι μέλλοι τοὺς παραπίπτοντας λίθους εἰς τοὐπίσω σφαινδονᾷ τοῖς ποσίν:. *Ἐπτέρωται* δὲ λασίοις μὲν τοῖς πτεροῖς, ἀρθῆναι δὲ καὶ εἰς βαθὺν ἀέρα μετεωρισθῆναι φύσιν οὐκ ἔχει· θεῖ δὲ ὤκιστα, καὶ τὰς παρὰ πλευρὰν ἑκατέραν πτέρυγας ἁπλοῖ, καὶ ἐμπίπτον τὸ πνεῦμα κολποῖ δίκην ἱστίων αὐτάς.

Τὸ μ̃ μετὰ τοῦ ὄ.

74 *Μόσχος ᾄδων Βοιώτιον*: Μόσχος φαῦλος κιθαρῳδός, πολλὰ ἀπνευστὶ ᾄδων. τὸ δὲ Βοιώτιον οὕτω καλούμενον εὗρε Τέρπανδρος, ὥσπερ καὶ ὁ Φρὺξ τὸν Φρύγιον.

75 *Μοριῶν μὴ θίγγανε*: ἐπὶ τῶν ἱεροσύλων· μορίαι γὰρ ἐλέγοντο αἱ ἐλαῖαι, αἳ ἦσαν ἱεραὶ τῆς Ἀθηνᾶς· ἐξ ὧν τὸ ἔλαιον ἔπαθλον ἐδίδοντο τοῖς νικῶσι τὰ Παναθή-

---

4. ὁ στρουθοκάμηλος] ἡ στρουθὸς ἡ μεγάλη As. 5. καὶ] οὐ As. 6. τοῖς δὲ As. δ' As om. 8. δὲ αὐτὴν διώκοι τις, ἡ δὲ οὐκ ἐπιτολμᾷ τῇ πτήσει, θεῖ δὲ τὰς πτέρυγας ἁπλώσασα· εἰ δὲ ἁλίσκεσθαι μέλλει As. 10. σφενδονᾷ R As. ἐπτέρωται — πτεροῖς] vv. As aliter collocat. 12. παρὰ τὴν As. 18. ὥσπερ — Φρύγιον] ὥσπερ καὶ ὁ Φρύγιος AN, ὥσπερ καὶ τὸ Φρύγιον Suidas. 19. μοριῶν — ἱεραὶ] Μορίαι· ἐλαῖαι ἱεραὶ Suidas. 21. ἐδίδοτο idem.

73. Basil. Hexaem. Hom. 8, 1, p. 71 A: τὸ δὲ τῶν καμήλων μνησίκακον καὶ βαρύμηνι καὶ διαρκὲς πρὸς ὀργήν, τί ἂν μιμήσασθαι τῶν θαλαττίων δύναιτο; Πάλαι ποτὲ πληγεῖσα κάμηλος μακρῷ χρόνῳ ταμιευσαμένη τὴν μῆνιν, ἐπειδὰν εὐκαιρίας λάβηται, τὸ κακὸν ἀντιδίδωσιν: quae a Bocharto Hieroz. T. I, p. 4 Ros. et Suicero Thes. Eccles. II, 28 illustrantur. ὁ δὲ — ποσίν] Aelian. N. An. IV, 37. ἐπτέρωται κτλ.] id. ib. II, 27.

74. Suidas: Arsen. XXXV, 92. Arist. Acharn. 13: ἀλλ' ἕτερον ἥσθην, ἡνίκ' ἐπὶ μόσχῳ ποτὲ Δεξίθεος εἰσῆλθ' ᾀσόμενος Βοιώτιον: ubi Scholl.: ὁ Μόσχος κιθαρῳδὸς Ἀκραγαντῖνος. τινὲς οὕτως, ὅτι ὁ νικήσας ἆθλον ἐλάμβανε μόσχον. De nomo Boeotio v. ann. ad Plut. Provv. I, 77, Greg. Cypr. M II, 47: add. Plehnius Lesbiac. 161.

75. Cf. legem Atticam in Demosth. or. in Macart. 1074 R. ἱεροσύλων] cf. Meierus Proc. Att. 302. μορίαι κτλ.] Suidas: Photius. Fabulam illustrant Burmannus de Iove Fulgur. 279. C. O. Muellerus de Min. Poliad. Com. 30.

ναια· ἦσαν δὲ πρῶται δώδεκα τὸν ἀριθμὸν, αἱ μεταφυτευθεῖσαι ἐκ τῆς ἀκροπόλεως εἰς Ἀκαδήμιαν. ἤτοι ἀπὸ μόρου καὶ τοῦ φόνου τοῦ Ἁλιῤῥοθίου ὀνομασθεῖσαι οὕτως, ἢ ὅτι ἐνέμοντο καὶ ἐμερίζοντο τὸ ἔλαιον τὸ ἐξ αὐτῶν Ἀθηναῖοι ἅπαντες.

76 *Μόνος γὰρ θεῶν θάνατος οὐ δώρων ἐρᾷ.*

77 *Μολὼν λάβε:* Λεωνίδας Ξέρξου γράψαντος αὐτῷ· πέμψον τὰ ὅπλα· ἀντέγραψε τοῦτο, δηλῶν, ὅτι ἑκὼν εἶναι οὐ δώσει.

78 *Μόναι Λάκαιναι ἄνδρας τίκτουσι:* παρόσον ἐκεῖναι γενναιοτάτους παῖδας τίκτουσι.

77a *Μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασσώμενοι:.* Ἀριστοφάνης ἐν Σφιγξί.

77b *Μουσικὴν δ' ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.*

---

2. τοῦ μόρου Suidas. 6. γὰρ Suidas om.: recte id. s. θανατῶν scribit: θεῶν μόνος γάρ. Suidas adiicit: Αἰσχύλος φησί: in Nioba: v. G. Hermanni Opusc. III, 54. 7. Λεωνίδας et αὐτῷ Plutarchus om. 8. πέμψαι Z. τοῦτο κτλ.] Plutarchus ignorat. εἶναι] ἐκεῖνα Z. 12. ἀναμασσώμενοι Aristophanes. 13. Scribe Σφηξί. 14. μουσικὴν] μουσικὸν Bentleius Epist. ;ad Mill. 469 Lips., ποιητὴν Valckenaerius Diat. Eurip. 206 Lugd., Winckelmannus ad Plut. Erot. p. 196. δ'] δ' ἄρα Plutarchus. Cum n. ἔρως alter incipit versus.

76. Suidas s. μόνος, s. θανατῶν.

77. Plut. Apophth. Lacon. 225 C: Arsen. XXXV, 94.

77a. Arsen. XXXV, 95: Arist. Vesp. 783.

77b. Arsen. XXXV, 96: Plut. Q. Sympos. I, 5, 1, p. 622 C: πῶς εἴρηται τό· Μουσικὴν . . πρίν, ἐζητεῖτο: . . Σαπφικῶν τινων ᾀσθέντων, ὅπου καὶ τὸν Κύκλωπα μούσαις εὐφώνοις ἰᾶσθαί φησι τὸν ἔρωτα Φιλόξενος [v. Bergleinius de Philox. Cyth. 52], ἐλέχθη μὲν οὖν, ὅτι πρὸς πάντα τόλμαν ὁ ἔρως καὶ καινοτομίαν συγχωρῆσαι δεινός ἐστιν, ὥσπερ καὶ Πλάτων [Tim. 69 D] τὸν αὐτὸν καὶ παντὸς ἐπιχειρητὴν ὠνόμασε. Versus comicorum Atticorum tempore celeberrimus: cf. Aristoph. Vesp. 1071: εἴ τις ὑμῶν . . τὴν ἐμὴν ἰδὼν φύσιν Εἶτα θαυμάζει . . . Ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν: ubi Scholl.: Εὐριπίδου ἐκ Σθενεβοίας [fr. 3 Math.]: Menander apud Suid. s. χρεία: χρεία διδάσκει κἂν ἄμουσος ᾖ σοφὸν Καρχηδόνιον, de quo v. Meinekius Men. et Phil. Rell. p. 93: add. Plat. Symp. 196 E: πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν Ἔρως ἅψηται: mansitque haec eius celebritas apud seriores: Plut. de Pyth. orac. 23, 405 F: ὁ δ' Εὐριπίδης εἰπὼν ὡς Ἔρως ποιητὴν διδάσκει, κἂν ... πρίν, ἐνενόησεν, ὅτι ποιητικὴν καὶ μουσικὴν ἔρως δύναμιν οὐκ ἐντίθησιν, ἐνυπάρχουσαν δὲ κινεῖ καὶ ἀναθερμαίνει λανθάνουσαν καὶ ἀργοῦσαν: id. Amat. 17, p. 762 B: Aristid. Oratt. p. 30 Iebb.: καὶ ποιεῖ [Bacchus] χορευτὴν κἂν ἄμουσος ᾖ τὸ πρίν: id. ib. 198.

78. Arsen. XXXV, 93. Μόναι γὰρ τίκτομεν ἄνδρας Gorgo, Leonidae uxor, dixit auctore Plut. V. Lycurg. 14. Apophth. Lac. 227 E.

Τὸ μ̃ μετὰ τοῦ ῦ.

79 *Μυκώνειος γείτων:* αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ σμικροπρεπείᾳ· παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς Μύκωνος καὶ εὐτέλειαν.

80 *Μυκωνείων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια:* διὰ γὰρ τὸ πένεσθαι, διεβέβληντο ἐπὶ αἰσχρότητι. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.

81 *Μύδας ὀφθαλμοὺς Ἰνδικὸς δοκιμάζει:* ἔστι δὲ ὁ μύδας λίθος ἐν Ἰνδίᾳ, διττὰ ἀφιεὶς τὰ σέλα, τοῖς μὲν πονήρως ἔχουσι τῶν ὀμμάτων δριμὺ καὶ πυρῶδες καὶ ἐπιεικῶς φλογωπόν, τοῖς δὲ κατὰ φύσιν καὶ ῥωστικὸν καὶ σωτήριον.

82 *Μῦς ἔδηξε Βρασίδαν ἐν ἰσχάσιν:* ὅτι δεῖ καὶ τὸν μικρὸν φυλάττεσθαι:. *Οἱ μύες* εἰσὶ μὲν καὶ ἄλλως πολύγονα ζῷα, καὶ ἀθρόα τῇ ὠδῖνι πολλὰ τίκτουσιν· εἰ δέ πως καὶ ἁλὸς γευσάμενοι τύχοιεν, ἐνταῦθα δήπου καὶ πάμπολλα ἀποκυΐσκουσιν:. *Οἱ μὲν* κατὰ τὴν οἰκίαν μῦς, δειλὰ ζῷα, καὶ φοβοῦνται κτύπον, καὶ γαλῆν πεφρίκασι κρίξασαν. δειλοὶ δὲ καὶ οἱ ἀρουραῖοι. θρασύτατοι δὲ οἱ θαλάττιοι. μικρὸν δὲ αὐτῶν τὸ σῶμα, τόλμα δὲ ἄμαχος καὶ θαῤῥοῦσι δύο ὅπλοις, δορᾷ τε εὐτόνῳ καὶ ὀδόντων κράτει· μάχονται δὲ καὶ τοῖς ἰχθύσι τοῖς ἁδροτέροις, καὶ τῶν ἁλιέων τοῖς μάλιστα θηρατικοῖς.

---

2. *Μυκώνιος* Suidas, *Μυκόνειος* W: scribe *Μυκόνιος*. 3. *ἐπὶ σμικρότητι καὶ σμικροπρεπείᾳ* N: *ἐπὶ γλισχρότητι καὶ σμ.* Suidas. 4. Scribe *Μυκόνου*. 5. *Μυκωνίων* W Suidas. 6. *διεβέβλητο* N: Suidas hoc proverbium cum antecedente coniunxit. *αἰσχρότητι*] *γλισχρότητι* Suidas. 8. *Μυνδάν*, lapidis nomen, in Plut. de Fluv. 24, 2 et Aristot. Auscult. Mir. c. 170 legitur. *Ἰνδικοὺς* Z. 10. *ὀμμάτων*] *σωμάτων* ma. 14. *οἱ κτλ.*] A om. *πολύγονον ζῷον* As. 17. *ἀποκυΐσκουσιν*] *καὶ πλείω τῆς συνηθείας πολλῷ* As addit. *οἱ μὲν οὖν μῦς, οἱ κατὰ τὴν οἰκίαν δειλὸν καὶ ἀσθενὲς ζῷόν ἐστι, καὶ φοβοῦνται* As. 18. *καὶ τὴν γαλῆν πεφρίκασι* As. 19. *θρασύτατοι δὲ*] *τῶν γε μὴν οἰκετῶν θρασύτεροι* As. 20. *δὲ αὐτῶν*] *μὲν αὐτῶν* As.

79. Suidas: Arsen. XXXV, 97. De Mycono eiusque insulis cf. Strab. X, 5, 9. Zenob. V, 17. 21. Apost. XIV, 5.

80. Suidas: Arsen. XXXVI, 1. Ex Archilocho fluxit: cf. annott. ad Zenob. V, 21.

81. Arsen. XXXV, 98.

82. Arsen. XXXV, 99: Plut. de profect. virt. sent. 79 E: *ὁ Βρασίδας δὲ μῦν τινα συλλαβὼν ἐν ἰσχάσι καὶ δηχθεὶς ἀφῆκεν. εἶτα πρὸς ἑαυτόν, Ὦ Ἡράκλεις, ἔφη, ὡς οὐδέν ἐστι μικρὸν οὐδ᾽ ἀσθενές, ὃ μὴ ζήσεται τολμῶν ἀμύνασθαι*: Apophth. Lacon. 219 C. Et hic locus docet, quanta neglegentia haec si Lis placet proverbia collecta sint. *Οἱ — ἀποκυΐσκουσιν*] Aelian. N. An. IX, 3. *οἱ μὲν κτλ.*] id. ib. IX, 41.

83 *Μυσῶν λείαν:* ἐπὶ τῶν κακῶς διαρπαζομένων· οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον λῃσταὶ καὶ ἀστυγείτονες τοὺς Μυσοὺς ἐλῄζοντο μετὰ τὴν τοῦ Τηλέφου ἀποδημίαν, ὥς φησι Δήμων ἐν πρώτῃ παροιμιῶν.

84 *Μυσὴ κανθαρίς:* ἐπὶ τῶν μηδενὸς ἀξίων.

85 *Μύλος πάντ' ἀκούει:* ἐπὶ τῶν προςποιουμένων μὲν μὴ ἀκούειν, ἀκουόντων δέ· ὁ δὲ Μύλος ἦν ποιητὴς κωμῳδιῶν, ὃς μὴ ἀκούειν ὑπεκρίνετο.

86 *Μυῤῥινῶν ἀρχῆς ἐπιθυμεῖς:* μυῤῥίναις γὰρ στεφανοῦνται οἱ ἄρχοντες.

87 *Μῦς λευκός:* ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται· οἱ γὰρ κατοικίδιοι μύες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται, καὶ μάλιστα οἱ λευκοί· οὗτοι δέ εἰσι θήλεις.

88 *Μῦς δακὼν παῖδ' ἀπέφυγε:* παρόσον καὶ οἱ μικροὶ τοὺς μεγάλους λυποῦσιν ἐνίοτε.

---

2. κατ' — χρόνον ante vv. τοὺς Μυσοὺς Z collocat. 3. ὡς — παροιμιῶν post v. ἀστυγείτονες in Z posita sunt. 5. *Μυσὶ* Ds Z. κανθερίς Z. 6. *Μυλλὸς* Ds. 7. ὁ — ἦν] *Μύλλος* γὰρ Ds. 9. μυῤῥίνων [sic] ἐπιθυμεῖς: τουτέστι ἀρχῆς. μυῤῥίναις κτλ. Z. Scribe *μυῤῥινῶν*: ἀρχῆς ἐπιθυμῶν, cum Suida ac Photio: v. Scholl. ad Arist. Vesp. 857: *μυῤῥίνας*: μυῤῥίναις γὰρ ἐστεφανοῦντο οἱ ἄρχοντες. καὶ μυῤῥινῶν, ἀρχῆς ἐπιθυμῶν: Hesych. *μυῤῥινῶν*: ὃ δηλοῖ ἐπί τινα ἀρχὴν παρασκευαζόμενον. οὕτως δὲ ἔοικεν ἐσχηματίσθαι, διὰ τὸ τοὺς ἄρχοντας ταῖς μυῤῥίναις στέφεσθαι: add. Suid. v. ψωλός. 11. περὶ] ἐπὶ Z. VV. ἐπὶ — εἴρηται Suidas post v. θήλεις posuit. 12. γὰρ Suidas om. 14. θήλεις] EZ addunt: τῶν δὲ μυῶν ὁ φωλεὸς *μυωξία* λέγεται, quibuscum convenit Lex. Schedogr. in Boiss. Anecd. IV, 393: ἀφ' οὗ καὶ μυωξία τι, ἡ *φωλεά* τις τούτων: aliter vero Suid. et Phot. et Bachmanni Anecd. I, 305 s. μυωξία: ὑβριστικὸς λόγος, σημαίνει δὲ τοὺς τῶν μυῶν χηραμούς: add. Moschop. π. σχεδ. 141: μυωξία, ἡ κατάδυσις αὐτοῦ, sc. τοῦ μυός. Quum in Epicrate apud Aelian. N. An. XII, 10 μυωνία legatur, in locis modo citatis eadem forma restituenda videtur.

83. Cf. Mant. Provv. s. Μυσῶν. Harpocr. 130, 3 Bekk.: *Μυσῶν λείαν*· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος [§. 72]. παροιμία τίς ἐστιν οὕτω λεγομένη, ἥν φησι Δήμων ἐν μ' [α' cod. Harpocr. B: v. Dem. fr. 19 Muell.] περὶ παροιμιῶν τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. κέχρηται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ [fr. 3 Mein.] καὶ Σιμωνίδης ἐν ἰάμβοις [fr. 32 Bergk.]: cf. DV III, 16.

84. Diog. VI, 49.

85. Diog. VI, 40 ibiq. v. K: Arsen. XXXV, 100.

86. Suidas: Arsen. XXXVI, 2: Photius. Magistratus apud Athenienses myrto coronatos fuisse ex Poll. VIII, 86. Scholl. ad Arist. Equitt. 960 aliisque docui in Schneidewini Philol. I, p. 477.

87. Suidas: Arsen. XXXVI, 3. DV III, 17.

88. Arsen. XXXVI. 4. Procusum videtur e Plut. Apophth. Lacon. 208 F: ἄλλοτε ἰδὼν [Agesilaus] μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ παι-

89 *Μῦς πίσσης γεύεται:* ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων.

90 *Μῦς εἰς τρώγλην οὐ χωρῶν, κολοκύνταν ἔφερεν:* ἐπὶ τῶν ἑαυτοῖς μὴ δυναμένων καὶ ἄλλοις θελόντων βοηθῆσαι καὶ περιποιήσασθαι.

91 *Μωρότερος Μωρύχου:* ἐπὶ τῶν εὐηθές τι διαπραττομένων· οὗτος γὰρ ὁ Μώρυχος τὰ ἔνδον ἀφεὶς, ἔξω τῆς οἰκίας ἐκάθητο. λέγεται δὲ παρὰ Σικελιώταις Μώρυχος καὶ Διόνυσος· διὰ τὸ μολύνεσθαι αὐτοῦ τοῦ πρόσωπον ἐν τρυγί.

92 *Μωρὸς σιωπᾶν οὐ δύναται.*

93 *Μωρότερος Κορύβου:* καὶ οὗτος ἀρχαῖος μωρός.

89a *Μῦς γαλῆν ἐλέγξει τὴν τέως νύμφην:* ἐπὶ τῶν μεγάλα ἐπαγγελλομένων καὶ τῷ χρόνῳ ἐξελεγχομένων. ὁμοία ἐστὶ τῇ· *Ὑπὸ τῇ λεοντῇ πάλιν ὄνος ὀγκήσεται·* καὶ τῇ· *Φωνήσας ὁ κόραξ πονήσεται.*

---

1. μῦς ἄρτι EAZ. νεωστὶ] ERAZ addunt: πασχόντων κακῶς καὶ. μετὰ κόπου Suidas in fine adiicit. 5. *Μορύχου* hic et in seqq. Suidas. 6. ὁ — ἐκάθητο] μωρότερος εἶ Μορύχου, ὃς τὰ ἔνδον .... κάθηται proverbium Polemone auctore Siculum fuit, quod Ahrensius Dial. Dor. 467 sine causa ad Sophronem rettulit. 7. καὶ] scribe ὁ. 8. τοῦ] τὸ AEN. τρυγί] τῇ τρύγῃ γλεύκει τε καὶ σύκοις Suidas. 10. *Κοροίβου* ἠλιθιώτερος Diog. V, 56: de homine v. Boissonadus ad Nicet. Eugen. IX, 23. ἀρχαῖος] scribe *ἀχρεῖος καί.*

θηρίου κρατοῦντος, ἐπεὶ ὁ μῦς ἐπιστραφεὶς ἔδακε τὴν χεῖρα τοῦ κρατοῦντος καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παροῦσιν εἶπεν, Ὅταν τὸ ἐλάχιστον ζῷον οὕτως ἀμύνηται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθαι;

89. Suidas: Arsen. XXXVI, 5. Apost. III, 81.

89a. Arsen. XXXVI, 6. Geminus in Cram. Anecd. Oxon. T. III, 223: ποῦ δὲ οἶδα εἰ ὑπὸ τῇ λεοντῇ καὶ πάλιν ὄνος ὀγκήσεται, καὶ ὁ μῦς γαλῆν ἐλέγξει τὴν τέως νύμφην· καὶ φωνήσας ὁ κόραξ πονήσεται; ἢ πότε τις καὶ παρά τινι πυγμικὸς ἢ παλαιστρικὸς ὠνομάσθη, μὴ πὺξ ἀθλήσας, μὴ πάλην. Μῦς — νύμφην] natum est ex apologo: cf. Diog. III, 82. Zenob. II, 93. ὑπὸ — ὀγκήσεται] Apost. XII, 84. φωνήσας κτλ.] e fabula ortum: v. Aesop. fab. 87 Fur., Aphthon. fab. 40. Cf. Apost. IX, 20.

90. Arsen. XXXVI, 7. Erasmus III, 3, 79 ex apologo natum esse censet.

91. Neglegenter excerpta sunt e Suida, quem v. in nott. critt. ad Macar. VI, 8: Arsen. XXXVI, 8. Zenob. V, 13: add. Vaterus Rer. Andocid. Spec. I, p. 26.

92. Arsen. XXXVI, 9. Decurtatum est e Solonis dicto, quod posuit Stob. Flor. 34, 15: Σόλων ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ· Ἀλλ' οὐδεὶς ἄν, εἶπε, μωρὸς ἐν συμποσίῳ σιωπᾶν δύναιτο. Simile responsum a Biante datum Plutarchus refert de Garrul. 4, p. 503 F. Cf. Greg. Cypr. P III, 69.

93. Arsen. XXXVI, 10. Cf. Apost. X, 3. Etym. in Crameri Anecdd. Pariss. IV, 41: *Κόροιβος:* ὁ εὐήθης. Usurpant Geminus in Cram. Anecdd. Oxon. III, 227, inc. auct. apud Suid. s. οὐδὲν πρὸς Διόνυσον, alii.

94 *Μωμήσεται μᾶλλον ἢ μιμήσεται:* ἐπὶ τῶν ἀπαιδεύτων, καὶ ὅτι τὸ ψέγειν τοῦ μιμεῖσθαι ῥᾷότερον.

Ἀρχὴ τοῦ ν̃ στοιχείου.

Τὸ ν̃ μετὰ τοῦ ᾶ.

95 *Ναῦς ἱκετεύει πέτραν:* ἐπὶ τῶν σφόδρα ἀναισθήτων καὶ ἀδυσωπήτων, ὡς τό· *Ἀνδριάντι πρεσβεύσωμεν.*

96 *Ναῦς δὲ παλαιὰ πόντῳ οὐχὶ πλωΐμη:* ἐπὶ τῶν μηδὲν συντελούντων.

97 *Νάνος ὢν ὕπεικε:* ἐπὶ τῶν μικρῶν· οὕτω Νεοκλεί-

93a *Μωρὰ μωρὸς λέγει.*

94a *Μῶσά γε, Καλλιόπα, θύγατερ Διός, ἄρχ' ἐρατῶν ἐπέων·* ἐπὶ δ' ἵμερον ὕμνῳ καὶ χαρίεντα τίθει χορόν: Ἀλκμᾶνος.

96a *Ναῦς ἡ μεγίστη* κρεῖσσον ἢ μικρὸν σκάφος:. Εὐριπίδου.

96b *Ναῦν τοι μί' ἄγκυρ'* οὐδαμῶς σώζειν φιλεῖ:. Εὐριπίδου ἡ γνώμη.

---

1. μωμήσεταί τις u, Ds. 2. καὶ ὅτι κτλ.] N Ds ignorant. 5. πέτρας Z Ds, Suidas. σφόδρα — καὶ] Ds om. σφόδρα] πάνυ Suidas. 6. καὶ κτλ.] Suidas om. τὸ] τῷ A. 8. δὲ] Ds om.: ἡ Pantinus: ναῦς παλαιὰ πόντον οὐχὶ πλώσει Suidas. πλωσίμη Ds. 10. νάνος —• ἐπὶ] νάνος: ἐπὶ Suidas. οὕτω] παρὰ Suidas et nominum propriorum dativum exhibet. 12. Μῶσ' ἄγε Hephaestio. 13. ὕμνον Ursinus. 14. Εὐριπίδου Ἐρεχθέως Ab, Stobaeus. 15. Εὐριπίδου κτλ.] τοῦ αὐτοῦ A.

93a. Arsen. XXXVI, 11. Est Eurip. Bacch. 369, quod Sophocli adscripsit Stob. Flor. 4, 24.

94. Diog. VI, 74: Arsen. XXXVI, 12. Greg. Cypr. M IV, 42.

94a. Arsen. XXXVI, 13: Hephaest. p. 40 Gsf. Alcman. fr. 29 Bergk.

95. Diog. VI, 79 et Suidas: Arsen. XXXVI, 91. Greg. Cypr. M IV, 49. Pleniore forma a Suida s. ἀνὴρ affertur: ἀνὴρ ἔοικε ναῦς ἱκετεύειν [ἱκετευέμεν Nauckius in Schneidewini Philol. II, p. 156] πέτραν: παροιμία ἐπὶ τῶν ἀναισθήτων, ἀπὸ μεταφορᾶς τῆς ἐποκελλούσης νεώς.

96. Diog. VI, 78: Arsen. XXXVI, 92. Macar. VI, 9.

96a. Arsen. XXXVI, 93. XXXVII, 85: Stob. Flor. 59, 13. Eurip. Erechth. fr. VII Matth.

96b. Arsen. XXXVI, 94: Stob. Flor. 43, 3. Eur. Phaeth. fr. XVI, Matth. Sine causa ad Euripidis Phaethontem versus relatus est.

97. Arsen. XXXVI, 95. ἐπὶ κτλ.] Suidas: Phot. Hesych. Zonar. 1384. Νεοκλείδης] nisi mendum subest, de oratore cogitandum erit: v. Scholl. ad Aristoph. Plut. 665. Ἀριστοτέλης] π. ζῴων μορίων IV, 10: Problem. X, 12, ubi qui fiat ut nani oriantur, exponere studet. Θεόφραστος] Lucian. de Dea Syr. 16: ἔστι δὲ καὶ τόδε ἐν τῷ ἱρῷ, ἐν δεξιῇ τοῦ νηοῦ κάθηται σμικρὸς ἀνὴρ χάλκεος ἔχων αἰδοῖον μέγα:

δης καὶ Ἀριστοτέλης· ὁ δὲ Θεόφραστος ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγα. οἱ γοῦν νάνοι μέγα αἰδοῖον ἔχουσιν.

Τὸ ν̄ μετὰ τοῦ ε̄.

98 *Νέα χελιδών: ἐπὶ τῶν ἐξαπατώντων τινάς.*

99 *Νεοκλείδου κλεπτίστερος: οὗτος τυφλὸς ὢν τοὺς βλέποντας ὑπερηκόντιζε.*

97a *Ναὶ μὴν Ἐμπεδοκλέα θανεῖν λόγος ὥς ποθ' ἁμάξης*
ἔκπεσε καὶ μηρὸν κλάσσατο δεξιτερόν·
εἰ δὲ πυρὸς κρατῆρας ἐσήλατο καὶ πίε τὸ ζῆν,
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος; Διογένους Λαερτίου ἐπίγραμμα εἰς Ἐμπεδοκλέα.

98a *Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί.*
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν:. Εὐριπίδου.

98b *Νεότης μ' ἐπῇρε καὶ σθένος τοῦ νοῦ πλέον:. τοῦ αὐτοῦ.*

98c *Νεανίας τε καὶ πένης σοφός θ' ἅμα,*
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως:. Εὐριπίδου.

98d *Νεῶν γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες:. Ἀγάθωνος.*

98e *Νέος φιλοδοξῶν πρῴϊμος πονηρία: ἡ Μητροδώρου γνώμη.*

98f *Νέοις δὲ ζηλωτέον τοὺς γέροντας κατὰ Σιμωνίδην, ἄθηλος ἵππῳ πῶλος ὣν ἅμα τρέχειν. καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι.*

---

7. *Ἐμπεδοκλῆα* Diogenes. *ποτ' ἁμάξης* idem. 13. *οὐδεὶς κτλ.*] Ab om. 14. *Εὐρ. Ἀρχελάῳ* Stobaeus. 15. *Εὐρ. Ἀνδρομέδας* idem. 17. *Εὐρ. Ἀρχελάῳ* idem. 20. *Πλουτάρχου* Stobaeus praemittit. 21. *ὢν*] *ὡς* Stobaeus.

Aristot. Hist. Anim. VI, 24: *καὶ ἴσχει δέ, ὥσπερ οἱ νάνοι, ὁ γίννος τὸ αἰδοῖον μέγα*: de nannorum membris permagnis quaesivit O. Iahnius Symbol. Archaeol. 430 sqq.

97a. Arsen. XXXVI, 96: Diog. Laert. VIII, 75.

98. Append. Provv. IV, 4: Arsen. XXXVI, 97.

98a. Arsen. XXXVI, 98. L, 53: Stob. Flor. 51, 4. Eurip. Archel. fr. VIII Matth.

98b. Arsen. XXXVI, 99: Stob. Flor. 52, 2. Eurip. Andromed. fr. XIX Matth.

98c. Arsen. XXXVI, 100: Stob. Flor. 52, 4. Eurip. Archel. fr. XX Matth.

98d. Arsen. XXXVII, 1: Stob. Flor. 52, 6.

98e. Arsen. XXXVII, 2: Stob. Flor. 52, 7.

98f. Arsen. XXXVII, 3: Stob. Flor. 115, 18. Plutarch. fr. inc. 2 Wyttenb. *Σιμωνίδην*] Simonid. Amorg. fr. 6 Welck. *Πλάτων*] eadem verba Platoni Plutarchus adscribit in libello, cuius index est an seni sit gerenda resp., 13, 791 B: sumpta sunt e Plat. Legg. VI, 773 C. Ceterum hic Plutarchi locus corrupte in Mant. Provv. s. *μαινόμενον* exstat.

99. Arsen. XXXVII, 9. Suidas: *Νεοκλείδου κλεπτ.: οὗτος κεκωμῳδηται ὡς ῥήτωρ ἦν καὶ τυφλὸς καὶ*

100 *Νεκρῷ μῦθον εἰς οὖς ἔλεγεν:* ἐπὶ τοῦ μὴ ἐπαΐοντος. καὶ ἐπὶ τῶν ἀναισθήτων.

1 *Νέους φίλους ποιῶν, λῷστε, τῶν παλαιῶν μὴ ἐπιλανθάνου.*

2 *Νεκρὸν Ἀφροδίτη Διονύσου δίχα καὶ Δήμητρος.*

3 *Νεκρὸν μυρίζεις:* ἐπὶ τῶν ἀδυνάτων.

4 *Νεκρὸς κεῖται βδέων:* ἐπὶ τῶν ἀπόρων, εὐπορεῖν δὲ προςποιουμένων.

5 *Νεφέλας ξαίνεις:* ἐπὶ τῶν ἀδυνάτων.

6 *Νέμεσις δέ γε παρὰ πόδας βαίνει:* παρόσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας.

7 *Νεοττοῦ οὐδέν μοι δίδως:* ἐπὶ τῶν ἀμεταδότων· νεοττὸς γὰρ λέγεται ἡ τοῦ ᾠοῦ λέκιθος καὶ τὸ πυῤῥόν· οὕτω Μένανδρος καὶ Κλέαρχος. ὃ διαδίδοται ἀρχῇ ὑπὸ τὸν

4a *Νεκρὸς οὐ δάκνει:* διότι οἱ τοὺς ἐχθροὺς φθείραντες οὐ λυποῦνται.

4b *Νεκροὺς ὁρῶν νέκρωσιν ἕξεις πραγμάτων.*

6a *Νέστορα δ' ἐκ χειρῶν φύγεν ἡνία σιγαλόεντα.*

---

2. *καὶ*] *ἢ* K. 7. *ἐπὶ τῶν ἀνηνύτων* Pantinus coniectat. 11. *πὰρ πόδα* Suidas. 13. *Νεοττοῦ — λέγεται*] *Νεοττός.* Suidas. 14. *νεοττὸς*] *νεόττιον* attice dici Hesych. s. v. contendit: v. Schneiderus ad Aristot. H. An. T. III, p. 417. 15. *οὕτω — ὃ*] *Μένανδρος Ἀνδρίᾳ* [fr. II Mein.]. *καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φιλτάτη, Τὸν νεοττόν. Κλέαρχος ἐν τῷ περὶ οἴνων* [*θινῶν* Menagius, *ᾠῶν* Toupius: verum videtur *παροιμιῶν.*] *συγγράμματι φησίν ὃ* Suidas. *ὃ*] *ᾧ* Z. *ἀρχὴ* Suidas, *ἡ ἀρχή* Photius.

συκοφάντης καὶ κλέπτης. Ἀριστοφάνης [Plut. 665]· *Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός, Κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισε:* ad quem locum v. Scholl. et intt.

100. K in nott. ad Diog. VI, 82: Arsen. XXXVII, 4. DV III, 34.

1. Arsen. XXXVII, 11.

2. Arsen. XXXVII, 10. Cf. Apost. IV, 58.

3. Arsen. XXXVII, 5. Adhibuit Socrates: v. Apost. IV, 68a.

4. Arsen. XXXVII, 6. »Apud unum Apostolium reperio, et haud scio, an ipsi vulgoque relinquendum«: Erasmus III, 3, 31.

4a. Arsen. XXXVII, 7. Plut. V. Pompeii 77 fin.: *προςεπεῖπε* [Theodotus Chius] *δὲ διαμειδιάσας, ὥς φασιν, ὅτι νεκρὸς οὐ δάκνει.*

4b. Arsen. XXXVII, 8: Suidas. Est versus Astrampsychi, cuius sensum recte sic exponit H. Stephanus in Thes. L. Gr. v. *νέκρωσις*: mortuos videns emorietur et languescet ardor peragendi quod institueras.

5. K in nott. ad Diog. VI, 83: Arsen. XXXVII, 14. DV III, 35.

6. Greg. Cypr. L II, 81: Arsen. XXXVII, 12. Apost. VIII, 60b.

6a. Arsen. XXXVII, 13: Hom. Il. Θ, 137.

7. Suidas: Arsen. XXXVII, 15: Photius. *Κλέαρχος*] fr. 74 Muell.

ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ· διεψεύσθησαν γὰρ οἱ πρώτως τοῦτο φήσαντες· καί ἐστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος. ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ Χρύσιππος ἐν τῷ περὶ χρησμῶν. ὄναρ γάρ τινά φασι θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠά, προςαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν, ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον. εὑρόντα δὲ σταμνίον, ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει. τὸν δὲ μάντιν εἰπεῖν, Τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως; καὶ Δίφιλος κέχρηται·

ᾠὸν δ' ἐν αὐτῇ διέτρεφε νεόττια.

Τὸ ν̃ μετὰ τοῦ η̃.

8 *Νήϊα καὶ κωπέας ἀνθ' ὅπλων ἠλλάξαντο: ἐπὶ τῶν μὴ τηρούντων τὰς ἑαυτῶν τέχνας δόξης ἐπιθυμίᾳ. νήϊα δὲ λέγονται τὰ τῆς νηὸς σχοινία, κωπέαι δὲ τὰ πρὸς κώπας ἐπιτήδεια ξύλα.*

8a *Νήπιος, ὃς πατέρα κτείνας παῖδας ἐγκαταλίποι.*

8b *Νὴ τὴν Ἀθηνᾶν, μακάριον ἡ χρηστότης*
πρὸς πάντα, καὶ θαυμαστὸν ἐφόδιον τῷ βίῳ:. Μενάνδρου.

---

2. *πρῶτοι* Suidas. 4. *καὶ Χρύσιππος* idem. 5. *φησι* idem, *φασὶν* Photius. 11. *κέχρηται τῇ λέξει* Suidas. 12. *ᾠῶν* idem. *διέτρεχεν* idem. 16. *κωπέαι*] corrige *κωπεῖς*. 18. *κτείνων* Clemens. *παῖδας*] *υἱοὺς* Polyb. XXIV, 8, 10. Suidas. *καταλείποι* pars codd. Aristot.: *καταλείπει* Aristoteles, Clemens, Suid. s. *νήπιος*, s. *Φίλιππος*, Polybius. 19. *μακάριόν γ'* Clericus. 20. *τῷ* Stobaeus om. *Μενάνδρου Ὕμνις* Ab, Stobaeus.

Χρύσιππος] eandem ex Chrysippo historiam narrat Cic. de Divin. II, 65: cf. Baguetus de Chrys. Comm. p. 229. *Δίφιλος*] fr. inc. fab. 40 Mein.

8. Arsen. XXXVII, 16. Respexit Aristid. *ὑπ. τ. τεττ.* 205 Iebb.: *ἀρχὴν δ' ἔγωγε οὐκ ἐπινοῶ ποῦ διακέκριται κατὰ γῆν μὲν νικῆσαι καλὸν εἶναι, ἐν θαλάττῃ δ' αἰσχρόν· ἢ τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινος ἀξίαν εἶναι, τὰ δὲ νήϊα καὶ τοὺς κωπέας τοῦ μηδενός*: ubi Scholl. 247 Fromm.: *νήϊα δὲ τὰ σχοινία, κωπέας δὲ τὰ ξύλα πρὸς κώπας ἐπιτήδεια*, eademque fere de his vocabulis Suid. s. *νήϊα*, Eustath. ad Hom. Il. *Γ*, 60. Bekk. Anecd. I, 274 afferunt.

8a. Arsen. XXXVII, 17: Arist. Rhet. I, 15. II, 21. Clem. Alex. Stromm. VI, 2, 19, p. 265 Sylb.: *πάλιν Στασίνου ποιήσαντος· Νήπιος ... καταλείπει, Ξενοφῶν λέγει· ὁμοίως γάρ μοι νῦν φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα ἀποκτείνας τῶν παίδων αὐτοῦ φείσαιτο*: ubi memoriae vitio ad Xenophontem referuntur, quae sunt Herodoti I, 115. Docte de proverbio, nam hunc versum proverbii locum olim tenuisse Aristoteles tradidit, Henrichsenius egit in disp. de Cypr. carm. p. 72.

8b. Arsen. XXXVII, 18. LIV, 65: Stob. Flor. 37, 18. Men. Hymn. fr. 1 Mein.

9 *Νηφάλια ξύλα: τὰ μὴ ἀμπέλινα μηδὲ σύκινα μηδὲ μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται.*

10 *Νὴ τὼ Σιὼ, τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι, οὔτ' ἔστιν οὔτε μή ποτε γένοιτο: Λάκων εἶπε, μεγαλυνομένου τινὸς ῥήτορος ἐπὶ ῥητορικῇ.*

Τὸ ν̄ μετὰ τοῦ ῑ.

11 *Νιόβης πάθη: ἐπὶ τῶν μέγιστα παθόντων κακά:. Αὕτη γὰρ ζῶσα λίθος ἐγένετο ἐπὶ τῷ τύμβῳ τῶν παίδων· ὅστις δὲ πείθεται ἐκ λίθου γενέσθαι ἄνθρωπον ἢ ἐξ ἀνθρώπων λίθον, εὐήθης ἐστί. τὸ δ' ἀληθὲς ἔχει ὧδε·*

9a *Νῆφε καὶ μέμνησο ἀπιστεῖν:. Ἐπιχάρμου.*

9b *Νήπιος εἰς ξεῖν' ἢ τηλόθεν εἰλήλουθας,*
ὅς με θεοὺς κέλεαι ἢ δειδίμεν ἢ ἀλέασθαι.

9c *Νήπιοι οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός: Πλάτων ἐν τοῖς Νόμοις ὥσπερ ἐξηγούμενος τοῦτο φησίν· ἆρα οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἔστι πλέον; ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δὲ ἥμισυ μέτριον, τοῦ ἀμέτρου πλέον ἡγήσατο, ἄμεινον ὂν τοῦ χείρονος.*

9d *Νήπιος οὐκ ἐνόησεν, ὅσῳ πλέον ἥμισυ παντός.*

9e *Νίκη δ' ἐπαμείβεται ἄνδρας.*

---

2. *λέγονται* Ds. 3. *ἀλλὰ νὴ* Plutarchus. 5. *ῥητορικῇ τέχνῃ* idem. 8. *αὕτη γὰρ*] *φασὶν ὡς Νιόβη* Ps. *παίδων*] addunt AZW: *οὓς Ἀπόλλων καὶ Ἄρτεμις ἐφονεύσαντο διὰ τὸ ἐπαρθῆναι ἐπὶ τῷ πλήθει καὶ κάλλει τῶν παίδων αὐτῆς καὶ εἰπεῖν Εὐτεκνοτέραν εἶναι τῆς Λήδους*: *Λητοῦς* recte Burmeister de Nioba diss. 10. Sumpta sunt e Scholl. Ven. ad Hom. Il. *Ω*, 602. 10. *ἐξ ἀνθρώπου* Ps. 12. *ὦ ξεῖν'* Homerus. 15. *ἆρ'* Plato. 19. *τοῦ χείρονος*] *τοῦ* Plato om.

9. Diog. VI, 76: Arsen. XXXVII, 20.

9a. Arsen. XXXVII, 21: Lucian. Hermot. 47. Epich. fr. 119 Ahrens. Integrum versum: *νᾶφε καὶ μέμνασ' ἀπιστεῖν· ἄρθρα ταῦτα τᾶν φρενῶν* afferunt permulti: v. Polyb. XVIII, 23. XXXI, 21, Cic. Epist. ad Attic. I, 19, 8, Dio Chrys. Or. 74 in., Clem. Alex. Stromm. IV, 3, 8, p. 204 Sylb.: add. Stob. Flor. 3, 97. Suid. s. *νῆφε*, s. *πρόχειρος* et Q. Cicer. de petit. consul. 10, 39: *quamobrem Ἐπιχαρμεῖον illud teneto: »nervos atque artus esse sapientiae non temere credere.«*

9b. Arsen. XXXVII, 22: Hom. Od. *Ι*, 273.

9c. Arsen. XXXVII, 23: Hesiod. *Ἔργ.* 40. Append. Provv. IV, 7: Greg. Cypr. L II, 89. *Ἆρα κτλ.*] Plat. Legg. III, 690 E.

9d. Arsen. XXXVII, 24: Aelian. apud Suid. s. *ἡμίσεια*. Cf. DV I, 83.

9e. Arsen. XXXVII, 25: Hom. Il. *Ζ*, 339.

10. Plut. Apophth. Lac. 233 B: Arsen. XXXVII, 19. Cf. Apost. XVI, 29. Narratiunculam ex Plat. Phaedr. 260 E confictam esse Stallbaumius ad Plat. l. c. contendit.

11. Arsen. XXXVII, 26. *Νιόβης — κακά*] Poet. inc. in Cram. Anecdd. Pariss. IV, p. 271: *ἄλλης Νιόβης δυστυχοῦς ἔλκει βίον*: Theoph.

Νιόβη ἀποθανόντων τῶν ἑαυτῆς παίδων ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνην, ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων. καὶ ἡμεῖς ἐθεασάμεθα αὐτήν, οἷα καὶ λέγεται.

Τὸ ν̄ μετὰ τοῦ ō.

12 *Νοῦς οὐ παρὰ Κενταύροις: ἐπὶ τῶν ἐπιλησμόνων καὶ πλεονεκτῶν· παρόσον ὑπὸ πλεονεξίας ἀπώλοντο.*

13 *Νοῦς ὁρᾷ, καὶ νοῦς ἀκούει: ὁ γὰρ νοῦς κρείσσων πασῶν δυνάμεων τῶν τε ψυχῆς τῶν τε σώματος.*

14 *Νοῦν τὸν ξένον: ἐπὶ τῶν ὑφορωμένων τινάς.*

14a *Νόμος καὶ χώρα: δήλη.*

14b *Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν:. Μενάνδρου.*

---

1. *Νιόβης ἀ. τ. παίδων ποιήσας τις* Ws. 2. *παίδων*] addit e codd. Westermannus: *ἔλεγον οὖν οἱ παριόντες, »Νιόβη λιθίνη ἕστηκεν ἐπὶ τῷ τύμβῳ.« καὶ κτλ.* 7. Epicharmi versum Ahrensius Dial. Dor. 456 sic restituit: *νόος ὀρῇ καὶ νόος ἀκούει· τἆλλα κωφὰ καὶ τυφλά:* locos veterum, ubi versus affertur, P. Krusemanus ad Epich. fr. p. 82 collegit. 9. *νοῦν*] *νοῶ* A. 11. *Μενάνδρου*] *Σοφοκλέους* Stob. Flor. 43, 25: recte: quum inter Menandri Monosticha legeretur, Apostolius pro Menandri versu habuit. Fallitur Meinekius Com. Gr. IV, p. 368 sq. *ἐπιχωρίοις* Bentleius.

Simoc. Epist. 25: *μὴ γίνοιο τοίνυν τῇ Νιόβῃ ἰσάμιλλος*: Achill. Tat. III, 15 fin. *Αὕτη κτλ.*] Palaeph. Incred. 9.

12. Diog. VI, 84: Arsen. XXXVII, 27. Macar. VI, 12. Apost. XVI, 2.

13. Arsen. XXXVII, 30. Hanc versus Epicharmei partem saepe veteres in orationis ornamentum advocaverunt: Aristot. Probl. IX, 33. Iulian. Oratt. VIII, 247 A. Philostr. Epist. 3 fin. Plin. N. H. XI, 54, 156, unde factum, ut etiam Scholiastae eo uterentur: Scholl. Ven. ad Hom. Il. X, 25: *ἄλλως τε προτρέχει τῶν αἰσθήσεων ὁ νοῦς· καὶ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει*: Scholl. ad Aesch. Prom. V. 438. ad Aristoph. Plut. 48. ad Lycoph. Cass. 17. Sententiam Plato respexit Phaed. 65 B: *ἆρα ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις, ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλλοῦσιν, ὅτι οὔτ' ἀκούομεν ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν;* ubi Olympiodorus: *ποιητὰς λέγει Παρμενίδην, Ἐμπεδοκλέα, Ἐπίχαρμον· οὗτοι γὰρ οὐδὲν ἀκριβὲς λέγουσιν εἰδέναι τὴν αἴσθησιν· καθάπερ Ἐπίχαρμός φησι· Νοῦς κτλ.*, quem locum Wyttenbachius ad Plat. l. c. p. 151 Lugd. docte illustrat: add. Welckerus Opusc. I, 353. L. Schmidtius Quaest. Epicharm. Spec. I, 33. Uberiore disputatione Max. Tyr. Diss. XVII, 10, p. 331 R. vim dicti declaravit: brevi disputatione idem praestare tentavit Tzetz. Chil. V, 52. VII, 874. XII, 438, quocum non sine fructu conferentur Plut. de Fort. 3, p. 98 B et Cic. Quaest. Tusc. I, 20, 46, ubi v. Davisius. Latine fecit Publ. Syr. 121: *caeci sunt oculi, cum animus alias res agit.*

14. Diog. VI, 85: Arsen. XXXVII, 29. DV III, 36.

14[a]. Arsen. XXXVII, 28: Diog. VI, 77. Macar. VI, 11: cf. Apost. XVIII, 46.

14[b]. Arsen. XXXVII, 31: Menand. Mon. 372. Soph. fr. 674 Dind.

Τὸ ν̄ μετὰ τοῦ ῡ.

15 *Νυμφίου βίον ὑμεῖς ζῆτε*: ἐπὶ τῶν εὐτυχῶς ζώντων· οἱ γὰρ γαμοῦντες ἐστεφανοῦντο σισύμβροις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας.

16 *Νῦν εἰς χώραν ἦλθες*: ἐπὶ τῶν ὅπου ἀπηρνοῦντο μὴ ἐλθεῖν ἐλθόντων.

14c *Νόμος γονεῦσιν* ἰσοθέους τιμὰς νέμειν:. Σοφοκλέους.

14d *Νόμος βούλεται μὲν* εὐεργετεῖν βίον ἀνθρώπων, οὐ δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν. ἐν τοῖς γὰρ πειθομένοις ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν:. Ἰσοκράτους.

14e *Νόμιζε μηδὲν τῶν* ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος:. τοῦ αὐτοῦ.

14f *Νόσος φιλίας* ἡ κολακεία.

14g *Νοσοῦντος δίαιτα καὶ* ἄφρονος εὐτυχία, δυσάρεστον:. Πλουτάρχου.

14h *Νόσον πολὺ κρεῖττον* ἐστίν, ἢ λύπην φέρειν:. Φιλήμονος.

14i *Νόσος δειλοῖσιν* ἑορτή· οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν:. Ἀντιφάνους.

14k *Νουθετήσεις δὲ καὶ* παραινέσεων τὸ διττὸν εἶδος, πῇ μὲν σφοδρῶς καθαπτόμενον, πῇ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος:. Σωπάτρου.

15a *Νὺξ ὑγρά*: ἐπὶ τῶν συμβαινόντων χαλεπῶν.

16a *Νύκτα δασεῖαν*: τὴν χειμερινὴν φασίν.

---

2. *Νυμφίου — ζώντων*] *Νυμφίου βίον. παροιμία. Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίου βίον* Suidas. 4. *πρὸς*] *ἢ ὅτι ἡδυπαθοῦσι πρὸς* Schol. ad Arist. l. c. 7. *Σοφοκλέους*] *Μενάνδρου* Stobaeus, *Φιλήμονος* Z: W nomen auctoris om. 10. *Ἰσοκράτους*] *Ἐπικτήτου* Maximus. 11. *μηδὲν εἶναι* Isocrates. 12. *ἔσει* idem. 14. *τὸ δυσάρεστον* Maximus. 16. *Φιλήμονος* Stobaeus om. 17. *ἡ νόσος* Ab. *ἐπὶ*] *εἰς* W, Ab. 18. *Ἀντιφῶντος* Stobaeus.

14c. Arsen. XXXVII, 32: Stob. Flor. 79, 26. Menand. Monost. 378.

14d. Arsen. XXXVII, 33: Max. Conf. Serm. 58, p. 667 Comb. Epict. fr. 122.

14e. Arsen. XXXVII, 34: Isocr. ad Demon. 11 Steph. Recepit Georgid. in Boiss. Anecdd. I, 62.

14f. Arsen. XXXVII, 35: Max. Conf. Serm. 11, p. 565 Comb., ubi Clementi adscribitur.

14g. Arsen. XXXVII, 36: Max. Conf. Serm. 18, p. 589 Comb. Plut. fr. 68 Wytt.

14h. Arsen. XXXVII, 37: Stob. Flor. 99, 6. Philem. fr. fab. inc. 110 Mein.

14i. Arsen. XXXVII, 38. XIX, 34: Stob. Flor. 8, 18. Antiph. fr. 125 Saupp.

14k. Arsen. XXXVII, 39: Stob. Flor. 46, 56.

15. Suidas: Arsen. XXXVII, 40. Ex Arist. Av. 161, ubi v. Scholia.

15a. Arsen. XXXVII, 41: Diog. VI, 89. Macar. VI, 13. Apost. XVII, 48.

16. Diog. VI, 86: Arsen. XXXVII, 42. DV III, 39.

16a. Arsen. XXXVII, 43: Diog. VI, 89. Apost. V, 81.

17. *Νῦν ὀσπρίων ἄμητος:* ἐπὶ τῶν καθ' ὥραν πραττόντων πάντα.

18 *Νῦν θεοὶ μάκαρες:* ἐπὶ τῶν ἀξίως τιμωρουμένων, ἐφ' οἷς ἔπραξαν.

19 *Νῦν γένοιτο τὸ σωθῆναι:* ἀετὸς χελώνην ἁρπάσας ἠβούλετο ἀφ' ὕψους καταβαλεῖν· ἡ δὲ, *νῦν γένοιτο*, φησί, *τὸ σωθῆναι*· τοῦ δὲ λοιποῦ αὐτῇ μελήσει.

20 *Νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλεον, αὐτίκα δ' ἄλλοι,*
Ὧν ἄμμες γενεὴν οὐκέτ' ἐποψόμεθα:
ἐξ ἀποφθέγματος γενναίου Λακωνικοῦ.

18a *Νῦν μὲν δαινύμενοι τερπώμεθα μηδὲ βοητὺς ἔστω.*

18b *Νῦν εὖ πεπλόηκα ὅτε νεναυάγηκα.*

18c *Νῦν σωθείην, ἵν' ᾖ μοι δίδαγμα τοῦ λοιποῦ χρόνου.*

19a *Νόμιζε δεῖ τὴν εὐδαιμονίαν* οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι, μᾶλλον δὲ ἐν τῷ τῇ ψυχῇ εὖ διακεῖσθαι. καὶ γὰρ τὸ σῶμα αὐτὸ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις ἂν εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον, καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχὴ ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστίν· οὐκ ἂν τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος, αὐτὸς μηδενὸς ἄξιος. Οὔτε γὰρ ἵππον ἐὰν ψέλλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ φαῦλος ὢν τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι· ἀλλ' ὃς ἂν διακείμενος σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. Ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη καταγέλαστος ἂν γένοιτο· τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν:. Ἀριστοτέλους.

---

8. ἐθάλλεον Plutarchus. 10. γενεὰν idem. 11. ἐξ κτλ.] γενναῖον δὲ καὶ τὸ Λακωνικὸν recte Plutarchus. 13. εὐπλόηκα Suidas, qui addit: ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων. 14. τούτου τοῦ Suidas, qui addit: παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆς μανθανούσης χελώνης ἵπτασθαι παρὰ τοῦ ἀετοῦ καὶ πεσούσης. 15. νόμιζε δεῖ] νόμιζε A, νόμιζε Stobaeus. 16. μᾶλλον δὲ] ἀλλ' idem. τὸ — τὸ] οὐδὲ τὸ σῶμα αὐτὸ τὸ Stobaeus. 17. ἂν Stobaeus om. 22. ἄξιος ὢν Stobaeus. 23. ἐὰν] κἂν idem. 24. διακείμενος ᾖ idem.

17. Diog. VI, 87: Arsen. XXXVII, 44. DV III, 38.

18. Diog. VI, 88: Arsen. XXXVII, 45.

18a. Arsen. XXXVII, 46: Hom. Od. Α, 369.

18b. Arsen. XXXVII, 47: Suidas. Zenonis Citiei apophthegma, de quo v. Menagius ad Diog. Laert. VII, 4.

18c. Arsen. XXXVII, 48: Suidas. Cf. infr. 19.

19. Diog. VI, 90: Arsen. XXXVII, 49.

19a. Arsen. XXXVII, 50: Stob. Flor. 3, 54. Cf. Apost. XIII, 51v.

20. Plut. Consol. ad Apoll. 15, p. 110 B.

Τὸ ν̃ μετὰ τοῦ ω̃.

21 Νῷ πείθου: ὁμοία τῇ· Τῷ θεῷ ἕπου.

Ἀρχὴ τοῦ ξ̃ στοιχείου.

Τὸ ξ̃ μετὰ τοῦ ε̃.

22 Ξένος ἔλθοι ὅστις ὀνήσει: Θετταλῶν καταστρέψας πόλεις ὁ Φίλιππος καὶ τοὺς ξένους πωλήσας, εἴρηκε τοῦτο.

20a Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνης
μαστὸν ἐθήλαξεν, δρυμῷ τέ νιν ἔτραφε μάτηρ
ὅς με κατασμύχων καὶ ὀστέον ἄχρις ἰάπτει:. Θεοκρίτου.

21a Ξανθίππης Σωκράτει τῷ ἀνδρὶ ἐπιτιμώσης διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, ὦ γύναι, εἶπεν, εἰ μὲν ἡμέτεροι εἰσίν, οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

21b Ξένοις μεταδίδου καὶ τοῖς δεομένοις ἐκ τῶν ἐνόντων· ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδὲ αὐτὸς λήψεται δεόμενος:. Δημοκρίτου.

21c Ξένῃ ἐν γῇ τὸ μὲν ὤνιον, σπάνιον τοῖς ἀγνοοῦσι· τὸ δὲ αἰτούμενον, εὐμετάδοτον τοῖς ἐλεοῦσι:. Χαρικλείας.

21d Ξένον σιγᾶν κρεῖττον ἢ κεκραγέναι.

21e Ξένον σεαυτὸν ἴσθι καὶ τίμα ξένους.

21f Ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει:. Πυθαγόρου.

22a Ξίφος τιτρώσκει σάρκας, τὸν δὲ νοῦν λόγος.

---

2. τῇ Suidas om. 7. λεαίνας Theocritus. 8. μασδὸν idem. ἐθήλαξε Ab, Theocritus. μιν Theocritus. 9. κατασμήχων Ab. καὶ ἐς cum Theocrito Stobaeus. 11. ὦ γύναι Maximus om. 14. ὄντων Maximus, ἐόντων Mullachius. 19. ξένῳ δὲ Menander. 23. σάρκας] σῶμα Menander.

20a. Arsen. XXXVII, 51. X, 29: Stob. Flor. 64, 23. Theocr. III, 15.
21. Suidas: Arsen. XXXVII, 52. Greg. Cypr. I. II, 80.
21a. Arsen. XXXVIII, 16: Max. Conf. Serm. 13, p. 575 Comb.
21b. Arsen. XXXVIII, 17: Max. Conf. Serm. 7, p. 555 Comb. Democr. fr. 243 Mullach.
21c. Arsen. XXXVIII, 18: Max. Conf. Serm. 7, p. 555 Comb. Heliod. Aethiop. VI, 10 fin.
21d. Arsen. XXXVIII, 19: Menand. Monost. 401.
21e. Arsen. XXXVIII, 20: Greg. Nazianz. Monost. 14, T. II, p. 186 Bill. Exstat idem in Ioann. Damasc. Sac. Parall. I, 707 B. Imitatus est Gregorius Menand. Monost. 400: ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.
21f. Arsen. XXXVIII, 21: Stob. Flor. 9, 37.
22. Diog. IV, 73: Arsen. XXXVIII, 22. Cf. Apost. VII, 5a.
22a. Arsen. XXXVIII, 23: Men. Monost. 393.

Τὸ ξ μετὰ τοῦ υ.

23 Ξυρεῖ ἐν χρῷ: ἐπὶ τῶν ποιούντων τι εἴς τινα λίαν ἐπίπονον.

24 Ξυρὸς εἰς ἀκόνην: ἐπὶ τῶν προσηκόντων τισίν. ἢ ἐπὶ τῶν ὧν βούλονται τυγχανόντων. Ὁμοία τῇ· Ὄνος εἰς ἄχυρα.

25 Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθὰ ἀπεργάσασθαι.

26 Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται: ἀντὶ τοῦ, θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.

27 Ξύμβολος ἀγαθὸς ἢ καὶ φαῦλος: ἐπὶ τῶν οἰωνιζομένων διὰ ξυμβόλων. ξυμβόλους δὲ ἐκάλουν τοὺς διὰ τῶν πταρμῶν οἰωνισμούς. ἀνετίθεντο δ' οὗτοι Δήμητρι. καὶ ξύμβολον ὄρτωσιν φασίν, ἐπειδὴ ξυμβόλους ἦγουν σημεῖα ἐποίουν τοὺς πρῶτα συναντῶντας.

26a Ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων:. Ἡρακλείτου.

---

8. ἀγαθοὺς Ds. 9. κωδύρεται Gregorius. 12. δὲ ἐκάλουν] οὕτω ἔλεγον Suidas. 13. καὶ] Suidas om. 14. ὄρτωσιν] ὄρνιν Suidas. ἦγουν σημεῖα] Suidas ignorat. 15. καὶ ἐξ ἀπαντήσεως προσημαίνοντας in fine Suidas addit.

23. Arsen. XXXVIII, 29. Est pars versus Soph. Aiac. 786: ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο, μὴ χαίρειν τινά, ubi Scholl.: ἅπτεται τῶν ἀναγκαίων τοῦ χρωτός· καὶ ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, Ξυρεῖ ἐν χρῷ· ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεται ὁ σίδηρος: cf. Lobeckius ad h. l. et Eustathius in ann. ad Diog. IV, 41 exscriptus. Respexit Plaut. Bacch. II, 3, 8: *itaque tondebo auro usque ad vivam cutem:* Captiv. II, 2, 18: *sed utrum strictim ne attonsurum dicam esse an per pectinem,* ubi cf. Turnebus: add. Phot. Epist. 170: καί μοι δοκεῖ τοῦτον οὐκ ἀκόμψως ὁ αἰνιγματιστὴς ἀπεικάζων λόγος, ἔμπροσθεν μὲν ἀκερσεκόμην, ὄπισθεν δὲ κουρίαν ἐν χρῷ διαγράψασθαι.

24. K in nott. ad Diog. VI, 91: Arsen. XXXVIII, 29. Greg. Cypr. M IV, 51. Ὄνος κτλ.] Apost. XII, 78.

25. Diog. VI, 92: Arsen. XXXVIII, 24. Greg. Cypr. M IV, 50.

26. Greg. Cypr. M IV, 52: Arsen. XXXVIII, 30.

26a. Arsen. XXXVIII, 31: Stob. Flor. III, 84. Heracl. fr. 18 Schleierm.

27. Arsen. XXXVIII, 25. ξυμβόλους κτλ.] Suid. s. ξυμβόλους et s. ξύμβολον. Sternutamentum ab antiquissimo inde tempore pro omine habebatur: Hom. Od. *P*, 541, ubi haec scribit Eustathius 1831, 28: ὄρνις γάρ ποτε ἦν τοῖς παλαιοῖς καὶ ὁ πταρμός, ἐπεὶ καὶ ἡ κεφαλὴ τιμία, ἐξ ἧς τὸ τοιοῦτον σύμβολον· διὸ καὶ προσεκυνεῖτο ὁ πταίρων· καὶ τὴν αἰτίαν λέγουσιν οἱ σοφοί, ἐν οἷς καὶ Ἀριστοτέλης: inde explicandi sunt Aristoph. Av. 725. Ran. 662. Herod. VI, 107, 4. Xenoph. Anab. III, 2, 9. Cic. de Divin. II, 40, 84: alia praebent intt. ad Theocr. 18, 16. Δήμητρι] ὥς φησι Φιλόχορος

28 Ξυνὸς Ἐνυάλιος καὶ τὸν κτανέοντα κατέκτα: ἐπὶ τῶν ἐπ' ἴσης κινδυνευόντων.

29 Ξυγγνώμη πρωτοπείρῳ: ἐπὶ τῶν ἐν πρώτοις τι διαμαρτανόντων.

Ἀρχὴ τοῦ ō στοιχείου.

Τὸ ō μετὰ τοῦ δ̃.

30 Ὁ Διὸς Κόρινθος: ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δὲ οὐ καλῶς ἀπαλλαξάντων.

31 Ὁδὸν ὀρθὴν βαδίζει: ἐπὶ τῶν ὀρθῶς καὶ ἴσως βιούντων.

32 Ὁ Ἥλιος τὸν οὐκ ἀστιδέα: λείπει τὸ ἐλέγχει. Ἐπὶ δοκιμῆς.

30a Ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει: ἐπὶ τῶν μετὰ τὸ παθεῖν μανθανόντων.

30b Ὁ γὰρ θεὸς πάντ' ἀναστρέφει πάλιν.

30c Ὁ δ' ἀνὴρ κανόμωτος πιστεύειν ἄξιος.

31a Ὁδοῦ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναι:. Πλουτάρχου.

31b Ὀβολὸς καλλιχέλωνος: οἱ γὰρ παλαιοὶ καὶ χελώνην ἐτύπουν ἐν τοῖς νομίσμασιν· ὅθεν λέγεται· Τὰν ἀρετὰν καὶ τὰν σοφίαν νικᾶντι χελῶναι.

31c Ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν:. Πινδάρου.

---

1. καὶ τὸν] καί τε Hom. Il. Σ, 309. 16. καὶ ἀνώμοτος Suidas. 17. καὶ ὁδοῦ Wyttenbachius. γὰρ καὶ Z. 19. Ὀβολὸν τὸν καλλιχέλωνον ex Eupolidis Helotis Pollux l. c. affert. 20. ὅθεν λέγεται] ὅθεν καὶ παροιμία Pollux.

addit Schol. ad Arist. Av. l. c., quem Suidas expilavit: Philochori verba servavit Schol. ad Pind. Ol. XII, 10. Cur Cereri sacra haec auspicia dicantur Prellerus in libro de Cerere et Pros. 88 quaerit.

28. Arsen. XXXVIII, 26. Macar. VI, 16.

29. Diog. VI, 93: Arsen. XXXVIII, 27. Apost. XV, 83.

30. Suidas: Arsen. XXXVIII, 53. Cf. Apost. VI, 17.

30a. Arsen. XXXVIII, 49. Apost. II, 22.

30b. Arsen. XXXVIII, 50. Eur. Suppl. 331.

30c. Arsen. XXXVIII, 51: Suid. s. ἀνώμοτος.

31. Arsen. XXXVIII, 52. Cf. Macar. IV, 74.

31a. Arsen. XXXVIII, 53: Anton. Mel. 45, p. 69 Fabr. Plut. fr. 12 Wytt.

31b. Arsen. XXXVIII, 54: Poll. IX, 74. Hesych. s. καλλιχέλωνος. De Peloponnesiorum nummis testudinis imagine insignitis v. C. Muellerus Aegin. 95.

31c. Arsen. XXXVIII, 55: Pind. Pyth. IX, 78.

32. Arsen. XXXVIII, 63: sunt verba Gemini: v. adnot. ad Apost.

33 Ὁ δύο πτῶκας διώκων οὐδέτερον καταλαμβάνει: αὕτη δημώδης καὶ δήλη.

34 Ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς: ἐπὶ τῶν καταλιμπανόντων τὰ δῆλα καὶ ζητούντων τὰ ἀφανῆ.

Τὸ ο̃ μετὰ τοῦ ε̃.

35 Ὁ ἔχων ἵππου χρήματα ταχύτατα ἱππεύει: καὶ αὕτη δημώδης.

36 Ὁ ἔχων πολὺ πέπερι τίθησι κἂν λαχάνοις: ἐπὶ τῶν εὐπόρως καὶ ἀφθόνως βιούντων.

Τὸ ο̃ μετὰ τοῦ ι̃.

37 Οἶκοι τὰ Μιλήσια· μὴ γὰρ ἐνθάδε: ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων. Μιλήσιος γὰρ

32a Ὁ θυμὸς γὰρ ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει:. Εὐριπίδου.
32b Οἵ δ' ἀρέσκουσ' οἷς μάλισθ' ἁδεῖν με χρή.
33a Ὁ δυοῖν ἐπιθυμήσας οὐδετέρου ἔτυχεν. ὁμοία τῇ ὁ δύο πτῶκας.
35a Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων:. Εὐριπίδου.

---

3. ἐπὶ — ἀφανῆ] τὸ λεγόμενον Suidas. 9. εὐπόρως καὶ N om. 12. τροφὴν bis N: v. nott. critt. ad Greg. Cypr. M l. c. 13. γὰρ Stobaeus recte om. 14. οἵ δ'] ἀλλ' οἶδ' Sophocles. μάλισθ' ἁδεῖν idem.

X, 99[a]. Scholl. Ven. ad Hom. Il. *P*, 675: φησὶν ὁ Ἀριστοτέλης [Hist. An. IX, 34.] ὡς τοὺς νεοσσοὺς πρὸς τὸν ἥλιον ἵστησιν ὁ αἰετὸς ἀναγκάζων βλέπειν. καὶ ὁ μὲν δυνηθεὶς ὁρᾶν τοῦ αἰετοῦ ἐστὶν υἱός, ὁ δὲ μὴ ἐκβέβληται καὶ γίγονεν ἁλιαίετος: alios veterum de hac re locos Schneiderus ad Arist. l. c. et Iacobsius ad Aelian. N. An. II, 26, collegerunt: add. Cosmas in A. Maii Spicil. Rom. II, 147 et Tertull. de anima c. 8: *solem . . . aquilae ita sustinent, ut natorum suorum generositatem de pupillarum audacia iudicent, alioqui non educabunt, ut degenerem, quem solis radius averterit.* Cf. Apost. I, 45.

32[a]. Arsen. XXXVIII, 64: Stob. Flor. 20, 39. Eurip. fr. inc. 180 Dind.

32[b]. Arsen. XXXVIII, 65: Soph. Antig. 89.

33. Arsen. XXXVIII, 57. Publ. Syr. Sent. 404: *lepores duo qui insequitur, is neutrum capit.* Cf. infr. 33[a] et 97[c].

33[a]. Arsen. XXXVIII, 58. Cf. Apost. VI, 40.

34. Suidas: Arsen. XXXVIII, 59. App. Provv. IV, 12.

35. Arsen. XXXVIII, 61.

35[a]. Arsen. XXXVIII, 62: Stob. Flor. 22, 18. Eur. Heracl. 389.

36. Arsen. XXXVIII, 60. Publ. Syr. Sent. 646: *pipere qui abundat, oleribus miscet piper.* »Non dubito quin huius proverbii haec sit sententia: qui re quapiam abundat, nullum in eius usu delectum adhibet«: H. Stephanus in Erasmi Ad. Anim. 54. A divitum victu fluxit proverbium: Mart. Epigr. XIII, 13: *ut sapiant fatuae, fabrorum prandia, betae, O quam saepe petet vina piperque cocus.*

37. Greg. Cypr. L II, 82 coll. M IV, 59: Arsen. XXXVIII, 66.

παρὰ Λακεδαιμονίοις δημηγορῶν καὶ τὴν οἴκοι τρυφὴν ἐπαινῶν ἤκουσε ταῦτα.

38 Οἴκοι γενοίμην: ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

39 Οἶκος φίλος οἶκος ἄριστος.

40 Οἴκοθεν ὁ μάρτυς: ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας.

41 Οἱ Κρῆτες τὴν θυσίαν: ἐπὶ τῶν ταρασσόντων τοὺς θύοντας καὶ περικοπτόντων· τοιοῦτον γάρ τι συνέβη τῷ Ἀγαμέμνονι παρὰ τῶν Κρητῶν θύοντι.

42 Οἰταῖος δαίμων: ὃς ὕβριν καὶ περιφάνειαν ἐμίσησεν.

39a Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν.

39b Οἷα παρ' ἄλλου μὴ παθεῖν ὅλως θέλεις,
τοιαῦτα καὶ σὺ μὴ δρᾶν ἀνθρώπῳ θέλε.

40a Οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι· οἱ πονηροὶ ἐλεύθεροι, δοῦλοι πολλῶν ἐπιθυμιῶν.

42a Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτοὺς ἐν τῷ γήρᾳ παρὰ τῶν παίδων προςδέχου. Πιττακοῦ.

42b Οἱ τὸ σῶμα εὖ διακείμενοι καὶ καύματα καὶ ψύχη ὑπομένουσιν· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν καὶ λύπην καὶ περιχάρειαν καὶ τἄλλα πάντα φέρουσιν.

42c Οἷος ὁ τρόπος, τοιοῦτος ὁ λόγος.

---

11. περιφάνειαν] ὑπερηφανείαν Da. 13. Δημοκρίτου Ab et Stobaeus addunt. 16. Δίωνος ἐν τῷ περὶ Δουλείας Stobaeus praemittit. 18. αὐτὸς Antonius. 19. παίδων] τεκόντων idem. Πιττακοῦ] Μιλησίου idem.

38. Greg. Cypr. L II, 88: Arsen. XXXVIII, 67.

39. App. Provv. IV, 15: Arsen. XXXVIII, 68. Aesopi dictum adhibuit oraculum Delphicum: v. adnott. ad Zenob. III, 26: item Philoxenus, poeta dithyrambicus: cf. nott. critt. ad Apost. VI, 68: et Cercidas in Mimiambis apud Stob. Flor. 58, 10, de quibus dixit Meinekius Anal. Alex. 391 sq.

39a. Arsen. XXXVIII, 69. LII, 92: Stob. Flor. 29, 63. Democr. fr. 86 Mull.

39b. Arsen. XXXVIII, 70.

40. Greg. Cypr. M IV, 64: Arsen. XXXVIII, 71.

40a. Arsen. XXXVIII, 72: Stob. Flor. 62, 42.

41. Diog. VII, 5: Arsen. XXXVIII, 75. Ex hac Agamemnonis in insula Creta commoratione natum et hoc proverbium: αἰαῖ, Περγάμιοι παρά τοι κακὸν ἡγήσαντο, ut in Diodori Exc. Vatic. 33, 4 legitur.

42. Diog. VII, 23: Arsen. XXXVIII, 82.

42a. Arsen. XXXVIII, 83: Anton. Mel. 128, p. 202 Fab.

42b. Arsen. XXXVIII, 84. IX, 79: Stob. Flor. 4, 95. Epicteti fr. 18 Schweigh.

42c. Arsen. XXXVIII, 85: Aristid. Rhet. T. II, 99 Iebb.: οὐκ ἀποστατεῖ δὲ οὐδὲ ἡ παροιμία τούτων ἡ λέγουσα οἷος ὁ τρόπος, τοιοῦτον εἶναι καὶ τὸν λόγον· καὶ πάλιν τὸ ἕτερον ὡσαύτως: Senec. Epist. 114:

43 *Οἱ φιλομεμφέες εἰς φιλίην οὐκ εὐφυέες: Δημοκράτους.*

44 *Οἶδα Σίμωνα καὶ Σίμων ἐμέ: δύο ἐγένοντο ἡγεμόνες, Νίκων καὶ Σίμων. ὑπερίσχυσε δὲ ὁ Σίμων κακοτροπώτατος ὤν, ὥςτε καὶ τὴν ἐπὶ Νίκωνα φήμην ἀπαλεῖψαι. λεχθείη δ' ἂν ἡ παροιμία ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων.*

45 *Οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα.*

46 *Οἱ φῶρες τὴν βοήν: ἤτοι δεδοίκασιν.*

47 *Οἱ φῶρες προςεγκαλοῦσιν.*

42d *Οἴμοι σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;*
42e *Οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.*
42f *Οἴνου δὲ μὴ παρόντος οὐκ ἔστι Κύπρις.*
45a *Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ*
ἐσθλὴ παραζευχθεῖσα καὶ σώζει δόμους:. Εὐριπίδου.

---

13. *μὴ παρόντος*] *μηκέτ' ὄντος* Euripides. *ἔστιν* idem.

hoc quod audire volgo soles, quod apud Graecos in proverbium cessit: talis hominibus fuit oratio qualis vita. Alludit Aristid. *ἱερ. λόγ. α'*, T. I, p. 284 Iebb.: *λέγων ὅτι ἀκολουθοίη τῷ τρόπῳ καὶ τὰ τῶν λόγων.* Sententiam simili modo Eupolis Eustath. ad Hom. Il. *B*, 333, p. 231, 19 expressit: *ἐπιφωνοῦσι δὲ καὶ τὸ τοῦ Εὐπόλιδος· οἷόν γέ που 'στι γλῶσσα κἀνθρώπου λόγος*, ut Meinekius Com. Gr. Fr. II, 1, 554 locum scripsit, qui nollem neglexisset Scholia Bachmanni ad Hom. l. c. Propius autem ad proverbium nostrum accedit Socratis dictum a Ioanne Siceliota ad Hermog. T. VI Rhett. Gr. 395 Walz. prolatum: *καὶ γὰρ ὁ Σωκράτης εἰώθει λέγειν, οἷος ὁ βίος τοιοῦτος καὶ ὁ λόγος, οἷος ὁ λόγος, τοιαῦται καὶ αἱ πράξεις, καὶ ἀναστρέφων τὰ αὐτὰ ἔλεγεν*, quae verbis paulo mutatis ibid. 394 et T. IV, 87 repetuntur: add. Cic. Tusc. Q. V, 16, ubi cf. Davisius. Neque alienum ab his locis est quod Menander dixit apud Stob. Flor. 37, 19, Hymnid. fr. I, 7 Mein.: *τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος*, de quo v. Wyttenbachius ad Plut. de Aud. poet. 33 F.

42d. Arsen. XXXVIII, 86: Arist. Equitt. 464.

42e. Arsen. XXXVIII, 87: Hom. Il. *H*, 358.

42f. Arsen. XXXVIII, 88: Eurip. Bacch. 772. Cf. Apost. IV, 58.

43. Democr. in Orellii Opusc. Sent. I, p. 88: Arsen. XXXVIII, 79. Democriti fr. 146 Mull.

44. Diog. VII, 26: Arsen. XXXVIII, 76. De Simone ab Eubulo comico commemorato v. Meinekius Com. Gr. Fr. III, p. 233.

45. Diog. VII, 35: Arsen. XXXVIII, 73. Publ. Syr. Sent. 199: *domi manere virum fortunatum decet.*

45a. Arsen. XXXVIII, 74: Stob. Flor. 67, 8. Eurip. fr. inc. fab. 48.

46. Diog. VII, 36: Arsen. XXXVIII, 80.

47. Arsen. XXXVIII, 81. Aristid. Or. 51, p. 418 Iebb.: *πρότερον μὲν οὖν ἔγωγε οὐκ ᾔδειν πρός τί ποτ' εἴη λεγόμενον τὸ προςεγκαλεῖν τοὺς φῶρας, νυνὶ δέ μοι δοκῶ γιγνώσκειν: .. ἀλλ' οἶμαι, ταῦτα μέν ἐστιν αὐτοὺς ἐξαπατώντων, δοκούντων δὲ ἑτέρους.*

48 *Οἷς τὴν μάχαιραν:* ἐπὶ τῶν ἀλυσιτελῶς σφισιν αὐτοῖς χρωμένων.

49 *Οἶνος καὶ παῖδες ἀληθεῖς:* ἐπὶ τῶν ἁπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων. Εὔανδρος παρὰ τοῖς Πέρσαις φησὶν οὐ βασάνοις ἐξετάζεσθαι, ἀλλὰ μεθυσκομένους.

50 *Οἰναῖοι τὴν χαράδραν:* ἐπὶ τῶν ἐπ' ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ. τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιῤῥαγὲν ὕδωρ πολὺ κατέκλυσε πάντας.

51 *Οἱ Ἴωνες ἐλεύθεροι μὲν κακοί· δοῦλοι δὲ ἀγαθοί:* ὅτι χρὴ τοὺς ὑπὸ χεῖρα μὴ ἐλευθεροῦν θρασεῖς ὄντας καὶ μᾶλλον.

52 *Οἴῳ με ὁ δαίμων τέρατι συγκαθεῖρξεν:* ἐπὶ τῶν δυςανασχετόντων· ἐπὶ τοῦ Κύκλωπος καὶ τοῦ Ὀδυσσέως.

53 *Οἶος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν:* ἐπὶ τῶν ἄγαν φρονίμων λέγεται.

52a *Οἶμαι δὲ καὶ τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροςδιόνυσον εἶναι:.* Πλουτάρχου.

53a *Οἱ πεπαιδευμένοι,* καθάπερ οἱ ἐκ τῆς παλαίστρας, κἂν

---

3. οἶνος — ἐπὶ] *Οἶνος ἄνευ παίδων.* δύο παροιμίαι, ἡ μὲν Οἶνος καὶ ἀλήθεια, ἡ δὲ Οἶνος καὶ παῖδες ἀληθεῖς. λαμβάνεται ἐπὶ Suidas. 5. μεθυσκομένοις R. 9. πάντα Suidas. 11. μὴ] μὲν Z. 13. συγκατείρξεν Z. 14. *δυςανασχετούντων* Ds. ἀπὸ τοῦ Finckhius in Bergkii et Caesaris Diar. phil. a. 1844, p. 948. 15. οἴῳ πεπνῦσθαι Homerus, οἷός τοι A. 17. *τὴν* τῶν Plutarchus.

48. Suidas s. οἷος: Arsen. XXXVIII, 78. Cf. App. Provv. IV, 16.

49. Arsen. XXXVIII, 77. οἶνος — λεγόντων] Suidas. Εὔανδρος κτλ.] Diog. VII, 28. Greg. Cypr. L II, 83: add. Apost. IX, 55c.

50. Suidas s. Οἰναῖοι: Arsen. XXXVIII, 91. Zenob. V, 29.

51. Arsen. XXXVIII, 92. Callicratidae tribuitur in Plut. Apophth. Lac. 222 E, Agesilao ibid. 213 C et in Apophth. Regg. cett. p. 190 F.

52. Diog. VII, 19: Arsen. XXXVIII, 89. Imitatione expressit Theognetus Comicus Athen. III. 104 C: οἴῳ μ' ὁ δαίμων φιλοσόφῳ συνῴκισεν, ut monuit, Meinekius Com. Gr. Fr. IV, 550. Varias VV. DD. de hoc Philoxeni versu sententias Bergleinius expendit de Philox. Cyth. diss. 53 sqq.

52a. Arsen. XXXVIII, 90: Plut. Sympos. IV, 6, 2, p.

53. Hom. Od. K, 495, ad quem locum Eustathius scribit 1665, 27: τοῦτο δέ ποτε ἁρμόττει ἐπιλέγεσθαί τινι διαφέροντι τινῶν κατὰ νοῦν, ὃ καὶ δεῖται τότε ἀκροατοῦ ἀπράγμονος· οὐ γὰρ ἁπλῶς οἰκεῖον τοῦτο ἐπὶ πάνυ συνετοῦ τινος λέγεσθαι, εἰ μὴ κατά τινα παρενδοχὴν ἐννοίας: Arsen. XXXVIII, 93. Ex eis, qui versiculum orationi applicuerunt, Scipionem Africanum minorem affero ap. Plut. Apophth. Regg. 200 A, et Chrysippum Arsen. LIV, 98 s. Diog. Laert. VII, 183: alios indicavit Baguetius ad Chrys. Fragm. 35.

53a. Arsen. XXXVIII, 94: Max. Conf. Serm. 18, p. 590 Comb. Epict. fr. 161.

Τὸ ὂ μετὰ τοῦ κ̄.

54 *Ὁ κνὶξ ἐν χώρᾳ: ἐπὶ τῶν ταχέως μεταπιπτόντων· κνὶξ γὰρ θηρίον ξυλοφάγον.*

πέσωσι, ταχέως καὶ ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίσταται:. Ἰσοκράτους.

53b *Οἱ θυμικοὶ, καθάπερ αἱ κύνες, τυφλὰ τίκτουσιν ἐγκλήματα:. Πλουτάρχου.*

53c *Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δὲ ὀξεῖς θυμοὶ μετάγονται τοῖς λογισμοῖς. τοῦ αὐτοῦ.*

53d *Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσι:. τοῦ αὐτοῦ.*

53e *Οἱ μὲν τέττιγες μουσικοί, οἱ δὲ κοχλίαι ἄφωνοι· χαίρουσι δὲ οἱ μὲν ὑγραινόμενοι, οἱ δὲ θερμαινόμενοι· ἔπειτα προςκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύνουσι· τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος καὶ ἐν αὐτῷ ᾄδουσι. τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκα μὲν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτὴν μὴ ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ' ἡνίκα ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε τὰ τῆς δικαιοσύνης κέλευε λόγια:. Ἐπικτήτου.*

53f *Οἱ μὲν ζῶντες ἐκ τῶν φίλων, οἱ δὲ τεθνεῶτες ἐκ τῶν ἐπιτρόπων διαγινώσκονται:. Πλουτάρχου.*

53g *Οἱ φιλόμουσοι τῶν βασιλέων πολλοὺς μουσικοὺς ποιοῦσιν, οἱ φιλολόγοι λογίους, οἱ φιλαθληταὶ γυμναστικούς· οὕτως ἀνὴρ φιλοσώματος καλλωπίστραν γυναῖκα ποιεῖ, φιλήδονος ἑταιρικὴν καὶ ἀκόλαστον, φιλάγαθος καὶ φιλόκαλος σώφρονα καὶ κοσμίαν:. Δίωνος τοῦ Ῥωμαίου.*

---

2. *κνὶψ* Ds. *ἐκ χώρας* Apost. IX, 85: »etiam *ἐν χώρᾳ* recte habet, si per interrogationem efferas: *quid? iste volaticus homo immobilis remansit?*« Meinekius Com. Gr. Fr. II, 2, 791. 5. *ἐκ τῶν Ἐπικτήτου καὶ Ἰσοκράτους* Maximus: v. Schweighaeuser ad Epict. l. c. 6. *θυμοὶ* Maximus. 11. *ἀπὸ τῆς* idem. 13. *μὲν* Stobaeus et Maximus om. 14. *θερμαινόμενοι*] *ἀλεαινόμενοι* Stobaeus, *ἀλεαινώμενοι* [sic] Maximus. *προκαλεῖται* Stobaeus et Maximus. 19. *ἂν* Maximus om. 20. *τότε θεσπίζειν καὶ ᾄδειν τὰ* Stobaeus et Maximus. *Ἐπικτήτου* Stobaeus om. 22. *Πλουτάρχου*] *Πλάτωνος* Antonius. 25. *καλλωπίστριαν* Plutarchus et Stobaeus.

53b. Arsen. XXXVIII, 95: Max. Conf. Serm. 19, p. 593 Comb. Plut. fr. 40.

53c. Arsen. XXXVIII, 96: Max. Conf. Serm. 19, p. 593 Comb. Plut. fr. 41.

53d. Arsen. XXXVIII, 97: Max. Conf. Serm. 22, p. 602 Comb. Plut. fr. 21.

53e. Arsen. XXXVIII, 98: Stob. Flor. 5, 102. Max. Conf. Serm. 30, p. 617 Comb. Epict. fr. 36.

53f. Arsen. XXXVIII, 99: Anton. Mel. 155, p. 248 Fabr.

53g. Arsen. XXXVIII, 100: Plut. Praec. Coniug. 17, p. 140 C. VV. *ἀνὴρ κτλ.* v. ap. Apost. II, 100c.

54. K in nott. ad Diog. VII, 25: Arsen. XXXIX, 3. Greg. Cypr. L II, 87.

55 *Ὀκνὲ κυάμους κατάβρεξον· εἰ φάγοις ὤμοὺς οὐδέποτε ἐπιλάθοιο: ἐπὶ τῶν πάνυ ῥαθύμων.*

56 *Ὃ κἀργύρου ᾖ πάντα θεῖ κἀλαύνεται: ὅ ἐστιν οὔτε ἀνέμοις οὔτε κώπαις πλέομεν.*

57 *Ὁ Κρὴς δὴ τὸν πόντον: ἐπὶ τῶν εἰδότων μὲν, προςποιουμένων δὲ ἀγνοεῖν, ἀντὶ τοῦ ὁ νησιώτης ἀγνοεῖ τὴν θάλασσαν.*

58 *Ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, εἶδες, ἀπῆλθες.*

59 *Ὁ Καρπάθιος τὸν λαγών: ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων. οἱ γὰρ Καρπάθιοι νῆσον οἰκοῦντες καὶ λαγωοὺς οὐκ ἔχοντες, ἐπηγάγοντο· οἳ πολλοὶ γενόμενοι ἐλυμαίνοντο τοὺς καρπούς.*

60 *Ὁ καλῶς ἄγων ἐμποιεῖ τὸ καλῶς ἕπεσθαι: ἐπὶ τῶν ἐπισταμένων ἄρχειν.*

55a *Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος:. Φιλιππίδου.*

58a *Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων οὐδέποτε καλῶς βουλεύεται περὶ τῶν ἀλλοτρίων:. Ἰσοκράτους.*

---

1. An *ὀκνηρέ?* 2. *ὠδέποτε ἐπιλάθοι* R. 3. *ὃκ᾽ ἀργύριον* Bentleius: *ἀλλ᾽ ὅταν ἀργύριον* Suidas. 5. *πόντον*] *ἀγνοεῖ* Scholiasta addit. 10. *λαγωόν* A. 16. *Φιλιππίδου*] Z om. De auctore versus Meinekius Com. Gr. Fr. I, 342 disputat. 18. *βουλεύσεται* Isocrates.

55. Arsen. XXXIX, 4.

55a. Arsen. XXXIX, 5: Stob. Flor. 124, 21.

56. Schol. ad Arist. Eccles. 109. Suid. s. *Θεῖ*. Alludit Arist. l. c.: *νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ᾽ ἐλαύνομεν*: add. Aristaen. Epist. I, 14 fin.: *τούτῳ πείθεσθε τῶν περιττῶν ὀργάνων ἀφέμενοι· τόγε ἡμέτερον οὐ κωλύσει· ἀλλ᾽ ἐὰν ἀργύριον ᾖ, πάντα θεῖ κἀλαύνεται*: Petron. Satyr. 137: *quisquis habet nummos, secura naviget aura, Fortunamque suo temperet arbitrio*, ubi cf. intt.: add. annott. ad Diog. II, 81. Apost. XIII, 86.

57. Schol. ad Aristid. 185 Fromm.: Arsen. XXXIX, 8. Zenob. V; 30. DV III, 41.

58. Democrat. Sent. 84 Orell.: Arsen. XXXIX, 6. Democrito haec vindicare studet Mullachius Dem. Fr. p. 328. Alludit auctor inc. in Boiss. Anecd. I, 163: *ἦλθες, παρῆλθες, τῶν κάτω περιφρόνει.* Ceterum amant veteres vitam humanam cum tragoedia et theatro comparare: Socrates Stob. Flor. 3, 85: *ἐν τῷ βίῳ, καθάπερ ἐν δράματι, χρὴ τὰ πρῶτα λέγειν οὐ τὸν πλουσιώτατον, ἀλλὰ τὸν φρονιμώτατον*: id. ib. 131, 39, Aristonymus ibid. 106, 14. Demoph. Sent. 51 Orell., Palladas in Anth. Palat. X, 72: alia praebent Iacobsius Annott. ad Anth. II, 3, 247. Boissonadus ad Theophyl. Simoc. Epist. p. 219.

58a. Arsen. XXXIX, 7: Isocrat. ad Demon. 9 D.

59. Suid. s. *λαγὼς περὶ τῶν κρεῶν*: Arsen. XXXIX, 1. Macar. IV, 94.

60. Arsen. XXXIX, 2. Ex Plut. Lycurg. 30.

61 *Ὁ Κρὴς τὸν Κρῆτα: ἐπὶ τῶν ὁμοιοτρόπων.*

62 *Ὁ Κλεομένης τῆς κοίτης ὑπερέχει: ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.*

Τὸ ο̃ μετὰ τοῦ λ̃.

63 *Ὅλῳ ποδί: ἐπὶ τῶν ταχέως ποιούντων. ὁμοία τῇ· Ὅλῳ ῥυτῆρι.*

64 *Ὀλύμπου φανεῖναι παντὸς ἐπαχθέστερος: δήλη.*

62a *Ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,*
χρηστῶν πενήτων ἂν τις αἰσχύνῃ τέκνα.

---

5. *ἐπὶ κτλ.*] *ὅλῃ δυνάμει* Suidas, Photius. *τι ποιούντων* NAZ. 9. VV. *καὶ — ἐφέλκεται* Z in fine proverbii 60 exhibet. 10. *ἂν*] *ἦν* Matthiae ex Stob. Flor. 17, 7.

61. Diog. VII, 31: Arsen. XXXIX, 9. Plut. Aemil. Paul. 23: *τοὺς μὲν οὖν ἐπισταμένους ἀκριβῶς αὐτὸν οὐκ ἔλαθε κρητίζων πρὸς Κρῆτας*: eiusd. Lysand. 20. De Cretensium fraudulentia v. Apost. X, 6. 7. Baehrius ad Plut. Philopoem. 13 extr., adnott. ad Zenob. IV, 62.

62. Arsen. XXXIX, 10. »Ductum apparet a quopiam, corpore quam pro lectuli modo maiore.« Erasmus IV, 3, 53.

62a. Arsen. XXXIX, 11: Stob. Flor. 3, 18, 38. 17, 7, 3. Eurip. Erecht. fr. 20, 26 Matth.

63. Suidas: Arsen. XXXIX, 12. Apoll. Rhod. IV, 1166: *τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί*: Liban. Oratt. T. IV, 1085 R.: *καὶ παντὶ ποδὶ ψαύει* [Antaeus] *τῆς γῆς, ὥσπερ οὐκ ἐώσης τῆς τεκούσης αὐτὸν καθάπαξ ἁλῶναι νικώμενον*, ubi *π. π.* pro *ὅλῳ ποδὶ* dictum esse Ruhnkenius Epist. Crit. II, 225 Lugd. monuit: Cantacuz. Hist. I, 15, p. 49 B: *πάσῃ δυνάμει καὶ ὅλῳ ποδὶ χρήσομαι πρὸς φυγήν*: Niceph. Gregor. Hist. III, 3, 5: *ἔφυγον ὅλοις ποσὶν ὅποι τύχοιεν ἕκαστος*: Terent. Andr. I, 1, 134: *quem ego credo manibus pedibusque obnixe omnia facturum*, ad quem locum Donatus haec scribit: manibus pedibusque] *proverbiale. id est omnibus membris*: Quint. I. O. XII, 9, 18: *itaque in his actionibus omni, ut agricolae dicunt, pede standum est*, ubi Spaldingius, postquam ineptam Apostolii explanationem reiecit, »ductum credo«, inquit, »a vitio standi, quo vel digitis vel calci vel alteri pedis lateri maxime innituntur nonnulli. Sed neque hoc satis explanatum est, cur agricolae potissimum hoc verbo utantur. Credo autem hoc fieri, cum demonstratur parum proficere rusticum, qui uni alterive parti, ut frumento, hortis, pomis, apibus, pecori soli operam det: nullam negligendam esse; non ideo tantum ut, cum per tempora iaceat una, sustenteris tamen ceteris, sed quoniam nulla est, quae non ex ceteris utilitatem capiat, nulla quae ceteris non impertiat aliquid, quod sine illis tanquam inutile abiiciendum est.« Aliter Victorius V. Lectt. IV, 19. Turnebus Advers. VII, 19. Add. Macar. VI, 27. *Ὅλῳ ῥ.*] opposita sunt *ἀνέτῳ ῥυτῆρι*, *ἀπὸ ῥυτῆρος ἐλαύνειν*: Nicet. Alex. I, 4. Phrynichus in Bekk. Anecdd. I, 24. intt. ad Themist. Or. 21, p. 261 C. Musgravius ad Soph. Oed. Col. 900.

64. Arsen. XXXIX, 13.

65 *Ὀλέθρου πεῖρατ' ἐφῆπται:* ἐπιδέδεται καὶ ηὐτρέπισται τοῦτο ὀλέθρου ἡμῶν πέρας.

66 *Ὁ λύκος τὴν τρίχα οὐ τὴν γνώμην ἀλλάττει.*

65a *Ὅλους Ἄθως κατατοξεύεις τῆς κορυφῆς:* ἐπὶ τῶν πασχόντων ἀνύποιστα.

65b *Ὁ λόγος,* ὥσπερ πλάστης ἀγαθός, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα:. Πλάτων.

65c *Ὄλβιος ἀνὴρ* ὃς φρενῶν ὄλβον τύχῃ.

65d *Ὄλβιος οὗτος ἀνήρ,* ὃς ἐμὸν δόμον ἐςκαταβαίνει,
Κύψελος Αἰακίδης, βασιλεὺς κλεινοῖο Κορίνθου.

65e *Ὄλβιος ᾧτινι* θεὸς μοῖράν τε καλῶν ἔπορε,
σύν τ' ἐπιζήλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν.

66a *Ὁ Λυδὸς τὸν ὄνον ἐλαύνει:* ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων· παρόσον ἱππικώτατοι οἱ Λυδοί.

66b *Ὅλως τὸ* κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα:. Χαιρήμων.

66c *Ὅλας ἁμάξας* βλασφημῶν κατεσκέδασαν ἀλλήλων.

66d *Ὀλιγαρκῆ γὰρ* καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφοῦντα καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν:. Λουκιανοῦ.

---

1. ηὐτρέπισται] ἐξῆπται Suidas. 2. τοῦτο] τὸ τοῦ AR Ds. πέρας] οἷον, δέδεσθε τῷ ὀλέθρῳ Suidas addit. 4. κατατοξεύεις Z. 7. Πλάτων] Ab om., τοῦ αὐτοῦ id est Σωκράτους Stobaeus. 10. Ἠετίδης Herodotus. κλειτοῖο idem. 11. ἔπορεν Stobaeus. 12. ἐπιζάλῳ Nevius. Ab Stobaeus addunt: οὐ γάρ τις ἐπιχθονίων πάντευδαίμων [πάντα γ' εὐδαίμων Stob. Flor. 98, 26.] ἔφυ: Βακχυλίδου Ἐπινικιῶν [ἐπινικῶν Stobaeus]. 16. βλασφημιῶν Lucianus. 17. γὰρ] δὲ Lucianus.

65. Diog. VI, 96: Arsen. XXXIX, 14.

65a. Arsen. XXXIX, 15. Usurpavit Theod. Prodr. Amar. 433 Gaulm., quem locum v. in ann. ad Greg. Cypr. P I, 73. Similiter Anon. in Crameri Anecdd. Ox. III, 206: τὸν Ἄθω με, ὦ φίλ' ἑταῖρε, ἀνορύττειν κελεύεις ἢ τὴν στεφάνην τῆς γῆς διαμετρεῖν τὸν ὠκεανόν: Constant. Manass. VIII, 16.

65b. Arsen. XXXIX, 16. XVII, 46: Stob. Flor. 81, 13.

65c. Arsen. XXXIX, 17.

65d. Arsen. XXXIX, 18: Euseb. Praep. Evang. V, 35, p. 233. Cf. Herod. V, 92, ubi v. intt.

65e. Arsen. XXXIX, 19. XXV, 86: Stob. Flor. 103, 2. Bacchyl. fr. 1 Nev.

66. Arsen. XXXIX, 20. Dicti sententiam illustrant Ritterhusius et Schwabius ad Phaedr. Fabb. IV, 18: add. Horat. Epist. I, 10, 24: *naturam expellas furca; tamen usque recurret Et mala perrumpet furtim fastidia victrix*, ubi v. Lambinus: Anth. Pal. IX, 47, 4: ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται: Apost. VIII, 92a.

66a. Arsen. XXXIX, 21: Append. Provv. IV, 8.

66b. Arsen. XXXIX, 22: Stob. Flor. 22, 10.

66c. Arsen. XXXIX, 23: Lucian. Eunuch. 2. Cf. ann. ad Diog. III, 41. ad App. Provv. IV, 80. Macar. VII, 98. Apost. XVI, 21.

66d. Arsen. XXXIX, 24: Lucian. Timon. 57.

Τὸ ὅ μετὰ τοῦ μ.

67 *Ὁμολώϊος Ζεύς*: ἐπὶ τῶν ὁμονοούντων, ἀπὸ Ὁμολώας προφήτιδος, τῆς Ἐνυέως· ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστοφάνης. Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς συναγωγῆς, διὰ τὸ παρ' Αἰολεῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι. ἔστι δὲ καὶ Δημήτηρ Ὁμολωΐα ἐν Θήβαις.

68 *Ὅμοιος ὁμοίῳ*: δηλονότι συναγορεύει· ἢ φαῦλος φαύλῳ, ἢ ἀμαθὴς ἀμαθεῖ.

69 *Ὀμπνιος χείρ*: ἡ πλουσία.

70 *Ὀμπνιον νέφος*: τὸ μέγα καὶ πολὺ ηὐξημένον.

68a *Ὁ μὲν δειλὸς* καθ' ἑαυτοῦ τὰ ὅπλα ἔχει, ὁ δὲ ἀνόητος τὰ χρήματα.

70a *Ὁμιλίας τε τὰς γεραιτέρους θέλε.*

70b *Ὁμοίως ἐπισφαλὲς* μαινομένῳ δοῦναι μάχαιραν, καὶ πονηρῷ δύναμιν:. Ἰαμβλίχου ἡ γνώμη.

70c *Ὄμφακας βλέπει*: ἐπὶ τῶν ἀπαιδεύτων καὶ πλησιαζόντων σοφοῖς πειρωμένων.

70d *Ὁ μὲν οἶνος* μεταβάλλει τοῖς ἀγγείοις· ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις:. Σωκράτους.

---

2. ἐπὶ τ. ὁμον. Suidas et Photius om. 4. Ἀριστοφάνης ἐν δευτέρῳ Θηβαικῶν iidem · Ἀριστόδημος Reinesius: v. Bernhardius ad Suid. et Nauckius ad Arist. Byz. Fr. p. 240. 11. τὸ Ds om. καὶ Ds om. 13. Σωκράτους Stobaeus addit. 14. δὲ τὰς γεραιτέρων φίλει Menander. Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει ex Euripidis Erechtheo Stob. Flor. 115, 3 citat: v. Eur. Erechth. fr. 20 Matth. 16. πονηρῷ] μοχθηρῷ Stobaeus. Ἰαμβλίχου ἡ γν.] Ἰαμβλίχου ἐκ τῶν Προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων Stobaeus. 17. πλησιάζειν W. 19. συμμεταβάλλει Stobaeus. 20. κτησαμένων idem.

67. Suid. Photius: Arsen. XXXIX, 25. Ἴστρος] fr. 10 Müll. De Iove Homoloio v. C. O. Muellerus Orchom. 233 et Ungerus Parad. Theb. 324: de Cerere Prellerus de Cer. et Proserp. 357.

68. Arsen. XXXIX, 26. Plat. Gorg. 510 B: φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς οἷόν τε μάλιστα, ὅνπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ: Porphyr. Ep. ad Marcell. 19 in Orellii Opusc. Sent. I, 300: χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον: cf. ann. ad DV II, 88, infr. 74a, Mant. Provv. I, 5 et s. ὁ ὅμοιος.

68a. Arsen. XXXIX, 27: Stob. Flor. 4, 115.

69. Diog. VI, 97: Arsen. XXXIX, 28.

70. Diog. VI, 98: Arsen. XXXIX, 29.

70a. Arsen. XXXIX, 30: Stob. Flor. 3, 18. 21: Menand. Monost. 421.

70b. Arsen. XXXIX, 31: Stob. Flor. 2, 40.

70c. Arsen. XXXIX, 32. Recte ab Macar. VI, 30 explicatur: explicatio, quae hic legitur male ex proverbio Ὄνος εἰς Ἀθήνας huc relata est: v. App. Provv. IV, 22.

70d. Arsen. XXXIX, 33: Stob. Flor. 94, 12.

71 *Ὁ μὲν λόγος θαυμαστὸς, ὁ δὲ λέγων ἄπιστος*: ἐπὶ τῶν ἐπαγγελλομένων μείζω ἢ δύνανται.

72 *Ὁ μὲν Ἑκατερὸς ἀμφότερος· ὁ δὲ Ἀμφοτερὸς οὐδέτερος*: τούτοιν ὁ μὲν εἷς ἦν ἔμφρων καὶ πρακτικὸς ὁ Ἑκατερός· ἅτερος δὲ εὐήθης καὶ ἀβέλτερος ὁ Ἀμφοτερός· τούτω ἰδὼν ὁ Φίλιππος εἴρηκε τὴν παροιμίαν.

73 *Ὁμοιότερος σύκου*: τοῦτο παραπαίζει διὰ τὴν ἐμφέρειαν τῶν σύκων.

74 *Ὀμφάλῃ Ἡρακλῆς λατρεύει*: ἐπὶ τῶν ἀπίστων:. Λόγος ἦν μάταιος, ὅτι ὁ Ἡρακλῆς ἐλάτρευε τῇ Ὀμφάλῃ, καίτοι γε ἐξὸν Ἡρακλεῖ κἀκείνης καὶ τῶν ὑπαρχόντων αὐτῇ δεσπόζειν. τὸ δ' ἀληθὲς τοιόνδε τι· Ὀμφάλη ἦν Ἰορδάνου θυγάτηρ Λυδῶν βασιλέως· αὕτη ἀκούσασα τὴν ἰσχὺν

73a *Ὁ μὲν Ἐπίχαρμος* τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ἥλιον, γῆν, ὕδωρ, πῦρ, ἀστέρας·
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
τὸ ἀργύριον ὑμῶν καὶ τὸ χρυσίον.
ἱδρυσαμένους τούτους γὰρ εἰς τὴν οἰκίαν,
εὔξαιτ' εἰ βούλει, πάντα σοι γενήσεται,
ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταί, μάρτυρες, μόνον δίδου.
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

73b *Ὁ μὲν γὰρ ἐν τῷ ζῆν* ἀγαθὸς ἄδηλον εἰ μεταβαλεῖται πρὸς τὸ χεῖρον. αἱ τύχαι γὰρ ἀνθρώπων. οὐχ αἱ γνῶμαι κρατοῦσιν· ὁ δὲ τελευτήσας ἀκατηγόρητος ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται.

---

3. *Ἑκάτερος* et *Ἀμφότερος* ZW: v. Goettlingius de Accentt. p. 207. 10. *λόγος — Ἡρακλεῖ*] *περὶ Ὀμφάλης. λέγεται ὡς λατρεύει Ἡρακλῆς ταύτῃ· ὁ δὲ λόγος μάταιος. ἐξὸν γὰρ* Ps. 12. *τὸ δ' ἀληθὲς*] *ἐγένετο οὖν* Ps. *Ἰαρδάνου* Ps. 13. *Λυδῶν βασ.* N om. 15. *ἀνέμους, ὕδωρ, γῆν, ἥλιον* Grotius. 17. *ὑμῶν*] *ἡμῖν* Ab: *τἀργύριον ἡμῖν* Grotius. *χρυσίον μόνον* Grotius: Simonis nomen excidisse Meinekius coniecit. 19. *εὔξαι τί βούλει* Stobaeus, *εὖξ' εἴτι βούλει* Plutarcho duce Meinekius. 23. *μεταβαλεῖ* Phalaris. 24. *ἀνθρώπων τὸ πλεῖστον* idem.

71. Arsen. XXXIX, 34. Eudamidae dictum: Plut. Apophth. Lacon. 220 E: *ἀκούσας δὲ φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν, Ὁ μὲν — ἄπιστος· οὐ γὰρ περιεσεσάλπισται*: id. Apophth. Regg. cett. 192 B.
72. Arsen. XXXIX, 35. Ex Plut. Apophth. Regg. cett. 177 F, ubi v. Wyttenbachius.

73. Diog. VII, 37: Arsen. XXXIX, 36. DV III, 53.

73a. Arsen. XXXIX, 37. XLV, 18: Stob. Flor. 91, 29. Menand. fr. fabb. inc. 10 Mein.

73b. Arsen. XXXIX, 38: Phalar. Epist. 55 fin.

74. Arsen. XXXIX, 39. *Λόγος κτλ.*] Palaeph. Incred. 45.

Ἡρακλέους προσεποιήθη ἐρᾷν αὐτοῦ· Ἡρακλῆς πλησιάσας ἔρωτι ἑάλω αὐτῆς. γεννᾷ δὲ ἐξ αὐτῆς υἱὸν Λαομήδην· ἡδόμενος δ' αὐτῇ ἐποίει ὅ τι προςτάττει ἡ Ὀμφάλη· οἱ δὲ εὐήθεις ὑπέλαβον λατρεύειν αὐτὸν αὐτῇ.

74a *Ὅμοιον ὁμοίῳ δεῖ πλησιάζειν: παλαιὸς λόγος καὶ εὖ ἔχων ἐστί.*

74b *Ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου:. Ξενοφῶντος.*

74c *Ὁμοίου τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς· ἐκείνους μὲν γὰρ πλήρεις ὄντας ἀργυρίου ἐπιθυμεῖν πλείονος· ἀμφοτέρους δὲ, πρὸς κακοῦ· ἐπιτείνεσθαι γὰρ μᾶλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα πορίζεται:. Διογένης.*

74d *Ὁ μέντοι φόβος οὐ μόνος αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρομαρτῶν λυμαντήρ ἐστί:. Ξενοφῶντος.*

74e *Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν*
τρόπον τιν' ἐστί· τὸν γὰρ οἶνον τὸν νέον
πολλή γ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
πρώτιστον ἀφυβρίσαντ' ἀποινήσαντα δὲ
σκληρὸν γενέσθαι καὶ καταστῆναι πάλιν,
ἡδὺν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

74f *Περὶ τοῦ ὁμοῦ καὶ τοῦ ἅμα ὅτι σημαίνετον ποτὲ μὲν τόπον, ποτὲ δὲ χρόνον·*
Ὁμοῦ τοπικὸν καὶ χρονικὸν ἔσθ' ὅτε·
ἅμα χρονικὸν, ὡς λέγει Παυσανίας.
δείγματα σαφῆ τῆς ὁμοῦ σημασίας·
ὁμοῦ νεῶν πίνακα καὶ βροτῶν δέμας.
σαφὲς τοπικόν· εἰς τὸν αὐτὸν γὰρ τόπον·

---

1. *Ἡρακλῆς δὲ* Ps. 9. *Διογένης ὡμοίου* Stobaeus. *ὑδρωπικοῖς* idem. 10. *πλείονος, τούτους δ' ὕδατος* idem. 16. *ὁμοιώτατον* Ab, *ὁμοιότατος* Meinekius. 17. *τὸν γὰρ*] *καὶ γὰρ* Meinekius. 18. *πολλή 'στ'* Dindorfius. 19. *ἀφυβρίσαι τ', ἀπανθήσαντα δὲ* Valckenaerius. 20. *γενέσθαι*] signa lacunae post hanc v. ponenda sunt: v. Athen. II, 36 E. 21. *Ἀλέξιδος* Ab, *Ἀλέξιδος ἐκ Δημητρίου* Stobaeus.

74[a]. Arsen. XXXIX, 40: Plat. Sympos. 195 B: *ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει*: cf. Apost. XII, 68.

74[b]. Arsen. XXXIX, 41: Stob. Flor. 62, 50. Est Plat. Legg. VI, 762 E.

74[c]. Arsen. XXXIX, 42: Stob. Flor. 10, 46.

74[d]. Arsen. XXXIX, 43.

74[e]. Arsen. XXXIX, 44. XVII, 13: Stob. Flor. 115, 7. Alex. Demetr. fr. 6 Mein.

74[f]. Arsen. XXXIX, 45. *Παυσανίας*] huius copiosam de his adverbiis expositionem ex parte Eustath. ad Hom. Il. *Λ*, 878, 13, ad Od. *M*, 1713, 30 et Ammon. de diff. vocabb. 13 Lugd. in suos libros transtulerant. *νεῶν—δέμας*] Hom. Od. *M*, 67: *ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν.*

Τὸ ō μετὰ τοῦ ν̄.

75 *Ὄνος ἄγει μυστήρια*: ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων· τοῖς γὰρ μυστηρίοις ἐξ ἄστεος εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων ἔφερον τὰ εἰς χρείαν· ὅθεν καὶ ἡ παροιμία, διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοια πάσχων τῷ πιέζεσθαι τῷ ὑποκειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν ὁ Ἀριστοφάνης.

76 *Ὃν ἡ τύχη μέλανα γράψει, τοῦτον ὁ πᾶς χρόνος οὐ δύναται λευκᾶναι*: ἐπὶ τῶν δυστυχῶν ἄγαν.

πόλις θ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
αἰαγμάτων ὁμοῦ τε καὶ στεναγμάτων.
τοῦτο χρονικόν· ἐς τὸν αὐτὸν γὰρ χρόνον.
δεῖγμα δὲ σαφὲς τῆς ἅμα σημασίας·
αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμα κοιράνοις.
καὶ πάλιν ἅμα σὺν ἐμοὶ βαδιστέον.

74g *Ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑταίρων*:. Πλάτωνος.

74h *Ὅμως ἐπειδὴ τὸν οἶνον ἠξίους πίνειν*, συνεκποτέον ἐστί σοι καὶ τὴν τρύγα.

75a *Ὄνος πεινῶν οὐ φροντίζει ῥοπάλου*: ἐπὶ τῶν διὰ τὴν γαστέρα καὶ πληγὰς καὶ ὕβρεις ὑπομενόντων· ἐπεὶ καὶ ὄνος πεινῶν δυςκόλως ἀπαλλάττεται τῆς φορβῆς καὶ λίαν τυπτόμενος· πρὸς τοῦτο ἀποβλέψας ὁ θεῖος Ὅμηρος καὶ τήνδε τὴν χαριεστάτην παραβολὴν ἐποιήσατο·

Ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφὶς ἐάγη,
κείρει τ' εἰςελθὼν βαθὺ λήϊον· οἱ δέ τε παῖδες
τύπτουσι ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν·
σπουδῇ δ' ἐξήλλασσαν, ἐπεί τ' ἐκορέσατο φορβῆς.

---

2. ἄγων Suidas. 4. τὴν χρείαν Suidas. καὶ Suidas om. 6. ὁμοιότατα Suidas. πασχόντων ZRW. πιέζεσθαι Suidas. ἐπικειμένῳ N Suidas. 7. ὁ Suidas om. In fine AZW adiiciunt: ὁμοία τῇ· Γαλῇ κροκωτόν [κροκωτῷ A: cf. Apost. V, 21.], καὶ Πίθηκος ἐν πορφύρᾳ [Apost. XIV, 32]. 11. αἰαγμάτων ὁμοῦ] ὁμοῦ δὲ παιάνων Sophocles. 16. ἑταίρων] ἑτέρων Plato. 17. ὅμως δ' Aristophanes. καὶ τὸν idem. 18. συνεκποτέ' idem. 28. ἐξήλασσαν Homerus. ἐκορέσσατο idem.

πόλις — στεναγμάτων] Soph. Oed. Tyr. 4. αὐτὰρ — κοιράνοις] Hom. Il. Γ, 1: αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.

74g. Arsen. XXXIX, 46: Plat. Legg. V, 730 D.

74h. Arsen. XXXIX, 47: Arist. Plut. 1084. Cf. Macar. VII, 86. Apost. XV, 66.

75. Suidas: Arsen. XXXIX, 48. Greg. Cypr. M IV, 55. Ἀριστοφάνης] Ran. 159.

75a. Arsen. XXXIX, 49. Ὅμηρος] Il. Λ, 558: respexit Aristot. Eth. ad Nicom. III, 11: ἐπεὶ οὕτω γε κἂν οἱ ὄνοι ἀνδρεῖοι εἶεν πεινῶντες· τυπτόμενοι γὰρ οὐκ ἀφίστανται τῆς νομῆς: add. Macar. IV, 14.

76. Arsen. XXXIX, 54.

77 Ὃν οὐ τύπτει λόγος οὐδὲ ῥάβδος: ἐπὶ τῶν μὴ πειθομένων τοῖς εἰσηγουμένοις τὰ βέλτιστα.

78 Ὄνος εἰς ἄχυρα: ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυστικῶς χρωμένων.

79 Ὄνου κεφαλὴν μὴ πλύνειν νίτρῳ: ἐπὶ τῶν ἀνάρμοστα ποιούντων.

80 Ὄνος ἐν μελίτταις: ἐπὶ τῶν κακοῖς περιπεσόντων.

81 Ὄνῳ τις ἔλεγε μῦθον, ὁ δὲ τὰ ὦτα ἐκίνει: εἰς ἀναισθησίαν τινῶν.

82 Ὄνος λύρας ἀκούων κινεῖ τὰ ὦτα: ἐπὶ τῶν ἀπαιδεύτων· ἢ ἐπὶ τῶν συγκαταθεμένων μηδὲ ἐπαινούντων:. Πέπυσμαι ὄνους ἀγρίους οὐκ ἐλάττονας ἵππων τὰ με-

78a Ὄνου πληγῶν ἄξιος.

78b Ὀνείρατά μοι λέγεις: ἐπὶ τῶν ἄπιστα καὶ ἀδύνατα διηγουμένων· ὅθεν καὶ ἡ κοινὴ καὶ δημώδης παροιμία· τοῦτο κατ' ὄναρ εἶδες.

81a Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος:. Μενάνδρου.

81b Ὄνομα γάρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι,
οἱ μὴ 'πὶ ταῖς συμφοραῖς ὄντες φίλοι.

---

7. ἐν κακοῖς Ds. 10. κινεῖ τὰ ὦτα Ds om. 11. μὴ συγκατατιθεμένων Suidas. ἐπαινούντων] ἐπαινόντων RZ. 17. Μενάνδρου] Δὶς ἐξαπατῶντος Stobaeus addit. 19. ταῖσι Euripides.

77. Similiter formatum est proverbium apud Eustath. ad Hom. Il. Ξ, 255, p. 983, 30: ἣν [insulam Coum] καὶ εὐναιομένην καλεῖ διὰ τὸ τῆς νήσου εὔδαιμον. οὗ χάριν ἐπιπολάζει παροιμία οὐ παλαιὰ τό· Ὃν οὐ θρέψει Κῶς, ἐκεῖνον οὐδὲ Αἴγυπτος.

78. Suidas: Arsen. XXXIX, 50. Greg. Cypr. M IV, 61.

78a. Arsen. XXXIX, 51. Cic. or. in Pison. 30, 73: *quid nunc te, asine, literas doceam? Non opus est verbis, sed fustibus.*

78b. Arsen. XXXIX, 52. Plat. Legg. V, 746 A: πάντῃ σχεδὸν οἷον ὀνείρατα λέγων ἢ πλάττων καθάπερ ἐκ κηροῦ τινα πόλιν καὶ πολίτας: Suid. s. ταὐτὸν πέπονθα τῷ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγούμενος. τοῦτο κτλ.] Suid. s. κατ' ὄναρ οὐ χρὴ λέγειν· βαρβαρὸν γὰρ παντελῶς· ἀλλὰ ὄναρ καὶ κατὰ τοὺς ὕπνους καὶ ἐνύπνιον: cf. Lobeckius ad Phrynich. 421: add. Apost. XII, 88. XIII, 15i. Mant. Provv. s. τὸ ἐμόν.

79. Arsen. XXXIX, 53.

80. Diog. VII, 32: Arsen. XXXIX, 55. Greg. Cyrp. M IV, 65.

81. Diog. VII, 30: Arsen. XXXIX, 56. Greg. Cypr. M IV, 67.

81a. Arsen. XXXIX, 57. XXX, 48: Stob. Flor. 120, 8. Men. Monost. 425. Cf. Menand. Rell. p. 48 ed. mai. Mein.

81b. Arsen. XXXIX, 58: Eur. Orest. 454.

39o *Οὔτε συμπόσιον* χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει:. Φωκίωνος.

39p *Οὔ ποτε σὸν* μνῆμα Εὐρίπιδες ὄλετο.

39q *Οὐκ ἦν* ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος,
εἰ πάντες ἦμεν ἐξίσου πεφυκότες.
εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ:. Ἀγάθωνος.

39r *Οὐκ ἔστιν ἄφοβον* εἶναι φοβερὸν φαινόμενον:. Ἐπικούρου.

39s *Οὔτε σύμφορόν* ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι,
οὐ γὰρ πηδαλίῳ πείθεται, ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀποῤῥήξασαι δὲ δεσμά
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα:. Θεόγνιδος.

39t *Οὐκ ἔστιν οὐδὲν* βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης:. Ἀλέξιδος.

39u *Οὐκ ἔστ'* ἀναισχυντότερον οὐδὲν θηρίον
γυναικός, ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι:. Ἀλέξιδος.

41a *Οὐκ ἔστιν κρεῖττον* τοῦ σιωπᾶν οὐδὲ ἕν:. Ἄμφιδος.

41b *Οὐ δεῖ φιλογέλωτα* εἶναι σχέδον ὅταν τις φλέγῃ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτον:. Πλάτωνος.

---

5. ἐπὶ — φλυαρούντων] Suidas in fine posuit. 8. Φωκίωνος] Ἀντισθένους Stobaeus. 9. Εὐριπίδη ὄλοιτο Gellius. 10. ἂν] ἐν Ab. 12. Tertius versus est Euripidis: Stob. l. c. 13, Eur. Belleroph. fr. 5 Matth. 14. οὔτοι Stobaeus. 16. ἀποῤῥήξασα idem. 19. ὄντως] πάντων Meinekius coniecit. ὄντως κτλ.] γυναικὸς εἰ μὴ τὰς φρένας χρηστὰς ἔχῃ Ab, versus Euripidis ex Stob. l. c. 8 huc casu translatus. Ἀλέξιδος] Ἀντιφάνους Ab, Stobaeus. 20. οὐθὲν Stobaeus. 21. εἰσορᾶν γυναικὸς Ab, quod eiecto v. θηρίον Meinekius recepit. 22. ἔστιν οὐδὲν A, sed οὐδὲν delevit: ἔστι Stobaeus. 23. ἀλλὰ μὴν οὐδὲ φιλογέλωτάς γε δεῖ εἶναι· σχεδὸν γὰρ ὅταν Plato.

39o. Arsen. XLI, 13: Stob. Flor. 1, 30. Antisth. fr. 6 p. 57 Winkelm.
39p. Ars. XLI, 14: Gell. N. A. XV, 20.
39q. Arsen. XLI, 15. LIII, 2: Stob. Flor. 38, 12.
39r. Arsen. XLI, 16: Max. Conf. Serm. 24, p. 606 Comb.
39s. Arsen. XLI, 17: Stob. Flor. 71, 2. Theogn. 457.
39t. Arsen. XLI, 18. XV, 86: Stob. Flor. 72, 9. Antiph. fabb. inc. fr. 53 Mein.
39u. Arsen. XLI, 19. XVI, 45: Stob. Flor. 73, 39. Alex. fr. inc. fabb. 39 Mein.
41. Plut. Apophth. Lacon. 236 D: Arsen. XLI, 76.
41a. Arsen. XLI, 77: Stob. Flor. 33, 6. Com. Gr. Fr. T. III, p. 319 Mein.
41b. Arsen. XLI, 78: Plat. Reip. III, 388 E.
42. Suidas: Arsen. XL, 78. Zenob. V, 40: add. annott. ad Greg.

Σικυωνίου τραγῳδίαν εἰς αὐτὸν ποιήσαντος, ἐπεφώνησάν τινες τοῦτο. ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως. τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγοντο. ὕστερον δὲ καταβάντες εἰς τὸ τραγῳδίας γράφειν, κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν, μήκετι τοῦ θεοῦ μνημονεύοντες· ὅθεν καὶ ἐπεφώνησαν. καὶ Χαμαιλέων ἐν τῷ περὶ Θέσπιδος τὰ παραπλήσια ἱστορεῖ. Θεαίτητος ἐν τῷ περὶ παροιμίας Παῤῥάσιόν φησι τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιστον, τοὺς δὲ ὁρῶντας τά τε τῶν ἀγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παῤῥασίου Διόνυσον ἐπιφωνεῖν, Τί πρὸς Διόνυσον;

43 *Οὐδὲν ἐξ ἀγροῦ λέγεις: ἤγουν οὐδὲν ἄγροικον.*

44 *Οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι: ἐπὶ τῶν ἀλόγως τι ποιούντων.*

45 *Οὔτ' ἰχθὺς φωνὴν οὔτ' ἀπαίδευτος ἀρετήν.*

43a *Οὐδ' ἀπομύξασθαι σύνοιδεν: ἐπὶ τῶν ἐπιεικῶς ἀνοήτων.*

45a *Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.*
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν. *Εὐριπίδου.*

---

1. *αὐτὸν*] *τὸν Διόνυσον* Suidas: *Ἄδραστον* C. O. Muellerus coniecit Dor. II, 367. *οὐ ποιήσαντος* coniecit Thierschius ad Pind. T. I, 151: vulgatam Friebelius ad Graec. Satyrogr. Fr. p. 5 defendit probante M. Schmidtio Diatr. in Dithyr. p. 191. 4. *ἐλέγετο* Suidas. *μεταβάντες* idem. 6. *θεοῦ*] *Διονύσου* idem. *ὅθεν τοῦτο* idem. 7. *δὲ ἐν* idem. 8. *Παῤῥάσιον* idem, N. 11. *ἀνταγωνιστῶν* Suidas. *Παῤῥασίου* N, Suidas. 12. *πρὸς τὸν* Suidas. 13. *ἀντὶ τοῦ, οὐδὲν εὐτελὲς ἢ κοινόν* Suidae explicatio est. 16. *Πλουτάρχου* A praemittit ex Maxim. Conf. Serm. 17, p. 584 Comb., *Ἐπικούρου* Ant. Mel. 134, p. 209 Fabr. *ἐν ἰχθύσι* Stobaeus. *ἐν ἀπαιδεύτοις* idem. *ἀρετὴν δεῖ ζητεῖν* idem: *διδακτὴν εἶναι τὴν ἀρετήν* u. 18. *οὐδεὶς*] *Καρκίνου* Stobaeus praemisit: v. Matthiae ad Eurip. Trag. T. IX, p. 43. 19. *οὐδεὶς γὰρ*] *Εὐριπίδου Ἀρχελάῳ* Stobaeus praemisit: fr. 8, 2 Matth. *γὰρ ὢν* Ab om.

Cypr. M IV, 73. *Χαμαιλέων*] v. Westermannus ad Voss. Histor. Gr. 413. *Θεαίτητος*] v. Paroem. Gr. T. I, XI: idem Theaetetus videtur afferri a Scholl. ad Theocrit. I, 118. 147. *Παῤῥάσιον*] de Parrhasii victoria Corinthiaca Welckerus dixit in libro qui inscribitur *Annales de l'institut archéologique* T. IV, 383. Ceterum Polybius non Parrhasium, sed Aristidem pictorem in hac re nominavit: v. Strab. VIII, 381.

43. Suidas: Arsen. XL, 79.

43a. Arsen. XL, 80.

44. Dictum Anaxandridae adscriptum in Plut. Apophth. Lac. 216 F, Leonti ibid. 224 F, Leonidae in eiusd. V. Lycurg. 20.

45. Ioann. Damasc. in Gaisfordi Stob. IV, p. 65: Arsen. XLI, 79. Plut. fr. 8, ubi v. Wyttenbachius.

45a. Arsen. XLI, 80. LII, 86: Stob. Flor. 29, 31. 32.

46 *Οὐκέτ' ἐμὸν τὸ πρᾶγμα· πολλὰ χαιρέτω*: παρόσον τῶν ξένων οὐδεὶς φροντίζει.

47 *Οὐδ' ἐν σελίνοις*: ἐπὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐφθακότων. ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων. ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους παρακήπους, σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος· καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰςιόντες ἐν τοῖς σελίνοις εἰσίν.

48 *Οὐδ' αἰδοῦς σοι πέρδικος*: δηλονότι ἔνεστιν· ἐπὶ τῶν ἀνάνδρων καὶ μὴ αἰδουμένων ἐν τοῖς πολέμοις:. *Οἱ γὰρ πέρδικες* τῶν θηλειῶν ἐρῶσι δριμύτατα. οὐκοῦν οἱ τρέφοντες τοὺς ἀθλητὰς πέρδικας, ὅταν αὐτοὺς εἰς τὴν μάχην τὴν κατ' ἀλλήλων ὑποθήγωσι, τὴν θήλειαν ἑκάστῳ

46a *Οὔποτε ποιήσεις* τὸν καρκίνον ὀρθὰ βαδίζειν.
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν:. Ἀριστοφάνους ἐν Εἰρήνῃ.

46b *Οὔτοι ἐγὼ θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐΐσκεις;* τοῦτο πᾶς τις ἐχέτω ἀπόκρισιν πρὸς τοὺς κόλακας.

46c *Ὄρνιθες δέ τε πολλοὶ* ὑπ' αὐγὰς ἠελίοιο
φοιτῶσ', οὐδέ τε πάντες ἐναίσιμοι.

46d *Οὐδ' ἔοικε* Ληθὰ θεῶν ἐνὶ δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

46e *Οὕτω γνώμης* ἔχουσιν, ἐξ οὐρίας φιλεῖ τὰ πράγματα φέρεσθαι:. Λιβανίου.

46f *Οὕτω τὸ λίαν* γ' ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν.

---

3. μηδὲ] μὴ δ' ἐπὶ Photius. πεφθακότων Suidas. 4. εἰς] ἐπὶ Photius. τοὺς Z om. 5. *περικήπους* Suidas, Photius: eadem forma Hesychius utitur: v. G. Dindorfius ad Steph. Thes. L. Gr. T. VI, 844 D. 7. ἐν τοῖς κήποις] *εἰς τοὺς κήπους* VB Hesychius. 9. *αἰδὼς* Z. 10. ἀνδρῶν A. οἱ — οὐκοῦν] ἀκολαστότατοι τῶν ὀρνίθων οἱ πέρδικες εἰσί. ταῦτά τοι καὶ τῶν θηλειῶν [θηλυκῶν Z] ἐρ. δρ., καὶ τῆς λαγνείας ἡττώμενοι συνεχέστατά εἰσιν οἵ γε. οὐκοῦν As. 17. οὔτοι ἐγὼ] οὔτις τοι Homerus. 22. *τοῖς γὰρ* οὕτω Libanius. 24. γ' Euripides om.

46. Diog. VII, 9: Arsen. XLI, 25.
46a. Arsen. XLI, 26: Arist. Pac. 1083. 1085. Apost. IX, 50.
46b. Arsen. XLI, 27: Hom. Od. *Π*, 187, ubi Eustath. 1799, 8 haec annotavit: ἰστέον δὲ ὅτι, οὔτι τοι θεός εἰμι καὶ τὸ ἑξῆς, ἔχοι ἂν ποτε παροιμιακῶς ῥηθῆναι, ὅτε τις οὐκ ἐθέλει ἀκούειν ἐπαίνους τοὺς ὑπὲρ ἑαυτόν.
46c. Arsen. XLI, 28: Hom. Od. *Β*, 181.
46d. Arsen. XLI, 29: Hom. Od. *Γ*, 335 sq.
46e. Arsen. XLI, 30: Liban. Oratt. T. IV, p. 12 R. Cf. Apost. VII, 56.
46f. Arsen. XLI, 31: Eur. Hippol. 263. Greg. Cypr. L II, 79.
47. Suidas: Arsen. XL, 81: Photius. Append. Provv. IV, 38. Apost. XVII, 19.
48. Arsen. XL, 82. οἱ γὰρ κτλ.] Aelian. N. An. IV, 1. Cf. adn. ad Apost. VIII, 70.

παριστάναι ποιοῦσιν. οὐ γάρ τί που ἡττώμενος φανῆναι ἢ τῇ ἐρωμένῃ ἢ τῇ γαμετῇ ὁ πέρδιξ ὑπομένει· τεθνήξεται δὲ μᾶλλον παιόμενος, ἢ ἀποστραφεὶς ἰδεῖν τολμήσει ταύτην ἀσχημόνως, παρ' ᾗ βούλεται εὐδοκιμεῖν· ἀκούω δὲ Κρῆτά τινα ἐραστήν, ἀγαθὸν τά τε ἄλλα καὶ τὰ πολέμια, ἔχειν δὲ παιδικὰ μειράκιον ὥρᾳ διαπρεπές. μάχης δὲ γενομένης, καὶ ἀθρόας ὠθουμένης εἰς αὐτὸν τῆς τῶν ἐχθρῶν φάλαγγος, προςπταῖσαι νεκρῷ κειμένῳ, καὶ περιτραπῆναι λέγουσιν αὐτόν. τῶν οὖν τις πολεμίων παίειν ἔμελλε κατὰ τῶν μεταφρένων τὸν ἄνδρα· ὁ δ' ἐπιστραφείς, μηδαμῶς, εἶπεν, αἰσχρὰν καὶ αναλκῆ πληγὴν ἐπαγάγῃς, ἀλλὰ κατὰ τῶν στέρνων ἀντίαν παῖσον, ἵνα μή μου δειλίαν ὁ ἐρώμενος καταψηφίσηται καὶ φυλάξηται περιστεῖλαί με νεκρόν. αἰδεσθῆναι μὲν οὖν ἄνθρωπον ὄντα φανῆναι κακόν, οὔπω θαυμαστόν· πέρδικι δὲ μετεῖναι αἰδοῦς, ὑπέρσεμνον τοῦτο ἐκ τῆς φύσεως τὸ δῶρον. Κλεώνυμος δὲ ὁ ῥίψασπις καὶ ὁ δειλὸς Πείσανδρος οὔτε τὰς πατρίδας ᾐδοῦντο, οὔτε τὰς γαμετάς, οὔτε τὰ παιδία.

49 *Οὐδὲ κύων παύσαιτ' ἂν ἅπαξ σκυτοτραγεῖν μαθών*: ὅτι τὸ ἔθος σχεδὸν ἀμετάβλητον.

50 *Οὐδὲν φρονεῖ δίκαιον ἀστυκὸς ἀνήρ*: ἐπὶ τῶν ἀδίκων.

51 *Οὐ τὸν στρατηγόν, ἀλλὰ τὸν τρώσαντα*: Τιμό-

49a *Οὐδ' ἂν χρόνος ὁ πάντων πατὴρ δύνατο θέμεν ἔργων τέλος.*

---

1. παριστάναι A. ποιοῦσιν ἑκάστῳ τὴν σύννομον, σόφισμα τοῦτο δειλίας καὶ κάκης τῆς κατὰ τὴν ἀγωνίαν ἀντίπαλον αὐτοῖς εὑρόντες. οὐ As. 3. ἢ ὁμόσε χωροῦντος ἀποστρ. As. 4. εὐδοκιμεῖν] τοῦτό τοι καὶ Κρῆτες ὑπὲρ τῶν ἐρωμένων ἐνενόουν As addit. δὲ] γὰρ As, δὲ καὶ A. 5. τινα As ignorat. 6. δὲ] μὲν As. εὐγενὲς μειράκιον As. De amasii virtute uberius As egit. μάχης γεν. apud Aelianum non leguntur. 9. πολεμίων, ὁ μάλιστα πλησίον, ἀνατεινάμενος, παίειν As. 13. νεκρὸν, καὶ μάλα γε ἀσχημονοῦντι προελθεῖν οὐ τολμῶν. αἰδεσθ. As. 16. δῶρον. Ἀριστόδημος δὲ ὁ τρέσας καὶ Κλ. ὁ ῥίψας τὴν ἀσπίδα As. 20. Ab M explicationem om. 21. φρονεῖ δίκαιον] μέγα φρονεῖ Suid. s. ἰστυκώς. ἀστυκὸς] ἐστυκὼς Suidas cum reliquis. Explicationem Suidas cum reliquis om. 23. ἀλλὰ τὸν τῷ στρατηγῷ τὰ στρώματα κομίζοντα Plutarchus: Apostolius corrupto Plutarchi codice usus est. 24. δύναιτο Pindarus.

49. Greg. Cypr. M IV, 74: Arsen. XL, 83, 65.

49a. Arsen. XL, 68: Pind. Ol. II, 16.

50. Suidas: Arsen. XL, 84: Photius, Eustath. ad Hom. Il. Δ, 141, quem in ann. ad App. Provv. IV, 35 proposui. Dicebatur in eos, qui inconsiderate ac temere agunt.

51. Plut. Apophth. Regg. cett. 187 C: Arsen. XLI, 81. Paulum differt Plut. de republ. seni ger. 8,

θεος εἶπε τῶν ῥητόρων προαγόντων τὸν Χάρητα καὶ ἀξιούντων τοιοῦτον εἶναι τὸν Ἀθηναίων στρατηγόν.

51a *Οὐχὶ καὶ αἱ χελῶναι διὰ μιᾶς πᾶσαι πλέαι: ἐπὶ τῶν διά τινος εὐεργετουμένων· φασὶ γὰρ ὁπόταν μία χελώνη πίῃ, αἱ λοιπαὶ ἀπὸ τοῦ ὄρου αὐτῆς ποτίζονται.*

51b *Οὐδεὶς γὰρ πώποτε πλοῦτος πονηροῦ τρόπου περιεγίνετο· καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ἡμετέρων κινδύνων.*

51c *Οὐ γὰρ αἱρετέον πάντως τὸ ῥᾳδίως ἁλισκόμενον:. Πλουτάρχου.*

51d *Οὐκ ἂν πριαίμην οὐδ' ἂν ἰσχάδος μιᾶς:. Ἀριστοφάνους Εἰρήνῃ.*

51e *Οὐκ ἔκλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.*

51f *Οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν*
ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἂρ φρένας οὔτ' ἀγορητύν.
ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στρέφει:. Ὀδυσσείας Θ.

51g *Ἀλλ' οὐ γὰρ ωὑτὸς πάντ' ἐπίστασθαι βροτῶν*
πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόςκειται γέρας:. Εὐριπίδου.

51h *Ἀλλ' οὔπως ἅμα πάντα δυνήσεται αὐτὸς ἑλέσθαι.*
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλῳ δ' ὀρχηστάν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν.
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεύς
ἐσθλόν, τοῦ δ' ἐπαυρίσκοντ' ἄνθρωποι:. Ἰλιάδος Ν.

51i *Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει,*
φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
ὃς δέ κε μήθ' αὐτῷ νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

---

1. *προςαγόντων* Plutarchus. 3. *οὐ καὶ* C. 5. *οὔρου* W, *οὐροῦ* Z. *οὐρᾶς* C. *πίνουσι* C. 6. *τρόπου πονηροῦ* Aeschines. 8. *ὑμετέρων* idem. 13. *οὐκ ἔκλεψα*] *ἢ 'κλεψα* Aristophanes. 15. *ἀγορητὺν* Homerus. 18. *αὐτὸς* Euripides. *βροτῶν*] *χερὶ* Stobaeus: v. Vaterus ad Eur. l. c. 20. *δυνήσεαι* Homerus. 22. *ὀρχηστὺν* idem. 24. *τοῦ δέ τε πολλοὶ* idem. 25. *νοήσῃ* Hesiodus. 26. Versus secundus in Boissonadi codice deest. 28. *μήτ' αὐτὸς* Hesiodus.

788 D, quem Stob. Flor. 54, 43 secutus est.

51[a]. Arsen. XLI, 82: App. Provv. IV, 43.

51[b]. Arsen. XLI, 83: Aeschin. c. Ctesiph. §. 173, p. 564 R.

51[c]. Arsen. XLI, 84: Plut. de amic. multit. 4, p. 94 E.

51[d]. Arsen. XLI, 85: Arist. Pac. 1223.

51[e]. Arsen. XLI, 86: Arist. Ran. 614.

51[f]. Arsen. XLI, 87: Hom. Od. Θ, 167.

51[g]. Arsen. XLI, 88: Stob. Flor. 54, 9. Eur. Rhes. 106.

51[h]. Arsen. XLI, 89: Hom. Il. Ν, 729.

51[i]. Arsen. XLI, 90: Boiss. Anecdd. I, 115. Hesiod. ἔργ. 293.

52 *Οὐδ' ὅσον ἀηδόνες ὑπνώσσουσιν: ἐπὶ τῶν ἀγρυ-*

51k *Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,*
ἀλλ' ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγει.
παιδείης γὰρ ἑῆς Ἑλληνικὰ πράγματα δείξας,
ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος:. Διογένους ἐπίγραμμα εἰς Ξενοφῶντα.

51l *Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη,*
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής:. τοῦ αὐτοῦ εἰς Θεόφραστον.

51m *Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν.*
πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῄσχυνεν ἐν δόμοισι νηπία:. Εὐριπίδου.

51n *Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις*
οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ
κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.

51o *Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον*
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχου· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῦ καὶ ἐν ὠμῷ γήραϊ θῆκε:. Ἡσιόδου.

51p *Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα,*
οὐδ' ἄλλο δυςφύλακτον οὐδὲν ὡς γυνή:. Ἀλέξιδος.

51q *Οὐ πάνυ εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή:.* Μενάνδρου.

51r *Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισὶν ὡς τοῖς ἀνοήτοις ἀνδράσιν ἐπιτρόπους χρὴ παρεῖναι:.* Πλουτάρχου.

---

1. ὅσσον Kusterus. ὑπνώουσιν Suidas. 2. εἰς Diogenes. 3. ἄγοι idem. 7. τιν' ἐλέχθη Iacobsius Anth. Pal. VII, 110. 12. Εὐριπίδου Ἄλκηστις. Οὔποτε — λυπεῖν. Εὐριπίδου Σθενεβοίας. Πολλοὺς κτλ. Stobaeus. 14. κατήσχυν' ἐν idem. 16. εὐτυχοῦσιν Stobaeus. 17. Εὐριπίδου Stobaeus addit. 20. δειπνολόχης Hesiodus. 21. ἐν abest ab Hesiodo. δῶκεν Hesiodus. 23. Ἀλέξιδος] Εὐριπίδου, Ab, Stob. Flor. 74, 13, Eurip. Danaes fr. 12 Matth. Recte Fritzschius ad Arist. Thesm. p. 151 statuit, ab Alexide integros Euripidis versus in comoediam receptos esse. 25. ὡς κτλ.] ἢ ἀναισθήτοις ἀνδράσιν ἐπιτρόπων ἔσται χρεία Georgides. 26. χρὴ] δεῖ Maximus.

51k. Arsen. XLI, 91: Diog. Laert. II, 58.
51l. Ars. XLI, 92: Diog. Laert. V, 40.
51m. Arsen. XLI, 93: Stob. Flor. 68, 14. 15. Οὔποτε — λυπεῖν] Eur. Alcest. 239. πολλοὺς κτλ.] Eur. Sthenob. fr. 8 Matth.
51n. Arsen. XLI, 94: Stob. Flor. 69, 3. Eur. fr. fabb. inc. 49 Matth.
51o. Arsen. XLI, 95: Hesiod. Εργ. 702.
51p. Arsen. XLI, 96. XVI, 46: Stob. Flor. 73, 42. Alex. fr. inc. fabb. 40 Mein.
51q. Arsen. XLI, 97. XVI, 56: Stob. Flor. 73, 59. Menand. fr. fabb. inc. 198 Mein.
51r. Arsen. XLI, 98: Anton. Mel. 28, p. 41 Fabr.: Max. Conf. Serm. 60, p. 670 Comb., Georg. in Boiss. Anecdd. I, 73. Est Plut. fr. 20 Wytt.
52. Arsen. XL, 85. οὐδ' —

πνούντων· παρόσον ἡ ἀηδὼν ἀγρυπνεῖ διὰ τὸν Ἴτυν. μᾶλλον δὲ διὰ δειλίαν:. Ἔστι δ' ὅμως ἡ ἀηδὼν φιλόμουσος καὶ φιλόξενος. ἐν γοῦν ταῖς ἐρημίαις ὅταν ᾄδῃ πρὸς ἑαυτὴν ἁπλοῦν τὸ μέλος καὶ ἄνευ κατασκευῆς ᾄδει, ὅταν δὲ ἁλῷ, καὶ τῶν ἀκουόντων μὴ διαμαρτάνῃ, ποικίλα τε ἀναμέλπει καὶ τακερῶς ἑλίττει τὸ μέλος.

53 Οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας; ἐπὶ τῶν εὐεξαπατήτων.

54 Οὐδὲν Ὀρέστης πρὸς ἡμᾶς καὶ Πυλάδης: ἐφ' ἑταίροιν ἄγαν ἀλλήλω φιλούντοιν· τούτῳ γὰρ ἐπὶ φιλία

54s Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι:. Ξενοφῶντος.

54t Οὐθεὶς ἐπ' αὐτοῦ τὰ κακὰ συνορᾷ, Πάμφιλε,
σαφῶς· ἑτέρου δ' ἀσχημονοῦντος ὄψεται:. Μενάνδρου.

54u Οὐ πρότερον ἀληθινοὺς φίλους κτήσῃ, πρὶν ἂν τοὺς φαύλους ἀποδιώξῃς:. Ἰσοκράτους.

54v Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος:. Πλουτάρχου.

54w Οὐκ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους δεῖ κρατεῖν· οὐ γὰρ ἕνεκεν τῶν λόγων τὰ πράγματα συντελεῖται, ἀλλ' ἐκ τῶν πραγμάτων οἱ λόγοι:. Σωκράτους.

54x Οὔτε ὕδωρ θολερὸν οὔτε ἀπαίδευτον ψυχὴν ταράσσειν δεῖ:. Πλουτάρχου.

---

1. παρόσον] locus apud Suid. s. οὐδ' ὅσον qui exstat in edd. antiquis, ab interpolatore profectus est: v. Bernhardius. 2. ἔστι — ἐν] Χάρμιδος ἀκούω τοῦ Μασσαλιώτου λέγοντος φιλόμουσον μὲν εἶναι τὴν ἀηδόνα, ἤδη δὲ καὶ φιλόδοξον· ἐν As. 4. ᾄδει] τὴν ὄρνιν ᾄδειν As. 6. ἀναμέλπειν As. ἑλίττειν As. 7. οὐ] τί οὐ Z. 12. οὐδεὶς Meinekius. ἐφ' αὑτοῦ Stephanus. 14. κτῆσαι Maximus. 15. Auctoris nomen abest ab Maximo. 16. ἂν ὁ Stobaeus. 18. Πλουτάρχου] Σωκράτους Stob. Flor. 1, 37. 23. Πλουτάρχου] Ἐπικούρου Anton. Mel. 209 Fab., Ἰσοκράτους Georg. in Boiss. Anecdd. I, 93.

ἀγρυπνούντων] Suid. s. ἀηδών: cf. App. Provv. IV, 41 et Macar. VI, 69. Οὐδ' — δειλίαν] Suid. codd. p. 1206 Bernh. Ἔστι κτλ.] Aelian. N. An. V, 38.

53. Arsen. XLI, 45: cf. Apost. XVI, 75.

54. Arsen. XLI, 46. Greg. Nazianz. Or. 20, p. 332 B: καὶ ξυνωρὶς οὐκ ἀνώνυμος καὶ ὄντες παρ' αὐτοῖς καὶ ἀκούοντες οὐδὲν τοιοῦτον αὐτοῖς οἱ Ὀρέσται καὶ οἱ Πυλάδαι, οὐδὲν οἱ Μολιονίδαι, τῆς Ὁμηρικοῦ δέλτου τὸ θαῦμα, οὓς κοινωνία συμφορῶν ἐγνώρισε κτλ.

54s. Arsen. XLI, 99: cf. Apost. XIII, 39i.

54t. Arsen. XLI, 100: Stob. Flor. 23, 3. Men. fr. fabb. inc. 85 Mein.

54u. Arsen. XLII, 1: Max. Conf. Serm. 6, p. 549 Comb.

54v. Arsen. XLII, 2: Max. Conf. Serm. 12, p. 569 Comb. Plut. fr. 57 Wytt.

54w. Arsen. XLII, 3: Max. Conf. Serm. 15, p. 580 Comb.

54x. Arsen. XLII, 4: Max. Conf. Serm. 17, p. 584 Comb.

διαβεβόησθον. ὁμοία τῇ· οὐδὲν πρὸς ἡμᾶς οἱ Μολιονίδαι.

55 *Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς: Δημοσθένους ἐν τῷ περὶ Κτησιφῶντος· παροιμία ἐστὶν ἐλλιπῶς λεγομένη· προςυπακουστέον οὖν ἔξωθεν τῆς ἀγκύρας.*

56 *Οὔτε χθὲς τὸ χρυσίον οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε τὸν Φαυρίκιον: ἐπὶ τῶν κρειττόνων χρημάτων καὶ γενναιοτάτων.*

57 *Οὐκ ἔνεστι συκοφάντου δήγματος: ἐπὶ τῶν ἀνηνύτων. Λείπει φάρμακον.*

58 *Οὐκ ἐπαινεθείης, οὐδὲ ἐν περιδείπνοις: ἐπὶ τῶν μηδενὸς ἀξίων· εἰώθασι γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, εἰ καὶ φαῦλος ἦν.*

59 *Οὐκ ἂν κινήσῃς οὐδεμίαν ἀσπίδα, ἀλλ' ἀπὸ σκυτάλλης μόνον καὶ τρίβωνος: ἐπὶ τῶν πειθηνίων.*

60 *Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς: διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαί φασιν ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ· ἢ διὰ τὸ δυςείςβολον εἶναι τὸν πλοῦν. ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι καὶ τῶν πλουσίων μόνον ὁ πλοῦς.*

---

3. *ὁρμῆς* Z. 4. *περὶ*] *ὑπὲρ* Harpocratio. *ἐλλειπτικῶς* Bekkerus: sed optimi Harpocrationis libri cum Apostolio faciunt. 5. *τῆς*] *τὸ* Harpocratio, AZ. 7. *Φαβρίκιον* Z. 8. *χρημάτων* ZR om. 9. *ἀλλ' οὐκ* Suidas: *ἀλλ'* omissum est in glossa novicia Suidae p. 1314 Bernh. 10. *λείπει δὲ τὸ φ.* Suidas. 15. *σκυτάλης* A. 20. *μόνων* Suidas, A.

55. Harpocr. 141, 15: Arsen. XLI, 47: Phot. Suidas. *Κτησιφῶντος*] §. 281. De ellipseos genere cf. Dissenius ad Demosth. l. c., Blomfieldus ad Aesch. Agam. gl. 488: add. Apost. VII, 61.

56. Arsen. XLI, 55. Plut. Apophth. Regg. cett. 195 A, V. Pyrrh. 20.

57. Suid. s. *ἀλλ' οὐ*: Arsen. XLI, 48. App. Provv. I, 21. Est Arist. Plut. 886.

58. K in nott. ad Diog. VII, 24: Arsen. XLI, 49. Greg. Cypr. L II, 85.

59. Arsen. XLI, 50. Conglutinatum est e Plut. V. Lycurg. 30: *οὕτως ἡ πόλις* [Sparta] *ἀπὸ σκυτάλης μιᾶς καὶ τρίβωνος ἄρχουσα τῆς Ἑλλάδος ἀρχούσης καὶ βουλομένης κατέλυε τὰς ἀδίκους δυναστείας καὶ τυραννίδας ἐν ταῖς πολιτεύμασι καὶ πολέμους ἐβράβευε καὶ στάσεις κατέπαυε, πολλάκις οὐδ' ἀσπίδα κινήσασα μίαν, ἀλλ' ἕνα πέμψασα πρεσβευτήν, ᾧ πάντες εὐθὺς ἐποίουν τὸ προςτασσόμενον.*

60. Suidas: Arsen. XLI, 51. Diog. VII, 16. Quam ultimo loco posuit explicationem, ea ex Aristophane Byzantio fluxit: Hesych. s. *οὐ παντὸς ἀ. εἰς Κ. ἔσθ' ὁ πλ.*: *Ἀριστοφάνης. ἐπεὶ δοκεῖ τοῖς ἐς Κόρινθον εἰςπλέουσι ξένοις χαλεπή τις ἡ πόλις εἶναι διὰ τὴν τῶν ἑταιρῶν γοητείαν*: v. Nauckius ad Arist. Byz.

61 *Οὐκ ἔστι πρὸς δαιμόνια φωτὶ μάχεσθαι:* ἐπὶ τῶν ἀδυνάτων.

62 *Οὐχ ὁ τόπος τὸν ἄνδρα, ἀλλ' ὁ ἀνὴρ αὐτὸν ἔντιμον ποιεῖ:* ὅτι ἡ ἀρετὴ, ἀλλ' οὐχ ἡ πατρὶς τὸν γενναῖον τιμᾷ.

63 *Οὐκοῦν ἐν ψυχρῷ τούτους ἑψήσωμεν:* ἐπὶ τῶν ἀδυνάτων. Χαρμίδης γὰρ ὁ Λαρισσαῖος ἀκούσας διηγουμένου τινὸς ἐν ὕδατι ζώσας ἰδεῖν ἐγχέλυας, ἔφησε τουτί.

61a *Οὐδ' Αἴσωπον πεπάτηκας:* ἐπὶ τῶν μὴ πολυπραγμονούντων καὶ ἀμαθῶν.

61b *Οὐ θεομαχήσω, σῶν λόγων πεισθεὶς ὕπο:.* Εὐριπίδου.

61c *Οὐ δύναμαι τὴν αἶγα φέρειν κἀπιτίθετέ μοι βοῦν.*

61d *Οὐ μέλει τῇ χελώνῃ μυῶν:* ὁμοία τῇ· *Ἐλέφας μῦν οὐ δάκνει.*

63a *Οὐ τὰ χρήματα φίλον, ἀλλ' ὁ φίλος χρήματα·* καὶ χρήματα μὲν φιλίαν οὐδέποτε ἂν ἐργάσαιτο, ὥσπερ οὐδὲ γῆ θεόν, φιλία δὲ χρήματα ῥᾳδίως ἂν κτήσαιτο, καθάπερ καὶ θεὸς γῆν:. Μοσχίωνος.

---

1. οὐκ ἔστι] ὁππότ' ἀνὴρ ἐθέλῃ Homerus. δαίμονι idem. 6. ἑψήσομεν Plutarchus. 8. ἐγχέλεις idem. 11. κοὐ Euripides. 12. ἐπίθετε Plutarchus: ἐπί μοι θέτε τὸν βοῦν metri causa Reiskius. 15. φίλον] φίλοι Maximus. ὁ φίλος] οἱ φίλοι idem. 16. ἡ γῆ idem. 17. ἂν ab Maximo abest. 18. Μοσχίωνος] Κάτωνος Maximus.

Rell. p. 237. Usurpat Aristid. Or. περὶ τοῦ μὴ δεῖν κωμῳδεῖν T. I, 508 Iebb.: ἢ τὸν μὲν εἰς Κόρινθον πλοῦν οὐ παντὸς ἀνδρὸς εἶναι πιστεύσομεν, τὴν δὲ τοῦ βίου τοῦ παντὸς πορείαν ἥντινα καὶ δι' ὧν δεῖ τῶν ἐπιτηδευμάτων ποιήσασθαι πᾶς ἀνὴρ εἴσεται καὶ πᾶς ἐπὶ τούτοις τοῖς οἴαξι καθεδεῖται τῇδε κἀκεῖσε κομίζων τοὺς νέους ὡς ἂν αὐτῷ δοκῇ; add. artifex ignotus, qui vasculo figuris ornato inscripsit: οὐ παντός ἐστι Κόρινθος: v. Panofka in Gerhardi Ephem. Archaeol. 1847, p. 22. Parodia proverbii exstat in Nicolao comico apud Stob. Flor. 14, 7, 26: οὐ παντὸς ἀνδρὸς ἐπὶ τράπεζαν ἐσθ' ὁ πλοῦς.

61. Hom. Il. *P*, 98, ubi v. Eustathius: Arsen. XLI, 20[a].

61[a]. Arsen. XLI, 21. Est ex Arist. Av. 471 desumptum: ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων οὐδ' Αἴσωπον πεπάτηκας, quem versum ἐπὶ τῶν ἰδιωτῶν dici Suid. s. ἀμάθητος et s. πατῆσαι annotavit. Cf. Diog. II, 95.

61[b]. Ars. XLI, 22: Eur. Bacch. 325.

61[c]. Arsen. XLI, 23: Plutarch. de vit. aere alieno 6, p. 830 A: ἐπεὶ τὸ τῆς παροιμίας ἔσται γέλοιον. οὐ . . βοῦν· πενίαν φέρειν μὴ δυνάμενος, δανειστὴν ἐπιτίθης σεαυτῷ, φορτίον καὶ πλουτοῦντι δύσοιστον.

61[d]. Arsen. XLI, 24. Greg. Cypr. L III, 33. Apost. XVIII, 19.

62. Arsen. XLI, 20. De hoc apophthegmate eiusque auctore v. Wyttenbachius ad Plut. Apophth. Lac. 208 D: add. Scholl. ad Ioann. Climac. 252: οὐχ ὁ τόπος τὴν ἀρετήν, ἀλλ' ἡ ἀρετὴ πέφυκε τὸν τόπον σεμνύνειν, quae ab Ioann. Damasc. Sacr. Parall. 438 B Opp. T. II Ioanni Chrysostomo adscribuntur.

63. Arsen. XLI, 64. Xenophani dictum Plut. adv. Stoic. 46, p. 1084 E adscripsit.

63[a]. Arsen. XLI, 65: Max. Conf. Serm. 6, p. 549 Comb.

64 *Οὐ δύνασαι Θέτιδος καὶ Γαλατείας ἐρᾶν:* ἐπὶ τῶν ἀνόμοια ζητούντων.

65 *Οὔτε Ῥώμη πεσεῖται Σκηπίονος ἑστῶτος, οὔτε Σκηπίων ζήσει τῆς πόλεως πεσούσης:* ἐπὶ τῶν ὑπὲρ πατρίδος ᾑρημένων ἀποθανεῖν.

66 *Οὐ τύ ἐσσι Καλλιπίδας ὁ δεικηλίτας:* ἐπὶ μίμων καὶ ὑποκριτῶν σοβαρῶν. οὕτω γὰρ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. Καλλιπίδης γὰρ ὁ τῶν τραγῳδοποιῶν ὑποκριτής, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι καὶ σπουδαζόμενος ὑπὸ πάντων, εἰπὼν πρὸς βασιλέα τὸν Ἀγησίλαον, οὐκ ἐπιγινώσκεις με, ὦ βασιλεῦ; ἤκουσε παρὰ Ἀγησιλάου τουτί.

67 *Οὐκ ἔστι διθύραμβος ἂν ὕδωρ πίνῃ:* ὁ γὰρ θεὸς εὑρετὴς οἴνου, ᾧτινι ἑορτάζουσιν.

63b *Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι·* ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα, καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα:. Δημοκρίτου.

63c *Οὐθὲν σιωπῆς ἐστι χρησιμώτερον:.* Μενάνδρου.

65a *Οὔτε ἀῤῥώστου πληγὴν οὔτε ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.*

67a *Οὐκ ἀεὶ ποταμὸς ἀξίνας φέρει:* ἐπὶ τῶν οὐκ ἀεὶ τὰ αὐτὰ δωρουμένων. Γεωργὸν γάρ φασι παρὰ ποταμὸν βαδίζοντα ἀποβαλεῖν ἀξίνην· κατοικτείροντα δὲ τὸν ποταμὸν ἀνεῖναι αὐτῷ ἀργυρᾶν. τοῦ δὲ φήσαντος οὐκ εἶναι ταύτην αὐτοῦ, ἀνεῖναι αὖθις χρυσῆν. ἀρνησαμένου δὲ καὶ ταύτην, τὸν ποταμὸν τὴν ἰδίαν αὐτῷ ἀναδοῦναι καὶ τὰς ἄλλας δωρήσασθαι ἀγασθέντα αὐτὸν

3. *Σκιπίωνος* Plutarchus. 4. Scribe *Σκιπίων*. 6. *Καλλιππίδας* Plutarchus. *δικηλίκτας* A, *δεικηλίκτας* Plutarchus. *ἐπὶ — σοβαρῶν*] Plutarchus non agnoscit. 8. *Καλλιππίδης* Plutarchus. 13. *πίῃ* ex Meinekii emendatione Ds. Nunc pro scazonte versum habet Meinekius Com. Gr. Fr. II, 1, 119. 15. *δοκέει* Mullachius. *ἐνορέω* idem. 16. *κτήσει* idem. 17. *εὐθηνέοντα* Gesnerus. 19. *οὐδὲν* Meinekius. 21. *Φίλωνος* Maximus addit.

63b. Arsen. XLI, 66: Stob. Flor. 76, 15. Democr. fr. 185 Mull.

63c. Arsen. XLI, 67: Stob. Flor. 33, 2. Men. fr. inc. fabb. 288.

64. Arsen. XLI, 52. Usurpat Theophyl. Simoc. Epist. 39.

65. Arsen. XLI, 53. Ex Plut. Apophth. Regg. cett. 201 F. Ex oratione, qua Scipio legem Papiriam dissuasit, haec sumpta esse, Meierus Oratt. Rom. Fr. p. 190 coniecit.

65a. Arsen. XLI, 54: Max. Conf. Serm. 60, p. 670 Comb. Philon. Opp. T. II, p. 671 Mang.

66. Arsen. XLI, 57. Ex Plut. Apophth. Lacon. 212 F: add. eiusd. V. Ages. 21.

67. Diog. VII, 39: Arsen. XLI, 35.

67a. Arsen. XLI, 36. Macar. VI, 68.

68 *Οὐ πατρικὰ αὐλεῖ μέλη*: ἐπὶ τῶν οὐχ ὁμοίως τοῖς πατράσι βιούντων.

69 *Οὐ φελλίας ὁ ἀγών*: οἷον οὐ στεφανίτης, ἀλλὰ χρηματίτης· ἔλεγον δὲ ἐπὶ τῶν ἀργύριον τελούντων.

70 *Οὐ φροντὶς Ἱπποκλείδῃ*: ὁ Τισάνδρου Ἱπποκλείδης μέλλων γαμεῖν Ἀγαρίστην τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα, ἐν τῷ συμποσίῳ ὠρχήσατο ἀσχημόνως· τοῦ δὲ Κλεισθένους εἰπόντος, ἀπωρχήσω τὸν γάμον, ἀπεκρίνατο, οὐ φροντὶς Ἱπποκλείδῃ.

τῆς δικαιοσύνης. ἕτερον δὲ γεωργὸν βουλόμενον τῶν αὐτῶν τυχεῖν, ἑκόντα καταβαλεῖν τὴν ἀξίνην ἐν τῷ αὐτῷ ποταμῷ· τὸν δὲ ποταμὸν τὴν ἰδίαν αὐτῷ ἀναπέμψαι· τὸν δὲ πρότερον γεωργὸν παρατυχόντα εἰπεῖν πρὸς αὐτὸν τὸ προκείμενον.

68a *Οὐδ' ὅσον κνήσασθαι τὸ οὖς σχολὴν ἄγει*: ἐπὶ τῶν πράγμασι πολλοῖς συμπεπλεγμένων.

68b *Οὐ γὰρ παρὰ κρατῆρα* καὶ θοίνην μόνον
τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει,
ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει:. Πολυΐδου.

68c *Οὔτε τὸν ἄῤῥωστον* ἡ χρυσῆ ὠφελεῖ κλίνη οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία:. Λυκούργου.

68d *Οὐ τὸ πλουτεῖν* καλόν, ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν:. Ἀπολωλύκου.

68e *Οὐ τὸ πένεσθαι* κατὰ φύσιν αἰσχρόν, ἀλλὰ τὸ δὲ αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος.

68f *Οὐκ ἀντιλέγοντα* δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν· οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται:. Αἰσχίνου.

---

3. *Οὐ φελλίας*] οὐφελλίας Ds, *οὐ φυλλίνας* Finckhius in Bergkii et Caesaris Diar. philol. 1844, p. 949, 1846, p. 421, probante C. F. Hermanno in Compend. Antiqq. Grr. II, p. 374. 5. *ὁ — μέλλων*] παροιμία, ἧς μέμνηται Ἕρμιππος ἐν Δημόταις [fr. 6 Mein.]. Ἱπποκλείδης ὁ Τισάνδρου μέλλων Suidas. 9. *οὐδὲ τὴν ἰδίαν* Coraes συναγ. Αἰσωπ. μυθ. p. 29. 13. κρητῆρα Stobaeus. 15. *Πολυΐδου*] Εὐριπίδου Ab, τοῦ αὐτοῦ [i. e. Εὐριπίδου] Πολυΐδου Stobaeus. 16. ἀῤῥωστοῦντα ἡ χρυσόπους Maximus. 17. *Λυκούργου*] τοῦ αὐτοῦ, i. e. Σωκράτους Stobaeus, Πλουτάρχου Maximus. Λυκούργου ad sequens dictum pertinet. 19. *Ἀπολωλύκου*] *Λυκούργου* Stobaeus. Quod praebet A, sententiae sequenti apponi debet: natum enim est ex Ἀπολλώνιος Λύκου: v. Gaisfordus ad Stob. Flor. 95, 9. 24. *Αἰσχίνου*] Ἀντισθένους Stobaeus: Ab auctoris nomen om.

68. Diog. VII, 40: Arsen. XLI, 57. Macar. VI, 66.
68a. Arsen. XLI, 58: Macar. VI, 59.
68b. Arsen. XLI, 59. XLIV, 100: Stob. Flor. 91, 8. Eur. Polyid. fr. 9 Matth.
68c. Arsen. XLI, 60: Stob. Flor. 94, 13. Max. Conf. Serm. 18, p. 589 Comb. Plut. fr. 60 Wytt.
68d. Arsen. XLI, 61: Stob. Flor. 94, 17. Lycurgi fr. 100 Saupp.
68e. Arsen. XLI, 62: Stob. Flor. 95, 9.
68f. Arsen. XLI, 63. XVII, 54: Stob. Flor. 82, 8. Antisth. fr. 16 Winkelm.
69. Diog. VII, 41: Arsen. XLII, 6.
70. Suidas: Arsen. XLII, 7. Ze–

υἱοῦ θυγατέρα τοῦ τυράννου, ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ ἀπωρχήσατο περιττῶς. μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος, ὅτι ἀπώρχηται τὸν γάμον τῆς Ἀγαρίστης, ὑποτυχὼν ἔφη· οὐ φροντὶς Ἱπποκλείδῃ.

71 Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν, ἀλλ' αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει.

72 Οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας: ὅτι πρὸ τῶν πραγμάτων δεῖ βουλεύεσθαι καὶ μὴ ἐν αὐτοῖς τοῖς πράγμασιν, ὥσπερ καὶ τὰ ἱερὰ προςάγοντες οὐ μετὰ τὸ θῦσαι βουλεύονται.

73 Οὐκ ἂν αὖθις ἀλώπηξ: λείπει τὸ ἁλώσεται· αὕτη γὰρ ἅπαξ διαφυγοῦσα τὰς πάγας οὐδέτερον ἁλίσκεται:. Σὺ μέν μοι λέγεις πανοῦργον εἶναι ζῷον ἀλώπεκα τὴν χερσαίαν· ἄκουε δὲ καὶ τῆς θαλαττίας μηχανάς· ἢ γὰρ οὐ πρόςεισι τῷ ἀγκίστρῳ τὴν ἀρχήν, ἢ καταπίνουσα ἑαυτῆς

72a Οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα·
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει:. Εὐριπίδου.

72b Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν· οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν, τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα:. Δημοσθένους.

72c Οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζωή·
πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

---

2. ἐπωρχήσατο Suidas: cum Apostolio Photius concinit. 7. ἰθεῖα Theognis. 8. ἀεὶ Stobaeus. 11. ἱερεῖα Gregorius. 14. τὰς M om. οὐδέτερον] οὐ δευτέρως M. 16. χερσαίαν] ταύτην δὴ τὴν ἐκ τῆς γῆς τρεφομένην As. μηχανάς, καὶ ὁποῖα δρᾷ καὶ ἐκείνη πυνθάνου As. 17. καταπιοῦσα, παραχρῆμα ἑαυτῆς τὸ ἐντὸς As. 18. ἀλλ' οὐδὲν Stobaeus. ηὐγένεια Matthiae. 19. Εὐριπίδου Ἀλκμήνῃ Stobaeus. 23. Δημοσθένους] Σωκράτους Stobaeus. 24. γὰρ Ab om. ζοή Porso. ζωή] Ab addit: Ἡρώδου. 25. πάντ'] praefigit Ab Σοφοκλέους.

nob. V, 31: add. Apost. IX, 19b. XVIII, 62d.

71. Stob. Flor. 62, 36: Arsen. XLI, 11. Est Theogn. 535, de quo v. Welckerus ad vs. 843.

72. Greg. Cypr. M IV, 53: Arsen. XLI, 41.

72a. Arsen. XLI, 42: Stob. Flor. 92, 1. Eur. Alcm. fr. 8.

72b. Arsen. XLI, 43: Stob. Flor. 86, 23.

72c. Arsen. XLI, 44. XVI, 90. 91: Stob. Flor. 116, 28. 29. Soph. fr. 500 Dind.

73. Arsen. XLI, 37. οὐκ—ἁλίσκεται] Greg. Cypr. M IV, 54: Apost. II, 45. Σὺ κτλ.] Aelian. N. An. IX, 12.

ἐντὸς μετεκδῦσα ἔτρεψεν οὕτως ἔξω, ὥσπερ οὖν χιτῶνα τὸ σῶμα ἀνελίξασα, καὶ οὕτως ἐξεώσατο τὸ ἄγκιστρον.

74 Οὔθ' ὕεται οὔθ' ἡλιοῦται: ἐπὶ τῶν ἀναισθήτων, ἢ ἐπὶ τῶν ἔξω πάσης φροντίδος ἑστώτων.

75 Οὐ πόλεμον ἀγγέλλεις: ἐπὶ τῶν τὰ ἀγαθὰ ἀγγελλόντων.

76 Οὔποτε ἐκ σκίλλης ῥόδα φύεται οὐδ' ὑάκινθος.

77 Οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός: ὅτι οἱ τῶν πλειόνων ἐπιθυμοῦντες καὶ ἃ ἔχουσιν ἀποβάλλουσιν.

Τὸ ο μετὰ τοῦ φ.

78 Ὁ φεύγων μύλον ἄλφιτα φεύγει: ἐπὶ τῶν ἑκουσίως ἀποβαλλομένων τὰ σφίσι πρόςφορα.

79 Ὄφις ἢν μὴ φάγῃ ὄφιν δράκων οὐ γενήσεται.

77a Οὐ δύναμαί σοι, θυμέ, παρέχειν ἄρμενα πάντα.
τέτλαθι· τῶν δὲ καλῶν οὐ σὺ μοῦνος ἐρᾷς.

77b Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.

78a Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
ὅταν οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον:. Ἀντιφάνους.

78b Ὁ φθόνος, ὥσπερ φαῦλος δημαγωγός, ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσι:. Ἀριστωνύμου.

79a Ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ταὐτόν ἐστιν· οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ:. Πλουτάρχου.

---

2. οὕτως] τοῦτον δήπου τὸν τρόπον As. 3. ἐπὶ — ἢ] DV ignorat. 7. οὔ ποτ'] οὔτε γὰρ Theognis. 8. ὅτι Gregorius om. 13. ἢν] εἰ Z. φάγοι Z. 14. παρασχεῖν Stobaeus. 15. οὐ] οὐχὶ Stobaeus, οὔτι Theognis. 19. ὅταν] ὅτ' Stobaeus. 21. ἐκ τῶν Ἀριστ. Τομαρίων idem.

74. DV III, 45: Arsen. XLI, 38.
75. Greg. Cypr. L II, 94: Arsen. XLI, 39.
76. Theogn. 537: Arsen. XLI, 40.
77. Greg. Cypr. L II, 89: Arsen. XLI, 32.
77a. Arsen. XLI, 33: Stob. Flor. 19, 11. Theogn. 695.
77b. Arsen. XLI, 34: Stob. Flor. 5, 5. Soph. fr. 664 Dind.
78. Arsen. XLII, 8.
78a. Arsen. XLII, 9. XVI, 53: Stob. Flor. 73, 52. Antiph. fabb. inc. fr. 55 Mein.
78b. Arsen. XLII, 10: Stob. Flor. 38, 36.
79. Arsen. XLII, 11. Idem significat quod ἰχθύων βίος: Polyb. XV, 20, 3: οἱ τύραννοι ... ἀνέδην καὶ θηριωδῶς οὕτως, ὥστε προσοφλεῖν τὸν λεγόμενον τῶν ἰχθύων βίον, ἐν οἷς φασιν ὁμοφύλοις οὖσι, τὴν τοῦ μείονος ἀπώλειαν τῷ μείζονι τροφὴν γίνεσθαι καὶ βίον: de quo loco Bochartus disputat Hieroz. T. III, 225 Rosenm.
79a. Arsen. XLII, 12: Anton. Mel. 58, p. 96 Fabr. Legitur locus etiam in Demoph. Sent. 55: auctor Aesopum ante oculos habuit: Aesop. fab. 170 Cor., Phaed. fabb. IV, 19.

80 Ὄφεως ὄμμα: ἐπὶ τῶν ὀξὺ καὶ καταπληκτικὸν ὁρώντων:. Φασὶ τοὺς ὄφεις συνεγνωκότας ἑαυτοῖς, ὅτι τὸν στόμαχον λεπτὸν καὶ μακρὸν ἔχουσιν, ὅμως ὄντες ἀδδηφάγοι καὶ παμφορώτατοι, ὡς Ἀριστοτέλης λέγει, ἀνίστανται ὀρθοὶ καὶ ἐπ' ἄκρας τὰς οὐρὰς ἑστᾶσι, καὶ ἡ τροφὴ κατολισθαίνει αὐτοῖς εἰς τὸν ὄγκον τοῦ σώματος· ἄποδες δὲ ὄντες εἶτα ἕρπουσιν ὤκιστα· ἤδη δὲ καὶ ἀκοντίων δίκην ἑαυτόν τις μεθίησι, καὶ τό γε ὄνομα ἐξ οὗ δρᾷ ἔχει· κέκληται γὰρ ἀκοντίας.

81 Ὁ φαλλὸς τῷ θεῷ: ἐπὶ τῶν ἀπονεμόντων ἐνίοις τὰ εἰκότα καὶ πρόσφορα.

Τὸ ο μετὰ τοῦ χ.

82 Ὀχλεῖς μάτην με κῦμ' ὅπως: ἐπὶ τῶν ἀναισθήτως ἐχόντων ἡ παροιμία. ὡς γὰρ κῦμα προσκροῦον ἀεὶ παραλίαις πέτραις οὐδὲν ἀνύει, εἰ μὴ μάτην πονεῖ, οὕτως οὐδ' αὐτὸς ὀχλῶν μοι ἀνύσεις τι, ὥστε ἃ χρήζεις ἀκοῦσαι.

79b Ὀφθαλμὸς φιλίας πρόξενος καὶ τὸ σύνηθες τῆς κοινωνίας εἰς χάριν αἰδεσιμώτερον ι. Λευκίππου.

79c Ὀφθαλμοὶ ἀλλήλων ἀντανακλώμενοι ἀπομάττουσιν ὡς ἐν κατόπτρῳ τῶν σωμάτων εἴδωλα.

82a Ὁ χρήσιμ' εἰδὼς οὐχ ὁ πόλλ' εἰδὼς σοφός.

82b Ὀχληρὸν ὁ χρόνος ὁ πολύς· τὸ γῆρας βαρύ,

---

2. φασὶ — ὅτι] οἱ ὄφεις ἑαυτοὺς συνεγνωκότες As. 3. ἀδηφάγοι A, ἀδηφάγοι As. 4. παμβορώτατοι As. 6. καὶ εἰς τὸν ὄ. τ. σ. ἀποχωρεῖ As. 8. μεθίστησι Z, μεθίησι καὶ ἐπιφέρεται As. 17. ὀφθαλμὸς γὰρ Maximus. 18. Λευκίππου] Λευκίππης idem: Apostolius hic ut saepius pulcherrimam puellam in philosophum morosum mutavit. 19. γὰρ ἀλλήλοις Maximus. 22. τὸ] ὦ recte Stobaeus. βαρὺ] βαθὺ Meinekio praestare videtur.

79b. Arsen. XLII, 13: Max. Conf. Serm. 44, p. 640 Comb. Est Achill. Tat. I, 9.

79c. Arsen. XLII, 14: Max. Conf. Serm. 44, p. 640 Comb. Est Achill. Tat. I, 9.

80. Arsen. XLII, 15. Horat. Serm. I, 3, 26: *cur in amicorum vitiis tam cernis acutum, quam aut aquila aut serpens Epidaurius?* ubi v. intt. φασὶ κτλ.] Aelian. N. An. VI, 18. Ἀριστοτέλης] Hist. An. VIII, 6, 2, ubi v. Schneiderus.

81. Diog. VII, 22: Ars. XLII, 16.

82. Arsen. XLII, 17. ὀχλεῖς — ὅπως] Aesch. Prom. V, 1001. ἀναισθήτως] ad verba Lycoph. Cass. 1452: εἰς κῦμα κωφὸν .. βάζω Scholiasta a Bachmanno editus annotat: εἰς κῦμα ἀναισθήτου; alia Gatacker ad Anton. IV, §. 49 et Valckenarius ad Eur. Hippol. 304 attulerunt.

82a. Arsen. XLII, 18: Stob. Flor. 3, 1. Aesch. fr. 271 Dind.

82b. Arsen. XLII, 19. XVI, 69: Stob. Flor. 116, 8. Menand. fabb. inc. fr. 26 Mein.

Τὸ ὂ μετὰ τοῦ ψ̃.

83 Ὄψ' ἦλθες, ἀλλ' ἐς Κολωνὸν ἴεσο: ἐπὶ τῶν εἰς τοὺς καιροὺς ὑβριζόντων.

84 Ὄψον ἄριστον πόνος τῷ γηρᾷ: ὅτι δεῖ πονεῖν ἐν νεότητι, ἵνα πρὸς γῆρας ἔχῃ.

Ἀρχὴ τοῦ π̃ στοιχείου.

Τὸ π̃ μετὰ τοῦ α̃.

85 Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: ἐπὶ τῶν πρὶν μὲν εὐπραγούντων, ὕστερον δὲ δυςπραξάντων· τάττεται δὲ καὶ ἐπὶ τῶν πρότερον μὲν χρωμένων τισὶν ὁπωςδήποτε, ὕστερον δὲ μὴ φροντιζόντων αὐτῶν· ὡς ὁ ἐν Ἀριστοφάνει νεὸς μεμήνυκε τῇ γραΐ· ἤτοι πάλαι ποτέ μοι ἄκοντι χρησίμη ὑπῆρχες διὰ τὴν ἔνδειαν, νῦν δ' οὐκέτι σου φροντίδα ποιοῦμαι. ἡ δὲ τῶν Μιλησίων ἱστορία τοιαύτη· πρῶτοι Κᾶρες καὶ Μιλήσιοι μισθοῦ ξυμμαχεῖν ἤρξαντο. καὶ εἴ που πόλεμος ἀνεῤῥήγνυτο, τοὺς ἄνδρας συμμάχους μισθῷ μετεπέμποντο. καὶ πρώτους αὐτοὺς ἁπάντων ταῖς συῤῥαγαῖς τῶν πολεμίων τοῖς πολεμοῦσιν ἀντέ-

ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πόλλ' ἔχεις
τοῖς ζῶσι καὶ λυπηρά· πάντες εἰς σὲ δέ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν.

84a Ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.

---

2. ἔεσο CVB. Scribe ὑστεριζόντων: Suidas explicat: ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν καὶ ἐπὶ τῶν μισθαρνούντων. 9. δυςπραγούντων sive δυςπραγησάντων Hemsterhusius ad Arist. Plut. 1002. 18. Dele τοῖς πολεμοῦσιν.

83. Arsen. XLII, 20. Respexit Pherecrates in Argum. ad Soph. Oed. Colon. p. 7 Herm., de quo v. Meinekius Comm. Gr. II, 1, p. 321 sqq.: alia in ann. ad Append. Provv. IV, 49 indicavi.

84. Arsen. XLII, 21. Natum videtur e dicto, quod Orioni Orion Ritschelii p. IV tribuit, Democrito Anton. Mel. 89, p. 149 Fabr., Isocrati Arsen. XXXI, 90: ὁ αὐτὸς ἰδὼν νεανίαν φιλοπονοῦντα ἔφη· κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

84a. Arsen. XLII, 22: Hom. Od. Γ, 480.

85. Arsen. XLII, 89. πάλαι — Μιλήσιοι] versus Aristophanis e Plut. 1002. 1075, de quo v. Zenob. V, 80. Macar. VII, 3. Greg. Cypr. M III, 63. Apost. VIII, 69: add. Publ. Syr. Sent. 777: *quondam fuere strenui Milesii.* ἐπὶ — ποιοῦμαι] haec e Scholl. ad Arist. Plut. 1002 hausta sunt. ἡ δὲ κτλ.] ex quo fonte haec derivaverit Apostolius, Hemsterhusius ad Ar. Plut. 1002

ταττον· καὶ εἴ τι λυπηρὸν ἐκ τοῦ πολέμου συγκύρσειε, πρώτοις αὐτοῖς ἐγινώσκετο· ὅθεν φασὶ τό·

τίω δέ μιν ἐν Καρὸς αἴσῃ.

τοιοῦτοι μὲν ἦσαν πρὶν οἱ Κᾶρες καὶ οἱ Μιλήσιοι. Ἐπὶ Δαρείου δὲ τοῦ Ὑστάσπεως, ὡς ἱστορεῖ Ἡρόδοτος, παρ' Ἱστιαίου καὶ Ἀρισταγόρου τῶν Μιλησίων ἀναπεισθέντες οὐ μόνον ἐκστῆναι Περσῶν, ἀλλὰ ἀντάραι πολέμοις, ἄρδην ὑπὸ Περσῶν κατεκόπησαν· καὶ κατεσφάγη ἡ Μίλητος, καὶ οἱ περιλειφθέντες αὐτῶν γυναιξὶν ὁμοῦ καὶ παισὶν ἀχθέντες εἰς τὴν Περσίδα αἰχμάλωτοι περὶ τὴν ἐρύθραν θάλασσαν μετῳκίσθησαν περί τινα πόλιν Περσῶν Ἄμβην τῇ κλήσει· καὶ οὕτως ὕστερον ἡ παροιμία ἐῤῥήθη.

86 Πάντα θεῖν ἐλαύνεται: ἐπὶ τῶν εὐπόρων.

87 Παραξορούσιν: Ἀριστοφάνης Τυγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι· Εὐφρόνιος δὲ παροιμιω-

86a Πάντα τὸν βοῦν ἔφαγε κεἰς τὴν οὐρὰν ἀπέκαμεν: ἐπὶ τῶν τελεσάντων τὸ πλεῖον μέρος τινὸς ἔργου, τοῦ λοιποῦ δὲ καὶ βραχέος ὀλιγορούντων.

86b Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος.

86c Πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.

86d Πάντας ὑφέλκεις οἷα μαγνῆτις λίθος.

86e Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

---

7. καὶ ἀντάραι AR. 8. κατεσκάφη Pantinus. 11. Ἄμβλην R: Ἄμπη nominatur ab Herod. VI, 20, ubi cf. Wesselingium. 13. θεῖ κἀλαύνεται Photius. 14. παραιξορούσιν Suidas, παραιξορουσον [sic] Photius: παρεξερεῖ Lambecius apud Boissonadum ad Aristaen. Ep. I, 14 fin., εὐπόρων παριστοροῦσιν. Ἀριστοφάνης κτλ. Toupius Op. Critt. II, 26, Πάρι ἐξόρουσον ex Hom. Il. Γ, 325 G. Dindorfius ad Arist. Fr. p. 184, παρεξόρουσον Bernhardius ad Suid. l. c., πάρεξ ὄρουσον Meinekius apud Bergkium in Com. Gr. Fragm. II, 2, p. 1157. 15. ἀφρόνιος Z. 19. Σιμωνίδου Ab in fine addit. 20. πρὸς] εἰς τὸ Meinekius.

ignorare se fatetur. De Carum militia mercenaria cf. annott. ad Apost. VII, 39: mercede Milesios militasse Byzantinae doctrinae documentum. Δαρείου] Herod. VI, 20. Tzetz. Chiliad. VIII, hist. 156. Ceterum plane singulari modo Schol. ad Ar. Plut. 1075: τινὲς τοὺς Κυπρίους φασὶ τοῦτο ῥηθῆναι βουλομένους ἔχειν συμμάχους.

86. Photius: Arsen. XLII, 90. Cf. Apost. XII, 56.

87. Suidas. Photius: Ars. XLIII, 3.

86a. Arsen. XLII, 91. Cf. Apost. XIII, 97.

86b. Arsen. XLII, 92. XXVI, 10: Stob. Flor. 105, 7. Simon. Amorg. fr. 3 Schneidew.

86c. Arsen. XLII, 93: Menand. Monost. 459, ubi cf. Meinekius.

86d. Arsen. XLII, 94: Georg. Pisid. ap. Suid. s. Ἡράκλεια. Cf. Macar. IV, 54. Apost. VIII, 67.

86e. Arsen. XLII, 95: Theogn. 74.

δῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι.

88 *Πάντα κάλων σείειν:* ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων· παρῆκται δὲ ἀπὸ τῶν ἄρμενα χαλώντων.

89 *Πάναβρος Σαρδανάπαλος:* ἐπὶ τῶν τρυφώντων καὶ πολυόλβων.

90 *Παρὰ τὰ δεινὰ φρονιμώτερος:* ὁμοία τῇ· *Ἐξ ὧν ἔπαθες ἔμαθες.*

91 *Πάντα λίθον κινεῖν:* Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσε, πριαμένῳ τόπον ἔνθα Μαρδόνιος ἐσκήνωσεν.

86f *Πᾶς δ' ὑπὸ κόλπου χεῖρας ἔχων, πόθεν αὔξεται ἀθρεῖ*
ἄργυρον· οὐδέ κεν ἰὸν ἀποτρέψας τινὶ δοίη·
ἀλλ' εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ κνήμης.

87a *Παρεξηυλημένος τὸν νοῦν:* οἷον ἀμυδρὸν βλέπων· ἢ ὑπὸ γήρως διεφθορότα ἔχων τὸν νοῦν.

88a *Πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος*
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο.

---

3. σείαν N. 4. τὰ ἄρμενα RNZ Suidas. χαλώντων] A addit:
λλ νε
ἀπο Τυαν πάντα φασὶ δεῖν τὸν ἔμπορον κάλων σείειν: Apoll. Epist. ad Euphrat. VII, p. 387 Olear. 7. παρὰ] μετὰ male Erasmus I, 3, 99. 11. κόλπω Theocritus. 12. ἄργυρος idem. 13.
μβλ
κνήμα idem. 14. παρεξηυλημένος A. βλέπων Ds om.: βλέπειν Z.

86f. Arsen. XLII, 96: Theocr. Id. 16, 16. ἤγ. κ.] Apost. V, 59.

87a. Arsen. XLIII, 4: Diog. VII, 44. Suid. v. παρεξηυλημένον νοῦν. οἷον διεφθαρμένον καὶ ἀμυδρὸν ὑπὸ γήρως. μετῆνεκται δὲ ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς· οἱ γὰρ κατατετριμμέναι ἐξηυλῆσθαι λέγονται. Ἀριστοφάνης [Ach. 681]· Οὐδὲν ὄντας ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους: v. DV I, 100.

88. Suidas: Arsen. XLII, 97. Greg. Cypr. L III, 4.

88a. Arsen. XLII, 98: Hom. Il. N, 636.

89. Arsen. XLII, 99. Luc. Rhetor. Praec. 11: εὑρήσεις .. πάναβρόν τινα Σαρδανάπαλλον ἢ Κινύραν: cf. Macar. VII, 57.

90. Arsen. XLII, 100. παρὰ τ. δ.. φρ.] Darii Hystaspis dictum: Plut. de republ. sen. gerenda 16, p. 792 C: Δαρεῖος ὁ Ξέρξου πατὴρ ἔλεγεν, αὐτὸς αὑτοῦ παρὰ τὰ δεινὰ γίνεσθαι φρονιμώτερος: idem refertur a Plut. Apophth. Regg. cett. 172 F, ubi v. Wyttenbachius, et Stob. Flor. 7, 28. Ἐξ — ἔμαθες] Herod. I, 207: τὰ δέ μοι παθήματα, ἐόντα ἀχάριτα, μαθήματα γέγονε: VII, 11: Aesch. Agam. 177. 250. Soph. Trach. 141: alia contuli in ann. ad Macar. III, 44. Apost. VI, 67d. XVII, 91. Mant. Provv. s. τὰ παθήματα: add. Wetstenius ad Nov. Test. T. II, p. 401. »Frequenter Graeci hac paronomasia utuntur: Xenoph. Cyrop. III, 1, 17: πάθημα τῆς ψυχῆς λέγεις εἶναι τὴν σωφροσύνην, οὐ μάθημα: Achill. Tat. IV, 14: ἔφθανε τὸ παθεῖν πρὸ τοῦ μαθεῖν, ubi v. Iacobsius: Synes. Dion. pag. 48 A: καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους οὐ μαθεῖν τι δεῖν ἀλλὰ παθεῖν καὶ διατεθῆναι:« Walzius.

91. Suidas: Arsen. XLIII, 1. Diog. VII, 42. Macar. VII, 4.

ὅτε Πέρσαι ἔφυγον, καὶ εὗρε χρυσόν· οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ θηρευόντων.

92 *Πᾶν μοι τὸ χρέος κρόμμυα καὶ τὸ τίμημα σκόροδα*: ἐλλείπει τὸ εἴη. ἐπὶ τῶν ὀλίγα ὀφειλόντων καὶ εὐτελῆ.

93 *Πάντα ὀκτώ*: οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ὑπ' αὐτοῦ Στησιχορείαις πύλαις λεγομέναις, καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βαθμοὺς καὶ ὀκτὼ γωνίας· οἱ δὲ ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ὀκτὼ μέρη τὴν πόλιν.

93a *Παντὸς καλοῦ κτήματος* πόνος προηγεῖται ὁ κατ' ἐνέργειαν :. Πυθαγόρου.

93b *Πάντ' ἔστιν ἐξευρεῖν*, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.
ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν:. Φιλήμονος.

93c *Παρθενικὴν δὲ γαμεῖν*, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς·
πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς:. Ἡσιόδου.

93d *Πᾶν τὸ τιμώμενον* αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζό-

---

2. ἀπὸ τῶν ZA, ἀπὸ τῶν τοὺς καρκίνους θ. Suidas. 8. λεγομέναις καὶ] Bernhardius καὶ delendum esse censet. 9. Ἀχήτης Z. 11. πόλιν] εἴρηται δὲ ἐπὶ τῶν παγίων καὶ βεβαίων AZ addunt. 12. ἐνέργειαν] ἐγκράτειαν Stobaeus cum Demophilo. 16. ἐκ τοῦ — κρατεῖν] versus ab antecedentibus separandus. Φιλήμονος] Φ. Καταψευδομένου Stobaeus, Φ. Καταψευδομένων Ab. Ceterum nomen Φιλήμονος post v. ζητουμένοις collocari debet. 17. ὥς κ'] ἵνα Goettlingius. διδάξῃς] in Hesiodi carmine sequitur versus: τὴν δὲ μάλιστα γαμεῖν, ἥτις σέθεν ἐγγύθι ναίει. χάρμα Ab. 19. πᾶν γὰρ Stobaeus, Ab.

92. Arsen. XLIII, 2. Erasmus III, 3, 66: »nonnihil vereor, ne et hoc Apostolius hauserit non ex auctoribus priscis, sed e suis combibonibus.«

93. Suidas: Arsen. XLIII, 5. Zenob. V, 78. Ab his recedunt, quae leguntur apud Theon. Smyrn. p. 165 Bulliald.: Τιμόθεός φησι καὶ παροιμίαν εἶναι τήν, πάντα η', διὰ τὸ τοῦ κόσμου τὰς πάσας ὀκτὼ σφαίρας περὶ γῆν κυκλεῖσθαι, καθά φησι καὶ Ἐρατοσθένης [fr. LV, p. 165 Bernh.]· ὀκτὼ δὴ τάδε πάντα σὺν ἁρμονίῃσιν ἀρήρει, Ὀκτὼ δ' ἐν σφαίρῃσι κυλίνδετο κύκλῳ ἰόντα: et in Theol. Arithm. p. 56 Ast.: ἡ ὀγδοὰς ἀσφάλεια καλεῖται καὶ ἕδρασμα, ἀγωγὸς οὖσα παρὰ τὸ δίο ἄγειν σπέρμα αὐτῇ· ὁ πρῶτος ἄρτιος· τετράδι πολλαπλασιασθεῖσα ποιεῖ τὸν λβ', ἐν ᾧ φασὶ χρόνῳ τὰ ἑπτάμηνα διατυποῦσθαι· ἡ περιέχουσα τὰ πάντα σφαῖρα ὀγδόη, ὅθεν ἡ παροιμία πάντα ὀκτὼ φησί, ad quem locum v. Astium p. 196.

93a. Arsen. XLIII, 6: Stob. Flor. 17, 8. Demoph. Sent. Pythag. 33.

93b. Arsen. XLIII, 7. XXXVI, 36: Stob. Flor. 29, 28. 29. Philem. Cataps. fr. 1 Mein.

93c. Arsen. XLIII, 8. XXXVI, 45: Stob. Flor. 70, 8. Hesiod. Op. et D. 699.

93d. Arsen. XLIII, 9. VIII, 100: Stob. Flor. 46, 62.

94 *Πάσῃσι κορυδαλῇσι χρὴ λόφον ἐγγενέσθαι:* τοῦ Σιμωνίδου ἐστίν. ἐπὶ τῶν ζηλοτυπούντων καὶ φιλονεικούντων.

95 *Παρὰ σφυρὸν παχεῖα μισήτη γυνή:* ἐπὶ τῶν ἀνικάνων τῇ μισγητίᾳ. Μισγήτη γάρ τίς ἐστι καὶ μισήτη. καὶ ὁ Κρατῖνός που τοῦτ' ἔφη·

Μίσηται δὲ γυναῖκες ὀλίσβοισι χρήσονται.

96 *Πάντες Ἕλληνες ἐπίστανται τὰ καλά, χρῶνται δ' αὐτοῖς μόνοι Λακεδαιμόνιοι.*

97 *Πάντ' ἐντραγὼν τὸν βοῦν εἰς τὴν οὐρὰν ἀπέκαμεν:* ἐπὶ τῶν εἰς τὰ τελευταῖα ἀπειρηκότων.

98 *Πάντα εἴσω πίπτει:* ἐπὶ τῶν μὴ περί τινων πλείστου ἀξίων κατ' ἀξίαν εἰπόντων· τὸ γὰρ εἴσω πίπτον

μενον· καὶ τοῦτό ἐστι διαφανέστατον σημεῖον ἀρχῆς εὖ διοικουμένης. Προτρέπει τε γὰρ τοὺς ἀρχομένους ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα καὶ τὴν ἐπιβάλλουσαν ἑκάστοις ἀξίαν διανέμει καὶ πληροῖ τὰς πόλεις τῶν ἀρίστων ἐπιτηδευμάτων:. Ἰαμβλίχου ἡ γνώμη.

---

3. παρὰ] περὶ Scholl. ad Aristoph. Av. 1619. Eustath. ad Hom. Od. *K*, 113, p. 1650, 63. 4. Corrige μισητίᾳ: μισγητία enim et μισγήτη ficta esse a grammaticis vocabula recte contendit Brunckius ad Arist. Plut. 990. 6. ὀλίσβοισι Hesych. s. μισήτην. 7. ἅπαντες μὲν οἱ Ἕλληνες Plutarchus. 13. ἐστι τὸ Stobaeus. τῆς εὖ idem. 15. ἀξίαν ἑκάστοις idem. 16. ἡ γνώμη Ab Stobaeus om.

94. Plutarch. de util. ex hostib. cap. 10, p. 91 E: ἐπεὶ δὲ πάσαισι κορυδαλῇσι [κορυδαλλίσιν Schneidewinus] χρὴ λ. ἐγγ., κατὰ τὸν Σιμωνίδην· καὶ πᾶσα φύσις ἀνθρώπου φέρει φιλονεικίαν καὶ ζηλοτυπίαν καὶ φθόνον κτλ. Simon. fr. CX, ubi cf. Schneidewinus. Natum est ex hoc versu proverbium, quo utitur Eunapius V. Orib. 181 Commel.: ἀλλ' οὔτε κορυδαλλίς, ἥ παροιμία φησί, ἄνευ λόφου, οὔτε Ὀριβάσιος ἦν ἄνευ φθόνου. De alauda cassidis causa saepe celebrata v. Scholl. ad Theocr. Z, 23. Galen. de simplic. medic. XI, 37, T. XII, 360 Kuehn.: plura praebebit Knochius ad Babr. fabb. fr. p. 131.

95. Suid. s. μισήτη: τὴν καταφερῆ μισήτην ἔλεγον, οὐ παρὰ τὸ μῖσος, ἀλλὰ παρὰ τὸ μίσγεσθαι· τὸ γὰρ μῖσος ἄπωθέν ἐστι τοῦ μαίνεσθαι, ὃ γὰρ μισεῖται, μεμόνωται καὶ ἀμιγές ἐστιν· ἀλλ' οἱονεὶ μισγήτην τινὰ οὖσαν [probat hanc rationem Etym. M. 588, 54.]· ὃ καὶ βέλτιον· καὶ τὸ ἐν παροιμίαις δὲ μέχρι λεγόμενον, *Παρὰ σφυρὸν . . γυνή*, κατὰ τοῦτο εἰρῆσθαι δοκεῖ. καὶ ὁ Κρατῖνός που τοῦτο ἔφη· *Μίσηται . . . χρήσονται.* τὸν δὲ ἁπλῶς μισητὸν τὸν ἀνίκανον λέγει: Photius s. μισήτη. De v. μισήτη egit Valckenarius Anim. ad Ammon. 150 sq. Versum proverbialem Archilocho [fr. 173 Bergk.] vindicaverunt Iacobsius Annott. ad Anthol. Gr. T. I, 169 et Meinekius Com. Gr. Fr. II, 1, 202, quorum iudicium Horatii imitatione firmatur Ep. 8, 9: *et femur tumentibus Exile suris additum*, ubi v. Mitscherlichius.

96. Plut. Apophth. Lacon. 235 C: Arsen. XLIII, 10.

97. Arsen. XLIII, 11. Cf. Apost. XIII, 86[a].

98. Arsen. XLIII, 12.

περιέχεται, καὶ τὸ περιεχόμενον ἅπαν μικρότερον τοῦ περιέχοντος.

99 *Παρὰ κωφὸν ἀποπαρδεῖν*: ἐπὶ τῶν ἀναισθήτων.

100 *Πατροκλέους φειδωλότερος*: ἐπὶ τῶν πλουσίων μέν, φειδωλῶν δὲ καὶ σμικροπρεπῶν· οὗτος γὰρ ἐξ ὅτου περιεγένετο πλούσιος, ἢ καὶ ἐγεννήθη, οὐκ ἐλούσατο. Ἀριστοφάνης. ἢ ἐπὶ ῥυπώντων καὶ αὐχμηρῶν.

99a *Πᾶσι γὰρ ἐμπίπτει* μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν μεμνημένοις ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς:. Ζαλεύκου ἡ γνώμη.

99b *Πᾶσα ἐπιστήμη* χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ' οὐ σοφία φαίνεται:. Πλάτωνος.

99c *Παπαῖ, νέος καὶ* σκαιός, οἷος ἔστ' ἀνήρ:. Εὐριπίδου.

99d *Παρὰ χελώνης ὄστρακον*: ἐπὶ τοῦ μὴ μεταδιδόντος, ὡς οὐδὲ ἡ χελώνη μεταδοίη ἂν τοῦ ὀστράκου.

99e *Παντὸς φυτοῦ* ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν καὶ τῶν ζῴων ἡμέρων καὶ ἀγρίων καὶ ἀνθρώπων. ἄνθρωπος δέ, ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὼν καὶ φύσεως εὐτυχοῦς θειότατον. ἡμερώτατόν τε ζῷον γίνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύει γῆ:. Πλάτωνος ἡ γνώμη ἐν ϛ^ω νόμων.

99f *Πατρὸς ἐπιτίμησις* ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ δάκνοντος:. Σωκράτους.

---

5. φειδωλῶν] φειδωλοτέρων Z. 11. πᾶσά τε Stobaeus cum Platone. 12. ἀλλ' in Platone deest. 13. νέος ὢν καὶ Ab. 14. χελῶνα (ης) A, χελῶνα E, χελώνη Z. 16. παντὸς γὰρ δὴ Plato. 20. τυχὸν idem. 21. γίγνεσθαι idem. 24. ἐπιδάκνοντος Stobaeus.

99. Photius: Arsen. XLIII, 13. Macar. VI, 89.

99a. Arsen. XLIII, 14: Stob. Flor. 44, 20.

99b. Arsen. XLIII, 15: Stob. Flor. 9, 30. Plat. Menex. 246 E.

99c. Arsen. XLIII, 16. XXXVII, 82: Stob. Flor. 52, 3. Eurip. Melan. fr. 22 Matth.

99d. Arsen. XLIII, 17: Macar. VI, 88.

99e. Arsen. XLIII, 18: Plat. Legg. VI, 765 E.

99f. Arsen. XLIII, 19: Max. Conf. Serm. 23, p. 604 Comb., Stob. Flor. 83, 22.

100. Arsen. XLIII, 20. Suidas: *Πατροκλῆς*. ὄνομα κύριον. Καὶ παροιμία· *Ἐκ Πατροκλέους*. ἐπὶ τῶν ῥυπώντων καὶ αὐχμηρῶν. Πατροκλῆς γὰρ ἐγένετο Ἀθηναῖος, πλούσιος σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιπός· ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσιέσθαι, φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. ὁ Πλοῦτος οὖν ἐρωτώμενος [Arist. Plut. 84, ubi v. Scholia.], πόθεν βαδίζεις; Ἐκ Πατροκλέους, ἔφη. οὗτος — ἐλούσατο] Arist. Plut. 85: ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο. De Patrocle cf. Fritzschium Quaest. Arist. I, 80.

1 *Πάτταλος παττάλῳ προςκρούεται:* ὅταν τὸ κακὸν ὑπὸ κακοῦ θεραπεύεται.

2 *Παύσωνος πτωχότερος:* οὗτος ζωγράφος ἦν καὶ ἐπὶ πενίᾳ διατεθρύλλητο.

3 *Πάντα χρήματα:* ἐπὶ τῶν συγκεχυμένων πραγμάτων· ἐλήφθη δὲ ἐκ τοῦ Δημοκρίτου τοῦ φυσικοῦ.

4 *Παμφίλου νοσφισμός:* ἐπὶ τῶν κλεπτόντων· ὁ γὰρ Πάμφιλος δημαγωγὸς ἦν Ἀθηναίοις καὶ ἐνοσφίζετό τινα

100a *Παλαιὸς αἶνος·* ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος:. Εὐριπίδου.

100b *Πᾶσα πρακτικὴ* ἀρετὴ ἐν τῷ γίνεσθαι οὐκ τῷ γεγονέναι τὸ εἶναι ἔχει:. Διδύμου.

100c *Πάθος γὰρ ἅπαν* τὸ μὲν ὀξέως γιγνωσκόμενον, εὐβοήθητον· τὸ δὲ χρόνῳ παραπεμπόμενον, ἐγγὺς ἀνίατον:. Ἡλιοδώρου.

100d *Πᾶσί τοι κίνδυνος* ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
τῷ δὲ καλὸν ποιοῦντι θεὸς καλὰ πάντα τίθησι,
συντυχίην δ' ἀγαθῶν, ἔκδυσιν ἀφροσύνης:. Θεόγνιδος.

---

4. διετεθρύλητο Suidas. 7. γὰρ Scholiasta om. 8. ἐν Ἀθήναις Scholiasta. 10. Εὐριπίδου Μελανίππης Stobaeus. 11. οὐκ] καὶ οὐκ ἐν Maximus. 13. γὰρ Ab om. 15. πᾶσιν Stobaeus. οἶδεν Theognis. 16. πῇ Ab, Theognis. 18. ἐς Theognis. 19. καλῶς ποιεῦντι Theognis: κακῶς ποιεῦντι Bergkius. καλὰ] κατὰ Ab, περὶ Theognis. τίθησιν Theognis. 20. δ' ἀγαθῶν] ἀγαθῶν Ab, ἀγαθήν Theognis. ἔκλυσιν Theognis.

100a. Arsen. XLIII, 21. XXXVII, 81: Stob. Flor. 115, 5. Eurip. Melan. fr. 23 Matth.

100b. Arsen. XLIII, 22: Maxim. Conf. Serm. 1, p. 531 Comb.

100c. Arsen. XLIII, 23. XXXI, 75: Georg. in Boiss. Anecd. I, 75. Heliod. Aethiop. IV, 5 fin.

100d. Arsen. XLIII, 24. XXVI, 29: Stob. Flor. 111, 16. Theogn. 585 sqq.

1. Arsen. XLIII, 25. Cf. Greg. Cypr. M III, 60, Apost. VIII, 52, C in nott. ad Diog. V, 16.

2. Suidas: Arsen. XLIII, 26. Manavit ex Aristophane: v. Plut. 602 ibiq. Scholl. et Fritzschius ad Ar. Thesm. 949.

3. Schol. ad Arist. Panath. 130, 7 Iebb., p. 356 Fromm.: Δημοκρίτου τοῦτο τοῦ φυσικοῦ, ὃς πάντα ἐν πᾶσιν ἀξιῶν εἶναι τὰ τῶν ὑλικῶν αἰτίων ἔφασκεν ὁμοῦ πάντα χρήματα· ἐκ τούτου ἐξέπεσεν, ὥστε παροιμιῶδες ἐπὶ τ. συγκ. πρ. τοῦτο λέγεσθαι: Arsen. XLIII, 27. Est libri Anaxagorei initium [v. Simplic. in Phys. Aristot. 33, 6, Arsen. XI, 6], quod in proverbium cessit: v. Schol. Arist. l. c., Schol. Plat. 345 aliorumque veterum locos a Clemente in dissertatione, quam edidit de Anaxag. Philos. p. 25 sqq. dispositos: add. Eustath. Opusc. 312, 30: ἀπ' αὐτοῦ γὰρ παρετέθη· ὡς εἶναι τὸ παράθεμα πάνθ' ὁμοῦ χρήματα ταῦτα· χύτραν, πινακίσκον, ἄρτον, προσόψημα.

4. Arsen. XLIII, 28. ὁ γὰρ κτλ.] Scholl. cod. Paris. ad Arist. Plut.

τῶν δημοσίων χρημάτων· ἐπεὶ οὖν ἔμελλε φωραθήσεσθαι καὶ δώσειν δίκην ὡς κεκλοφὼς τὰ δημόσια, κωμῳδεῖται ὑπὸ τῶν ποιητῶν. εἶχε δὲ οὗτος ὁ Πάμφιλος καί τινα κόλακα παράσιτον Βελονοπώλην καλούμενον, ὃς ἔμελλε συναπολαύσειν τῷ Παμφίλῳ τῶν κακῶν.

5 *Πάνθ' ὑπὸ μιᾶς Μύκονος: ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.*

6 *Παναθηναίων κατόπιν: ἐπὶ τῶν βραδυνόντων. Παναθήναια Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γινομένῳ συνοικισμῷ· πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον δὲ ὑπὸ Θησέως τοῦ συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. γίνεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς ἴσθμια οὐ πρεσβύτερος καὶ ἀγένειος καὶ ἀνήρ· τῷ δὲ νικῶντι δίδοται ἆθλον, ἔλαιον ἀμφορεῦσι, καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ.*

7 *Παρθένοις ἓξ ἐφάμιλλος: ἐπὶ τῶν εὐψύχων καὶ σωφρόνων· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον, καὶ ἐτίμησαν δὲ τὸν ἀριθμὸν ἕξ. πρεσβυτάτη μὲν ἐκαλεῖτο Πρω-*

5a *Πᾶσα γῆ πατρίς.*

---

2. *κωμῳδεῖται — ποιητῶν*] *κωμῳδεῖ αὐτὸν* Scholiasta. 3. *δὲ* Scholiasta om. 4. *βελοπώλην* N. *παραπολαύσειν* Scholiasta. 11. *τοῦ* Suidas om. 12. *ἄστυ*] *ἀγομένη* s. *γινομένη* post hanc vocem excidisse suspicatur Meierus in Ersch. et Grub. Encycl. univ. III, 10, 283: rectius post v. *πρῶτον* e Schol. Plat. *ἐτέθη* inseretur. *γίνεται*] *ἄγεται* Suidas. 13. *παῖς*] *πᾶς* N. *παῖς Ἰσθμικοῦ πρεσβύτερος* Photius probante Bernhardio: *π. Ἴσθμια οὐ πρεσβύτερος* Suidas, Schol. Plat.: *παῖς εἰς ἔτη ιδ' οὐ πρεσβ.* Letronnius *Observ. sur les noms des vases Gr.* p. 23, *παῖς ἴσθμια, οὐ πρεσβύτερος μόνον* Panofka *Rech. sur l. vérit. noms des vases Gr.* p. 44, *παῖς μικρότερος, πρεσβύτερος καὶ ἀγένειος* Meierus l. c. 284. 14. *ἀγενείου* Photius. *καὶ ἀνήρ*] *καὶ* Scholl. Plat., Photius om. 15. *ἀμφιφορεῦσι* Suidas, Photius, *ἐν ἀμφορεῦσι* Z, Scholl. Plat. probante Bernhardio, *ἐλαίου ἀμφορεύς* s. *ἐλαίου ἀμφορεῖς ι'* Meierus l. c.: v. Schol. ad Pind. Nem. X, 64: *τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι δίδοται ὑδρία ἐλαίου πλήρης.* 17. *ἐτιμώρησαν* Suidas, *ἐτίμωνῆσαν* Photius. In voce *ἐτίμων* desinit Hesychius. 18. *ἐκαλεῖτο* Suidas ignorat.

174. De Pamphilo dixit F. Rankius in Ersch. et Grub. Encycl. univ. III, 10, p. 238.

5. Greg. Cypr. L III, 1: Arsen. XLIII, 29.

5a. Arsen. XLIII, 30: Macar. VII, 1.

6. Arsen. XLIII, 31. Cf. Apost. IX, 44. XVI, 10. *Παναθήναια κτλ.*] Suidas: add. Photius, Scholl. Plat. 329 Bekk., Harpocr. 144, 15.

7. Arsen. XLIII, 32. *τὰς κτλ.*] Suidas s. *παρθένοι*: Phot. Hesychius. Varias veterum de Erechthei filiabus fabulas persequitur Lobeckius Aglaoph. I, 210. *οὕτως*] i. e. *παρθένοι.* V. *οὕτως* indicium, ni fallor, facit, e Suida hanc narratio-

τογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθεια, ἕκτη Χθονία. τούτων λέγεται Πρωτογένειαν καὶ Πανδώραν δοῦναι αὑτὰς σφαγῆναι ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας· ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῆς Σφενδονίων· διὸ καὶ οὕτω καλοῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος.

8 *Πάτροκλος πρόφασις: ἐπὶ τῶν μὴ δυναμένων διὰ φόβον θρηνεῖν τὰς οἰκείας συμφοράς, ἐξ ἑτέρων δὲ θλίψεων αὐτὰς ἀποκλαίειν.*

9 *Πᾶς δεσπότης δούλῳ μονοσύλλαβον· τὸ δ' ἱκετεύειν μακρόν.*

10 *Πάθος κόρης ἱππομανοῦς: ἐπὶ τῶν διαφθειρομένων καὶ ἀφόρητα δῆθεν ὑφισταμένων· οὗτος γὰρ τοῦ γένους τῶν Κοδριτῶν ὤν, ὃς καὶ τελευταῖος ἐβασίλευσε, τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ' ἵππου μαινομένου· διὸ λαθραίῳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο, καὶ ὁ ἵππος τὴν κόρην βίαν ἐποιήσατο· ἀφ' οὗ Πάριππος καὶ Κόρη ὁ τόπος ἐν ᾧ τὸ πάθος ὑπέστη καλεῖται.*

11 *Πανίδου ψῆφος: ἐπὶ τῶν ἀμαθῶς ψηφιζομένων· ὁ γὰρ Πανίδης Χαλκίδος τῆς ἐπ' Εὐρίπῳ βασιλεὺς ὢν Ἡσιόδῳ κατὰ Ὁμήρου ἐψηφίσατο.*

---

2. *Ὠρείθυια* Suidas. 3. *Πρωτογένεια καὶ Πανδώρα* idem. *ἑαυτὰς* AN Suidas. 5. *τῆς*] *τῶν* Suidas. *Σφενδονῶν* Meinekius Com. Gr. Fr. II, 1. p. 592. 7. *Φανόδημος ἐν τῇ πέμπτῃ Ἀτθίδι, μεμνημένος τῆς τιμῆς αὐτῶν, καὶ Φρύνιχος Μονοτρόπῳ* addit Suidas. 8. *Πατρόκλειος* Ds. 9. *θλίψεων*] *σκήψεων* Emperius. 10. *ἀποκλαιόντων* Z Ds. Excidit participium. 14. *οὗτος — ὤν*] *ἐπειδή τις τοῦ γένους τῶν Κοδριδῶν, Ἱππομάνης* [corrige *Ἱππομένης*] *τοὔνομα* Suidas. 17. *διότι* AN Suidas. *λαθραίᾳ* Suidas. 18. *βίαν*] *βορὰν* Photius, *βορὰν* Z, edd. Suidae antiquae. 21. *Πανείδης* G. Hermannus apud Goettlingium ad Hesiod. p. 315.

nem proverbio subiunctam esse: v. infr. 10. *Ὑακινθίδες*] hae ab Erechthei filiabus plane diversae sunt: v. Heynius ad Apollod. T. II, 346. *Φανόδημος*] fr. 3 Muell.

8. Diog. VII, 47.

9. Demet. de Elocut. 7: *καὶ τὸ μὲν ἐπιτάσσειν σύντομον καὶ βραχὺ καὶ πᾶς δ. δ. μονοσύλλαβος· τὸ δὲ ἱκ. μ. καὶ τὸ ὀδύρεσθαι.*

10. Arsen. XLIII, 33. Cf. Apost. IX, 7. *οὗτος κτλ.*] Suid. s. *πάριππον.* Dixit de Hippomene eiusque filia Schneidewinus ad Heracl. Polit. p. 35.

11. Philostr. Heroic. 18, p. 727 Olear.: *ἐμοῦ δὲ τὸν φαυλότερον ἐπαινέσαντος ... γελάσας ὁ Πρωτεσίλεως, καὶ Πανίδης, εἶπεν, ἀμπελουργέ, ταὐτόν σοι πέπονθεν· Χαλκίδος γὰρ τῆς ἐπ. Ε. β. ὤν, ἐκεῖνος Ἡ κ. Ὁ. ἐψ. καὶ ταῦτα τὸ γένειον μεῖζον ἔχων ἢ σύ:* cf. Welckerus de Cyclo ep. 269. Uberius de Panidae iudicio

12 *Πάρες τὸν μάντιν:* ἔθος ἦν πρὸ τῆς φάλαγγος ὁδεύειν τὸν μάντιν ἐστεμμένον· παρεγγυᾷ οὖν τούτου φείδεσθαι.

13 *Παταικίωνος συκοφαντικώτερος:* οὗτος ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος καὶ προςκρούειν ἐπιτηδείων τοῖς εὐδοκιμοῦσι τῶν πολιτῶν. τέλος φωραθεὶς ἀνῃρτήθη.

Τὸ π̃ μετὰ τοῦ ε̃.

14 *Πεισάνδρου δειλότερος.*

15 *Πελαργικοὶ νόμοι: καὶ Ἀντιπελάργωσις:* ἡ διὰ τὸ τρέφειν τοὺς γονεῖς· οὕτως Ἀριστοφάνης. ὁ δὲ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ. ὁμοίως

13a *Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται.*
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀμείνους.

13b *Παύροις δ' ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·*
ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχε.

13c *Πάντες θεῶν χατέουσ' ἄνθρωποι.*

---

1. πάρες] πάρας E. μάντιν ἐστεμμένον EZ. 4. Παντακίωνος Z: corrige *Παταικίωνος*. οὗτος ἀπὸ] Παττακίων. ἀνὴρ ἀπὸ Suidas. 6. τῶν — ἀνῃρτήθη] τῶν νέων Suidas, addens: διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος· ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις. 8. Explicationis gratia addunt EZ: ἐπὶ τῶν πάντα τρόπον ἐπινοούντων ὥστε ποιῆσαι ὃ βούλονται, ἡ παροιμία λέγεται. 9. καὶ ἀντιπελάργωσις Suidas om.: e Suida s. ἀντιπελαργεῖν huc translata sunt. ἡ Suidas om. 10. τρέφειν] ἀντεκτρέφειν Suidas. 11. ἀληθῆ εἶναι idem. 13. ἀμείνους] ἀρείους Homerus. 14. δ' Theognis ignorat. 15. ἔλαχεν Theognis. 16. δὲ θεῶν Homerus.

exponunt Tzetz. ad Hesiod. Ἔργ. Proll. 6. 15 Gsf. et Auct. Certam. Hes. et Hom. 315 Goettl.

12. Diog. VII, 90. Cf. Apost. XIII, 22.

13. Arsen. XLIII, 34. οὗτος κτλ.] Suidas: de homine breviter exponunt Phot. s. v., Harpocr. 149, 7. Etym. M. 656, 13. Bekk. Anecdd. 193, 5. 298, 5. Pataecionis mentionem fecit Aeschin. or. c. Ctesiph. 189, p. 81 R., nec non Diogenes Cynicus apud Plut. de poet. aud. 4, p. 21 F et Diog. Laert. VI, 39: τί λέγεις; ἔφη, κρείττονα μοῖραν ἕξει Παταικίων ὁ κλέπτης ἀποθανὼν ἢ Ἐπαμεινώνδας, ὅτι μεμύηται; add. Dion. Chrysost. Or. 52, p. 270 R.

13a. Arsen. XLIII, 35: Hom. Od. *Β*, 276.

13b. Ars. XLIII, 36: Theogn. 933.

13c. Arsen. XLIII, 37: Hom. Od. *Γ*, 48.

14. Suidas: Arsen. XLIII, 38: παροιμία nominatur a Suid. s. δειλότερος. Manavit e comicis: v. Arist. Av. 1553. Pac. 394 c. Scholl. et locos a Cobetio tractatos in Observv. critt. in Plat. Com. Rell. p. 127 sqq. Cf. Apost. XIII, 48.

15. Arsen. XLIII, 40. πελαργικοὶ — Ἀριστοφάνης] Suid. s. πελαργικοί: Phot. Hesychius. Macar. VII, 10. Ἀριστοφάνης] Ar. 1353. V. ἀντιπελάργωσις explicat Anon. in Crameri An. Oxon. IV, 402: καὶ λέγεται ἡ παρ' αὐτῶν [sc. πελαργῶν] ἀμοιβὴ καὶ ἀπόδοσις ἀντιπελάργωσις: usum scriptorum Bois-

δὲ αὐτοῖς φησι ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας. οἱ δὲ ἱπποπόταμοι ζῶα ἀδικώτατα:. *Λέγεται περὶ πελαργῶν* καὶ τοῦτο· ὅτι τρέφουσι τοὺς πατέρας γεγηρακότας, καὶ αὐτοὶ δὲ τὰ ἑαυτῶν ἔκγονα φιλοῦσιν· ὅταν γὰρ ὁ τέλειος ἐνδεὴς ᾖ τροφὴν ἀπτῆσιν ἔτι καὶ ἁπαλοῖς τοῖς νεοττοῖς ἐν τῇ καλιᾷ παραθεῖναι, γενομένης αὐτῷ κατὰ τύχην ἀπορίας, ὁ δὲ τὴν ἑαυτοῦ χθιζὴν ἀνεμέσας ἐκείνους τρέφει· καὶ τοὺς ἐρωδιοὺς ἀκούω ταὐτὸν ποιεῖν, καὶ τοὺς πελεκᾶνας μέντοι· οἳ ἐν τοῖς ποταμοῖς κόγχας περιχαίνοντες, εἶτα καταπίνουσιν, ἔνδον δὲ καὶ ἐν μυχῷ τῆς γαστρὸς ὑποθάλψαντες, ἀνεμοῦσι, καὶ τὰ μὲν ὀστράκια ἐκ τῆς ἀλέας διέστη, ὥσπερ οὖν τῶν ἑφθῶν, οἱ δὲ ἐξορύττουσι τὰ κρέα καὶ δεῖπνον ἔχουσιν:. *Ἔτι καὶ τοῦτο* λέγουσι περὶ αὐτῶν· ὅτι τῶν πελαργῶν οἱ μὲν γηραιοὶ καταμένουσιν ἐν ταῖς νεοττιαῖς ἀδυνατοῦντες ἵπτασθαι, οἱ δὲ τούτων παῖδες ὀλίγῳ δέω φάναι γῆν καὶ θάλατταν ἐπιπετώμενοι, πανταχόθεν ἐκπορίζουσι τοῖς γονεῦσι τὰ ἐπιτήδεια· καὶ οἱ μὲν ἀξίας τῆς ἡλικίας ἠρεμοῦντες ἐν ἀφθονίᾳ διατελοῦσι τῇ πάσῃ τρυφῶντες, οἱ δὲ τὰς εἰς τὸν πορισμὸν κακοπαθείας ἐπελα-

---

6. ζῷον ἀδικώτατον Suidas. In v. ἀδικώτατα AN desinunt. 7. ὅτι — αὐτοὶ] haec uberius As tractavit. 8. φιλοῦσιν· καὶ τούτου μαρτύριον· ὅταν ὁ As. 9. *τροφῆς* As. 10. *καλιᾷ* As. 12. ποιεῖν ταὐτὸν As. 13. οἳ] οἱ πελεκᾶνες As. περιχαίροντες R. 16. κρέατα Z. 17. ἔχουσι δεῖπνον As. VV. ἔτι — παρασχομένων R om. 19. *ὀλίγου* Philo. 20. ἐπιπορευόμενοι idem: corrige *ἐπιποτώμενοι*.

sonadus illustrat ad Babr. fabb. p. 32: add. Basil. in Hexaem. Hom. 8, p. 75 C. ὁ δὲ — ἀδικώτατα] Suid. s. ἀντιπελαργεῖν: cf. Apost. II, 100. διὸ — δικαιοπραγίᾳ] de his nihil apud Aristotelem; rem tangit Plut. de solert. anim. 4, 962 E: ὃ δὴ καὶ δῆλόν ἐστι παραβαλλομένων πελαργοῖς ἵππων ποταμίων· οἱ μὲν γὰρ τρέφουσι τοὺς πατέρας, οἱ δ' ἀποκτιννύουσιν, ἵνα τὰς μητέρας ὀχεύωσι. De ciconia in Deorum sceptris sedente v. intt. ad Arist. Av. 510. 515: add. Hammerus in Boettigeri Amalth. II, 119. ἱπποπόταμοι] Damasc. in Phot. Bibl. c. 242, p. 342 Bekk.: ὁ ἱπποπόταμος ἄδικον ζῷον, ὅθεν καὶ ἐν ταῖς ἱερογλυφικοῖς γράμμασιν ἀδικίαν δηλοῖ· τὸν γὰρ πατέρα ἀποκτείνας βιάζεται τὴν μητέρα: alia peti possunt e Leemansii annot. ad Horapoll. Hierogl. I, 56. ὅτι τρέφουσι — μέντοι] Aelian. N. An. III, 23. πατέρας] de pietate ciconiarum nota omnia: v. Soph. Electr. 1058 et quae Leemansius ad Horap. Hier. II, 58 citavit: add. annott. ad Zenob. I, 94. οἳ ἐν — ἔχουσιν] Aelian. N. An. III, 20. τῶν πελαργῶν — παρασχομένων] Philo de

φριζόμενοι, τῷ εὐσεβεῖν καὶ τῷ προςδοκᾶν ἐν γήρᾳ τὰ αὐτὰ πείσεσθαι ὑπὸ τῶν ἐκγόνων, ἀναγκαῖον ὄφλημα ἀντεκτίνουσιν ἐν καιρῷ, λαβόντες αὐτὸ καὶ ἀποδιδόντας· οὐδ' ἕτεροι γὰρ τρέφειν αὐτοὺς δύνανται, παῖδες μὲν ἐν ἀρχῇ τῆς γενέσεως, γονεῖς δ' ἐπὶ τελευτῇ τοῦ βίου· ὅθεν αὐτοδιδάκτῳ τῇ φύσει νεοττοτροφηθέντες γηροτροφοῦσι χαίροντες· ἆρ' οὐκ ἄξιον ἐπὶ τούτοις ἀνθρώπους, ὅσοι γονέων ἀμελοῦσιν, ἐγκαλύπτεσθαι καὶ κακίζειν ἑαυτοὺς ὠλιγωρηκότας, ὧν ἢ μόνων ἢ πρὸ τῶν ἄλλων ἀναγκαῖον ἦν περιφροντικέναι, καὶ ταῦτ' οὐ διδόντας μᾶλλον ἢ ἀποδιδόντας· παίδων γὰρ οὐδὲν ἴδιον, ὃ μὴ γονέων ἐστίν, ἢ οἴκοθεν ἐπιδεδωκότων ἢ τὰς αἰτίας τῆς κτήσεως παρασχομένων:. Ἔτι φασίν, ἐν Κράνωνι τῆς Θετταλίας, ὅτι Ἀλκινόην ὄνομα γυναῖκα ὡραίαν ὁ γήμας ἀπολιπὼν οἴκοι εἴς τινα ἐστείλατο ἀποδημίαν. ἡ τοίνυν Ἀλκινόη ὡμίλει τῶν θεραπόντων τινί· τοῦτο συνιδὼν πελαργὸς οἰκέτης οὐχ ὑπέμεινεν, ἀλλ' ἐτιμώρησε τῷ δεσπότῃ· προςπηδῶν γοῦν ἐπήρωσε τῆς ἀνθρώπου τὴν ὄψιν.

16 *Πελληναῖος χιτών:* ἐπὶ τῶν παλαιὰ φορούντων ἱμάτια.

16a *Πεζῇ βαδίζω· νεῖν γὰρ οὐκ ἐπίσταμαι:* ἐπὶ τῶν μετερχομένων τὰ μικρὰ, πειρᾶν δ' οὐκ ἐχόντων ἐν τοῖς μεγάλοις.

---

3. *καὶ λαβόντες* Philo. *ἀντυποδιδόντας* Z, *ἀποδιδόντες* Philo. 9. *μόνον* idem. *πεφροντικέναι* idem. 13. *ἔτι — Κράνωνι*] *ἐν γοῦν Κράννωνι* As. *ὅτι* As om. 16. *ὁ πελαργὸς ὁ οἰκέτης* As. 19. *παλαιά*] *παχέα* Iacobsius Ann. ad Anth. II, 1, 151: legitur enim apud Schol. ad Pind. Nem. X, 82: *τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα*: add. Nonn. Dionys. XXXVII, 149: *Πελλήνην .. ὅπῃ .. ἄνδρες ἀθλεύουσι ... χειμερίῳ σφίγγοντες ἀθαλπέα γυῖα χιτῶνι*, et Boeckhii disputatio in Comm. ad Pind. Ol. IX, 104. 21. Etym. Magn. 604, 48: *πεζῇ πορεύου· ν. γ. οὐκ ἐπίσταμαι.* *ἐπὶ — μεγάλοις*] Suidas ex Scholl. Aristoph. ll. cc.: *ἀντὶ τοῦ, οὐ δύναμαι.*

decem orac. T. II, 200 Mang. *ἔτι κτλ.*] Aelian. N. An. VIII, 20.

16. Suidas: Arsen. XLIII, 41.

16a. Arsen. XLIII, 42: Suidas. Saepe hoc proverbio leviter inflexo utitur Aristophanes: Vesp. 959: *ξύγγνωθι· κιθαρίζειν γ. ο. ἐπίσταται*, ubi Schol.: *παρὰ τὴν παροιμίαν, πεζῇ κτλ.*: Av. 1432: *τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι*: Suid. v. *ἐπίσταμαι*: *Ἀριστοφάνης· σύγγνωθί μοι· σκάπτειν γὰρ οὐκ ἐπίσταμαι*, de cuius quidem loci integritate scrupulum iniecit G. Dindorfius ad Arist. Fr. p. 45. Quibus locis adiungendus est Epicharmus apud Athen. III, 91 C: *ἐχῖνοί θ', οἳ καθ' ἁλμυρὰν ἅλα νεῖν μὲν οὐκ ἴσαντι, πεζᾷ δ' ἐμπορεύονται μόνον*: et comicus in Phot. s. *πεζῇ*: .. *παῦσαι μελῳδοῦσ', ἀλλὰ πεζῇ μοι φράσον*, quem versum tractat Meinekius Com. Gr. Fr. IV, p. 659: denique oraculum Macar. VII, 11.

71 *Πέρδικος ἱερόν:* ἐπὶ τῶν ἀνδρείων· Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες Δαίδαλος καὶ Πέρδιξ· ἧς υἱὸς Κάλλως. ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης ἔρριψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως· ἐφ' ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν· Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. Σοφοκλῆς δὲ ἐν Κωμικοῖς ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα φησί.

18 *Περιαγειρόμενος φύλλοις βάλλεται καὶ ἄνθεσιν:* ἐπὶ τῶν νικώντων ἐν ἀγῶσι· περιαγειρομένους δὲ ἔλεγον τοὺς ἀθλητάς. οἳ μετὰ τὴν νίκην περιαγόμενοι καὶ περιπορευόμενοι ἐλάμβανον οἱ μὲν ζώνας, οἱ δὲ χιτῶνας, οἱ δὲ πετάσους, οἱ δὲ ἄλλα γε ἄττα. Ὅθεν Σιμωνίδης περὶ Ἀστύλου φησὶν οὕτως·

Τίς δὴ τῶν νῦν, τοσάδε
πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων
ἀνεδήσατο νίκας
ἐν ἀγῶνι περικτιόνων;

16b *Πέπτωκεν ἔξω τῶν κακῶν,* οὐ Χῖος, ἀλλὰ Κίος.

---

1. ἐπὶ τ. ἀνδρείων] παρὰ τῇ ἀκροπόλει Suidas. 2. »Κάλως Pausan. I, 20, 4: Καλός Photius. Reponendum Τάλως auctore Sturzio, Fr. Hellan. p. 128.« Gaisfordus ad Suid. l. c. 5. Καμικίοις Fabricius B. Gr. III, 295 Harl., Welckerus Trag. Gr. T. I, 433. τὸν ὑπὸ NZ Suidas. 6. φησί Suidas om. 7. περιαγειρόμενος — ἄττα] Suidas: περιαγειρόμενοι. Ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι ἀθληταί. Πολιτείας πέμπτῳ ἐπὶ τέλει [X, fin.] λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἆθλα προυτίθεσαν τοῖς ἀγωνιζομένοις, ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱστοροῦσιν· ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν· τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ πλησιάζοντες πλείονος ἄξια ἐπετίθεσαν· οἱ δὲ πορρώτερον ἄνθεσι καὶ φύλλοις ἔβαλλον περιερχομένους· ὡς καὶ νῦν τοῖς ἐπιφανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας· ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα. 12. Ἀστύλου Suidas. 13. τίς δὲ δὴ Bergkius. 13. τοσάςδε Portus. 14. πέταλσι Bernhardius: v. de hac forma Scholl. Ven. ad Hom. Il. X, 28 et Lobeckius Paralipp. Gr. Gr. I, 177. 16. περικτυόνων A Suidas. 17. Κεῖος W contra codd.: male: v. Astii Ann. ad Plat. T. I, 44. Welckeri Scripta Minor. II, 459.

Attigerunt proverbium intt. ad Lucae Euang. 16, 3. Valckenarius in Scholiis in N. T. I, 522. Fritzschius de Ar. Daetal. Comm. 75.

16b. Arsen. XLIII, 43: Arist. Ran. 970. Cf. ann. ad App. Provv. V, 28. Apost. XVIII, 26a.

17. Suidas: Arsen. XLIII, 44: Photius. De Talo v. Apollod. III, 15, 9 ibiq. Heynius.

18. Suidas: Arsen. XLIII, 45: Photius, Scholl. ad Eur. Hecub. 569: qui quae afferunt debentur omnia Eratosthenis Olympionicis: v. Bernhardius Eratosth. 248. οἳ — ἄττα] explicatur his ἐπαγερμός, de quo Ruhnkenius ad Tim. Lex. Plat. 215 veterum testimonia collegit. Σιμωνίδης] fr. 28 Schneidew., fr. 22 Bergk.

ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις ἔβαλον καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων.

19 *Πειρίθου καὶ Θησέως φιλοξενία: ἐπὶ τῶν πολυτελῶς φιλοξενηθέντων καὶ φιλοξενούντων· νόμος δ' ἦν Ἀθήνησι ξένους εἰςδέχεσθαι τοὺς βουλομένους τῶν Ἑλλήνων· Θεσσαλοὺς δ' ἐξαιρέτως ὑπεδέχοντο διὰ τὴν Πειρίθου καὶ Θησέως φιλοξενίαν. τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκάλεσαν Πειριθοΐδα ἀπὸ Πειρίθου τοῦ Ἰξίονος. ὅθεν καὶ Περιθοΐδαι, δῆμος τῆς Οἰνηΐδος φυλῆς. Ἔφορος ἱστορεῖ ἐν τρίτῃ.*

20 *Πέτρας ἕψεις: Πέτρας σπείρεις: ἐπὶ τῶν ἀδυνάτων.*

21 *Περιεστίαρχος ἐγένου: ἐπὶ τῶν καθαιρόντων· καὶ γὰρ οὗτοι περιεκάθαιρον τὰς ἑστίας καὶ τὰς ἐκκλησίας καὶ τὰς πόλεις. Ἴστρος δὲ ἐν τοῖς Ἀττικοῖς, περίστια, φησί, προςαγορεύεται τὰ καθάρσια· καὶ οἱ τὰ ἱερὰ καθαίροντες περιστίαρχοι· ἔξωθεν γὰρ περιέρχονται μαχαιροφοροῦντες, ἑκάστου τῶν ἱερῶν, οἰκίας περιληημμένοι δημοσίας καὶ περίδρομον ἔχοντες.*

22 *Περίψημα ἡμῶν ἐγένου: ἤτοι κάθαρμα· ἢ ἀπολύ-*

1. *ἀπὸ*] *ὑπὸ* A. 3. *καὶ φύλλοις*] *καὶ* A om.: *φύλοις* NO, *φίλοις* Z. *ἔβαλλον* Z Suidas. 5. *Πειρίθου — νόμος*] *Περιθοΐδαι. δῆμος τῆς Ο. φυλῆς ἀπὸ Π. τ. Ἰξίονος. νόμος* Suidas. 10. *περιθοΐδα* A, *Περιθοΐδας* Suidas: cf. C. O. Muellerus Orchom. hist. 203. *ἀπὸ — φυλῆς*] Suidas om.: posuerat in initio glossae. 12. *τρίτῳ* Suidas. 13. *ἕψεις*] *ἕψειν ἐπιχειρεῖς* AN. *π. σπ.*] AN om. 14. *Περιεστίαρχος — πόλεις*] *Περιστίαρχος· ὁ περικαθαίρων τὴν ἑστίαν καὶ τὴν ἐκκλησίαν καὶ τὴν πόλιν. ἀπὸ τῆς ἑστίας, ἢ τοῦ περιστείχειν* Suidas. 16. *περιέστια* Z. 18. *περιεστίαρχοι* Z. *μαχαιροφοροῦντος* Suidas; *χοιροφοροῦντες* Photius, *χοιροφοροῦντος* Bernhardius: v. Bekk. Anecd. I, 269, 16: *χοῖρος βραχὺς ἦν τὸ καθάρσιον, ᾧ ἐκάθαιρον τὴν ἐκκλησίαν οἱ λεγόμενοι περιστίαρχοι*: add. Harpocr. 104, 10. 19. *ἱερέων* Z. *οἰκίαις* Suidas, Photius. *περιειλημμένοι* A Suidas, *περιειλημμένου* Photius. *δημοσίαις* Photius, Suidas. 21. *ἡμῶν ἐγένου* Suidas om. *ἤτοι — ἢ*] *κάταγμα· ἢ ὑπὸ τὰ ἴχνη· ἢ* Suidas cum Photio et Lexico Bachmanni: varios VV. DD. de hoc loco conatus recenset Bernhardius ad Suid. l. c.: ego assumpto glossae fine hic scribendum puto: *ἤτοι καταπά[τημα πάντων ὑπὸ τὰ ἴχνη· ἢ ἔμπαι]γμα. ἢ ἀπολύτρωσις.*

19. Suidas: Arsen. XLIII, 46: Photius. *Ἔφορος*] p. 138 Marx. De Thesei et Pirithoi amicitia cf. ann. ad Apost. VIII, 91[a].

20. Arsen. XLIII, 52. Apost. VIII, 26. X, 68. DV III, 71.

21. Suidas: Arsen. XLIII, 47: Photius. *Ἴστρος*] fr. 32 Muell. De re v. Poll. VIII, 104 et intt. Suidae.

22. Suidas: Arsen. XLIII, 48: Phot. Bachmanni Anecd. I, 341.

τρωσις. οὕτως ἐπέλεγον τῷ κατ' ἐνιαυτὸν συνέχοντι τῶν κακῶν· περίψημα ἡμῶν γενοῦ, ἤγουν σωτηρία καὶ ἀπολύτρωσις· καὶ οὕτως ἐνέβαλλον τῇ θαλάσσῃ ὡσανεὶ τῷ Ποσειδῶνι θυσίαν ἀποτιννύντες. λέγεται καὶ περίψημα τὸ καταπάτημα πάντων ὑπὸ τὰ ἴχνη, ἢ ἔμπαιγμα.

23 *Πέμπε εἰς ἔσχατον τὴν ἐπιστήμην: παραινετικὴ πρὸς τὸ σπουδάζειν ἀεί.*

24 *Πεύκης τρόπον: ἐπὶ τῶν πανωλεθρίᾳ ἀπολλυμένων· ἐπεὶ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησιν ἔτι βλαστόν.*

25 *Πενίῃ σοφίη ἔλαχεν: ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.*

26 *Πεινῶσαν ἀλώπεκα ὕπνος ἐπέρχεται: ἐπὶ τῶν πανούργων· ἢ ἐπὶ τῶν πενήτων τῶν δι' ἀπορίαν τροφῆς ὑπνούντων. ἀλώπεκα δὲ εἶπε, παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.*

Τὸ π̃ μετὰ τοῦ η̃.

27 *Πῇ με φεύγεις δὶς ἀποθανουμένη ψυχή: Λακεδαιμόνιος νυκτὸς μνῆμα παριὼν καὶ φαντασιωθεὶς δαιμόνιόν τι, ἐπέδραμε τῇ λόγχῃ διαράμενος· καὶ ἀπερείδων εἶπε τουτί.*

28 *Πηγάσου ταχύτερος: Φασὶν ὅτι Βελλεροφόντην ὑπόπτερος ἵππος Πήγασος ἔφερεν· ἐμοὶ δὲ ἵππος οὐδέποτε*

22a *Περὶ ὄνου σκιᾶς: περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις.*

---

1. *ἐνιαυτὸν συνέχοντι τῶν*] locum lacuna laborare vidit Toupius: quo modo explenda sit, Photius et Lex. Bachmanni ostendunt: *ἐνιαυτὸν ἐπιβαλλομένῳ τῇ θαλάσσῃ νεανίᾳ ἐπὶ ἀπαλλαγῇ τῶν συνεχόντων.* 3. *καί* A om. 4. *λέγεται κτλ.*] in Suida, Phot. et Lex. Bachmanni desunt. 5. *ἔμπαιγμα*] *ἔμπασμα* coniecit Pantinus: Suid. s. *κωμῳδίαι: ὕβρεις, διασυρμοί, ἐμπαίγματα.* 6. *παραινετικὴ κτλ.*] Ds om. 10. *πενίη σοφίην* A, *πενία δὲ σοφίαν* Suidas Ab. *ἐπειδὴ*] *παρόσον* Suidas. 11. *ἐπιτηδεύουσι*] A addit: *ὁμοία τῇ· πολλῶν ὁ λιμὸς γίνεται διδάσκαλος*: cf. Macar. VII, 24. 19. *ἐναπερείδων* R Plutarchus.

De ritu, qui hic tangitur, v. C. Fr. Hermannus Antiq. Gr. T. II, §. 27 et §. 60, 17.

22a. Arsen. XLIII, 49: Suidas. DV III, 43. Apost. XII, 92.

23. Diog. VII, 85.

24. Suidas: Arsen. XLIII, 50. DV III, 60.

25. Suidas: Arsen. XLIII, 52a. 39. DV III, 59.

26. Diog. VII, 91: Arsen. XLIII, 53. Greg. Cypr. M V, 4.

27. Plutarch. Apophth. Lacon. 236 D.

28. Arsen. XLIII, 54. Catull. 58, 7: *non si Pegaseo ferar volatu:*

δοκεῖ δύνασθαι ἵπτασθαι, οὐδ' εἰ πάντα τὰ πτηνῶν πτερὰ λάβῃ· εἰ γάρ ποτε τοιοῦτον ζῷον ἦν, καὶ νῦν ἂν εἴη. τοῦτον δέ φασι καὶ τὴν Ἀμισοδάρου Χίμαιραν ἀνελεῖν· ἦν δὲ ἡ Χίμαιρα, ὥς φασίν, ἔμπροσθεν μὲν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ Χίμαιρα. ἔνιοι δὲ δοκοῦσι τοιοῦτον γενέσθαι θηρίον τρεῖς ἔχον κεφαλάς· ἀδύνατον δὲ λέοντα καὶ αἶγα ὁμοίᾳ τροφῇ χρῆσθαι· καὶ τὸ θνητὴν ἔχον φύσιν πῦρ ἀποπνέειν εὔηθες. ποίαις δὲ τῶν κεφαλῶν τὸ σῶμα ἐπηκολούθει; τὸ δὲ ἀληθὲς οὕτως. Βελλεροφόντης ἦν Φρύγιος ἀνὴρ τὸ γένος Κορίνθιος, καλὸς καὶ ἀγαθός, ὃς πλοῖον κατασκευάσας μακρὸν ἐλῄζετο τὰ παραθαλάσσια χωρία. ὄνομα ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον τῶν πλοίων ὄνομα ἔχει· ὅμοιον δὲ δοκεῖ πλοῖον μᾶλλον ἢ ὄνομα ἵππῳ εἶναι Πήγασος. Βασιλεὺς δὲ Ἀμισόδαρος ᾤκει ἐπὶ τῷ Ξάνθῳ ποταμῷ. ὄρος δὲ ἦν ὑψηλὸν ὑπ' αὐτῷ, ᾧ ὄνομα Τελμισός· πρὸς ὃ δὴ ὄρος προβάσεις εἰσὶ δύο ἔμπροσθεν ἐκ πόλεως τῶν Ξανθίων, τρίτη δὲ ὄπισθεν τῆς Καρίας, τὰ δ' ἄλλα κρημνοί· ἐν δὲ τῷ μέσῳ αὐτῶν χάσμα ἐστὶ τῶν τῆς γῆς μέγα, ἐξ οὗ δὴ καὶ πῦρ ἀναδίδοται. ἐπὶ τούτοις δέ ἐστιν ἕτερον ὄρος, ᾧ ὄνομα Χίμαιρα· τότε δὲ ἦν, ὡς λέγουσιν οἱ προςχώριοι, κατὰ μὲν τὴν πρόβασιν οἰκῶν λέων ἔμπροσθεν, ὄπισθεν δὲ δράκων· οἳ δὴ καὶ ἐσίνοντο τοὺς νομέας καὶ τοὺς ὑλοτόμους· τότε δὲ καὶ Βελλεροφόντης ἐλθὼν τὸ ὄρος ἐνέπρησε καὶ ἡ Τελμισὸς κατεκάη καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον δὲ οἱ προςχώριοι, Βελλεροφόντην ἀφικόμενον μετὰ Πεγάσου τὴν Ἀμισοδάρου Χίμαιραν ἀπολέσαι. τούτου δὲ γεγονότος προςανεπλάσθη ὁ μῦθος.

---

1. τὰ τῶν Ps. 2. εἰ — εἴη Z om. 3. Scribo Ἀμισωδάρου: v. nott. critt. ad Diog. V, 45, Meinekius ad Com. Gr. Fr. III, p. 540. 7. ὄφιν καὶ λέοντα Ps. 8. ποίᾳ Ps. 9. οὕτως ἔχει Ps. 12. δὲ ἦν Ps. 13. ὅμοιον — ἢ] μᾶλλον δὲ δοκεῖ πλοίῳ ἢ Fischerus, ἐμοὶ δὲ δοκεῖ πλοίῳ μᾶλλον ἢ Westermannus. 14. ἵππῳ εἶναι N om.: εἶναι ἵππῳ Ps. 16. Τελμισσός Ps. προςβάσεις Ps. 17. δύο μὲν Ps. ἐκ τῆς Ps. 19. τῶν recte Ps om. 21. ἦν om. Ps. κατὰ μὲν — δράκων] mira est hic in Palaephati codd. lectionis varietas: v. Fischerus. Bene Westermannus: ἦν κατὰ μὲν τὴν ἔμπροσθεν πρόςβασιν οἰκῶν λέων, κατὰ δὲ τὴν ὄπισθεν δράκων. 23. τότε δὴ Ps. 25. δὲ] οὖν AN Ps. 26. Βελλεροφόντης ἀφικόμενος Ps, Βελλεροφόντῃ ἀφικόμενοι Aa N. 27. ἀπώλεσε Ps.

Pind. Ol. IX, 24: ἀγάνορος ἵππου . . . σὶν κτλ.] Palaeph. Incred. 29, ubi Θᾶσσον: cf. Apost. XVIII, 24. Φα- . . . v. Fischerus.

29 *Πηνικίζειν μοι δοκεῖς:* ἀντὶ τοῦ ἀπατᾶν. πηνίκη δέ ἐστι περικεφαλαία τριχαστὴ καὶ περιθετὴ κόμη· τῆς δὲ περιθετῆς κόμης τὸ μὲν ἔντριχον, τὸ δὲ προκόμιον, τὸ δὲ πηνίκην καλοῦσι.

Τὸ π̃ μετὰ τοῦ ῑ.

30 *Πιττακός, οὐδὲν ἄγαν, ὃς ἔην ἐκ Μιτυλήνης.*

31 *Πικρόν με ἀπαιτεῖς ἐνοίκιον:* ἐπὶ τῶν βαρέα ἐπιταττόντων.

32 *Πίθηκος ἐν πορφύρᾳ:* οἱ φαῦλοι κἂν καλοῖς περιβληθῶσιν, ὅμως διαφαίνονται πονηροί.

33 *Πίθηκος ὁ πίθηκος κἂν χρύσεα σύμβολα ἔχῃ.*

Τὸ π̃ μετὰ τοῦ λ̃.

34 *Πλίνθον πλύνεις:* ἐπὶ τῶν ἀδυνάτων.

35 *Πλείους προσκυνοῦσι τὸν ἥλιον ἀνατέλλοντα ἢ δύνοντα:* ἐπὶ τῶν δι' ἀρετὴν τιμωμένων ἐν τῇ νεότητι ἢ τῷ γήρᾳ.

30a *Πῖθ' ἐλλέβορον:* ἐπὶ τῶν ἐλλεβόρου δεομένων ὥστε ἰαθῆναι μανιωδῶν ὄντων. Λουκιανὸς ἐν τῷ Μενίππου διαλόγῳ· ληρεῖς, ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου νὴ Δία.

30b *Πίστει χρήματ' ὤλεσα, ἀπιστίᾳ δ' ἐσάωσα:.* Θεόγνιδος.

---

1. μοι δοκεῖς Suidas om. 2. τριχωτή Suidas. Ceterum Suidas cum reliquis singula explicationis membra aliter collocat. 4. καλοῦσι] ἐκάλουν Suidas. 6. ἔην γένος ἐκ Anthologia. 11. χρύσεια Lucianus. ἔχῃ σύμβολα A Lucianus. 21. ὄλεσσα Theognis. ἀπιστίῃ idem.

29. Suidas: Photius, Lex. in Bachmanni Anecd. I, 342, 20.

30. Anth. Pal. IX, 366, 5: Arsen. XLIII, 55. Cf. Greg. Cypr. L II, 59.

30a. Arsen. XLIII, 56. πῖθ' ἐλλ.] Aristoph. Vesp. 1489. Λουκιανός] Dial. Mort. 17, 2. Menand. Athenaei X, 446 D [Αὐλητρ. fr. V Mein.]: ἐλλέβορον ἤδη πώποτ' ἔπιες Σωσία; B ἅπαξ. A πάλιν οὖν πῖθι· μαίνει γὰρ κακῶς. De hellebori usu apud veteres v. Plat. Euthyd. 299 B. Plut. de discern. adul. ab am. 16, p. 55 B. Lucian. Ver. Hist. II, 7: add. quae Baguetus ad Chrysippi frr. p. 39 collegit.

30b. Ars. XLIII, 57: Theogn. 831.

31. Anton. Mel. 128, p. 202 Fab. ὁ αὐτὸς [Alexander magnus] βαρύ τι ἐπιταττούσης αὐτῷ τῆς μητρὸς Ὀλυμπιάδος ἔφη, ὦ μῆτερ, πικρόν με ἐνοίκιον τῆς ἐννεαμηνιαίου ἀπαιτεῖς.

32. Diog. VII, 94. Cf. nott. critt. ad Apost. XII, 75.

33. Lucian. adv. Indoct. 4: Arsen. XLIII, 58. Macar. VII, 12.

34. Greg. Cypr. M IV, 80: Arsen. XLIII, 59.

35. Arsen. XLIII, 60: excerptum est ex Plut. Apophth. Reg. cett. 203 E: v. Plut. V. Pomp. 14, Praecept. Pol. 10, p. 804 F. Fontem dicti Lipsius ad Tac. Ann. VI, 46. Hist.

36 *Πλατάγη δοκιμάσει: ἔστι δὲ φύλλον τῆς μήκωνος· δι' αὐτῆς γοῦν ἐσημειοῦντο τὴν τῶν ἐρωμένων στοργήν, τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ, καὶ ἀντικόπτοντες· καὶ εἰ μὲν ἤχησεν, ἐστέργοντο· εἰ δ' οὖν, τὸ ἀνάπαλιν.*

37 *Πλατάγη Ἀρχύτου: ἐπὶ τῶν ἡσυχάζειν οὐ δυναμένων. ὁ γὰρ Ἀρχύτας τέκτων ὢν ἐπενόησε πλατάγην, ἣν ἐδίδοσαν τοῖς παιδίοις, ἵνα μηδὲν τῶν κατὰ τὴν οἰκίαν σκευῶν διασαλεύσωσι.*

38 *Πλόκιον Γοργόνης: ὅτι φόβον ἐνεποίει· ἦν δὲ πλόκαμος τῆς Γοργόνης, ὃς ἐδόθη Ἀστερόπῃ τῆς Κηφέως, καθ' ὃν χρόνον Κηφεὺς Ἡρακλεῖ συνεστράτευσεν εἰς Λακεδαιμονίαν, ἵνα τούτου ἀποδημοῦντος ἡ πόλις ἀπόρθητος μείνῃ.*

Τὸ π̄ μετὰ τοῦ ō.

39 *Πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσαις: ἐπὶ τῶν καταφρονούντων τινῶν. ἢ ἐπὶ τῶν οἰομένων τὸ θεῖον κατασοφίζεσθαι.*

40 *Πολλῶν ἀχύρων ὀλίγον καρπὸν ἀνήγαγον: ἐπὶ τῶν πολλὰ ποιούντων, ὀλίγα δὲ καρπουμένων.*

41 *Πολλὰ ψεύδονται ἀοιδοί.*

40a *Πολλῶν ὁ λιμὸς γίνεται διδάσκαλος.*

---

1. Suidas: *πλαταγώνιον. τὸ μηδέν. κυρίως δὲ τὸ τῆς μήκωνος φ. καὶ τὸ τῆς ἀνεμώνης. ἀπὸ τοῦ πλατύσσειν, τουτέστιν ἠχεῖν. καταχρηστικῶς δὲ ὠτωνιοῦν πλάτος ἔχοντι. ὅθεν καὶ ἡ πλαταγή. ἐσημειοῦντο δὲ ἀπ' αὐτοῦ τὴν κτλ.*: unde neglegentia patet, cui caput glossae originem debet. *πλατάνη* A: corrige *πλαταγώνιον*. *δοκιμάζει* Z. *μύκωνος ἢ ἀνεμώνης* AN. 4. *εἰ δ' οὖν*] *εἰ δὲ μὴ* Suidas. 10. *Γοργάδος* Suidas. *ὅτι — Ἀστερόπῃ*] *τὸν δοθέντα πλόκαμον τῆς Γοργόνης Ἀστερόπῃ* Suidas. 19. *Ἐκ πολλῶν* Suidas. *συνήγαγον* idem.

III, 24 in eo invenit, quod plerisque populis religione receptum, salutare solem orientem. In comparationem appono Tiberii dictum a Cass. Dione LVIII, 28 traditum: *εὖ γε τὸν δυόμενον ἐγκαταλιπὼν πρὸς τὸν ἀνατέλλοντα ἐπείγῃ*, Caligulam innuens: et Antoninum Philosophum ibid. LXXI, 34 dicentem: *ἄπελθε πρὸς τὸν ἀνατέλλοντα· ἐγὼ γὰρ ἤδη δύομαι*: add. Stat. Theb. I, 170: *venturus amatur.*

36. Suidas: Arsen. XLIII, 61: Photius. Accuratius rem exponunt Scholl. ad Theocr. XI, 57. III, 29 et intt. Hesych. s. *ἐπλατάγησε*.

37. Diog. II, 98.

38. Suidas: Photius. Rem accuratius Apollod. II, 7, 3 refert, ubi v. Heynium.

39. Diog. I, 70. VII, 78.

40. Suid. s. *ἐκ πολλῶν*: Arsen. XLIII, 62. Greg. Cypr. M IV, 88.

40a. Arsen. XLIII, 63: Macar. VII, 24.

41. Greg. Cypr. M V, 2.

42 *Πολύποδος κεφαλὴ ἔνι μὲν κακὴ· ἔνι δὲ καὶ ἐσθλή:* διότι ἐστὶ μὲν αὐτῷ ἐδώδιμος ἡ κεφαλή, ἔστι δ' αὐτῷ καὶ ὁ πρωκτός· οἱ δέ φασι τὴν παροιμίαν λέγεσθαι ἐπὶ τῶν ὄντων συμμίκτων καὶ μετεχόντων κακότητος καὶ ἀγαθότητος· τοῦ γὰρ πολύποδος ἡ κεφαλὴ ζῶσα μὲν δάκνει τοὺς προσιόντας, θανοῦσα δέ ἐστιν ἐδώδιμος:. *Ὁ πολύπους* ἑστιᾶται μὲν καὶ ἄλλαις τροφαῖς· ἔστι γὰρ καὶ φαγεῖν δεινὸς καὶ ἐπιβουλεῦσαι σφόδρα πανοῦργος. τὸ δὲ αἴτιον, παμβορώτατον θηρίων θαλαττίων ἐστί· καὶ απόδειξις, εἴτις αὐτῷ γένηται ἀθηρία, τῶν ἑαυτοῦ πλοκάμων παρέτραγε καὶ τὴν γαστέρα κορέσας τὴν σπάνιν τῆς ἄγρας ἠκέσατο· εἶτα ἀναφύει τὸ ἐλλεῖπον, ὥσπερ οὖν τῆς φύσεως καὶ τοῦτό οἱ ἐν τῷ λιμῷ παρασκευαζούσης ἕτοιμον τὸ δεῖπνον:. *Πολύπους ποτὲ ἑρπύσας* εἰς πέτραν προήκουσαν, οὐ μὴν ἄγαν ὑψηλήν, εἶτα ἥπλωσε τὰς πλεκτάνας. οὐ μὴν ἑαυτὸν εἰς τὴν χρόαν τῆς πέτρας ἐκτρέψας ἦν· πεφύκασι δὲ ἄρα δρᾶν τοῦτο οἱ πολύποδες, καὶ τὰς εἰς ἑαυτοὺς ἐπιβουλὰς φυλαττόμενοι, καὶ μέντοι καὶ αὐτοὶ τοὺς ἰχθῦς ἐλλοχῶντες. ἰδὼν οὖν ὀξὺ μέν, ἑαυτῷ δὲ οὐκ ἀγαθὸν τὸ θήραμα ἀετός, ὥσπερ οὖν ὁρμῆς τε ἅμα καὶ πτερῶν εἶχεν ἐμπηδᾷ τῷ πολύποδι, καὶ μέντοι καὶ δεῖπνον ἕξειν ἕτοιμον ἑαυτῷ τε καὶ τοῖς παισὶ τοῖς ἑαυτοῦ κατέγραφε. πλόκαμοι δὲ ἄρα ἰχθύος ἐκείνου περιβάλλουσι τῷ ἀετῷ σφᾶς ἑαυτούς, καὶ ἀπρὶξ ἐχόμενοι εἶτα ἕλκουσι κάτω τὸν ἔχθιστον· καὶ χανὼν λύκος, ὡς ἂν εἴποις, εἶτα μέντοι νεκρὸς ἐπενήχετο τῇ θαλάττῃ ὁ ἀετὸς ὑπὸ τοῦ δείπνου. μυρία μὲν δὴ τοιαῦτα πάσχουσιν ὄρνιθες, πλείω δὲ ἄνθρωποι· ἐν δὲ τοῖς ᾀδομένοις ὑφ' Ἡροδότῳ Μασαγέταις ὁ

---

1. *πουλύποδος* Z Ds. *κεφαλῇ* Ds. *κακὸν* AN Ds. *ἐν* Z. 2. *ἐσθλὸν* AN Ds. *διότι — πρωκτὸς*] Ds om.: habent VB. *αὐτοῦ* VB. *αὐτῷ καὶ*] *αὐτὴ καὶ* N, *αὐτῇ καὶ* VB. 3. *οἱ δὲ κτλ.* AN om. *οἱ δὲ — λέγεσθαι*] Ds. om. 4. *συμμίκτων ὄντων* Ds. 9. *παμβορώτατος* As. 10. *γένοιτο* As. 11. *τὴν αὐτοῦ γ.* Z. 14. *πολύπους — εἶτα*] pluribus As haec exponit. *ἀνερπύσας* As. *εἰς — ὑψηλὴν*] hic As om., quum in antecedentibus collocasset. 15. *πλεκτάνας*] *πλ.*, *καὶ μάλα γε ἀσμένως ὑπεθάλπετο· καὶ γὰρ οὖν καὶ χειμέριοι ἐδόκει πως· οὐ* As. 16. *ἤδη ἦν* As. 24. *αὐτοὺς* As. 26. *ὑπὲρ* Z As. 28. *Ἡροδότου Μασσαγέταις ὁ Καμβύσου* As.

42. *Πολύποδος — ἐδώδιμος*] Diog. VII, 76: Arsen. XLIII, 72. *ὁ πολύπους — δεῖπνον*] Aelian. N. An. I, 27. *πολύπους κτλ.*] Aelian. l. c. VII, 11. *χανὼν λύκος*] Apostol. X, 85, ubi v. annot.

Καμβύσης Κῦρος ὁ ἕτερος, καὶ μέντοι καὶ Πολυκράτης εἰς Ὀροίτου σπεύσας ὡς τὸν χρυσὸν ἁρπασόμενος, καὶ ἄλλος

Τεύχων ἑτέρῳ κακὸν ἑῷ ἤπατι τεύχει·

καὶ ταῦτα μὲν οὐκ οἶδε τὰ ἄλογα, ἄνθρωποι δὲ οἱ εἰδότες οὐ φυλάττονται.

43 *Πολλαῖς πληγαῖς δρῦς δαμάζεται: πρὸς τοὺς δυςαλώτους.*

44 *Πολυμαθείη κάρτα μὲν ὠφελέει· κάρτα δὲ βλάπτει· ὠφελέει μὲν τὸν ἄξιον ἐόντα, βλάπτει δὲ τὸν ῥηϊδίως φωνέοντα πᾶν ἔπος, κὴν παντὶ δήμῳ· χρὴ δὲ καιροῦ μέτρα εἰδέναι, σοφίης γὰρ ὅρος οὗτος. Ἀναξάρχου.*

45 *Πολλαὶ κυνὸς ἄῤῥενος εὐναί: ἐπὶ τῶν κατωφερῶν εἰς τὰ ἀφροδίσια.*

46 *Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου: ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων· ἄμπελον γάρ τινος φυτεύοντος, εἷς τῶν οἰκετῶν εἶπε τὸν στίχον τοῦτον. Ὁ δὲ Διογενιανός, Ἀγκαῖος ἄμπελον φυτεύσας, φησί, βαρέως ἐπέκειτο τοῖς οἰκέταις· εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ γεύσασθαι αὐτὸν τῆς ἀμπέλου. ἐπεὶ οὖν ὁ καρπὸς ἐφθάκει, τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ· μέλλων δὲ προσφέρειν τὴν κύλικα τῷ στόματι, ὑπεμίμνησκεν αὐτὸν τοῦ στίχου. καὶ τούτων λεγομένων ἄλλος οἰκέτης ἦλθεν ἀπαγγέλλων, ὡς σῦς τὴν χώραν λυμαίνεται· ὁ δὲ ὁρμήσας ἀνηρέθη.*

---

3. *ὡς ἑτέρῳ τις ἑῷ κακὸν* As. 6. *ἐπὶ τῶν δυςαλώτων καὶ δυςκατεργάστων* Z, *πρὸς τοὺς δυςαλώτους καὶ δυςκατεργάστους* Suidas. 8. *πολυμαθίη* Stobaeus, *πολυμυθίη* Iacobsius Lectt. Stobens. 70. *βλάπτει τὸν ἔχοντα* Stobaeus. 9. *ἄξιον ἐόντα*] *δέξιον ἄνδρα* idem. *φωνεῦντα* idem. 10. *κὴν*] *καὶ ἐν* idem. 11. *οὗτος ὅρος* idem. 14. *μεταξὺ πέλει* Z Ds: *πολλὰ μ. χείλους καὶ ποτηρίου* Eustath. ad Hom. Il. *I*, 773, 66. 15. *ἄμπελον κτλ.*] L om. 16. *φυτάνοντος* RZ: v. Bastius Epist. crit. 249. 17. *φυτεύων* RZ Ds. 23. *λυμαίνεται*] EZ addunt: *ἀφεὶς οὖν τὴν κύλικα ὁ Ἀγκαῖος καὶ δραμὼν εἰς τὸν σῦν, ἀναιρεῖται ὑπ' αὐτοῦ. Ἰωάννης δὲ ὁ Στιβαῖος* [l. *Στοβαῖος*: Flor. 111, 14.] *στίχον Ὁμήρου εἶναι λέγει.*

43. VK in nott. critt. ad Diog. VII, 77[a]: Arsen. XLIII, 73. Greg. Cypr. M IV, 91.

44. Stob. Flor. 34, 19. De auctore v. Mullachius ad Democr. Rell. p. 326.

45. K in nott. critt. ad Diog. VII, 77: Arsen. XLIII, 74. DV III, 67.

46. *πολλὰ — τοῦτον*] Greg. Cypr. L II, 95: Arsen. XLIII, 75. *Ὁ δὲ κτλ.*] Diog. VII, 46. Historia ex Aristotelis politia Samiorum transcripta est: v. Scholl. ad Apoll. Rhod. I, 188, Schneidewinum ad Heraclid. Polit. p. 72 et C. Muellerum ad Histor. Gr. Fr. II, p. 159.

47 *Πόνον σπείρεις*: ἐπὶ τῶν μάτην πονούντων.

48 *Ποταμῷ μεγάλῳ ὀχετὸν ἐπάγει*: ἐπὶ τῶν ματαιολογούντων.

49 *Ποικιλώτερος*: ἐπὶ τῶν δολερῶν.

50 *Ποταμὸς τὰ πόῤῥω ποτίζων τὰ ἔγγιον καταλείπει*: ἐπὶ τῶν τοὺς ξένους εὐεργετούντων, τῶν οἰκείων δὲ ἀμελούντων.

51 *Πολλοὶ στρατηγοὶ Καρίαν ἀπώλεσαν*: ἐπὶ τῶν μὴ ὁμογνωμονούντων.

52 *Πόλεμος Κόνωνι μελήσει*: ἐπὶ τῶν περὶ ἀλλοτρίων φροντιζόντων.

53 *Πολλά κεν ἀπὸ πολέμου*: ἤτοι διὰ τὸ πολλὰ καθ' ὑπόνοιαν φέρειν· ἢ ὅτι Λακεδαιμόνιοι κεναῖς σφενδόναις καὶ νευραῖς ἐψόφουν πρὸς ἔκπληξιν τῶν πολεμίων.

54 *Πολλοὶ βουκένται, παῦροι δέ τε γῆς ἀροτῆρες.*

55 *Πολλοὺς ἄνδρας Λακεδαίμων ἔχει τήνου κάῤῥονας*: Ἀργιλεωνὶς ἡ Βρασίδου μήτηρ, τελευτήσαντος αὐτῇ τοῦ υἱοῦ, ὡς παραγενόμενοί τινες τῶν Ἀμφιπολιτῶν εἰς Σπάρτην, ἧκον πρὸς αὐτήν, ἠρώτησεν, εἰ καλῶς καὶ ἀξίως τῆς Σπάρτης ὁ υἱός ἐτελεύτα· μεγαλυνόντων δ' ἐκείνων καὶ λεγόντων, ἄριστον ἐν τοῖς τοιούτοις ἔργοις ἁπάντων Λακεδαιμονίων εἶναι, εἶπε τοῦτο τὸ ἀπόφθεγμα.

56 *Ποιήσω τὴν οἰκίαν σου Δούρειον ἵππον*: ἤτοι ἀφανίσω αὐτήν· ἱπποκόμιος εἴρηκε τουτὶ Θεμιστοκλέους·

---

1. Scribe πόντον. σπείρειν Suidas. 2. ὀχετὸν R Ds. μεγάλῳ Z om. ἐπὶ τῶν ματαιοπονούντων ἢ ματ. Ds. 4. Ποικιλώτερος] post hanc vocem excidit ὕδρας. 10. δὲ Κόνωνι Ds. περὶ τῶν Ds. 12. Πολλά κ. ἀπὸ] πολλὰ κενὰ τοῦ Ds. 16. πολλοὺς — κάῤῥονας] hoc loco Plutarchus non habet. 19. ἠρώτησεν R Plutarchus. 20. ἐκείνου Plutarchus, τῶν δ' ἐκείνων R. 22. εἶπε κτλ.] ὦ ξένοι, καλὸς μὲν ἦν καὶ ἀγαθὸς ὁ παῖς μου, πολλοὺς δὲ ἄ. Λ. ἔ. τ. κάῤῥονας Plutarchus. 24. Corrige ἱπποκόμῳ. Scribe Θεμιστοκλῆς.

47. Suidas. Cf. Diog. VII, 67.
48. Diog. VII, 68.
49. Cf. Apost. XIV, 67.
50. Diog. VII, 70.
51. Diog. VII, 72.
52. Diog. VII, 75: Ars. XLIII, 64.
53. Diog. VII, 80.
54. Diog. VII, 86.
55. Plut. Apophth. Lacaen. 240 C. Cf. Apost. V, 16.
56. Plutarch. Themist. 5: ἐπεὶ δὲ Φιλίδης ὁ ἱπποτρόφος αἰτηθεὶς ὑπ' αὐτοῦ πῶλον οὐκ ἔδωκεν, ἠπείλησε τὸν οἶκον αὐτοῦ ταχὺ ποιήσειν δούρειον ἵππον· αἰνιξάμενος ἐγκλήματα συγγενικὰ καὶ δίκας τῷ ἀνθρώπῳ πρὸς οἰκείους τινὰς ταράξειν: v. Sintenis ad h. l. Similiter Alexis Athen. IX, 383 F: Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι, quod recte Meinekius Com. Gr. Fr. T. IV, p. 419 de ansere delicatissimis

εἴληπται δὲ ἀπὸ τοῦ ἐν τῇ Τροίᾳ Δουρείου ἵππου, ᾧ Ὀδυσσεὺς τὴν Τροίαν ἐπόρθησεν.

57 *Ποῦ γῆς ἢ θαλάττης ὑπῆρχες; ἐπὶ τῶν ἀνοήτων.*

58 *Πόντος ἀγαθῶν: ἐπὶ τῶν πολλὰ ἀγαθὰ ἐχόντων.*

59 *Πολλοί σε μισήσουσιν ἂν σαυτὸν φιλῇς: τοῦτό φασι Νύμφας πρὸς Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν.*

60 *Πόλλ' οἶδ' ἀλώπηξ· ἀλλ' ἐχῖνος ἓν μέγα.*

61 *Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε Βάκχοι: ἐπὶ τῶν δοξαζόντων εἶναι λαμπρῶν, μὴ ὄντων δέ.*

62 *Πόλεμός τις ἀσίδηρος ἀνὰ τὴν Ἑλλάδα κεκίνηται: ἐπὶ τῶν λόγοις μαχομένων· οὕτω γὰρ ἔθος τοῖς σοφοῖς μάχεσθαι πρὸς ἀλλήλους.*

63 *Πονηρὰ κατὰ τρυγόνα ψάλλεις: ἐπὶ τῶν ἐπιπόνως ζώντων.*

64 *Ποταμὸς θάλατταν ἐρίζει: ἐπὶ τῶν ἀνοήτων καὶ ἀδυνάτων.*

59a *Πολλὰς φιλίας ἀπροσηγορία διέλυσε.*

59b *Πολλὰ μοχθήσαντες ὁμοίως ἐσμέν: ἐπὶ τῶν μηδὲν ἐκ σπουδῆς ὠφεληθέντων καὶ διὰ παιδείαν οὐδὲν πλέον τῶν ἄλλων προτιμωμένων.*

---

5. *τιμήσουσιν* Ab. *ἐὰν* Suidas. Explicationem Ab om. 6. *πρὸς τὸν* AN Suidas. *Νάρκισσον* AN. 7. *τὰς πηγὰς διὰ τὴν οἰκείαν μορφὴν* Suidas. 16. *πρὸς θάλατταν* P. *ἀνοήτων καὶ* M om. 18. *ὁ ἢ φιλίας* Aristoteles. *διέλυσεν* idem.

farciminibus distento explicat: add. Cicer. or. p. Murena 37, 78. Versus Aristophanis Av. 1128: *ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος,* huc non pertinet, quippe qui equum aheneum in Athenarum arce collocatum respiciat, de quo v. Paus. I, 23, 10, nott. ad Greg. Cypr. L I, 70. Ceterum *δούρειος ἵππος* in imitationem Homerici *ἵππου δουρατέου* dictum est: v. Od. Θ, 493, ubi Eustathius 1606, 56: *δουράτεον δὲ ἵππον τὸν ξύλινον λέγει, τὸν κοινότερον δούρειον:* exposuit de his formis Schroeterus ad Aurel. Vict. de orig. gent. Rom. p. 11.

57. Soph. Electr. 922: *οὐκ οἶσθ' ὅπου γῆς οὐδ' ὅποι γνώμης φέρει.*

58. Suidas: Arsen. XLIII, 78. Cf. Apost. I, 5.

59. Suidas: Arsen. XLIII, 76. 65. Greg. Cypr. L II, 96.

59a. Arsen. XLIII, 66: Aristot. Eth. ad Nicom. VIII, 5, 1.

59b. Arsen. XLIII. 67. Lucian. Hermot. 69: *τὸ δὲ πολὺ πορρωτέρω γεγόναμεν ἢ πρότερον ἦμεν καὶ κατὰ τοὺς παροιμιαζομένους πολλὰ κτλ.*

60. Suidas: Arsen. XLIII, 72. Greg. Cypr. M IV, 98.

61. Arsen. XLIII, 77. Macar. VII, 20.

62. Proverbium in Theoph. Simoc. Dial. p. 6 Boiss. exstat: *Ἀσίδηρος πόλεμος* etiam Max. Tyr. Diss. I, 6, 7 p. 96 R. dixit.

63. Greg. Cypr. L III, 2: Arsen. XLIII, 79.

64. Greg. Cypr. M IV, 86: Arsen. XLIII, 80.

65 *Πόῤῥω Διός τε καὶ κεραυνοῦ:* ἐπὶ τῶν ἐπιβούλως τοῖς συνοῦσι χρωμένων· ἡ γὰρ μετ' ἀπραγμοσύνης ἀσφάλεια τῶν ἐν ἐπιφανεῖ βίῳ κινδύνων ἀδεεστέρα· οὐ γὰρ ἔφθασέ τις μακαρισθῆναι τῆς τοῦ τυράννου φιλίας, καὶ ἠλεήθη τῆς ἔχθρας.

66 *Πολλῶν πανηγύρεων Διὸς βαλάνους ἔφαγεν:* ἐπὶ τῶν ἐμπείρων.

67 *Ποικιλώτερος ὕδρας:* ἐπὶ τῶν δολερῶν.

68 *Πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους:* ἐπὶ τῶν πεπειραμένων ἐν πράγμασιν· ἢ ἐπὶ τῶν φοβούντων οὐ δεόντως.

69 *Πολλάκις καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν:* ἐπὶ τῶν ἀσκέπτως καὶ σπανίως εἰπόντων τι συνετόν.

70 *Πολύποδος ὁμοιότης:* ἐπὶ τῶν ἐξομοιούντων ἑαυτούς τισιν ἢ χρηστοῖς ἢ φαύλοις:. *Τούτου φασὶ χῆρον* εἶναι τὸν πόντον διὰ τὸ ἀπεχθάνεσθαι τῷ ψυχρῷ καὶ γλυκεῖ, τὸ δὲ βόρειον πέλαγος ψυχρότερον πέφυκε καὶ γλυκύ·

68a *Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ' ἐσθλῷ,*
οἷς τὸ κακὸν δοκέον γίνεται εἰς ἀγαθόν:. Θεόγνιδος.

68b *Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες.*

---

1. *διὰ τοὺς* Synesius, Suidas. 2. *χρωμένους, ἀδεέστερον εἶναι λέγουσα τὴν μετ' ἀ. ἀσφάλειαν* Synesius, Suidas. 3. *κινδυνευόντων* Suidas. *ἀδεεστέρα* Synesius et Suidas om. *οὐ κτλ.*] Suidas om. 4. *μακαρισθήσεται* Z. 6. *βαλάνων* Erasmus IV, 2, 49. *ἔφαγον* A. 8. *ἤτοι θαυμαζομένων* in fine Suidas addit. 9. *θρίων* Ab. 10. *πράγμασιν*] *ἢ ἐπὶ τῶν φοβούντων* [*ἐκφοβούντων* Ds] *οὐ δεόντως* Z e Diog. VII, 92 addit. Ab hanc explicationem proponit: *ἐπὶ τῶν μὴ ποιουμένων λόγον τῶν εἰς αὐτοὺς γενομένων ἀπειλῶν· ἀπὸ μεταφορᾶς τῶν τῆς σύκου φύλλων, ἀποτελούντων μὲν ἐν τῷ καίεσθαι κτύπον, ταχὺ δὲ σβεννυμένων.* 12. *πολλάκι μωρὸς* AN: *πολλάκι τοι καὶ* Ds. DV explicationem ignorat. 14. *ἐπὶ — φαύλοις*] *πρὸς τοὺς ἐξομοιοῦντας ἑαυτοὺς οἷς βούλονται* Ds. 15. *τούτου κτλ.*] *ὁ γοῦν πολύπους τῇ ποντικῇ θαλάττῃ ἀπεχθάνεται· ψυχρότερον γὰρ τὸ βόρειον πέφυκε πέλαγος, ἀλλὰ καὶ τῆς λοιπῆς θαλάττης γλυκύτερον· ὑπὸ π. γ. κ. μ. π. ἐπιῤῥεῖται· ἐναντία δὲ τῷ πολύποδι τό τε ψυχρὸν καὶ τὸ γλυκύ. Ἱκανὸν δὲ ἐρῶ σοί τι πρὸς ἀπόδειξιν. Πέτρᾳ συμπλακεὶς ὁ πολύπους δυσαποσπάστως ἔχεται· διὸ γλυκὺ ἐπιχέουσιν ὕδωρ τῇ πέτρᾳ οἱ πρὸς ἄγραν δεινοί· καὶ οἱ μὲν κτλ.* Theophyl. 19. *γίγνεται* Theognis.

65. Synes. de regno p. 11 C Petav., Suidas: Diog. VII, 77b. Contrarium habet Aesopus Provv. 7.
66. Arsen. XLIII, 81.
67. Suidas: Arsen. XLIII, 82. Diog. VII, 69: add. Apost. XIV, 49.
68. Arsen. XLIII, 83. 68. Greg. Cypr. L II, 99.
68a. Arsen. XLIII, 69: Theogn. 161.
68b. Arsen. XLIII, 70: Suidas. Zenob. V, 75.
69. DV III, 68: Ars. XLIII, 84.
70. Diog. VII, 73: Arsen. XLIII, 85. *Τούτου κτλ.*] Theophyl. Simoc. Dial. c. 9, p. 17 Boiss.

ὑπὸ πολλῶν γὰρ καὶ μεγάλων ποταμῶν ἐπιῤῥεῖται. διὸ οἱ πρὸς ἄγραν δεινοὶ γλυκὺ ὕδωρ ἐπιχέουσι τῇ πέτρᾳ, ᾗ ἂν ἐκεῖνος περιπλακῇ. καὶ οἱ μὲν ἔχουσι τὸ ζητούμενον θήραμα, ὁ δὲ τῆς ἑαυτοῦ ἄκων ἐξανίσταται βάσεως.

71 Ποηφάγου δειλότερος: τουτὶ τὸ ζῷον ἐν Ἰνδοῖς ἐστί, καὶ πέφυκέ γε διπλάσιον ἵππου τὸ μέγεθος· οὐρὰν δὲ ἔχει δασυτάτην καὶ μελαίνης ἀκράτως χρόας· καί εἰσιν αὗται αἱ τρίχες τῶν ἀνθρωπίνων λεπτότεραι ἂν καὶ ἐν μεγάλῳ τίθενται ταύτας ἔχειν Ἰνδῶν αἱ γυναῖκες· καὶ γάρ τοι παραπλέκονται μάλα ἐξ αὐτῶν καὶ κοσμοῦνται ὡραίως, ταῖς πλοκαμῖσι ταῖς συμφύτοις καὶ ταύτας ὑποδέουσαι. προήκει δὲ καὶ εἰς δύο πήχεις ἑκάστης τὸ μῆκος τριχός, ἐκ μιᾶς δὲ ῥίζης ὁμοῦ καὶ τριάκοντα θυσανηδὸν ἐκπεφύκασι· ζῴων δὲ ἄρα τοῦτο ἁπάντων δειλότατον ἦν· ἐὰν δὲ ὑπό τινος ὀφθῇ καὶ αἴσθηται βλεπόμενον, ᾗ ποδῶν ἔχει φεύγει καὶ πρόεισι καὶ κέχρηται προθυμίᾳ μᾶλλον ἢ σκελῶν ὠκύτητι· καὶ διώκεται μὲν ὑπὸ ἱππέων καὶ κυνῶν ἀγαθῶν δραμεῖν· ἐὰν μέντοι συνίδῃ ὅτι ἄρα ἁλίσκεσθαι μέλλει, τὴν οὐρὰν ἀπέκρυψεν ἔν τινι δάσει, αὐτὸ δὲ ἀντιπρόςωπον ἕστηκε, καὶ δοκεύει τοὺς θηρευτάς, καὶ ὑποθαῤῥεῖ πως, καὶ οἴεται μηκέτι φανῆναι περισπούδαστον, τῆς οὐρᾶς μὴ βλεπομένης· ἐκείνην γὰρ οἶδεν εἶναι τὸ κάλλος. κενὴν δὲ ἄρα ἴσχει τὴν ὑπὲρ τούτου φαντασίαν· βάλλει γάρ τις αὐτὸ βέλει πεφαρμαγμένῳ, καὶ ἀποκτείνας ἀποκόψει τὴν οὐράν, τὸ ἆθλον τῆς ἄγρας· καὶ δείρας τὸ πᾶν σῶμα (ἀγαθὴ γὰρ καὶ ἡ δορά) ἀφῆκε τὸν νεκρόν:. Λέγεται καὶ ἑτέρα δημώδης περὶ αὐτοῦ παροιμία· Ὅλος φαινόμενος τὴν οὐρὰν ἀποκρύπτει.

72 Πόᾳ λίθον ἐκβάλλει: ἐπὶ τῶν τἀναντία τοῖς ἐπιβούλοις ποιούντων:. Ὁ γὰρ δρυοκολάπτης τὸ ζῷον, ἔχει μὲν ῥάμφος ἐπίκυρτον, κολάπτει δὲ ἄρα τούτῳ τὰς δρῦς, καὶ ἐνταυθοῖ κοιλάνας τὸν τόπον, ὡς εἰς καλλιὰν

---

5. τουτὶ — Ἰνδοῖς] ποηφάγον Ἰνδοῖς ζῷον As. 7. ἀκροτάτως Z. 8. καὶ τῶν ἀνθρωπείων As. 10. μάλα As om. μάλα ὡραίως As. 13. ὁμοῦ τι As. 14. ἁπάντων τοῦτο As. δὲ] γὰρ As. 20. θηρατάς As. 21. φανεῖσθαι As. 23. τούτου] τοῦδε As. 30. ὁ — ῥάμφος] ζῷον δὲ ὁ δρ. ἐξ οὗ δρᾷ καὶ κέκληται. ἔχει μ. γὰρ ῥάμφος As. 32. οἱ κοιλάνας As. καλιὰν As.

71. Τὰ δειλὰ ποιηφάγα Max. Tyr. Diss. XXIX, 4, p. 78 R dixit. Τουτὶ — νεκρόν] Aelian. N. A. XVI, 11. 72. Ὁ γὰρ κτλ.] Aelian. N. A. I, 45.

τοὺς νεοττοὺς ἐντίθησιν, οὐ δεηθεὶς καρφῶν καὶ τῆς ἐξ αὐτῶν πλοκῆς καὶ οἰκοδομίας οὐδέν. οὐκοῦν εἴτις λίθον ἐνθεὶς ἐπιφράξειε τούτῳ τὴν εἴσδυσιν, ὁ δὲ συμβαλὼν ἐπιβουλὴν τὴν κατ' αὐτοῦ, κομίζει πόαν ἐχθρὰν τῷ λίθῳ, καὶ κατ' αὐτοῦ τίθησιν· ὁ δὲ οἷα βαρούμενος καὶ μὴ φέρων ἐξάλλεται, καὶ ἀνέῳγεν αὖθις τῷ προειρημένῳ ἡ φίλη ὑποδρομή.

Τὸ π̄ μετὰ τοῦ ρ̄.

73 *Πρεσβύτερος Κόδρου:* ἐπὶ τῶν πάνυ παλαιῶν. ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου.

74 *Πράμνιον οἶνον ἔπιες:* Ἀρίσταρχος ἐπιμελῶς τὸν ἡδὺν οἶνον πράμνιον ἔλεγε. τινὲς τὸν ὤνιον οἶνον, παραμόνιμον. τινὲς ἀπὸ ἀμπέλου πραμνίας ὀνομαζομένης· οἱ δὲ ἰδίως τὸν μέλανα· ἔνιοι τὸν πραΰνοντα τὸ μένος, ὃν καὶ φαρμακίτην φασίν· ἕτεροι πράμνιον πέτραν εἶναι, ἀφ' ἧς τὸν οἶνον εἶναι.

75 *Πρὶν ἢ πτίσαι τὰ ἄλευρα:* καί· *Πρὶν τοὺς*

---

2. οὐδὲ ἓν As. 3. τούτῳ] τῷ ὀρνέῳ τῷ προειρημένῳ As. τὴν ἐπιβουλὴν As. 9. ἐπὶ] ἀντὶ τοῦ παλαιότερος. παροιμία ἐπὶ Suidas. 11. Πράμνιον — ἔπιες] Πράμνιος οἶνος Suidas. Ἀρίσταρχος .. ἡδὺν] scribe Ἀριστοφάνης .. σκληρόν: Athen. I, 30 C: Ἀριστοφάνης [fr. 563 Dind.] ... λέγων τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς ἥδεσθαι σκληροῖς καὶ ἀστεμφέσιν, οὔτε πραμνίοις σκληροῖσιν οἴνοις, συνάγουσι τὰς ὀφρῦς τε καὶ τὴν κοιλίαν: Hesych. s. Πράμνιος οἶνος .. σκληρὸς οἶνος: v. de adi. σκληρὸς vini aut aquae vocabulis apposito Eustath. ad Hom. Il. *Λ*, 781, 26. Nomina autem Ἀρίσταρχος et Ἀριστοφάνης saepe a scribis inter se permutata esse docet Nauckius ad Aristoph. Byz. Fr. p. 229. 12. ἢ παραμόνιμον Suidas: veterem scripturam fuisse: τινὲς τὸν παλαιόν, οἷον παραμένιον Bernhardius ad Suid. l. c. coniecit: Athen. I, 30 E: ἔνιοι δὲ ... τὸν πρὸς παραμονὴν ἐπιτήδειον, οἱονεὶ παραμένιον ὄντα: Apoll. Soph. Lex. Hom. s. πραμνείῳ: ... οἱ δὲ τῷ παλαιῷ καὶ παραμεμενηκότι, οἱονεὶ παραμενείῳ τινὶ ὄντι. 13. τινὲς .. ὀνομαζομένης] Didymi sententia: Athen. I, 30 D. 14. ἔνιοι — μένος] Apionis sententia: Apoll. Soph. l. c. 15. φαρμακίτην Suidas. ἕτεροι] Σῆμος ὁ Δήλιος ἐν τρίτῃ, ἐν Νικίᾳ Πράμνον Suidas: accuratius Semi iudicium apud Athen. I, 30 C proponitur: εἶναι γὰρ ἐν Ἰκάρῳ φησὶ Σῆμος Πράμνον [consentit Lex. Bachm. Anecdd. I, 357.] πέτραν καὶ παρ' αὐτῇ ὄρος μέγα, ἀφ' οὗ τὸν Πράμνιον [formam Πράμνειον tueri studet Eustath. l. c. 18. 56.] οἶνον, ὃν καὶ φαρμακίτην τινὰς καλεῖν: add. Scholl. Ven. ad Hom. Il. *Λ*, 639. Scholl. ad Arist. Equitt. 107.

73. Suidas: Arsen. XLIII, 86. DV III, 56.

74. Suidas: Photius. Dixit de vino Pramnio Perizonius ad Aeliani Var. Historiar. XII, 31.

75. Suidas: Arsen. XLIII, 87: Photius. πρὶν — ἄλευρα] cf. annott. ad Diog. VII, 93. πρὶν —

ἰχθῦς ἑλεῖν, σὺ τὴν ἅλμην κυκᾷς: καί· *Πρὶν ἐσφάχθαι δέρεις:* ἐπὶ τῶν πρωθύστερόν τι ποιούντων.

76 *Προδίκου σοφώτερος:* οὗτος ἦν καὶ σοφὸς λίαν καὶ ἀκριβὴς δικαστὴς καὶ διαιτητής.

77 *Πρύμναν ἐκρούοντο:* πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ὑπαναχωρεῖν, μὴ στρέψαντας τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ· τοῦτο δὲ ποιοῦσιν, ἵνα δείξωσι μὴ φανερῶς φεύγειν· ἵνα μὴ τὰ νῶτα δόντες τοῖς πολεμίοις τιτρώσκωνται.

78 *Πρωκτὸς λουτροῦ περιγίνεται:* ἐπὶ τῶν ἀνωφελῶν καὶ εἰκῇ πραττομένων ἐλέγετο· οἱ γὰρ παχύπρωκτοι καὶ προγάστορες οὐ δύνανται ἑαυτοὺς ἀπονίψασθαι εὐπετῶς.

79 *Προφάσεως οὐ δεῖ πρὸς φίλους.*

80 *Πρόβατον μὲν ἀεὶ τὴν αὐτὴν φθέγγεται φω-*

---

2. ἐπὶ κτλ.] ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων Suidas. 3. *Προδίκου*] τοῦ *Κίου* Z addit. 8. δόξωσι Suidas. φεύγειν] κατ' ὀλίγον ὑπαπιόντες, ἢ Suidas addit. 10. παραγίνῃ A, περιγίνῃ Suidas.

κυκᾷς] Greg. Cypr. M IV, 92: infr. 87. XVI, 53.

76. Arsen. XLIII, 88: Suidas. VV. καὶ ἀκριβὴς κτλ. ex his Suidae verbis nata sunt: *Πρόδικον.* δικαστὴν ἐπὶ φίλων καὶ διαιτητήν: quae quo modo corrupta sint, Photius declarat: *Πρόδικον δίκην:* τὴν ἐπὶ φίλων καὶ διαιτητῶν: add. Hesych. s. δίκη πρόδικος: ἡ πρὸ τοῦ ἀχθῆναι εἰς δίκην ὁμολογουμένη, et v. Welckerus Oper. Min. II, 395. Proverbium legitur in Epist. Socrat. 13, p. 18 Orell.: οὐκ ἐγώ σε κωμῳδῶ, ἀλλὰ Φαίδων, λέγων γεγονέναι σε κρείσσονα καὶ σοφώτερον Προδίκου τῶ Κίω, ὃς ἔφα ἀπελέγξαι σε αὐτὸν περὶ τὸ ἐγκώμιον τὸ εἰς τὸν Ἡρακλέα γενόμενον αὐτῷ: de quo loco idem Welckerus l. c. 405 commentatus est.

77. Suidas: Arsen. XLIII, 89: Photius, Suid. s. ἐπανάκρουσαι, s. ἐπὶ πρύμνην, Scholl. ad Thucyd. I, 50, 5. Aristid. Panath. 153 Iebb.: καὶ ὑποχωρεῖ τῇ πόλει τοσοῦτον ἐκ γῆς καὶ θαλάττης, οὐχ ὅσον, φασί, πρύμναν κρούσασθαι οὐδ' ὡς ἐπὶ πόδα [cf. Apost. VII, 67] ἀναχωρῆσαι, ubi Schol. p. 213 Dind. explicat: τὸ πρ. κρ. παροιμία ἐστὶν ἐπὶ τῶν πρὸς ὀλίγον μεταχωρούντων: Greg. Naz. Epist. 21 [40], p. 785 A: ἐγὼ μὲν οὖν διὰ ταῦτα πρύμναν ἐκρουσάμην καὶ ἀναδύομαι: eiusd. Or. 20, p. 329 A: ἐξαίφνης μεταβαλὼν πρύμναν τ' ἐκρουσάμην ἐκείνῳ θέμενος, ad quem locum pertinet Scholium a Gaisfordo ad Suid. s. πρύμναν publici iuris factum: πρύμναν ἐκρ.] παροιμιωδῶς τοῦτο· πρύμναν δὲ κρούεσθαι ἐστὶ τὸ κατὰ τὴν πρῶραν καὶ εἰς τοὔμπροσθεν ἐλαύνοντά τινα μεταβαλόντα κατὰ πρύμνην καὶ εἰς τοὐπίσω αὖθις ἐλαύνειν. προσορμοῦντες δὲ μάλιστα τοῦτο ποιοῦσιν. ἀπὸ γοῦν τοῦ ἐκείνοις τοῦτον ὑπερεῖδειν καὶ συνηγορεῖν μεταβαλεῖν ἐξαίφνης καὶ εἰς συνηγορίαν τραπέσθαι Βασιλείου, τοῦτο πρύμναν κρούεσθαι ἔφη: add. eiusd. Epist. 59, p. 824 A. Praeivit Aristophanes: v. Av. 649. Vesp. 399 ibiq. Scholia.

78. Arsen. XLIII, 90. DV III, 58.

79. Phalar. Epist. 65 init. Cf. Apost. XIV, 90.

80. Arsen. XLIII, 91. Archidami dictum: Plut. Apophth. Regg. cett. p. 219 A, ubi v. Wyttenbachius.

νήν, ἄνθρωπος δὲ πολλὰς καὶ ποικίλας: ἐπὶ τῶν ἐναντία φθεγγομένων καὶ ἄνισα.

81 *Προβατίου βίον λέγεις: ἐπὶ τῶν ἀπραγμόνων· τοῦτο γὰρ τὸ ζῶον ἁπλούστατον ὄν, τοῖς παρατυχοῦσι τρέφεται καὶ οὐ ζήτησιν τῆς τροφῆς ποιεῖται, ὥσπερ τὰ ἄλλα ζῶα· ὥστε ὁ τούτου βίος μαλακὸς καὶ φαῦλός ἐστι.*

82 *Προσήκει τοῖς τέκνοις ἐντὸς θυρῶν λοιδορεῖσθαι: ἐπὶ τῶν τὰς οἰκείας αἰσχύνας μὴ ὁρώντων, ἀλλ' ἑτέροις λοιδορουμένων. Ἱέρου γὰρ υἱὸν ἔχοντος, οὐ εὖ κεχρημένον ἐφ' ὥρᾳ τῷ σώματι, τὸν δὲ Κικέρωνα λοιδοροῦντος εἰς μαλακίαν καὶ κίναιδον ἀποκαλοῦντος, εἶπε τοῦτο Κικέρων.*

83 *Προμέρου κύνες: τοῦτον οἰκέτην ὄντα βασιλικὸν μισῆσαι καθ' ὑπερβολὴν τῶν τραγῳδιῶν τὸν ποιητὴν Εὐριπίδην ἐπαφεῖναί τε αὐτῷ κύνας ἀγρίους, οἳ τὸν Εὐριπίδην κατεθοινήσαντο.*

84 *Πρόκριδος ἄκοντα: ἐπὶ τῶν πάντα νικώντων· τοῦτον γὰρ ἔχων ἡ Πρόκρις πάντα ἐνίκα.*

85 *Πρὸ τούτου σε ᾤμην κέρατα ἔχειν: ἐπὶ τῶν ἀνδρίας ὑπόληψιν ἐχόντων.*

---

1. *ποικίλας*] *ἕως ἂν τὸ δόξαν ἐπιτελέσῃ* Plutarchus addit. *ἐπὶ κτλ.*] *ἐπὶ τῶν ἐναντίων* AN. 7. *προσήκει — λοιδορουμένων*] Plutarchus non agnoscit. 9. *Ἱέρου γὰρ*] *Ουέρρου δὲ* Plutarchus. *οὐκ* idem. 11. *εἶπε τ. Κικέρων*] *ἀγνοεῖς, εἶπεν, ὅτι προσήκει κτλ.* idem. 13. *τοῦτόν φασι* Ds. 15. *τὸν Εὐριπίδην*] *τοῦτον* Ds. 17. *ἀκόντια* Pantinus coniecit. *τοιοῦτον γὰρ ἔχουσα* Ds. 18. *ἐνίκα*] *ἐθήρα* Suidas.

81. Suidas: *προβατίου βίον ζῆν: ἐπὶ τῶν μωρῶν καὶ ἀνοήτων:* recte: cf. annott. ad Macar. VI, 8. Sed transferebatur etiam ad mites et lenes: Plutarch. V. Fab. Max. 1: *ὁ δὲ Ὀυικούλας σημαίνει μὲν τὸ προβάτιον, ἐτέθη δὲ πρὸς τὴν πραότητα καὶ βαρύτητα* [scribe *βραδύτητα*: v. Sintenis ad Plut. Pericl. p. 61] *τοῦ ἤθους ἔτι παιδὸς ὄντος*: Dio Cass. LIX, 8: *ὁ δὲ δὴ Γάϊος τά τε ἄλλα ἰσχυρῶς προεπηλάκιζε, . . . ὥστε καὶ χρυσοῦν αὐτὸν* [Silanum] *πρόβατον ὀνομάζειν*, ubi v. Reimarus p. 986, 79: Luc. Asin. 33: *τοῦτον σωφρονέστερον προβατίου παρέξω τῇ τομῇ*: Phot. Epist. 15, p. 76 Mont.: *ἐγὼ μὲν γὰρ εἶδον προβάτου σε δορὰν περικείμενον, καὶ ἐδόκουν ἁπλοῦν καὶ ἄκακον*: fortasse tamen rectius hic Photii locus ex Patrum usu explicatur, de quo v. Suicerus Thes. Eccles. s. *πρόβατον* et s. *προβατόσχημος*. *Τοῦτο κτλ.*] ovium indolem atque naturam e Graecis scriptoribus illustrat Bochartus Hieroz. I, 591 Ur.

82. Arsen. XLIII, 92. *Ἱέρου κτλ.*] Plut. Apophth. Regg. cett. p. 204 F: add. Plut. Cic. V. 7.

83. Diog. VII, 52. Macar. VII, 43.

84. Diog. VII, 55.

85. Diog. VII, 89.

86 *Πρὸς κώρυκον γυμνάζεται: ἐπὶ τῶν διακενῆς μοχθούντων.*

87 *Πρὸ τῆς νίκης τὸ ἐγκώμιον: ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα. ὁμοία τῇ, Ἅλμην τοι κυκᾷς πρὶν τοὺς ἰχθύας ἕλοις.*

88 *Πρότερον χελώνη παραδραμεῖναι δασύποδα: ἐπὶ τῶν ἀδυνάτων.*

89 *Προβάτων οὐδὲν ὄφελος, ἐὰν ποιμὴν ἀπῇ: ἐπὶ τοῦ ἀναγκαίου.*

90 *Προφάσεως δεῖται μόνον ἡ πονηρία.*

91 *Πράγματα ἐξ ἀπραξίας: ἐπὶ τῶν παρὰ δόξαν καὶ ἐλπίδα συμβαινόντων.*

92 *Πρὸς κενὸν ψάλλεις: ἐπὶ τῶν μάτην πονούντων.*

93 *Πρὶν κεν δύο ἐχῖνοι εἰς φιλίαν ἔλθητον· ὁ μὲν ἐκ πελάγους, ὁ δ' ἐκ χερσαίου: ἐπὶ τοῦ ἀδυνάτου καὶ ἀνομοίου.*

94 *Πρὸ τῆς γενειάδος διδάσκεις τοὺς γέροντας:*

88a *Πρὸς στάθμῃ πέτρον τίθεσθαι, μή τι πρὸς πέτρῳ στάθμην: ὅτι δεῖ ἕκαστον ἑαυτὸν ἐπιδιορθοῦν, πρὸς τοὺς νόμους καὶ τοὺς κανόνας ἀποβλέποντα παραινεῖ.*

89a *Πρὸς οὖς κοινολογεῖται.*

---

1. *γυμνάζεσθαι* Suidas. 4. *ὁμοία κτλ.*] AN om. *τῇ*] addit Ds proverbium ab Apost. I, 88 allatum. *τοι*] *τι* Ds. 5. Scribe *ἕλῃς τοὺς ἰχθύας;* 8. *γὰρ οὐδὲν* Erasmus. *ἀπῇ*] *μὴ παρῇ* W. 9. *ἐπὶ τοῦ ἀν.*] *ὅτι κακὸν ἡ ἀναρχία* A. 11. *καὶ ἐλπίδα* Z om. 13. *κενὴν* Ds. Suidas: *πρὸς κενὴν ᾄδεις. Πρὸς ἐῤῥωγυῖαν ᾄδεις. ἐπὶ τοῦ μάτην πονοῦντος.* 14. *κε* Ds. *ἐς* Suidas. 15. *χέρσου* Ds. 19. *ὅτι δεῖ κτλ.*] Plutarchus ignorat.

86. Suidas. DV III, 70.
87. Diog. VII, 56: Arsen. XLIII, 100. DV III, 62. *Ἅλμην κτλ.*] Apost. XIV, 75.
88. Diog. VII, 57: Arsen. XLIII, 97. DV III, 63. Apost. V, 82.
88a. Arsen. XLIII, 98: Plutarch. de sent. profectu in virt. 2, p. 75 F.
89. Diog. VII, 58: Ars. XLIII, 95.
89a. Arsen. XIII, 96. Lucian. Gall. 25: *Δίων πρὸς οὗς τισι τῶν Συρακουσίων κοινολογούμενος*: id. Calumn. 2: add. nott. ad DV III, 34.
90. Diog. VII, 87. Cf. Apost. XIV, 79. 100: Greg. Cypr. M V, 1.
91. Diog. VII, 59. DV III, 64.
92. Diog. VII, 60. Cf. Macar. III, 34. V, 12. VIII, 91.
93. Diog. VII, 61.
94. Arsen. XLIII, 99. Dictum in imberbem senes docentem: simili figura Gregor. Nazianz. Or. 20, p. 332 C dixit: *τίς μὲν ἦν οὕτω πολιὸς σύνεσιν καὶ πρὸ τῆς πολιᾶς*: ex eodemque Gregorio alia id genus exempla collegit Casaubonus ad Persii versum Sat. IV, 4: *scilicet ingenium et rerum prudentia velox Ante pilos venit*: add. Pind. Pyth. IV, 281: *κεῖνος γὰρ ἐν παισὶν νέος, Ἐν δὲ βουλαῖς πρέσβυς*: ibid. V, 103: Callim. h. in Iov. 57: *ἀλλ' ἔτι παι-*

ἡ μὲν παροιμία ἐπιδηλοτάτη· ἰστέον μέντοι γε, ὡς ὅτι κατὰ μὲν Σόλωνα τὸν Ἀθήναιον δέκα ἡλικίαι εἰσίν. οὕτω γὰρ ἀνέγραψεν ἐλεγεῖα ποιήσας τάδε·

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἑπτ' ἔτεσι·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γινομένης·
τῇ τριτάτῃ δὲ γένεια ἀεξομένων ἐπὶ γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
τῇ δὲ τετάρτῃ παῖς τις ἐν ἑβδομάσιν ἄριστος
ἰσχύν, ἥτ' ἄνδρες σήματ' ἔχουσ' ἀρετᾶς.
πέμπτῃ δ' ὥρῃ ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν ἐξοπίσω γενεήν.
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύνεται νόος ἀνδρός,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμν' ἐθέλει.
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μετ' ἀρίσταις,
ὀκτὼ δ' ἀμφότερα. τεσσαρακαίδεκ' ἔτη·

1. *ἡ μὲν κτλ.*] A om. *ἰστέον — τάδε*] *τὰς ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης, ἐλεγεῖα ποιήσας τάδε* Philo; *Ἡρωελεγεῖα Σόλωνος πρὸς περίστασιν ἡλικιῶν* Parisinus, *τάς τε* [*ὅτι αἱ* Ab] *τῶν ἡλικιῶν μεταβολὰς* [*μεταβολαὶ* Ab] *κατὰ ἑβδομάδα γίνεσθαι* [*γίνονται* Ab] *Σόλωνος αἱ* [*αἱ* Ab om.] *ἐλεγεῖαι δηλοῦσιν ὧδέ πως* Clemens Ab; Ab in margine: *περὶ τῶν καθ' ἡλικίαν ἡμῶν ἑβδοματικῶν μεταβολῶν Σόλωνος.* 5. *ἔτεσιν* Philo cum rell. 6. *τελέσῃ* Clemens. 7. *ἐκφαίνει*] *δὲ φαίνει* Parisinus, *φανείσης* ed. Clementis Parisina, Ab. *σπέρματα* Clemens Ab. *γεινομένης* Philo, Parisinus; in Clemente libri manuscripti variant; *γιγνομένων* Ab. 8. *τρίτῃ* Parisinus. *γένει* Parisinus, *γένειον*, Ab Philo, Clemens. *ἐ. γενύων* Ab; cod. Clementis Parisinus: *ἔτι γυίων* Bergkius. 9. *χροιᾶς* Schneidewinus. 10. *παῖς* [sic] Parisinus, *πᾶς* Clemens Ab. *ἐνὶ ἑβδομάδεσσιν* Philo, *ἐν ἑβδομάδεσσιν* Parisinus: *ἐν ἑβδομάδι μέγ' ἄριστος* Ab Clemens, Mangeius et recentiores: *ἐν ἑβδομάδ' ἐστὶν ἄριστος* Sylburgius. 11. *ἥτ'*] *ᾗ τ'* Parisinus, *ἣν τ'* Ab Clemens, *οὗ τ'* Philo. *ἀρετῆς* Philo cum reliquis. 12. *ὥριον* Philo cum reliquis: *ὡρίου* Bergkius. 13. *εἰςοπίσω* Ab Clemens. 14. *καρτύνεται* Ab, *καταρτύεται* Philo, Parisinus, Clemens. 15. *οὐδ' ἔρδειν*] *ἐν δ' ἔρδειν* Parisinus, *οὐδ' ἰςιδεῖν* Clemens Ab. *ὁμοίως* Ab, editio Clementis Florentina, *ὅμως* Parisinus. *ἔργα μάταια θέλει* Clemens, A: *ἔργ' ἀπάλαμνα θέλει* Philo, Parisinus. 16. *ἑβδομάσι* Philo, Clemens Ab. *μέγ' ἄριστος* Clemens Ab. 17. *ὀκτὼ τ'* Clemens, Philo. *ἀμφοτέρων* Clemens Ab, *ἀμφότερον* Parisinus, Sintenis in Seebodii, Jahnii

θνὸς ἐὼν ἐφράσσαο πάντα τέλεια: Choricius in Villois. Anecdd. II, 19: *τὰς ἁπάντων ἐχώρησεν ἀρετὰς ἀεὶ τῆς παρούσης ἡλικίας ἄμεινον κεκτημένος τὸν νοῦν, ἐν παισὶ μὲν νέος τὴν φρόνησιν, ἐν δὲ μειρακίοις ἀνήρ, ἐν ἀνδράσι δὲ γέρων*, et cf. annott. ad Apost. VII, 29. *Ἰστέον κτλ.*] Phil. Iud. de mundi opific. Opp. T. I, p. 25 Mang., Cod. Parisinus in Crameri Anecdd. Pariss. I, 46. *Οὕτω γὰρ — θανάτου*] Clem. Alex.

τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·
τῇ δεκάτῃ δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχει θανάτου.

Οὕτω μὲν οὖν ὁ Σόλων· ὁ δ' ἰατρὸς Ἱπποκράτης οὕτω φησίν· Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι· παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνὴρ, πρεσβύτης, γέρων. καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς· παῖς δ' ἄχρι γονῆς ἐκφύσιος, ἐς τὰ δὶς ἑπτά· μειράκιον δὲ ἄχρι γενείου λαχνώσιος, ἐς τὰ τρὶς ἑπτά· νεανίσκος δ' ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, εἰς τὰ τετράκις ἑπτά· ἀνὴρ δ' ἄχρις ἑνὸς δέοντος πεντήκοντα, εἰς τὰ ἑπτάκις ἑπτά· πρεσβύτης δ' ἄχρι πεντήκοντα ἕξ, εἰς τὰ ἑπτάκις ὀκτώ· τὸ δ' ἐντεῦθεν, γέρων.

95 *Προβάλλοντες κυσὶν ἄρνας:* ἐπὶ τῶν τοὺς ἀπράγμονας παραδιδόντων συκοφάνταις.

96 *Πρίν κεν λύκος ὄϊν ποιμαίνῃ:* ἐπὶ τοῦ ἀδυνάτου.

---

et Klotzii Ann. Philol. et Paedag. XXVII, p. 30. *τέτταρα καὶ δέκ'* Ab, *τεσσερακαίδεκ'* Parisinus, *τεσσερακαίδεκ'* Schneidewinus in censura, quam de Bergkii Poet. Lyr. Gr. edidit, p. 75.

1. *μαλακώτερα*] *μετριώτερα* Clemens Ab. 2. *γλῶσσα — σοφίη*] *σῶμά τε καὶ δύναμις* Clemens Ab, *σώματι καὶ σοφίῃ* Brunckius, *σῶμά τε καὶ σοφίη* Schaeferus: Clementis lectionem Schneidewinus et Bergkius praetulerunt. 3. *δ' εἰ — ἵκοιτο*] *δ' ὅτι δὴ τελέσῃ* [*τελέσει* Clemens] *θεὸς ἕπτ' ἐνιαυτούς* Ab Clemens: Philonis lectionem recte Bachius commendat. 4. *ἔχοι* Parisinus, Philo. 5. *ὁ δ' — φησίν*] *Ἱπποκράτης δὲ ἡλικίας ἑπτὰ εἶναι φησί* Parisinus: desinit hic Crameri collatio. Philo antequam ipsam Hippocratis verba affert, in universum de iis disputat. 7. *νεανίσκος — γέρων*] *καὶ αἱ λοιπαὶ* Philo. 9. *τουτέστι τῆς τῶν ὀδόντων* Ioannes. *ἐκφύσεως* Philo, Ioannes. *ἐς*] *εἰς* iidem. 10. *μειράκιον δὲ*] *δὲ* Ioannes om. *λαχνώσεως* Philo, Ioannes. *εἰς*] *ἐς* iidem. 13. *εἰς τὰ ἑ. ἑπτά* Ioannes om.: *ἐς κτλ.* Philo. 14. *ἐς τὰ* Philo, Ioannes. 17. *ποιμάνῃ* R Ds: scribe *ποιμαίνοι*.

Stromm. VI, 16, 154, p. 291 Sylb., Arsen. XLVII, 95: Solon. fr. 23 Schneidew., 25 Bergk. De vitae humanae per aetates distributione diversas veterum auctorum sententias composuit Wyttenbachius ad Plut. Opp. Mor. VII, 1, 291. *ὁ δ' ἰατρὸς κτλ.*] e Philone accurate Hippocratis verba descripsit Ioann. Damasc. S. Parall. Opp. T. II, 314 Paris.: breviter medici summi sententiam Poll. On. II, 4 et Censor. de D. Nat. 14 referunt. *ἐν ἀνθρώπου κτλ.*] »haec hodie non leguntur in editis Hippocratis operibus:« Mangeius. Cf. Valckenarius de Aristob. 103 sqq.

95. Diog. VII, 62.

96. Diog. VII, 63. Arist. Pac. 1076: *πρίν κεν λύκος οἶν ὑμεναιοῖ*, ubi Scholiasta: *τὸ ἀδύνατον δὲ εἶπε παρὰ τό* [Hom. Il. X, 262]· *ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν*: cf. ann. ad Diog. V, 96.

97 *Πρᾳότερος περιστερᾶς:* ἐπὶ τῶν ἐπιεικῶν.

98 *Πρὸς Κᾶρα καρίζεις:* ὡς καί· *Πρὸς Κρῆτα κρητίζεις.*

99 *Πρὸς σῆμα μητρυιᾶς κλαίει:* ἐπὶ τοῦ ἀφροντίστου. ἢ προσποιουμένου.

100 *Πρὸς κέντρα λακτίζεις.* Προφάσεως δεῖται μόνον ἡ παροιμία: ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων.

1 *Πρὸς λέοντα δορκάδες συνάπτουσι μάχας:* ἐπὶ τῶν ἐριζόντων πρὸς κρείττονας.

Τὸ π̃ μετὰ τοῦ τ̃.

2 *Πτερυγίζεις:* ἐπὶ τῶν ἐπηρμένων καὶ ἀνύσαι τι μὴ ἰσχυόντων· εἴληπται ἐκ μεταφορᾶς τῶν ἐπιβαλλομένων μὲν πέτεσθαι νεοσσῶν, μὴ δυναμένων δὲ καὶ εἰς γῆν πιπτόντων.

3 *Πτολεμαῒς δίκη:* ἐπὶ τῶν ἀναβαλλομένων· πρεσβύτης δὲ ἦν ἡ Πτολεμαῒς, ἄχρις οὗ ἀποθάνοι δίκας λέγουσα, καὶ ἀεὶ ὑπερτιθεμένη· διὰ τὸ μηδέποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι.

4 *Πτωχότερος κιγγάλου:* κίγγαλος πτηνὸν γυμνόν.

5 *Πτερὸν ἀετοῦ πτεροῖς ἄλλων μιγνύεις:* ἐπὶ

1a *Πρὸς Κρῆτα κρητίζει:* ἀντὶ τοῦ πρὸς ψεύστην ψεύδεσι χρῆται.

---

2. καὶ τὸ Z Ds. 6. Προφάσεως — παροιμία] delenda sunt. 7. παροιμία] debebat πονηρία. 8. ἅπτουσι Suidas. 11. πτερυγίζειν A. Suidas: πτερυγίζειν: ἀπὸ τοῦ μηδὲν ἀνύειν. ἀπὸ τῶν ἐπιβαλλομένων πέτεσθαι νεοσσῶν. Ἀριστοφάνης Πλούτῳ· ... ἀπὸ μεταφορᾶς τῶν νεοσσῶν τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. Quo modo huc venerit, Scholii ad Arist. l. c. aperit lectio e codice Veneto enotata: παροιμία ἀπὸ μεταφορᾶς κτλ. 14. ἐπὶ τ. ἀναβ. Suidas om. πρεσβῦτις N Suidas. 15. ἀρχαία, ἄχρις Suidas. ἔχουσα Hemsterhusius. 16. καὶ κτλ.] διὰ τὸ ἀεὶ ὑπερτίθεσθαι καὶ μήποτε βούλεσθαι κτλ. Suidas. 18. Corrige κίγκλου. Κίγγαλος κτλ.] Suidas et Photius ignorant.

97. Diog. VII, 64. Macar. VII, 37.
98. Diog. VII, 65. Macar. VII, 36.
99. Suidas: Arsen. XLIII, 93. DV III, 65. nott. cr. ad Apost. XI, 10.
100. Arsen. XLIII, 94. Πρὸς κ. λ.] Greg. Cypr. M IV, 100. Apost. VI, 56. Προφάσεως — παροιμία] Apost. XIV, 90.
1. Suidas: Arsen. XLIV, 1. DV III, 57.
1a. Arsen. XLIV, 2. Macar. VII, 35. Apost. X, 7.
2. Arsen. XLIV, 3. Cf. Suidas s. v. et Scholl. ad Aristoph. Plut. 575.
3. Suidas: Arsen. XLIV, 4. Diog. VII, 53.
4. Suid. s. κίγκλος et Photius. Cf. Apost. IX, 82.
5. Plut. Sympos. V, 7, p. 680 E: καὶ καθάπερ τὰ τῶν ἄλλων ὀρνέων

τῶν τὰ ἄμικτα μιγνυόντων:. Τὸν ἀετὸν οὐ μόνον παρόντα καὶ ζῶντα δέδοικε τὰ ὄρνεα καὶ καταπτήσσει φανέντος, ἀλλὰ καὶ τὰ πτερὰ ἐκείνου ἐάν τις τοῖς τῶν ἄλλων συναναμίξῃ, τὰ μὲν τοῦ ἀετοῦ μένει ὁλόκληρα καὶ ἀνεπιβούλευτα, τὰ δὲ ἕτερα κατασήπεται, τὴν πρὸς ἐκεῖνα κοινωνίαν οὐ φέροντα.

6 *Πτίσσε πτίσσε τὸν Ἀναξάρχου θύλακον· οὐ γὰρ πτίσσεις Ἀνάξαρχον: οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ. πτίσσεσθαι δέ ἐστι τὸ δίκην πτισάνης τύπτεσθαι· ἔνθεν καὶ πτισάνη παρὰ τὸ πτίσσεσθαι. πτισσόμενος δὲ οὕτως ἔφη, αἰνιττόμενος οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι.*

7 *Πτωχοῦ φίλοι οὐδ' οἱ γεννήτορες.*

8 *Πτωχοῦ πήρα οὐ πίμπλαται: ἐπὶ τῶν ἀπλήστων.*

Τὸ π̃ μετὰ τοῦ ῦ.

9 *Πύθια καὶ Δήλια: ἐπὶ τῶν ταχέως ἀπολλυμένων.*

8a *Πτωχοῦ βέλτιόν ἐστι κατὰ πτόλιν ἠὲ κατ' ἀγροὺς δαῖτα πτωχεύειν.*

---

1. *αἰετὸν τὸν τῶν ὀρνίθων βασιλέα* As. 7. *πτίσαι, πτίσαι* Anon. in Crameri Anecd. Paris. IV, 413. *θύλακον*] *ἀσκόν* Philo Opp. T. II, 462 Mang.: vocem *θύλακος* pro corpore positam post Eustath. ad Hom. Od. *B*, 354, p. 1450, 15 illustravit Gatacker ad Marc. Anton. Comm. p. 251 sq. *οὐ — Ἀνάξαρχον*] *αὐτὸν γὰρ Ἀνάξαρχον οὐ μὴ πτίξῃς ποτέ* Anon. ap. Cramerum l. c. 8. *Ἀρχελάου*] Nicocreon nominari debebat: v. Cic. Tusc. Q. II, 22, Plutarch. de virt. morali 10, p. 449 E, inscriptio graeca a Rossio in Gerhardi Ephem. Archaeol. a. 1844, p. 346 sqq. edita. 10. *μοχλῷ ξυλίνῳ*] *ὑπέροις σιδηροῖς* Plutarchus, Anon. in Crameri Anecdd. Oxon. IV, 251, alii. *πισσάνης* Z. 17. *ἐπὶ τ. τ. ἀπολλ.*] Suidas ignorat. 18. *πτωχῷ βέλτερόν* Homerus. *ἀγρούς* idem.

πτερὰ τοῖς τοῦ ἀετοῦ συντεθέντα διόλλυται ψιλούμενα καὶ ἀπανθεῖ τῶν πτίλων μυδώντων, οὕτως κτλ.: Plin. N. H. X, 4, 15: *aquilarum pennae mixtas reliquarum alitum pennas devorant.* *τὸν ἀετὸν κτλ.*] Aelian. N. An. IX, 2.

6. Nonnus ad Greg. Naz. Or. 132 Mont.: Arsen. XLIV, 5: paulum differunt Scholia a Gaisfordo in Catal. Codd. Clark. p. 53 sq. edita. Pluribus rem Diog. Laert. IX, 58 narrat. Anaxarchi dictum saepe a veteribus memoratur: v. Cic. Nat. Deor. III, 33, Plin. N. H. VII, 23, 87, Dio Chrysost. Or. 37, p. 126 R. et SS. Patres, quorum locos Menagius ad Diog. Laert. l. c. indicat: add. nott. critt. et Greg. Nazianz. Or. 3, p. 77 B, Epigr. 4 T. II, p. 1164 Caill. Ceterum cf. Bruckerus Hist. crit. phil. I, 1208, qui hanc de Anaxarchi morte narrationem omni fide carere contendit.

7. Arsen. XLIV, 6.

8. Suidas: Arsen. XLIV, 7. DV III, 61.

8[a]. Arsen. XLIV, 8: Hom. Od. *P*, 18.

9. Suidas: Arsen. XLIV, 9: Pho-

Φασὶ Πολυκράτην τὸν Σάμου τύραννον Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεοῦ χρησόμενον, εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸ ὡρισμένον· τὴν δὲ Πυθίαν ἀνελεῖν· ταῦτά σοι καὶ Πύθια καὶ Δήλια, βουλομένη δηλοῦν, ὅτι ἔσχατα· μετ' ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκουρος ἔν τινι τῶν πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτα φησί.

10 *Πυθίων ὕστερον ἧκες: ἐπὶ τῶν ὑστεριζόντων· τὰ δὲ Πύθια ἐτελεῖτο ἐν Δελφοῖς. Δελφοὶ δὲ λέγονται διὰ τὸ τὸν Δελφύνην δράκοντα ἐκεῖ ἀναιρεθῆναι, ὃν ἀπέκτεινεν ὁ Ἀπόλλων· διὰ δὲ τὸ σαπηθῆναι ἐκεῖ τὸν Δελφύνην λέγονται οἱ Δελφοὶ καὶ Πυθώ· πύθω γὰρ τὸ σήπω· Πυθὼ οὖν καὶ Πύθια καὶ Πυθία.*

11 *Πυθαγορικοὺς κυάμους μὴ ἔσθιε: ἀντὶ τοῦ μὴ ἀδίκει. οὗτοι γὰρ δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα· παρεδίδοτο δὲ μετὰ τὰ ἄλλα καὶ τοῦτο*

---

2. *εἰς Δῆλον* ZR. 6. *δὲ ἐν* N Suidas. 7. *φησί* Suidas om. 8. *ἧκες*] A pergit: *Πλάτων* [Gorg. init.]· *ἀλλ' ἦ τὸ λεγόμενον κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν*: cf. Diog. V, 73. *ἐπὶ κτλ.*] A om. 10. *ἀναιρεθῆναι*] *εὑρεθῆναι* Suidas. 11. *διὰ δὲ*] scribe *Πυθὼ δὲ διὰ*. *σαπῆναι* Suidas. VV. *λέγονται . . καὶ Πυθώ* delenda sunt. 13. *κ. Πούθια κ. Π.* Z, quam formam per Placidi glossam p. 492 ed. Mai.: *Putium, pythium Apollinem*, defendi posse Ungerus Parad. Theb. I, 361 opinatur. Cf. Steph. Byz. s. *Πυθώ*. 15. *οὗτοι*] *Πυθαγόρειοι γένος φιλοσόφων ἐκ Πυθαγόρου τοῦ Σαμίου. οὗτοι* Nonnus. 16. *τῶν ἄλλων* Nonnus.

tius. Cf. infr. 10 et XVI, 17a. Oraculi sententiam esse *brevi peribis et putresces*, recte monuit Dobreus Advers. II, 607.

10. Arsen. XLIV, 10. Cf. Apost. IX, 44. *Δελφοὶ — ἐκεῖ τ. Δελφ.*] Suid. s. *Δελφοί* et s. *πύθω*. De Delphyna dracone et de nominis *Πυθώ* originatione cf. C. F. Hermannus de sacris Coloni disput. 41 sqq.

11. Arsen. XLIV, 11. *οὗτοι κτλ.*] Nonnus ad Greg. Naz. p. 132 Mont., id. in Maii Spicil. Rom. II, 309: Eudoc. Viol. 368. Cum Nonno de causa cur Pythagorei fabulo abstinuissent, convenit Plutarcho de Educ. puer. 17, p. 12 E et Iamblicho de Pythag. Vita 35, 260; cui rationi quantum subsit veri Krischius de societ. Pyth. scopo polit. 34 et Claussenius de Aen. et Penat. II, 929 optime docuerunt. Aliorum de hac re sententias congessit Diog. Laert. VIII, 34: *φησὶ δὲ Ἀριστοτέλης ἐν τῷ περὶ κυάμων* [v. de hoc libro Brandisius Hist. Philos. Gr. et Rom. I, 498] *παραγγέλλειν αὐτὸν* [Pythagoram] *ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι ἢ ὅτι Ἅιδου πύλαις· ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς*: nec non Clem. Alex. Stromm. III, 3, 24, p. 187 Sylb.: *μυστικῶς ἀπαγορεύουσι κυάμοις χρῆσθαι, οὐχ ὅτι πνευματοποιὸν καὶ δύσπεπτον καὶ τοὺς ὀνείρους τεταραγμένους ποιεῖ τὸ ὄσπριον, οὐδὲ μὴν ὅτι ἀνθρώπου κεφαλῇ ἀπείκασται κύαμος κατὰ τὸ ἐπύλλιον ἐκεῖνο· Ἶσόν τοι κυάμους τρώγειν κεφαλάς τε τοκήων· μᾶλλον δὲ ὅτι κύαμοι ἐσθιόμενοι ἀτόκους ἐργάζονται τὰς γυναῖκας*: quibuscum cf. Gellii

τὸ αἴνιγμα· κυάμους μὴ ἐσθίειν· τουτέστι μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν. οἱ γὰρ Ἀθήνησι δικασταὶ τὸ παλαιὸν ἀντὶ ψήφων κυάμους ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις. φασὶν οὖν ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ δεῖν ἐσθίειν.

12 *Πυγμαῖα ἀκροθίνια κολοσσῷ ἐφαρμόζεις*: ἐπὶ τῶν ἀνόμοια ποιούντων.

13 *Πυλωρὸς κακός*: ἐπὶ τῶν μὴ καλῶς φυλασσόντων· Θυρικίων γὰρ ἐκ Δελφῶν παραγενόμενος, ἰδὼν τὸ Φιλίππου στρατόπεδον ἐν Ἰσθμῷ τὰ στενὰ κατειληφότας, *κακούς*, ἔφη, *πυλωροὺς ὑμᾶς, ὦ Κορίνθιοι, ἡ Πελοπόννησος ἔχει.*

14 *Πύθου Χελιδόνος*: ἀντὶ τοῦ, ἐγκαίρως ποίει τὰ σαυτοῦ. ἀπό τινος Χελιδόνος θεολόγου καὶ τερατοσκόπου, περὶ τελῶν διειλεγμένου· ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ. οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῷον· οἱ δὲ ὅτι τὸ ἔαρ προσημαίνει.

15 *Πῦρ ἐπὶ πυρί*: *Κακὸν ἐπὶ κακῷ*: ταύτης μέμνηται καὶ Πλάτων καὶ Λιβάνιος· *πῦρ ἐπὶ πῦρ ἠσθόμην.*

---

2. Ἀθηναίων πάλαι δικασταὶ idem. 3. κυάμοις idem. 4. φησὶν idem: Gregorium dicit. 9. Θηρυκίων Plutarchus. γὰρ Plutarchus om. 10. κατειληφότος Plutarchus. 13. ἀντὶ — σαυτοῦ] παροιμία Photius. 14. ἀνδρὸς καὶ idem. 15. τελετῶν Photius, ἱερῶν Z. 18. κακὸν ἐ. κ.] Suidas om. ταύτης] παροιμία ἧς Suidas. 19. Πλάτων] κακὸν ἐπὶ κακῷ Suidas addit. καὶ Λιβάνιος κτλ.] Suidas ignorat.

collectanea N. Att. IV, 11, Plutarch. Sympos. VIII, 10, p. 734 F, Quaest. Rom. 91, p. 286 D, Iamblich. Adhort. ad philos. 376 Kiessl. aliosque, quos Menagius ad Diog. Laert. l. c. et Niclas ad Geopon. T. I, 180 laudant. αἴνιγμα] hoc nomine veteres Pythagorae symbola insignire solebant: v. Plut. de pueror. educ. l. c., Demetrius Phal. apud Athen. X, 452 D. οἱ γὰρ — δικαστηρίοις] v. Suid. s. κυαμοτρώξ.

12. Eustath. ad Hom. Od. Τ, 205, p. 1862, 35: φέρεται δέ, φασί, καὶ παροιμία ἐπί τινων μάτην κοπιώντων τό, ἀκροθίνια Πυγμαίων κολοσσῷ ἐφαρμόζειν, ὅπερ ἐστὶν ἀνδρὶ μεγίστῳ μικρόν τι κέρδος εἶναι: Suid. s. ἀκροθίνια. Adhibuit Philostr. V. Sophist. I, 19, p. 512 Ol.: τὸν δὲ ἄνδρα τοῦτον [Nicetam] χρόνοις ὕστερον Ἡρακλείδης ὁ Λύκιος σοφιστής [de quo v. intt. Suidae s. Ἡρακλείδης et s. Νικήτας] διορθούμενος ἐπέγραψε Νικήτην τὸν κεκαθαρμένον, ἠγνόησε δὲ ἀκροθίνια πυγμαῖα κολοσσῷ ἐφαρμόζων, ubi v. Kayserum.

13. Arsen. XLIV, 12. Θυρικίων κτλ.] Plut. Apophth. Lacon. 221 F.

14. Photius: Arsen. XLIV, 13: Suidas: differt paulum Hesychius s. πύθου [sic] Χελιδόνος: παροιμιῶδες· διότι ὀδυρτικὸν τὸ ζῷον· θρηνεῖ γὰρ ἡ χελιδὼν καὶ ἀηδών· τὸ δὲ ἀληθές, ἀπὸ Χελιδόνος τινὸς θεολόγου ἢ τερατοσκόπου. Cf. App. Provv. IV, 63.

15. Suidas: Arsen. XLIV, 14. Macar. VII, 48. Πλάτων] Legg. II, 666 A. Λιβάνιος] Oratt. T. IV, 146 R. Κακὸν ἐ. κ.] Macar. IV, 100.

16 *Πυῤῥάνδρου μηχάνημα: οὗτος ἐγένετο πονηρὸς καὶ συκοφάντης.*

Ἀρχὴ τοῦ ῥ στοιχείου.

Τὸ ῥ μετὰ τοῦ ᾱ.

17 *Ῥαδαμάνθυος ὅρκος: ἐπὶ τῶν ἐπὶ δικαιοσύνῃ μαρτυρουμένων. ὁ δὲ ὅρκος ἦν κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἢ τινος ἄλλου τοιούτου· οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι.*

18 *Ῥᾷον ἢ τὸ ὄρειον ὑπερέβησαν οἱ Βοιωτοί: ἐπὶ τῶν τοὺς ὅρους καὶ τὸ μέτρον ὑπερβαινόντων· ὅρειον γὰρ ὅρος ἐστὶ, εἰς ὃ οἱ ὅροι τῶν Βοιωτῶν ὡρίζοντο.*

19 *Ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν: ὅτι οἱ ἐπιμόνως πρός τι σπουδάζοντες αὐτὸ καθορθῶσαι δυνή-*

17a *Ῥᾴδια πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον οὐδέν:. Λίνου.*

---

1. *Πυῤῥάνδρου μηχανήματα* Suidas. 5. ὅρκος] *κρίσις* Suidas. 6. ὁ δὲ ὅρκος ἦν] *Ῥαδαμάνθυος ὅρκος. ὁ* Suidas. 8. χήν] addit Suidas: *θεοὺς δ' ἐσίγων. Κρατῖνος Χείρωσι*: Crat. Chir. fr. XI Mein. 9. ὅρκοι] *λέγεται καὶ Ῥαδαμάνθυος κρίσις* Z e Diog. VII, 98 adiecit. 10. *Ὄνειον* bis VB. 12. ἐστιν ὅρος, πρὸς ὃ Suidas.

16. Suidas: Arsen. XLIV, 15. Fluxit ex Aristoph. Equitt. 901, ubi cf. Scholia.

17. Suid. s. *Ῥαδαμάνθυος κρίσις* et *Ῥαδ. ὅρκος*: Arsen. XLVI, 40. DV III, 74. *Σωκράτους*] v. Plat. Phaedon. 99 A et adnott. ad Zenob. V, 81.

17a. Arsen. XLVI, 41. XXVI, 21: Stob. Flor. 110, 1.

18. Suidas: Arsen. XLVI, 42. App. Provv. IV, 64. Illustratur proverbium iis, quae C. F. Hermannus in disput. de terminis eorumq. relig. apud Graecos p. 18 sqq. exposuit.

19. *Ῥανὶς — πέτραν*] Ioann. Damasc. Parall. Sacr. 36, T. II Opp. 677 C: Arsen. XLVI, 43. Hanc proverbii formam iudice Naekio [de Choer. Reliq. p. 172] non admodum veterem Constantinus Manasses, Theodorus Prodromus aliique aevi Byzantini scriptores re-spicere solent, quorum recensum Boissonadus egit ad Aristaen. Epist. I, 19, p. 474 et in Anecdd. Gr. V. 61: exempli causa adscribo Gregorii Presb. V. Greg. Nazianz. p. 19 Bill.: *ἀεὶ οὖν τῷ δήμῳ προςκαθεζομένων τῶν φοιτητῶν Ἀπολιναρίου· καὶ ταῦτα τοῦ ὁσίου κατηγορούντων ἴσχυσεν ἡ ἐπήρεια· ῥανὶς γὰρ ἐνδελ. κ. π.* Aliam formam Apostolius infr. 44 posuit, ubi v. annott.: antiquissimam a Choerilo Samio profectam servavit Simplicius ad Aristot. Physic. Auscult. VIII, 2, p. 429 Brand.: *τὸ γὰρ λέγειν, φησίν, ὅτι κινεῖται μὲν ἀεὶ πάντα, λανθάνει δὲ ἡμᾶς τῷ κατ' ὀλίγον, ὅμοιόν ἐστιν ἐκείνῳ τῷ λόγῳ τῷ περὶ τοῦ τὸν συνεχῆ τοῦ ὕδατος σταλαγμὸν κοιλαίνειν τὴν πέτραν· "πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ," φησὶν ὁ Χοιρίλος, ὡς ὑφ' ἑκάστου μὲν σταλαγμοῦ μειουμένης τῆς πέτρας, ἀδήλου δὲ ἡμῖν οὔσης τῆς κατ' ὀλί-*

σονται. διαφέρει δὲ ἐντελέχεια ἐνδελεχείας· ἐνδελέχεια μὲν γάρ ἐστιν ἡ συνέχεια· ἐντελέχεια δὲ ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκειμένου· τουτέστι, τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ τῆς τοιᾶσδε συνθέσεως τῶν στοιχείων τῆς ὕλης· ἤτοι τὸ ἀχώριστον εἶδος τοῦ σώματος. καὶ γὰρ ἐντελέχειά ἐστι τὸ εἶδος καὶ ἡ τελειότης τοῦ σώματος. λέγεται δὲ καὶ ἐντελέχεια τὸ κεχωρισμένον τοῦ σώματος, ὡς ὁ πλωτὴρ τοῦ πλοίου· ἥτις ἐντελέχεια ἔξωθέν τε οὖσα τάττει καὶ διακοσμεῖ καὶ τελειοῖ τὸ ὑποκείμενον. ὅταν οὖν ἐντελέχειαν λέγῃ τὴν ἄλογον καὶ φυσικὴν ψυχήν, τὸ ἀχώριστον εἶδος τῆς ἐντελεχείας λέγει· ὅταν δὲ τὴν λογικὴν ψυχὴν ἐντελέχειαν λέγῃ, τὸ κεχωρισμένον.

20 Ῥάκος πολυσχιδὲς ἐργασάμενος, ἔξωσον: τουτέστιν, ἀπόθου παλαιὰ πράγματα.

19a Ῥᾷστον δ' οἶμαι, τοῦτο κατὰ τὴν παροιμίαν, μόνον θέοντα κρατεῖν. ὅμοιον τῷ, Ἐρήμην νικᾶν, καὶ, Ἀκονιτὶ κρατεῖν, καὶ τῇ, Μόνος θέων ἐκράτει.

---

4. τῇ ὕλῃ Suidas. 6. δὲ καὶ] καὶ Suidas om. 13. ἐξέωσε Lucianus. 15. τοῦτό ἐστι idem.

γον μειώσεως. ὁμοίως δὲ καὶ ὑπὸ τῆς ἐκφυομένης ἐν ῥαγάδι τοῦ λίθου συκῆς, εἰ τύχοι, διίσταταί ποτε ὁ λίθος καὶ ῥήγνυται: hic versus Choerilius tam claro apud veteres rumore fuit, ut non solum a scriptoribus saepe in orationis ornatum adhiberetur: v. Bion. Stob. Flor. 29, 52: ἐκ θαμινῆς ῥαθάμιγγος, ὅκως λόγος, αἰὲς ἰοίσας Χὠ λίθος εἰ ῥωχμὸν κοιλαίνεται: Isid. Pelus. Epist. II, 284. Greg. Nazianz. Oratt. 19, p. 293 C, Zonar. Anal. praef. 7 Pind.: εἰ γὰρ κοιλαίνειν τὸ τῆς πέτρας σκληρὸν καὶ ἀπόκροτον ῥανίδος ἐνδελέχεια δύναται, μᾶλλον ἂν δυνήσεται λόγος ἐνδελεχὴς τὰ ὦτα θυροκοπῶν γνώμης διεγεῖραι ῥᾳστώνην καὶ ἀνειμένην προαίρεσιν: Lucret. I, 314: *stillicidi casus lapidem cavat:* IV, 1282: *nonne vides, etiam guttas in saxa cadentes Humoris longo in spatio pertundere saxa,* aliique quos Naekius l. c., Iacobsius Ann. ad Anthol. III, 2, p. 208 et Hertzbergius ad Propert. IV, 5, 19 indicant: sed etiam a Galeno verbosa interpretatione instrueretur: v. lib. I de locis affect. c. 2, T. VIII, 27 Kuehn.: add. id. de Temperam. III, 4, T. I, 676 Kuehn. Sententiam illustravit Gatacker ad Marc. Ant. Comm. 351. διαφέρει — συνέχεια] attigit Naekius l. c. 177. ἐντελέχεια κτλ.] Suidas s. ἐντελέχεια: de cuius vocis usu post Naekium l. c. accurate Trendelenburgius egit ad Aristot. de anima p. 295 sqq.

19a. Arsen. XLVI, 44. Ῥᾷστον — κρατεῖν] verba Luciani: v. Pseudolog. 15. Ἐρήμην νικᾶν] ἐξ ἐρήμης κρατεῖν dixit Lucian. Iov. Trag. 25. Alia v. in annott. ad Apost. VII, 1. Ἀκονιτὶ κρατεῖν] Suid. s. ἀκονιτί: . . εὐμαρῶς, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν οὕτως εὐμαρῶς περιγινομένων, ὥστε μηδὲ κονίσασθαι: Bekk. Anecdd. I, 365. Ἀκονιτὶ ἐπικρατεῖν dixit Polyb. I, 20, 5; ἀκονιτὶ κρατεῖν Diod. XV, 51 fin., Lucian. D. Mort. 29, 1, id. Navig. 32: add. Horat. Epist. I, 1, 50: *dulcis sine pulvere palma*, ubi cf. interpp.

20. Exstat apud Lucian. Pseudol. 18, de Merced. Cond. 39.

21 *Ῥαχίας λαλίστερος:* ἐπὶ τῶν ἀδολέσχων· ταῖς γὰρ ῥαχίαις συνεχῶς εἰςβάλλοντα τὰ κύματα ψόφον ἀποτελοῦσι.

Τὸ ῥ μετὰ τοῦ ε.

22 *Ῥεχθὲν δέ τε νήπιος ἔγνω:* ἐπὶ τῶν ἀνοήτων. Ὁμήρου.

Τὸ ῥ μετὰ τοῦ η.

23 *Ῥήματα ἀντὶ ἀλφίτων:* ἐπὶ τοῦ προϊεμένου φωνὰς μόνον.

24 *Ῥηγίνου δειλότερος:* ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν. καί· *Δειλότερος τοῦ παρακύπτοντος*· Ξέναρχος γὰρ ὁ Σώφρονος ἐκωμῴδει τοὺς Ῥηγίνους ὡς δειλοὺς ὑπὸ Διονύσου τοῦ τυράννου πεισθείς.

Τὸ ῥ μετὰ τοῦ ο.

25 *Ῥοδίων χρησμός:* ἐπὶ τῶν περιεργότερον πυνθανομένων. Ῥόδιοι γὰρ τῇ Λινδίᾳ Ἀθηνᾷ θύοντες καθ' ἑκάστην ἡμέραν ἐνδιετέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰςφέρειν· συγκαταινέσαντος δὲ πάλιν ἀνεπυνθάνοντο, χαλκῆν ἢ ὀστρακίνην; ὁ δὲ ὀργισθεὶς ἀπεφήνατο, μηδὲ ἑτέραν.

22a *Ῥεῖα θεός κ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.*

24a *Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,*
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.

---

2. ἐπιβάλλονται τὰ κύματα καὶ Suidas. 8. μόνας Z Ds. 11. Σώφρονος τοῦ μιμογράφου υἱὸς Suidas. 12. Διονυσίου idem. 16. ἰδιετέλουν A. 17. εἰςφέρειν] addunt EZ e Diogeniano: ἠρώτησαν οὖν εἰ τοῦτο δέοι ποιῆσαι: v. VB in nott. critt. ad Diog. l. c. 19. μηδ' ἑτέραν Suidas. 20. θεός γ' Homerus.

21. K in nott. ad Diog. VII, 99: Arsen. XLVI, 45.

22. Greg. Cypr. P. III, 61: Arsen. XLVI, 46: Suidas explicat: εἴρηται παρ' Ὁμήρῳ [Il. *P*, 32], ὅτι ὁ μωρὸς μετὰ τὸ γενέσθαι τὸ πρᾶγμα ἐπιγινώσκει: v. Zenob. II, 14 ibiq. annott., quibus add. Schol. ad Pind. Isthm. I, 56.

22a. Arsen. XLVI, 47: Hom. Od. *Γ*, 231.

23. Diog. VII, 100. Macar. VII, 52.

24. Suidas: Arsen. XLVI, 48. Zenob. V, 83: add. Hullemani disputatio, Durid. Sam. q. supers. p. 132. δειλότερος τ. παρ.] Apost. V, 93.

24a. Arsen. XLVI, 49: Hom. Od. *Π*, 211.

25. Suidas: Arsen. XLVI, 50. Diog. VIII, 4. Macar. VII, 53.

26 *Ῥόδον ἀνεμώνῃ συγκρίνεις:* ἐπὶ τῶν ἀνόμοια συμβαλλόντων καὶ συγκρινόντων.

27 *Ῥόδα μ' εἴρηκας:* ἀντὶ τοῦ, ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστί.

28 *Ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν:* ἐπὶ τῶν κυδαινόντων τινάς, ἢ ἐπὶ τῶν μεταμελομένων περί τι καὶ μὴ δυναμένων τι ἀνύσαι.

29 *Ῥόδιοι τὴν θυσίαν:* ἐπὶ τῶν ἐν ἱεροῖς βλασφημούντων.

Τὸ ῥ μετὰ τοῦ ῶ.

30 *Ῥωπικὸν ὤνιον:* ἐπὶ τῶν εὐτελῶν πολοῦ πιπρασκομένων.

Ἀρχὴ τοῦ σ̃ στοιχείου.

Τὸ σ̃ μετὰ τοῦ ᾶ.

31 *Σαλαμινία ναῦς:* ἐπὶ τῶν ταχέων· δύο δὲ ἦσαν νῆες παρὰ τοῖς Ἀθηναίοις καὶ ὑπηρέτιδες ταχυδρόμοι, ἡ Πάρα-

25a *Ῥοιαὶ δ' ἄλλοτ'* ἄλλαι εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας:. Πίνδαρος.

30a *Ῥευστὸν τὸν* κόσμον ὡς ἀραχνώδη νόει.

30b *Ῥεῖται γὰρ καὶ* παρέχεται ὡς χόρτος πᾶσα φύσις.

30c *Ῥήτωρ πονηρὸς* τοὺς νόμους λυμαίνεται·
ἁγνὸς δὲ ῥήτωρ εὔκρατος ἁρμονία.

---

1. τῶν τὰ NL. 2. συμβαλλόντων] συμφυόντων N. καὶ συγκρινόντων Suidas cum reliquis om. 5. ἐπὶ τ. κυδ.] Ds. om. 6. ἢ ἐπὶ κτλ.] Suidas ignorat. μεταμελουμένων Ds. Explicationem ad antecedens adagium pertinere ad Greg. Cypr. I. III, 6 monuimus. 8. τοῖς ἱεροῖς Ds. 11. καὶ πολλοῦ Ds: ἐπὶ τῶν εὐτελῶν μέν, πολλοῦ δὲ π. VB: cf. intt. Suidae. 15. δὲ Suidas om. 17. ῥοαί Pindarus. 18. ἄνδρας ἔβαν idem. 20. Scribe ῥεῖ γὰρ καὶ παρέρχεται. 21. τοῖς νόμοις Menander.

25a. Arsen. XLVI, 51: Pind. Ol. II, 33.
26. Suidas: Arsen. XLVI, 52. Greg. Cypr. L III, 7.
27. Greg. Cypr. L III, 8: Arsen. XLVI, 53.
28. Diog. VIII, 2. Suidas: Arsen. XLVI, 54.
29. Diog. VII, 96: Arsen. XLVI, 55. DV III, 72.
30. Diog. VIII, 3.
30a. Arsen. XLVI, 63: Ignatius apud Boisson. Anecdd. IV, 437. Cf. adnott. ad Apost. IX, 15.
30b. Arsen. XLVI, 64. Similiter Basilius Exhortt. p. 149 E in Banduri Imper. Orient. T. I: τὴν ἐκεῖθεν βασιλείαν τὸ ἀθάνατον κέκτηται . .· τὰ δὲ ἄλλα ῥεῖ κ. π.
30c. Arsen. XLVI, 65: Greg. Nazianz. Sent. Distich. c. 66, 32, p. 154 C. Prior versus legitur etiam in Menand. Monost. 709 Mein.
31. Arsen. XLVI, 69. δύο κτλ.]

λος καὶ ἡ Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν· ἣν καὶ ἐπὶ Ἀλκιβιάδην φησὶ πεμφθῆναι Θουκυδίδης· ἡ δὲ Πάραλος τὰς θεωρίας ἐπῆγε, τουτέστι, τὰ εἰς θεωρίαν πεμπόμενα.

32 Σαμίων ὁ δῆμος ὡς πολυγράμματος: ἤτοι μαστιγίας. ἐπὶ τῶν περιδεῖλων· Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ εἴκοσι τέσσαρα γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχίνου δι' Ἀθηναίου ἐπὶ ἄρχοντος Εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ Ἐπικλέους· περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλευκισάμενοι. τῆς Σαμαίνης ἐστὶ

---

2. Ἀλκιβιάδου Suidas. 3. ἀπῆγε idem. 4. θεωρίαν] θυσίαν idem. 5. δῆμός ἐστιν· ὡς Plut. Pericl. 26. Heysych. s. Σαμίων: est enim lemma versus ex Aristophanis Babyloniis, de quo post Fritzschium de Babyl. Ar. disp. p. 20 docte quaesivit Sinteuis ad Plut. l. c. p. 189. ἤτοι — περιδεῖλων] Suidas et Photius ignorant. 13. ἄρχειν· οἱ δ' Ἀθηναίοις Photius, Ἀρχῖνος ὁ Ἀθηναίου Z, Ἀρχίνου δ' Ἀθηναίου Suidas, δι' Ἀρχίνου τοῦ Ἀθηναίου R: VV. DD. coniecturas v. apud Bernhardium. 14. καὶ ἐπὶ Εὐκλέους Suidas, Photius: κδ' ἐπὶ Εὐκλέους Corsinus F. A. VIII, 235, Clintonus F. H. II, p. 71 Krueg.: κε' ἐ. Ε. Bouherius diss. de Gr. et Latin. Liter. 573. 16. Ἐπικλέους κ'. περὶ ZR. 17. ληφθέντας μὲν A. 18. γλαυκί· Σάμιοι δὲ Ἀθηναίους τῇ σαμαίνῃ· σαμαίνη δέ ἐστι ZE, fortasse R: γλαυκισάμενοι τῆς σαμαίας. ἔστι A, γλαυκισάμιοι τῆς σαμαίνης ἐστι codex A Suidae, γλαυκισάμιοι τῇ σαμένης ἐστι Photius: scribendum videtur: γλαυκί, Σάμιοι

Suid. s. Σαλαμινία ex Scholl. ad Arist. Av. 147. Θουκυδίδης] VI, 53.

32. Suidas: Arsen. XLVI, 70: Photius. Βαβυλωνίοις] fr. 1 Dind. Ἀριστοτέλης] fr. 181 Muell. De hac explicatione disputat Panofka R. Samior. 46. Ἄνδρων] fr. 7, p. 348 Muell. Rem confirmat Schol. Ven. ad Hom. Il. Η, 185: Καλλίστρατος δὲ ὁ Σάμιος ἐπὶ τῶν Πελοποννησιακῶν ταύτην μετήνεγκε τὴν γραμματικὴν καὶ παρέδωκεν Ἀθηναίοις ἐπὶ ἄρχοντος Εὐκλείδου, ὥς φησιν Ἔφορος: quae quid valcant docet Franzius Elem. Epigr. Gr. 24. 148: add. Marxius ad Ephori Fr. p. 240. Θεόπομπος] fr. 169 Wichers. οἱ δὲ — σαμαίνῃ] aliter Plutarch. l. c.: cf. Apost. XVI, 14. Ceterum de notarum servis inustarum apud veteres usu v. Lipsius Elect. II, 15: add. Arist. Av. 760. Lysist. 331. Diphil. Athenaei VI, 225 B. Herod. VII, 223. Poll. III, 79. σαμαίνη] de hoc navium genere v. Naekius ad Choeril. Sam.

πλοῖον δίκροτον, ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίου τυράννου, ὡς Λυσίμαχος. τὸ δὲ πλάσμα Δούριδος. οἱ δὲ τὴν σάμαιναν νόμισμα εἶναι. τάττεται δὲ ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν συμφοράς, παρόσον Ἀθηναῖοι τοὺς Σαμίους ἔστιξαν.

33 *Σαρδαναπάλου βίος: Καλλισθένης ἐν δευτέρᾳ τῶν Περσικῶν δύο φησὶ γεγονέναι Σαρδαναπάλους, ἕνα μὲν δραστήριον καὶ γενναῖον, ἄλλον δὲ μαλακόν· ἐν Νίνῳ δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται· Σαρδανάπαλος ὁ Ἀνακυνδαράξου παῖς Ταρσόν τε καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρῃ μιῇ. σὺ δ' ἔσθιε, πῖνε, ὄχευε, ὡς τά γε ἄλλα οὐδὲ τούτου ἐστὶν ἄξια· τουτέστι, τοῦ τῶν δακτύλων ἐπικροτήματος· τὸ γὰρ ἐφεστὸς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὥστ' ἀνακροτεῖν τοῖς δακτύλοις. ταὐτὸν καὶ ἐν Ἀγχιάλῳ τῇ πρὸς Ταρσὸν ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον.*

34 *Σάρωνος ναυτικώτερος: οὗτος ὁ Σάρων δαίμων ἦν ναυτικώτατος· ἐξ οὗ καὶ πέλαγος Σαρωνικὸν ἐπικέκληται. ἔστι δὲ τῆς Παλαιστίνης· ᾧ πρόςκειται ἄλλαι τε πόλεις πολλαὶ, καὶ Ἰόπη καὶ Λύδα.*

δὲ τῇ σαμαίνῃ· ἔστι δέ: v. Bernhardius ad Suid. et Bergkius in Meinekii Com. Gr. Fr. II, 2, 972.

2. *Σαμίων* Suidas, Photius. *Λυσίμαχος ἐν δευτέρῳ νόστων* Z Suidas, Photius. *τὸ — Δούριδος*] *τὸ δὲ κόλασμα Δοῦρις* Bergkius l. c.: vulgatam defendit Bernhardius explicans, *ἐσχεδίασται τοῦτο Δούριδι.* Quamquam et sic restant, quae creent difficultatem: v. Hullemanus Dur. Sam. Fr. p. 161, Eckertzius de Duride Sam. diss. p. 8. 3. *Σαμαίνην* Z. *τάττεται κτλ.*] a Photio absunt. 6. *Σαρδ. βίος* Suidas om. *δευτέρῳ* N. 9. *Σαρδανάπαλος ὁ* AN Suidas om. 11. *σὺ δ'* AN Suidas om. 13. *ἀποκροτήματος* AN Suidas. 14. *ὥστ' ἀνακροτεῖν*] *ὡς ἂν ἀποληκοῦν* Suidas. 15. *ταὐτὸ* idem. 19. Scribe *Παλαιστήνης*. *πρόςκεινται* Scholiasta. 20. Scribe *Λύδδα*.

155 sqq. Panofka R. Samior. 14. *Λυσίμαχος*] v. Vossius de Histor. Gr. 464 Westerm. *Δούριδος*] fr. 59 Muell.

33. Suid. s. *Σαρδανάπαλος*: Arsen. XLVI, 71. Macar. VII, 57. Append. Provv. IV, 68. *Καλλισθένης*] fr. XII Geier., apud quem v. Westermanni doctissimam de hoc loco disputationem p. 244. *ἔσθιε, πῖνε*] Amphis apud Athen. VIII, 336 C: *πῖνε, παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὑπὶ γῇ χρόνος.*

34. Arist. *ὑπὲρ τ. τεττ.* 208 Iebb.: *οὐδ' ἵνα τὸν πάντα χρόνον τὴν θάλατταν οἰκῶσιν, ὥσπερ τὸν Γλαῦκόν φασι* [cf. Apost. V, 49.] *τὸν Ἀνθηδόνιον ἢ τὸν Σάρωνα τὸν ἐπώνυμον τοῦ πελάγους, ἀλλὰ τοὐναντίον πᾶν. οὗτος κτλ.*] Scholl. ad Aristid. 248 Fromm. De Sarone heroe v. Paus. II, 30, 7 coll. Meinekii Analect. Alexand. 148. De mari Saronico ad Palaestinam sito fallitur cum Scholiasta Apostolius: v. Raumerus Geogr. Palaest. I, p. 44 sq.

35 *Σαρδώνιος γέλως: ἐπὶ τῶν ἐπ' ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων. Καδήμων μὲν διαδοθῆναι, ὅτι οἱ Σαρδῶνα κατοικοῦντες αἰχμαλώτων τοὺς καλλίστους καὶ πρεσβυτέρους ὑπὲρ ἑβδομήκοντα ἔτη τῷ Κρόνῳ ἔθυον γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφῆναι, τουτέστιν ἀνδρεῖον. ἢ ὅτι σαρδώνιον βοτάνη ἐστὶ δηλητήριος, ἥτις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν σπασμῷ ὑποβάλλει, ὡς καὶ τῶν χειλέων συσταλέντων γυμνοῦσθαι τοὺς ὀδόντας καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσιν· ὅθεν ἔνιοι ἐφ' ὕβρει ὀνομάζουσι τὸν Σαρδώνιον γέλωτα. ἔστι δὲ καὶ λίθος οὕτω καλούμενος.*

36 *Σαυτὸν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας ποτέ: Ἀστυδάμᾳ τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου δοθῆναι ὑπ' Ἀθηναίων εἰκόνος*

---

1. *Σαρδόνιος* Photius, *Σαρδάνιος* Suidas. 2. *Καδήμων*] *ἦν Δήμων* Photius, Suidas, *καὶ Δήμων* Z: scribe *καὶ Δήμων μὲν φησι*. *Σαρδόνα* Photius. 3. *τε τοὺς* Photius, Suidas. 5. *εὔανδρον* Suidas. *ἐκφῆναι* O, *ἐμφανῆναι* Z. *τουτέστι ἀνδρεῖον* in Photio deest. 6. *ἢ ὅτι σαρδώνιον*] *ἢ ὅτι σάρδιον* ANZER, *σάρδιον* Hesychius, Cyrillus. *ἐστὶ* Hesychius et Cyrillus om. 7. *καθυποβάλλει* Etymologicum Parisiense. 8. *χειλέων τοῦ στόματος* Hesychius. *ἐκ τοῦ τοιούτου σπασμοῦ γυμνοῦσθαι τοὺς* idem. 9. *φαντασίας* idem. *παρέχειν*] *δείκνυσθαι* idem. *ὁρῶσιν*] *ἀνθρώποις* Cyrillus. *ὅθεν κτλ.*] *ἔνθεν τό, Σαρδόνιος γέλως* Hesychius. *ἐν ὕβρει* AZ, *ἐφύβριον* Etymol. Parisiense. 10. *σάρδιον* Cyrillus. *ἔστι κτλ.*] Etym. Parisiense om. 11. *καλούμενος*] *λεγόμενος* Cyrillus. 12. *σαυτὴν* Suidas. *ποτε*] *γύναι* Zenobius, alii. 14. *ὑπ' Ἀθηναίων* A om.

35. Arsen. XLVI, 72. *Σαρδώνιος — ἀνδρεῖον*] Suid. Photius. DV III, 75. Macar. VII, 59. *ἢ ὅτι κτλ.*] Cyrill. Lex. apud Cram. Anecd. Pariss. IV, 189: add. Etymol. ibid. 174 et Hesych. s. *σάρδιον*. *ἢ ὅτι — ὁρῶσιν*] est Lucilii Tarrhaei explicatio, quam Hesychius sine dubio debet Diogeniano: cf. annott. ad Zenob. V, 85: add. Paul. Aegin. de Medic. p. 172 Basil.: *ἡ σαρδόνιος λεγομένη πόα βατραχίου εἶδός ἐστι· ποθεῖσα δὲ ἢ βρωθεῖσα παραφορὰν ἐπιφέρει διανοίας καὶ σπάσματα μετὰ συνολκῆς χειλῶν ὥστε γέλωτος φαντασίαν παρέχειν· ἀφ' ἧς διαθέσεως καὶ ὁ σαρδόνιος γέλως οὐκ εὐφήμως ἐν τῷ βίῳ καθωμίληται*: et Scholl. ad Greg. Naz. in Gaisfordi Catal. Codd. Clark. 52.: *σαρδωνία νῆσός ἐστι περὶ τὴν Ἰταλίαν· ἐν ταύτῃ παρὰ τὸν ποταμὸν σπατικὴ βοτάνη ἀναφύει ἐν ὁμοιώματι σελίνου. οἱ οὖν ἀγνοοῦντες αὐτὴν οἰόμενοι σέλινον εἶναι ἐσθίουσι καὶ ἀποσπώμενοι θνήσκουσι. φαίνονται δὲ ὡς γελῶντες σπασθέντων αὐτοῖς τῶν παρειῶν καὶ τῶν ὀδόντων ἀπογυμνωθέντων. καὶ τοῦτό ἐστι τὸ λεγόμενον τὸ σαρδάνιον ἐγέλασε, τουτέστι τὸν κακὸν καὶ ὀλέθριον γελῶτα.* *λίθος*] sarda, etiam *νησαία λίθος* dicta, accurate describitur a Cyrillo in Lex. apud Cram. Anecdd. Paris. IV, 200: alia H. Stephanus in Thes. L. Gr. s. *σάρδιος* indicavit.

36. Suidas: Arsen. XLVI, 73: Photius. Zenob. V, 100. De Astydamante scripsit Koepkius in Bergkii et Caesaris Ephem. philol.

ἀνάθεσιν ἐν θεάτρῳ. τὸν δὲ εἰς αὐτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο·

Εἴθ' ἐγὼ ἐν κείνοις γενόμην, ἢ κεῖνοι ἅμ' ἡμῖν,
Οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν·
Ὡς ἐπ' ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος·
Νῦν δὲ χρόνῳ προσέχουσ', οἷς φθόνος οὐχ ἕπεται.

διὰ οὖν τὴν ὑπερβάλλουσαν ἀλαζονείαν παραιτήσασθαι τὴν ἐπιγραφήν. καὶ παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο, ὡς παρὰ Φιλήμονι.

Τὸ σ μετὰ τοῦ ε.

37 **Σελίνου στέφανος πένθιμος:** τὸ γὰρ σέλινον πένθεσι προσήκει, ὡς ἔφη Δοῦρις ἐν τῷ Περὶ ἀγώνων.

38 **Σειρὴν μὲν φίλον ἀγγέλλει, ξεῖνον δὲ μέλισσα:** σειρὴν δὲ ζῷόν ἐστι κηροποιόν, μελίσσῃ παραπλήσιον. οἱ δὲ μέλη τινά, ὧν ὁ ἀκούσας οὐ ζήσεται· ἃ καὶ Σειρήνια καὶ Σειρῆναι λέγονται. οἱ δὲ μυθεύονται γυναῖκάς τινας εὐφώνους γεγενῆσθαι, αἵτινες ἐν νησίῳ καθεζόμεναι οὕτως ἔτερπον τοὺς παραπλέοντας διὰ τῆς εὐφωνίας, ὥστε κατέχειν ἐκεῖ μέχρι θανάτου· εἶχον δὲ ἀπὸ μὲν τοῦ θώρακος εἶδος στρουθῶν· τὰ δὲ κάτω, γυναικῶν. οἱ δὲ μηχανήματά τινα κατὰ γῆς μέλος ἄῤῥητον ἀναπέμποντα.

---

3. ἔνθ' N. ἐν κείνοις] ἐκείνοις R. 6. ὡς δ' ἐπ' R. ἀληθείας Suidas. 8. προέχουσ' R, παρέχουσ' Suidas, Photius. οἷς] ᾧ Bentleius Emendd. Menandr. p. 135. 10. γοῦν Suidas, Photius. 12. Φιλήμονι] Suidas cum Photio addit: λέγεται δὲ καὶ κατ' ἀποκοπὴν τὸ Σαυτὴν ἐπῄνεσας. 15. καὶ Δοῦρις Suidas. ἀγώνων] addit A: καὶ Πλούταρχος ἐν συμποσίῳ [Sympos. V, 3, 2, p. 676 D]· καὶ τοὺς ἐπισφαλῶς νοσοῦντας δεῖσθαι τοῦ σελίνου φαμέν. 17. δὲ Suidas om. 19. Σειρῆναι] σειρῆνες Z: scribe σειρήναια, quae forma passim apud seriores invenitur: v. Zonar. 1636. Boissonadus ad Theophyl. Sim. Epist. p. 179. οἱ — γεγενῆσθαι] γυναῖκάς τινας εὐφρώνους γεγεν. μῦθος πρὶν Ἑλληνικὸς Photius, Suidas, Et. Parisiense. 23. θώρακος] καὶ ἄνω Phot. Suid. Etym. Parisiense addunt. στρουθῶν] γυναικῶν Suidas. κάτω — δὲ] Z om. γυναικῶν] στρουθῶν Suidas. οἱ δὲ] σειρῆνες Moschopulus. 24. γῆς] ἐμυθεύοντο οὕτως ὀνομαζόμενα idem addit. μέλος]

1840, p. 477 sqq. Φιλήμονι] fr. inc. fabb. 95 Mein.

37. Suidas: Arsen. XLVI, 74: Photius. Macar. VI, 75. Δοῦρις] fr. 76 Hullem.

38. Σείρην — παραπλήσιον] Suidas, Photius. Zenob. V, 97. οἱ δὲ — γυναικῶν] Photius: Suid., Etym. Parisiense in Crameri Anecdd. Paris. IV, 175. Cf. annott. ad Macar. V, 49. οἱ δὲ κτλ.] Moschop. περὶ σχεδῶν p. 54 sq.

39 *Σεισάχθειά σοι μηδέποτε γένοιτο:* τοῦτ' ἔλεγον οἱ Ἀθηναῖοι πρὸς τοὺς ὀφείλοντας καὶ οὔπω τὸ δάνειον ἀποδόντας· λέγεται δὲ σεισάχθεια χρεοκοπία δημοσίων καὶ ἰδιωτικῶν, ἣν ἡγήσατο Σόλων. εἴρηται δὲ παρόσον ἔθος ἦν Ἀθήνησι τοὺς ὀφείλοντας τῶν πενήτων σώματι ἐργάζεσθαι τοῖς χρήσταις· ἀποδόντας δὲ οἱονεὶ τὸ ἄχθος ἀποσείσασθαι, ὡς Φιλοχώρῳ δὲ δοκεῖ, ἀποψηφισθῆναι τὸ ἄχθος.

40 *Σεῖος ἀνήρ:* Λάκωνες φασίν, ὅταν ἀγασθῶσι τινός.

41 *Σεσέλλισαι κατ' Αἰσχίνην:* ἀντὶ τοῦ μάτην ἐπῆρσαι· ἀπ' Αἰσχίνου τοῦ Σέλλου, ὃς ἦν κομπαστὴς καὶ ἀλαζὼν ἔν τε τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. Λυκόφρων δ' ἀπέδωκε τὸ σελλίζεσθαι ἀντὶ τοῦ ψελλίζεσθαι.

42 *Σὲ δ' οἰωνίσαιτ' ἄν τις ἰδών:* ἐπὶ τῶν εἰδεχθῶν· παρόσον οἱ παλαιοὶ οἰωνίζοντο ἐκ τοῦ συναντῆσαι πρώτῳ ἐν τῇ ὁδῷ εἰδεχθεῖ ἢ εὐειδεῖ καὶ σκοτενδύτῃ ἢ λευχειμονοῦντι.

Τὸ σ̃ μετὰ τοῦ ῆ.

43. *Σήπινον γερόντιον:* ἐπὶ τῶν ἀσθενῶν.

μένος Moschopulus. ὀναμέλπονται Z. ἀφ' οὗ σειρήνεια μέλη Moschopulus in fine addit.

3. *χρεωκοπία* Suidas. 4. *εἰςηγήσατο* Z Suidas. 7. *Φιλοχόρῳ* Suidas. 9. κατ' — τοῦ in Suida desunt. 12. Λυκόφρων] »in commentariis de Phrynicho comico«: Bernhardius. ψελίζεσθαι N. 14. ἐπὶ τ. εἰδεχθῶν N om. 15. πρῶτον Z. 16. καὶ εὐειδεῖ Z. λευχημονοῦντι m. 18. Σήπινον] scribe *στύππινον*.

39. Σεισάχθεια χρεωκοπία κτλ.] Suidas, Photius. Φιλοχόρῳ] fr. 57 Muell.

40. Aristot. Eth. ad Nicom. VII, 1: ἐπεὶ δὲ σπάνιον καὶ τὸ θεῖον ἄνδρα εἶναι, καθάπερ οἱ Λάκωνες εἰώθασι προςαγορεύειν, ὅταν ἀγασθῶσι σφόδρα του [σεῖος ἀνήρ φασιν], οὕτω καὶ ὁ θηριώδης ἐν τοῖς ἀνθρώποις σπάνιος. Similia leguntur in Plat. Menon. 99 D et Aeschin. Dial. 1, §. 13, ubi v. Fischerus. Attigit Ahrens Dial. Dor. II, 67.

41. Suidas: Arsen. XLVI, 75: Photius. «Falluntur veteres grammatici, qui v. σελλίζεσθαι ab Aeschine illo, quem Selli filium Aristoph. Vesp. 325 dicit, repetendum putant. Nomen Σέλλος, sive Σέλλιος, Σελλεὺς Σίλλιος et Σιλλεύς, antiquitus ad notandam importunorum pauperumque hominum (πτωχαλαζόνων) ostentationem et iactantiam usitatum fuit. Ita Archilochus Batusiadem hariolum Sellei filium dixerat: Hesychius: Σελληΐδεω: Σελλέως υἱός, ὁ μάντις Βατουσιάδης τὸ ὄνομα.« Meinekius Com. Gr. Fr. II, 1, 585. Quae applicanda erunt etiam Aristoph. Av. 126: καὶ τὸν *Σκελλίου* βδελύττομαι.

42. Arsen. XLVI, 76. Σὲ — ἰδών] sunt verba Ps. Demosth. or. in Aristog. 80, p. 794 R.: οὗτος οὖν αὐτὸν ἐξαιτήσεται ὁ φαρμακός, ὁ λοιμός, ὃν οἰωνίσαιτ' ἄν τις μᾶλλον ἰδὼν ἢ προςειπεῖν βούλοιτο κτλ.: Greg. Cypr. P III, 70.

43. Greg. Cypr. L III, 9: Arsen. XLVI, 77. Cf. Apost. XV, 64.

44 *Σήψει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σίδηρον φείδεται· ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ:* ἐξ ἐπιγράμματος.

Τὸ σ̄ μετὰ τοῦ ῑ.

45 *Σικελὸς ὀμφακίζεται:* ἐπὶ τῶν διὰ μικρὰ ὑποπτευόμενα κέρδη μεγάλως βλαπτομένων· δύναται δὲ καὶ ἐπὶ τῶν τὰ ὡραιότερα ἐκλεγομένων τάσσεσθαι.

46 *Σίδηρον πλεῖν διδάσκει:* ἐπὶ τῶν ἀδυνάτων.

47 *Σικελὸς στρατιώτης:* διότι ξένοις ἐχρῶντο ἀεί.

48 *Σικελικὴ τράπεζα:* ἐπὶ τῶν ἄγαν τρυφηλῶν.

49 *Σίλφιον Βάττου:* ἐπὶ τῶν ἄγαν τιμωμένων· ἔστι βοτάνη πολύτιμος· ἡ δὲ αἰτία αὕτη· Βάττος, ὁ καὶ Ἀριστοτέλης, πόλιν ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισεν· οἱ δὲ Κυρηναῖοι βουλόμενοι ἀνταπόδοσιν τῆς εὐεργεσίας χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπὸς πολλῆς ἄξιος τιμῆς.

50 *Σινωπίζεις:* ἀντὶ τοῦ ἀκολασταίνεις· τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην· ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθάπερ Ἄλεξις.

43a *Σηκοῖς ἐνστρέφῃ Τροφωνίου.*

---

1. οὔτε Z. σιδήρου ARZ. 3. ἐξ ἐπιγράμματος AN om. 5. ὀμφαλίζεται RNO. 9. διότι Ds om. 11. Βάττου — ἔστι] in Suida desunt. 12. πολυτίμητος Suidas. 13. λεγομένην Z om. 14. τῆς Z om, 16. προσφέρει Suidas. 17. πολλῆς τιμῆς ἐστιν ἄξιον idem. 19. Σινώπη· πόλις. καὶ ἑταίρα Σινώπη, ἥτις καὶ Ἄβυδος ἐλέγετο, διὰ τὸ γραῦς εἶναι· καὶ παροιμία σινωπίσαι. τοῦτο κτλ. Suidas: σινωπῆσαι: τοῦτο κτλ. Photius: add. Harpocr. s. Σινώπη. 21. Ἄλεξις ἔφη Suidas. 22. σηκοὺς δ' ἐνστρέφει Euripides.

43a. Arsen. XLVI, 78: Eur. Ion. 300. Cf. Apost. VI, 82.

44. Arsen. XLVI, 79. Cf. Macar. VIII, 90. Apost. XV, 19.

45. Suidas: Arsen. XLVI, 80. Macar. VII, 64.

46. Plut. Boiss. 14.

47. Diog. VIII, 6. Macar. VII, 65. Mant. Provv. s. Σικελός.

48. Diog. VIII, 7: Arsen. XLVI, 81. Apost. I, 4. Zenob. V, 94: add. Epist. Socrat. 8 Or.: οὐκ ἔστι τοῦτο φιλοσοφεῖν, τὸ παρὰ τυράννοις εἶναι καὶ Σικελικαῖς προςανέχειν τραπέζαις: Basil. Epist. 4, p. 76 D: Σικελικὴν ἢ Ἰταλιῶτιν τρυφὴν ἀποδείξω τὰ πρότερα.

49. Suidas: Arsen. XLVI, 82. Apost. IV, 76. Hausta sunt ex Aristotelis politia Cyrenaeorum: v. Schol. ad Arist. Plut. 925 et Thriegius R. Cyren. 105.

50. Suidas, Photius. App. Provv. IV, 72. Ἄλεξις] v. Meinekii Fragm. Com. Gr. III, p. 427.

Τὸ σ̄ μετὰ τοῦ κ̄.

51 *Σκιὰ ἀντὶ τοῦ σώματος*: ἐπὶ τῶν δοκούντων κρατεῖν τι, οὐδὲν δ' ὅμως κρατούντων.

52 *Σκόπει μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σὸν φίλος*: τοῦτ' ἔφη Τεῦκρος Ἀγαμέμνονι· ὀνειδιζόμενος γὰρ ὑπ' αὐτοῦ ὡς νόθος εἶναι τὸ γένος, ἀντωνείδιζε καὶ αὐτός, ὡς καὶ αὐτοῦ τὸ γένος τὸ πατρῷον ἔχοντος μαλακὸν ἀπὸ Κλεισθένους.

53 *Σκεδάσου κατάρα*: ἐπὶ τῶν ἐπιτυχῶς καταρωμένων τισί. Σκέδασος γὰρ Λευκτραῖος ὢν εἶχε τρεῖς θυγατέρας· τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες μίξει τὰς κόρας ἐνίβρυσαν· καὶ φοβηθέντες οἱ Λακεδαιμόνιοι, μή πως δημοσιεύσωσι τῷ οἰκείῳ πατρὶ τὴν ἀσέλγειαν, ἀναιροῦσιν αὐτάς· ἐπανελθὼν δὲ ἐν τῇ οἰκείᾳ πόλει τοῖς Λεύκτροις ὁ Σκέδασος καὶ μαθὼν τὸ γεγονὸς κατηράσατο πᾶσι Λακεδαιμονίοις, παρ' αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ ἀτυχῆσαι· διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους. οἱ γὰρ Λακεδαιμόνιοι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ μετὰ τὸ κατὰ κράτος νικῆσαι τοὺς Ἀθηναίους ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι. καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγύσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις· πόλις δὲ

---

4. φίλος ab Aristide abest. 5. τοῦτ' — Ἀγαμ.] αἰνίττεται εἰς τὸν Ἀγαμέμνονα Scholiasta. 6. νόθος — ὡς] νόθος, εἰς τὸ γένος ἀντωνείδιζεν, ὡς idem. 8. Πλεισθένους idem. 10. γὰρ Nonnus om. Λευκτραῖος ἐν Λεύκτροις Maius: corrige Λευκτρικός. 12. ἐνύβρισαν RNAZ Nonnus. καὶ Z Nonnus om. δέ οἱ Z, οὖν οἱ Nonnus. 13. οἰκείῳ] ἰδίῳ Nonnus. 14. δὲ] οὖν Maius. οἰκείᾳ] ἰδίᾳ Nonnus. 18. οἱ γὰρ κτλ.] haec Nonnus antecedentibus praeposuit. γὰρ] Nonnus ignorat. 19. Πελοποννησιακῷ Nonnus. 22. προσεγγίσαι A Nonnus.

51. Arsen. XLVI, 83. Fluxit e fabula: v. Aesop. fab. 339 Fur. Usurpavit Greg. Nazianz. Epist. 185, p. 886 D: καὶ τοῦτο ἕξομεν ἀντὶ σοῦ σκιάν, ὃ δὴ λέγεται, ἀντὶ σώματος.

52. Aristid. ὑπ. τ. τεττ. 237 Iebb.: πρὸς ταῦτα σκόπει μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν, Τεῦκρος ἔφη τινί, καὶ μὴ βούλου πάντα ἀκριβῶς ἐξετάζειν, ad quem locum v. Scholl. p. 684 Dind. In mente habuit Aristides Soph. Aiac. 1313: πρὸς ταῦθ' ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν, ubi v. Scholia. De Plisthene dixit Welckerus Trag. Gr. II, 677 sqq.

53. Arsen. XLVI, 84. Σκέδασος κτλ.] Nonn. ad Greg. Naz. 131 Mont., id. in Maii Spicil. Rom. II, 309: Eudoc. Viol. 376: Arsen. XXXI, 30. Scedasi eiusque filiarum historiam breviter perstringit Xenoph. Hist. Gr. VI, 4, 7: prolixe narrat Plut. Narrat. Amat. 3, p. 773 C, V.

αὕτη Θηβῶν· συμβαλόντες ἡσύχησαν, Ἐπαμινώνδου στρατηγοῦ Θηβαίων εὐδοκιμήσαντος· καὶ οὕτως ἀπέβη ἡ κατάρα τοῦ Σκεδάσου, καὶ γέγονε τὸ πάθος τοῖς Λακεδαιμονίοις ἐν Λεύκτροις, ἔνθα ἔφθειραν καὶ ἀπέκτειναν τὰς θυγατέρας αὐτοῦ.

54 *Σκυθῶν ἐρημία*: παρόσον οὐκ εἰσὶ γῆς ἐγκρατεῖς, ἀλλ' ἀεὶ φεύγουσι τὴν οἰκείαν.

55 *Σκορπίοις ὀκτάπουν ἀντεγείρεις*: οἷον ἱκανὸν ἀμύνασθαι εἰς πληγὴν παροξύνεις.

56 *Σκάνδιξ*: λάχανον ἄγριον· διὸ καὶ σκανδοπώλης ὁ Εὐριπίδ' ἧς.

Τὸ σ̄ μετὰ τοῦ μ̄.

57 *Σμικρῷ ποδὶ μεγάλα περιτίθης ὑποδήματα*: λέγεται ἐπὶ τῶν ῥητόρων μᾶλλον τῶν τὰ μικρὰ αὐξανόντων.

Τὸ σ̄ μετὰ τοῦ ō.

58 *Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.*

59 *Σοὶ μὲν κακῶς λέγειν, ἐμοὶ δὲ κακῶς ποιεῖν*: Κλεομένους πρὸς τοὺς τῶν Ἀργείων λοιδοροῦντας αὐτὸν ὡς ἐπίορκον καὶ ἀσεβῆ.

53a *Σκύτους ἕνεκα δέρεται κύων, κεῖνος δὲ σκυτοτραγεῖ*: ἐπὶ τῶν γευσαμένων κακίας τινὸς καὶ οὕτω μὴ ἀποπαυομένων ἐκείνης.

---

1. Θηβαίων Maius. ἡσύχησαν] ἡττήθησαν Nonnus. 2. καὶ — καὶ] in Nonno desunt. 3. τὸ δὲ πάθος τ. Λ. γέγονεν Nonnus. 4. ἔνθα κτλ.] ἐξ αἰτίας τοιαύτης idem. 8. σκορπίον Ds. ἀνεγείρεις Ds. 11. Εὐριπίδης Ds.

Pelop. 20 sqq., de malign. Herod. 11, p. 856 F, a quo differunt alios auctores secuti Diod. Sic. XV, 54 et Paus. IX, 13, 3. Fabulae originem explicare conatur C. O. Muellerus Orchom. 419.

53ª. Arsen. XLVI, 85. Similia composita sunt in ann. ad Greg. Cypr. P III, 97: add. Antiphanes in Meinekii Com. Graec. Fragm. III, p. 160.

54. Cf. Macar. VII, 66.

55. Diog. VIII, 8. E Cratino sumptum: v. Meinekius Com. Gr. Fr. II, 1, p. 65: add. ann. ad Macar. VII, 72.

56. Diog. VIII, 20.

57. Arsen. XLVI, 86. E Plut. Apophth. Lacon. 208 C: ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τὸ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, Οὐδὲ σκυτοτόμον, ἔφησεν [Agesilaus], ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησι.

58. Suidas: Arsen. XLVI, 87. Macar. VII, 76.

59. Ars. XLVI, 88: Plut. Apophth. Lac. 223 C: πρὸς δὲ τοὺς λοιδοροῦντας αὐτὸν τῶν Ἀργείων ὡς ἐπίορκον καὶ ἀσεβῆ, Τοῦ μὲν κακῶς λέγειν, ἔφη, ὑμεῖς κύριοι, τοῦ δὲ κακῶς ὑμᾶς ποιεῖν ἐγώ.

Τὸ σ̃ μετὰ τοῦ π̃.

60 *Σπάνιον εἴςαγε σὸν πόδα πρὸς σὸν φίλον, ἵνα μὴ πλησθείς σου μισήσῃ σε.*

61 *Σπερμολόγος ὢν οὐ λανθάνεις: λέγεται ἐπὶ τῶν εὐτελῶν καὶ εὐκαταφρονήτων ἀνθρώπων· καὶ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζώντων· ἔστι τι μικρὸν ὀρνιθάριον κολοιῶδες σπερμολόγος ὠνομασμένον· ἔοικε δὲ ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν· οὗ μνημονεύει καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν· ἐντεῦθεν οὖν ἡ παροιμία.*

Τὸ σ̃ μετὰ τοῦ τ̃.

62 *Στελαγμὸς οἴνου μυρίαις χοεῦσιν ὕδατος οὐ μίγνυται: ἐπὶ τῶν διαλυομένων καὶ μεταβαλλομένων.*

59a *Σοφοὶ δὲ τριταῖον ἄνεμον ἔμαθον:. Σοφοκλέους.*

59b *Σοφόν γε τι πρὸς τὸ βουλεύειν ἐστί*
τὸ γῆρας, ὡς δὲ πόλλ' ἰδόν τε καὶ μαθόν.

---

3. *Σόλωνος* addit Antonius. Est **Solomonis**: v. Prov. Solom. 25, 17. 4. *λέγεται — διαζώντων*] *λ. σὺν ἀπὸ τούτου ὁ εὐτελὴς κ. εὐκαταφρόνητος ἄνθρωπος κ. ἴ. ἀ. τ. ἀλ. διαζῶν σπερμολόγος* Harpocratio. 6. *ἔστι κτλ.*] haec ante *λέγεται — διαζώντων* in Harpocratione leguntur. *ἔστι*] *λέγεται* Hapocratio. 7. *ὠνομασμένον, ὡς ἔοικεν, ἀπὸ* idem. 9. *ἐντεῦθεν κτλ.*] Harpocratio om. 11. Scribe *σταλαγμός*. 13. *δὲ μέλλοντα τρ.* Pindarus. Corrige *Πινδάρου*. 14. *τοί τε* Stobaeus. *ἐστί*] *ἔχει* idem. 15. *μαθόν*] *παθόν* idem. Praemittit Stobaeus: *Ἀντιφάνους ἐκ Φιλοκτήτου*: dubitat de huius lemmatis integritate Meinekius Com. Gr. Fr. III, p. 129.

59[a]. Arsen. XLVI, 89: Pind. Nem. VII, 17, ubi v. Scholia.

59[b]. Arsen. XLVI, 90: Stob. Flor. 115, 15.

60. Anton. Mel. 135, p. 215 Fabr., Georgid. in Boiss. Anecd. I, 79.

61. *Λέγεται κτλ.*] Harpocr. s. *σπερμολόγος* p. 169, 1: Suid. Phot. Hesychius: add. Eustath. ad Hom. Od. Ε, 490, p. 1547, 52: *ἰστέον δὲ ὅτι ὥςπερ ἐνταῦθα τροπικῶς ἐῤῥέθη σπέρμα πυρός, οὕτω τέτραπται καὶ τὸ σπερμολογεῖν, ἐπὶ τῶν ἀλαζονευομένων ἀμεθόδως ἐπὶ μαθήμασιν ἔκ τινων παρακουσμάτων· . . . ὁ δὲ κυρίως φασὶ σπερμολόγος καὶ σπερμονόμος, εἶδός ἐστιν ὀρνέου λωβώμενον τὰ σπέρματα* [alia de hac avi veterum testimonia Suicerus Thes. Eccl. s. v. diligenter collegit: add. Aristot. H. An. VIII, 3, quem Pantinus adscripsit]. *ἐξ οὗ οἱ Ἀττικοὶ σπερμολόγους ἐκάλουν τοὺς περὶ ἐμπόρια καὶ ἀγορὰς διατρίβοντας, διὰ τὸ ἀναλέγεσθαι τὰ ἐκ τῶν φορτίων φασὶν ἀποῤῥέοντα καὶ διαζῆν. ἐκ τούτων δὲ τὴν αὐτὴν ἐλάγχανον κλῆσιν καὶ οἱ οὐδενὸς λόγου ἄξιοι*: monuerunt de hoc metaphorico vocis usu post Albertium ad Hesych. l. c. intt. ad Act. Apostol. XVII, 18: add. Clem. Alex. Stromm. I, 12, 56, p. 128 Sylb.: *ὅπως ἂν λάθοι τοὺς δίκην κολοιῶν σπερμολόγους.* *Ὄρνισιν*] 234. 579. *ἐντεῦθεν κτλ.*] fallitur Apostolius.

62. Respici videtur Chrysippi dictum, quod legitur in Plut. de Commun. Notit. 37, p. 1078 E: *οὐδὲν ἀπέχειν, φάμενος, οἴνου στα-*

63 *Στρατηγοῦ παρόντος πᾶσα ἀρχὴ παυσάσθω.*

64 *Στύππινον γερόντιον: ἤτοι ἀσθενές.*

65 *Στέαρ γαλῇ: ἐπὶ τῶν οἷς χαίρουσι ταῦτα λαμβανόντων.*

Τὸ σ μετὰ τοῦ υ.

66 *Συνεκποτέον ἐστί σοι καὶ τὴν τρύγα: ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος, εἶτα ὀλιγωρήσαντος.*

67 *Σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰτεῖς: λέγεται κατὰ φιλαργύρων.*

68 *Σὺν τῷ κυνὶ καὶ τὸν ἱμάντα: ἐπὶ τῶν πάντα ἀπολωλεκότων.*

69 *Σῦκον αἰτεῖς: ἐπὶ τῶν κολακευόντων· Ἀθηναῖοι γὰρ ἐκολάκευον τοὺς γεωργούς· οἱ δὲ πρὸς τούτους ἔλεγον ταῦτα.*

70 *Συρακουσίων τράπεζα: ἡ πολυτελής· ἐδόκουν γὰρ οἱ Συρακούσιοι ἁβροδίαιτοι εἶναι μᾶλλον πάντων.*

66a *Σὺ δ' οὖν ἐὰν μὴ ἐπαινῇς ἐς τὰς λιθοτομίας τὰς Διονυσίου εὐθὺς ἀφίξῃ:. Λουκιανοῦ.*

70a *Σῦκα φίλ' ὀρνίθεσσι φυτεύειν οὐκ ἐθέλουσιν.*

---

5. *συνεκποτέ'* Suidas. 7. *γηγαντολίταν* A, *γαγενέταν* Meinekius Anal. Alex. 86. *αἰνεῖς* Plutarchus. 9. Explicatio in Suida et Photio deest. 13. *Συρακοσσία* Photius, *Συρακουσία* Suidas. 14. *Συρακούσιοι*] *Σικελιῶται* Suidas, Photius. *πάντων*] A addit: *Πλάτων ἐν Πολιτ* [III, 400 D]· *συρακοσίαν δὲ* [*δὴ* Plato], *ὦ φίλε, τράπεζαν καὶ Σικελικὴν ποικιλίαν ὄψου* [*ὄψων* Plato] *ὡς ἔοικας οὐκ αἰνεῖς.*

λαγμὸν ἕνα κεράσαι τὴν θάλατταν. Etiam in aliis proverbiis v. *σταλαγμός* comparet: Polyb. XII, 25ª: *καθάπερ γὰρ ἐκ τῶν παροιμιῶν ἱκανόν εἶναί φασι σταλαγμὸν ἕνα τοῦ μεγίστου τεύχους εἰς τὸ γνῶναι τὸ πᾶν ἔγχυμα*: Phot. Patr. Epist. 165, p. 233 Mont.: *τί ἂν τις πελάγη θαλάσσης σταλαγμοῖς μετρεῖν ἐπιχειροίη.*

63. Cf. Apost. XIII, 19ᵇ.

64. Diog. VIII, 14. Phrynich. in Bekk. Anecdd. I, 33: *γέρων στύππινος: ἤτοι λευκὸς καὶ πολιός, ἐπειδὴ τὰ στύππινα λευκά εἰσιν· ἢ τὸν ἀσθενῆ δηλοῖ, ἐπειδὴ ἀσθενέστερά ἐστι τὰ στύππινα τῶν λινῶν.* Cf. Apost. XV, 43.

65. Diog. III, 58. Cf. Apost. IV, 86.

66. Suidas: Arsen. XLVI, 91. Cf. Macar. VII, 86. Apost. XII, 74ᵇ.

66ª. Arsen. XLVI, 92: Lucian. de merced. cond. 35.

67. Arsen. XLVI, 97. Plut. Apophth. Regg. 177 B: *ἐπεὶ δὲ Τιμόθεος ὁ κιθαρῳδὸς ἐλπίσας πλείονα, λαβὼν δὲ ἐλάττονα, δῆλος ἦν ἐγκαλῶν αὐτῷ* [Archelao], *καί ποτε ᾄδων τουτὶ τὸ κομμάτιον, Σὺ δὲ — αἰνεῖς, ἀπεσήμαινεν εἰς ἐκεῖνον· ὑπέκρουσεν ὁ Ἀρχέλαος αὐτῷ, Σὺ δέ γε αἰτεῖς*: id. de Virt. et Fort. Alex. 2, 1, p. 334 B. Cf. M. Schmidtius Diatr. in Dithyr. p. 108.

68. Suidas: Arsen. XLVI, 99: Photius.

69. Diog. VIII, 9.

70. Suidas: Arsen. XLVI, 100: Photius. Macar. VII, 92.

70ª. Arsen. XLVII, 1: Athen. III, 80 E. Eustath. ad Hom. Od. Ω, p. 1964, 19.

71 *Σύροι πρὸς Φοίνικας:* ἑκάτερα τὰ ἔθνη διαβέβληται ὡς πανοῦργα· ἢ ὅτι ἑκάστοτε δι' ἔχθρας ἀλλήλοις ὄντα οὐδέποτε πιστῶς διαλλάττεται.

72 *Σύλλου φιλία καὶ Μετέλλου τοῦ Πίου:* ἐπὶ φίλων ἀκραιφνῶς καὶ ἀδόλως φιλούντων ἀλλήλους. Σύλλας γὰρ ὁ εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως.

73 *Συρβηνέων μύστης:* ἀντὶ τοῦ ταραχώδης· ἀπὸ τῶν αὐλούντων μετὰ θορύβων· διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενὰς εἶναι. καί, *Συρβηνέων χορός,* ὁ τεταραγμένος καὶ συνώδης· ἀπὸ τῶν τοῖς ὑσὶν ἐπιφωνουμένων.

74 *Σὺ ἐν σεαυτῷ τὰ φάρμακα ἔχεις:* ἐπὶ τῶν δι' ὥραν ἐπισπωμένων τοὺς ἄνδρας ἐφ' ἑαυτάς. λέγεται καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν· Φίλιππος γὰρ ἤρα Θεσσαλῆς γυναικὸς αἰτίαν ἐχούσης καταφαρμακεύειν αὐτόν· ἐσπούδασεν οὖν ἡ Ὀλυμπιὰς λαβεῖν αὐτὴν ἄνθρωπον ὑποχείριον· ὡς δὲ εἰς ὄψιν ἐλθοῦσα τό τε εἶδος εὐπρεπὴς ἐφάνη καὶ διηλέχθη πρὸς αὐτὸν οὐκ ἀγεννῶς οὐδ' ἀσυνέτως, *χαιρέτωσαν,* εἶπεν ἡ Ὀλυμπιάς, *αἱ διαβολαί· σὺ γὰρ ἐν σεαυτῇ τὰ φάρμακα ἔχεις.*

75 *Συστομώτερος σκάφης:* τάσσεται ἐπὶ τῶν διὰ τὸ ἀγεννὲς σιωπώντων, ἀπὸ τοῦ τοὺς μετοίκους Ἀθήνησιν ἐν

70b *Σῦκον μετ' ἰχθύν,* ὄσπρεον μετὰ κρέα.

70c *Σὺ μὲν οἶδ' ὃ κρώζεις·* ὡς ἐμοῦ τι κοχλοφόρος ζητεῖς μεταλαβεῖν.

---

9. *Συρβ. μύστης*] συρβηνεύς Suidas. ἀντὶ τοῦ] ὁ idem. 10 θορυβοῦ· ἢ πένης, διὰ idem. 12. τοῦ idem. ἐπιφωνουμένου. διὸ τάττεται ἡ παροιμία Συρβήνης χορὸς ἐπὶ τῶν ἀτάκτων χορῶν idem. 17. αὐτὴν] τὴν Plutarchus. 18. εὐπρεπὴς AR Plutarchus. διελέχθη Plutarchus. 19. αὐτὴν A Plutarchus. 22. συστομώτερον Suidas. 23. ἀπὸ] Θεόφραστος γὰρ ἐν τῷ περὶ Νόμων εἰρῆσθαι ἀπὸ idem. 24. ὄσπριον Athenaeus.

70b. Arsen. XLVII, 2: Athen. III, 80 E: Eustath. ad Hom. Od. Ω, 1964, 19. Attigit Foesius Oecon. Hippocr. s. ὄσπριον.
70c. Arsen. XLVII, 3: Aristoph. Plut. 369.
71. Suidas. Diog. VIII, 19. Apost. XI, 42.
72. Arsen. XLVII, 4. Σύλλας γὰρ κτλ.] Plut. Apophth. Regg. 202 E, ubi v. Wyttenbachium.
73. Suidas. Usurpavit Cratinus: v. Hesych. s. συρβηνεύς coll. Meinekio Com. Gr. Fr. II, 1, p. 66 sq. Zenob. VI, 1. Macar. VII, 91.
74. Arsen. XLVII, 5. Φίλιππος κτλ.] Plutarch. Praec. Coniugal. 23, p. 141 B.
75. Suidas: Arsen. XLVII, 6. Diog. VIII, 12.

ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν· καὶ ὁπότε δὲ ἐβούλοντο μέτοικον δηλῶσαι, ἢ σκάφην ἔλεγον ἢ σκαφηφόρον. διὰ δὲ τὸ ἀπαῤῥησίαστον εἶναι, συντομώτερον ποιήσειν ἀπειλεῖν σκάφης.

76 *Σύντομος ἡ πονηρία, βραδεῖα ἡ ἀρετή:* παρόσον τὰ μὲν καλὰ δύσχερῆ, τὰ δὲ κακὰ πρόχειρα.

77 *Συβαρῖται διὰ πλατείας:* ἐπὶ τῶν σοβαρῶς πορευομένων.

78 *Συνῆλθον Ἀτταβὰς καὶ Νουμήνιος:* ἐπὶ δύο κλεπτῶν τοῦτο.

79 *Σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει:* χρησμόν τις ἔλαβε, τὴν χεῖρα προςφέροντα θεὸν καλεῖν.

80 *Συγκρητισμὸν ἔχεις:* εἴρηται ἐπὶ τῶν δι' ἀνάγκην συμμάχων γινομένων ἀλλήλοις· οἱ Κρῆτες γὰρ καθ' ἑαυτοὺς στασιάζοντες ὅτε στρατὸν ξενικὸν ἑώρων ἐπιστρατεύοντα τῇ ἑαυτῶν πατρίδι, συμμαχίαν καὶ ὁμαιχμίαν ἠσπάζοντο· ὅπερ συγκρητισμὸς ἐκλήθη.

76a *Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις:* Εὐριπίδου Ἀρχελάῳ.

---

2. ὁπότε δὲ] δὲ recte Bernhardius deleri iussit. 4. σκάφης] addit A: ποιήσω σε συντομώτερον σκάφης. 7. E addit e Stob. Flor. 29, 96: Συβαρίτης ἐπιδημήσας Λακεδαίμονι καὶ τὰ ἔθη ἰδὼν καὶ τὰς καρτερήσεις οἷς ἐκ παίδων ἀνατρέφονται, οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν, ῥᾳδίως ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ὑπὲρ τοῦ μὴ οὕτω ζῆν. Stobaeus praemisit: ἐκ τῶν Σιρήνου. 9. Ἀτταγᾶς AZ Ds. τε καὶ νουμήνιος Macarius. 12. προςφέροντα τὸν θεὸν Ds. 18. γίνεται Ab. Ἀρχελάῳ Stobaeus om.

76. Ars. XLVII, 8. Plut. Apophth. Lacon. 223 D: πειρατοῦ δὲ καταδραμόντος τὴν χώραν καὶ ὡς ἑάλω λέγοντος, Ὅτι τροφὴν οὐκ εἶχον τοῖς στρατιώταις παρέχειν, πρὸς τοὺς ἔχοντας οὖν, ἑκοντὶ δ' οὐκ ἂν δόντας, βίᾳ ληψόμενος ἦλθον, ἔφη [Cleomenes Anaxandridae filius], Σύντομος ἡ πονηρία.

76a. Arsen. XLVII, 9. XXXVI, 24: Stob. Flor. 29, 44. Eur. Archel. fr. 12 Matth.

77. Diog. VIII, 10. Macar. VII, 87.

78. Diog. VIII, 18: Arsen. XLVII, 7. DV I, 96. Macar. VII, 90. Τὴν χεῖρα κτλ.] cf. Apost. XV, 92.

79. Diog. VIII, 11: Arsen. XLVII, 9. Macar. VII, 84. Apost. XV, 92.

80. Arsen. XLVI, 93. Suid. συγκρητίσαι: τὰ τῶν Κρητῶν φρονῆσαι: cf. Apost. XIV, 98 et annott. ad Macar. V, 18: aliter Etym. M. 732, 55: συγκρητίσαι λέγουσιν οἱ Κρῆτες, ὅταν ἔξωθεν αὐτοῖς γένηται πόλεμος· ἐστασίαζον γὰρ ἀεί: proxime vero ad nostrum accedit Plut. de frat. amore 19, p. 490 B: μιμούμενον αὐτὸ γοῦν τοῦτο τῶν Κρητῶν, οἳ πολλάκις στασιάζοντες ἀλλήλοις καὶ πολεμοῦντες, ἔξωθεν ἐπιόντων πολεμίων διελύοντο καὶ συνίσταντο· [illegible] τοῦτο ἦν ὁ καλούμενος ὑπ' αὐτῶν συγκρητισμός. De foedere isto Cretensium dixerunt Hoeckius Cret. III, 470 et Boeckhius in Corp. Inscr. Gr. T. II, p. 415 sq.

81 *Συκίνη ἐπικουρία:* ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής· ἀπὸ μεταφορᾶς τῆς συκῆς· ἡ γὰρ συκῆ χαῦνον φυτόν ἐστι καὶ ἀνωφελῆ ξύλα ποιεῖ.

81a *Σὺν τοῖς δεινοῖς* αὔξεται κλέος βροτοῖς:. Εὐριπίδου.

81b *Σὺ τὴν εὐγένειαν ἐν τοῖς ἀστραγάλοις ἔχεις:* τοῦτ' εἶπεν Ἡρώδης πρὸς Βραδούαν τὸν ἀδελφὸν τῆς Ῥηγίλλης γυναικὸς αὐτῷ οὔσης, ὅτε ἐκρίνετο περὶ φόνου· σύμβολον γὰρ εὐγενείας ἔφερεν ἐπηρτημένον τῷ ὑποδήματι ἐπισφύριον ἐλεφάντινον μηνοειδές.

81c *Σὺ δ' ὦ κάκιστε* πάντων θεῶν τε κἀνθρώπων
ἢ μὴ δίδασκε τὰ κακὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο:. Εὐριπίδου.

81d *Συγχαίρειν χρὴ* τοῖς φίλοις καλῶς πράττουσιν, ὡς καὶ συναλγεῖν λυπουμένοις:. Λιβανίου.

81e *Σύρα, Σύρα.* Τί ἐστί; Πῶς ἡμῖν ἔχεις;
ἐπὰν γέροντ' ἴδῃς ἢ γραῦν τινά;
ἴσθι δ' εὐθὺς ὅτι κακῶς:. Φιλήμονος.

81f *Συμφέρει δάκνεσθαι* διὰ τῶν ῥημάτων ἀλγηδόνος τοὺς ἁμαρτάνοντας, ἵνα τῆς διὰ τῶν πραγμάτων ἀσχημοσύνης ἀπαλλαγῶσι.

81g *Σύφαρ θανεῖται,* πόντιον φυγὼν σκέπας.

81h *Στρύχνον ἔπινεν:* ἀντὶ τοῦ μανιώδης ἐγένετο· ἔστι δὲ βοτάνη, ἧς οἱ γευσάμενοι εἰς μανίαν τρέπονται.

---

2. ἀπὸ — συκῆς Z om. 3. ποιεῖ] Z supplet: ὁμοία τῇ, συκίνη βακτηρία, καί, συκίνη μάχαιρα, quae A ex errore ad finem proverbii 81b posuit. 4. τοῖσι Stobaeus. 9. πάντων Stobaeus om.: παῖ θεῶν τε καὶ βροτῶν Scaliger. κἀνθρώπων Ἔρως Stobaeus; σὺ δ' ὦ κ. θεῶν τε κἀνθ. ἔρως Fritzschius ad Arist. Thesmoph. p. 507. 10. κακά] καλὰ Ab. 11. Εὐριπίδου] poetam comicum horum versuum auctorem esse viderunt Matthiae et Fritzschius ll. cc. 15. ἐπὰν] praemittuntur in Stobaeo: μηδέποτ' ἐρώτα τοῦτ'. τιν' Stobaeus. 16. κακῶς ἔχει idem. 17. διὰ τῆς Maximus. 18. Χρυσοστόμου Maximus addit.

81. Arsen. XLVII. 10. Macar. VII, 82. 83.

81a. Arsen. XLVII, 11: Stob. Flor. 51, 6. Eurip. fr. fab. inc. 46 Matth.

81b. Arsen. XLVII, 12: Philostr. Vit. Soph. II, 1, 8, p. 555 Ol.: ἐπὶ τούτοις ὡς ἀληθέσι γράφεται αὐτὸν τοῦ φόνου Βραδούας, ὁ τῆς Ῥηγίλλης ἀδελφός, εὐδοκιμώτατος ὢν . . καὶ τὸ ξύμβολον τῆς εὐγενείας περιηρτημένος τῷ ὑποδήματι, τοῦτο δέ ἐστι ἐπισφύριον ἐλεφάντινον μηνοειδές, καὶ παρελθὼν . . . πιθανὸν μὲν οὐδὲν διῄει περὶ τῆς αἰτίας, ἣν ἐπῆγεν, ἑαυτοῦ δὲ ἔπαινον ἐμακρηγόρει περὶ τοῦ γένους, ὅθεν ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης, σὺ, ἔφη, τὴν εὐγένειαν κτλ., ad quem locum v. Kayserum.

81c. Arsen. XLVII, 13. X, 32: Stob. Flor. 64, 6. Eur. Androm. fr. XI.

81d. Arsen. XLVII, 14: Anton. Mel. 135, p. 215 Fabr.

81e. Arsen. XLVII, 15: Stob. Flor. 116, 17. Philem. fr. fab. inc. 30 Mein.

81f. Arsen. XLVII, 16: Maxim. Conf. Serm. 16, p. 581 Comb.

81g. Arsen. XLVII, 17: Lycoph. Cass. 793, ubi v. Bachmannus.

81h. Arsen. XLVII, 18. Dixerunt de solano Schol. ad Theocr.

82 *Σύμβαυλός ἐστιν ὁ χρόνος τῶν πραγμάτων.*

83 *Συγγνώμη πρωτοπείρῳ: ἐπὶ τῶν ἐν τοῖς πρώτοις ἁμαρτανόντων.*

Τὸ σ̄ μετὰ τοῦ φ̄.

84 *Σφάκελός σοι: ὁ διὰ τοῦ μέσου τῶν δακτύλων τῆς χειρὸς γενόμενος χλευασμός· σφάκελον δ' ἔνιοι λέγουσι τὴν σῆψιν τῶν ὀστέων.*

85 *Σφενδόνη Γύγου: ὁμοία τῇ Κυνῇ Ἄϊδος. ἐπὶ τῶν ἀφανῆ τινα καὶ ἀπόκρυφα ποιούντων. Πλάτων ὁ φιλόσοφος ἐν ταῖς πολιτείαις εἰςφέρει τὸν μῦθον τοῦτον οὕτω λέγων· ὅτι Γύγης ἦν τις ποιμὴν περὶ τὴν Λυδίαν· οὗτος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα περιέτυχε σπη-*

81i *Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν· πολέες δ' ἔνι μῦθοι παντοῖοι.*

83a *Συβαριτικὴ τράπεζα: ἐπὶ τῶν ἄγαν τρυφηλῶν· Ἀριστοφάνης·*

ἤδη δ' ἔξεσται τόθ' ἡμῖν
πλεῖν, μένειν, κινεῖν, καθεύδειν,
ἐς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν, συβαρίζειν·

ἀντὶ τοῦ, πολυτελεῖ διαίτῃ χρῆσθαι καὶ τρυφᾶν ὡς οἱ Συβαρῖται.

84a *Σφραγίζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ:. Σόλωνος.*

84b *Σφηκιὰν ἠρέθικας: ἐπὶ τῶν ἑαυτοῖς κακὰ κινούντων.*

---

3. *τι διαμαρτανόντων* Ds. 10. *πολιτείαις*] *ἔστι δὲ οὕτως αὐτοῦ λεγομένη πραγματεία* Nonnus inserit. 17. *δ'*] *γὰρ* Aristophanes. *ὑμῖν* idem. 23. *σφραγίζειν* Z, *σφραγίζου* Stobaeus, *σφράγιζε τοὺς* E. 24. *Σόλωνος τοῦ Ἐξηκεστίδου* Z.

X, 37. Schneiderus ad Theophr. Opp. T. V, 511. Aliud proverbium ab huius plantae natura derivatum attulit Suid. s. *τρύχνον: ... καὶ παρὰ τὴν παροιμίαν τὴν Ἁπαλώτερος τρύχνου παρῳδῶν ὁ κωμικός* [fr. anon. comic. 235 Mein.] *φησίν· Ἤδη εἰμὶ μουσικώτερος τρύχνου.*

81i. Arsen. XLVII, 19: Hom. Il. Υ, 248.

82. Append. Provv. IV, 78.

83. Cf. Apost. XII, 29: Arsen. XLVI, 94.

83a. Arsen. XLVI, 95. Zenob. V, 87. Apost. I, 4. *Ἀριστοφάνης*] Pac. 340, ubi v. Scholia. Usurpat Theod. Hyrtac. in Boiss. Anecd. III, 37: *τράπεζαν μὲν Συβαριτικὴν παραβάλλουσι τοῖς ἑστιωμένοις.*

84. Arsen. XLVII, 20. De variis v. *σφάκελος* significationibus v. Scholl. ad Plat. p. 428 Bekk., intt. ad Hesych. s. v. *σφάκελον δ' κτλ.*] Suid. s. *σφακελισμός.*

84a. Arsen. XLVII, 21: Stob. Flor. 34, 9. 3, 79 *β*.

84b. Arsen. XLVII, 22: Macar. VII, 94.

85. Arsen. XLVII, 23. *Κυνῆ Ἄϊδος*] DV I, 16. *Πλάτων κτλ.*]

λαίῳ τινί· καὶ εἰςελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χαλκοῦν καὶ ἔνδον τοῦ χαλκοῦ ἵππου νεκρὸν ἄνθρωπον καὶ δακτύλιον· οὗ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἐστρέφετο, ἣν καλοῦσι σφενδόνην. ἔλαβεν οὖν ὁ Γύγης τὸν δακτύλιον καὶ ἐξῆλθε. καὶ ἡνίκα μὲν ἦν ἐν τῇ τάξει ὁ δακτύλιος, ἑωρᾶτο ὑπὸ πάντων, ἡνίκα δὲ τὴν σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφανὴς ἐγίνετο πᾶσιν. Ὁ οὖν Πλάτων εἰςφέρει τὸν μῦθον τοῦτον, ὅτι φησίν, ὁ δίκαιος ἀνήρ, κἂν τοῦ Γύγου λάβῃ δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδ' οὕτως ὤφειλεν ἀδικεῖν· δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύειν καὶ μὴ δι' ἄλλον τινὰ τρόπον.

85a Σφόδρα τί ἐστιν ὁ βίος ἡμῶν οἴνῳ προςφερής·
ὅταν ᾖ τὸ λοιπὸν μικρὸν ὄξυς γίνεται:. Ἀντιφάνους.

85b Σφῆξ βομβῶν τέττιγος ἐναντίον: ἐπὶ τῶν ἐριζόντων τοῖς κρείττοσι τάττεται.

85c Σχῆμα καὶ τριόβολον: ἐπὶ τῶν διὰ μικρὸν κέρδος σεμνότητα ὑποκρινομένων.

---

3. ἣν κ. σφενδόνην] ἥντινα κεφαλὴν καλεῖ σφενδόνην σαφῶς ὁ θεῖος Γρηγόριος Nonnus. 4. Γύγης, φησί, τὸν idem. 11. δι' ἄ. τινὰ τρόπον] δι' ἄλλους τινάς idem. 12. σφόδρ' ἐστὶν Meinekius. ἡμῶν ὁ βίος Stobaeus. 13. ὄξος γίγνεται Stobaeus. 14. σφὰξ βομβέων Theocritus. 16. Scribe τριώβολον. 17. ὑποκρινόντων Z.

Nonnus ad Greg. Naz. 145 Mont.: paulum differunt Cosmas in A. Maii Spic. Rom. II, 304, cod. Mon. in Creuzeri Mel. Crit. I, 72 sq., Eudoc. Viol. 99. Cf. DV II, 20. Apost. V, 71. Πλάτων] Reip. II, 359 C.

85a. Arsen. XLVII, 24: Stob. Flor. 116, 13. Antiph. fab. inc. fr. 68 Mein.

85b. Arsen. XLVII, 25. Proverbium usurpat Theocr. Id. V, 29, ubi v. interpp.

85c. Arsen. XLVII, 26. Docte Eustath. ad Hom. Il. *N*, 636, p. 951, 49: ἰστέον δὲ ὅτι ἐπαινετῆς ὀρχήσεως εἴδη οὐ μόνον τὰ ἐν τοῖς περὶ Κουρήτων ἱστορηθέντα, ἀλλὰ καὶ τὸ τραγικόν, ὃ περισπούδαστον ἦν τοῖς τραγῳδοῖς, ὡς παροιμιακῶς δηλοῖ καὶ τὸ σχῆμα καὶ τριώβολον. Φρύνιχον γάρ, φασί, τὸν τραγῳδιοποιὸν οὕτω σπουδάσαι περὶ τραγικὴν ὄρχησιν [cf. Welckerus de trilog. Aesch. Append. 266 et quae ego in Compendio metrico p. 388 sq. composui.], ὥστε τῷ καινὸν σχῆμα εὑρόντι διδόναι τριώβολον. καὶ οὕτω μέν τινες τὴν παροιμίαν συνεβίβασαν ταύτην. οἴδαμεν δὲ ἐκ τῶν Ἰαμβλίχου [V. Pyth. 5, p. 56 Kiessl.] καὶ ὅτι ἀπὸ Πυθαγόρου εἴληπται αὕτη, ὃς μαθητῇ δεξιῷ μέν, ὀκνηρῷ δὲ εἰς μάθησιν, καθ' ἕκαστον μαθηματικὸν σχῆμα τριώβολον ἐδίδου, ἐξωνούμενος οὕτω τὴν τοῦ παιδευομένου μάθησιν: hinc perspicitur, quo iure cum Macar. II, 73, ubi v. annot., composuerim. Simili denique modo v. σχῆμα adhibetur in proverbio ab Etym. M. 197, 38 servatum: σχῆμα καὶ βῆμα δηλοῦσιν ὅτι οὐκ ἀθρόον δεῖ οὔτε τινὸς τῶν μαθημάτων, ἀλλ' οὔτε τινὸς τῶν χωρίων, ὑπεράλλεσθαι, κατὰ βαθμὸν δέ τινα καὶ τάξιν προϊέναι, καὶ μὴ τὰ μὲν προηγούμενα παρατρέχειν, ὑπὲρ δὲ τὰ ἑπόμενα ἅλλεσθαι.

Τὸ σ̃ μετὰ τοῦ χ̃.

86 *Σχοῖνον διατρώγειν:* ἐπὶ τῶν καλλοπιζόντων ἑαυτούς· οἱ γὰρ τοιοῦτοι εἰώθασι σχοῖνον διατρώγειν ἕνεκα τοῦ λευκοὺς ὀδόντας ἔχειν· παρὸ καὶ τοὺς τοιούτους σχοινοτρώκτας ἐκάλουν.

Τὸ σ̃ μετὰ τοῦ ω̃.

87 *Σώματος κάλλος ζωῶδες, ἢν μὴ νοῦς ὑπείη:* ἀπόφθεγμα Δημοκράτους.

87a *Σωρὸς κακῶν ἀνεφάνη:* ἐπὶ τῶν δυςπραγούντων.

87b *Σώφρονος δ' ἀπιστίας οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς:.* Εὐριπίδου.

87c *Σωφρονέστατον οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν τὸ πρὶν παθεῖν φυλάξασθαι τὸ μὴ παθεῖν:.* Γαΐου ἡ ὑποθήκη.

87d *Σώφρονος γυναικὸς ἀρετὴ τὸν συνόντα μὴ ἀδικεῖν ἄνδρα:.* Ἐπιχάρμου.

87e *Σῶμά μοι δότε καὶ μετεμβήσομαι:* μέχρι Πολέμωνος τὰ Πολέμωνος. τοῦτ' εἶπεν ὁ Τιμοκράτης πρὸς τοὺς οἰκείους, ὀλοφυρομένους αὐτὸν ἀποθνήσκοντα· λαμβάνεται δ' ἐπὶ τῶν ἀδύνατα ζητούντων.

---

2. σχῖνον Ds. καλλωπιζόντων Ds, καλλωπιζομένων Suidas. 3. σχῖνον Ds. 4. παρόσον ARZ. σχινοτρώκτας Ds. 7. ἢν] εἰ Democrates. 12. δὲ οἶμαι Stobaeus. 13. ἡ ὑποθήκη] ὑπὲρ δεσποτῶν idem. 14. ἀρετὰ Ab Stobaeus. συνεόντα Ahrens. Dele v. ἄνδρα cum Valckenario ad Eur. Hippol. 996 et Rittershusio ad Porphyr. de V. Pyth. 29. 16. μελετήσομαι Philostratus. μέχρι Π. τὰ Π.] Philostrati verba sunt narrationis de Polemonis vita finem imponentis. 17. Τιμοκράτης] Polemonis praeceptor, hic ex errore nominatus.

86. Diog. VIII, 13: Arsen. XLVII, 27. Νεανίσκον σχινοτρώκταν legitur in Luc. Lexiph. 12, ubi v. Schol.: alia afferunt intt. Theocr. VII, 133.

87. Democr. Sent. 71 Orell.: Arsen. XLVII, 28. Democr. fr. 129 Mull.

87a. Arsen. XLVII, 29. Arist. Plut. 270: πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν: cf. Apost. I, 5.

87b. Arsen. XLVII, 30: Eurip. Helen. 1617.

87c. Arsen. XLVII, 31: Stob. Flor. 3, 64.

87d. Arsen. XLVII, 32. XVI, 6: Stob. Flor. 74, 37. Epich. fr. 140 Ahrens.

87e. Arsen. XLVII, 33: Philostr. V, Sophist. I, 25, 11, p. 543 Ol.: ταφῆναι δὲ αὐτὸν [Polemonem Laodicenum] ζῶντα ἔτι, τουτὶ γὰρ καὶ τοῖς φιλτάτοις ἐπισκῆψαι, κείμενόν τε ἐν τῷ σήματι παρακελεύεσθαι τοῖς συγκλείουσι τὸν τάφον, ἔπαγε, ἔπαγε, μὴ γὰρ ἴδοι με σιωπῶντα ἥλιος. Πρὸς δὲ τοὺς οἰκείους ὀλοφυρομένους αὐτὸν ἀνεβόησε, δότε μοι σῶμα καὶ μελετήσομαι. Μέχρι Πολέμωνος τὰ Πολέμωνος, οἱ γὰρ ἐπ' αὐτῷ κτλ.: eadem fere narrant Suid. s. Πολέμων, Eudoc. p. 354. Cf. Kayserus ad Philost. l. c.

Ἀρχὴ τοῦ τ̄ στοιχείου.

Τὸ τ̄ μετὰ τοῦ ᾱ.

88 *Τάδ' ἐκ τρίποδος:* τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν. Ἀριστοκλείᾳ γὰρ τῇ Πυθίᾳ γενομένῃ μιχθῆναι Πυθαγόραν τὸν ἀδελφὸν καὶ τῶν ὑπ' αὐτῆς μαντευομένων παρασημειοῦσθαι ὡς ἐκ τρίποδος.

89 *Τὰ Νικησίου δρᾷ:* ἐπὶ τῶν μαλακῶν· τοιοῦτος γὰρ ὁ Νικησίας ἦν.

90 *Ταῦρος ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα ἔπιεν:* ἐπὶ τῶν ἀδυνάτων· Γεράδας γάρ τις Σπαρτιάτης ἐρωτηθεὶς ὑπὸ ξένου τινός, εἰ πάσχουσι παρ' αὐτοῖς οἱ μοιχοί, εἶπεν, ὦ ξεῖνε, οὐδεὶς γίνεται μοιχὸς παρ' ἡμῖν. ἐκείνου δὲ ὑπολαβόντος, ἐὰν οὖν γένηται, ταῦρον, ἔφη ὁ Γεράδας, ἐκτίνει μέγαν, ὃς ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα πίεται· θαυμάσαντος δ' ἐκείνου καὶ

88a *Τάδ' οὐχ ὑπ' ἄλλων,* ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεσθα.

88b *Τὰ δ' ἄλλα συγχεῖ πάνθ'* ὁ παγκρατὴς χρόνος.
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος,
θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία,
καὶ πνεῦμα ταὐτὸν οὔποτ' οὐκ ἐν ἀνδράσι
φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίνεται καὖθις φίλα:. Σοφοκλέους Οἰδίποδος ἐπὶ Κολωνῷ.

---

3. ἐκ τοῦ Photius. 4. Ἀριστοκλείᾳ] Themistocleam nominat Diogenes Laertius. Πυθαγόραν] in Suida excidit, ut videtur. 5. τὸν Λελφόν Photius cum Suida: idem vitium ab Aldobrandino e Diog. Laert. VIII, 8 sublatum, ubi v. Huebnerus. μαντευμάτων παρασημειοῦσθαι, ὅσα ἔχρα ἔνθεος γενομένη· καὶ ταῦτα ὡς ἀληθῆ παρασημειοῦσθαι Photius, Suidas. 6. τοῦ τρίποδος iidem. 7. Κινησίου K. τοιοῦτος κτλ.] K om. 8. Scribe Κινησίας. 10. Γεραδάτας dicitur Apophth. l. c. 11. τινός Plutarchus om. εἰ] τί Plutarchus. 12. ξένε idem. 21. οὐκ] οὔτ' Sophocles. ἀνδράσιν idem. 24. γίγνεται idem.

88. Photius: Arsen. XLVIII, 40: Suidas. Macar. VII, 97. Ἀριστοκλείᾳ κτλ.] conficta haec esse e commenticia Aristoxeni narratione apud Diog. Laert. VIII, 8. 21 et Porphyr. V. Pyth. §. 41 docuit Lobeckius Aglaoph. I, 619.

88a. Arsen. XLVIII, 41: Suid. s. ταυτί. Macar. VIII, 57. Apost. IV, 98a. VIII, 19b.

88b. Arsen. XLVIII, 42: Soph. Oed. Colon. 609.

89. K in App. Provv. IV, 81: Arsen. XLVIII, 43.

90. Arsen. XLVIII, 44. Γερά-

φήσαντος· πῶς δ' ἂν γένοιτο βοῦς τηλικοῦτος; γελάσας ὁ Γεράδας, πῶς δ' ἄν, ἔφη, ἐν Σπάρτῃ μοιχὸς γένοιτο;

91 *Τάδε Μῆδος οὐ φυλάξει*: κατὰ τὴν τοῦ Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾶν, ἐπιλέγοντας, Τάδε Μῆδος οὐ φυλάξει.

92 *Τὰν χεῖρα ποτιφέροντα τὰν τύχαν καλεῖν*: ὡς δέον ἐπικαλεῖσθαι τοὺς θεοὺς μετὰ τοῦ ἐγχειρεῖν τι καὶ πράττειν, ἄλλως δὲ μή.

93 *Τὰς μὲν κόρας ἄνδρας εὑρεῖν δεῖ, τὰς δὲ γυναῖκας σώζειν τοὺς ἔχοντας*: Λάκων τοῦτ' ἔφη ἐρωτηθείς· διὰ τί τὰς μὲν κόρας ἀκαλύπτους, τὰς δὲ γυναῖκας ἐγκεκαλυμμένας εἰς τοὐμφανὲς ἄγουσιν.

94 *Ταινάριον κακόν*: ἀντὶ τοῦ μέγα καὶ παράνομον εἰς ἱκέτας· οἱ γὰρ Λακεδαιμόνιοι καταφυγόντας τοὺς Εἵλωτας εἰς τὸ Ταίναρον ἀπέκτειναν.

95 *Τἀπὶ κοσκίνῳ*: λεγόμενόν τι, οἷον τἀληθῆ πάντα.

94a *Τὰ Κινύρου τάλαντα*: ἐπὶ τῶν τὸ ἴσον καὶ τὸ δίκαιον φυλαττόντων.

95a *Τὰ μεγάλα δῶρα τῆς τύχης* ἔχει φόβον,
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ.
οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει,
ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος,
ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ·
ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα,
τὸ μήτε λίαν ἐν ταπεινῷ τῆς ψυχῆς
μέρει φέρεσθαι, μήτ' ἐν ὑψηλῷ πάλιν εἶναι.
κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου,
εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν.
ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.

---

10. *Λάκων — διὰ*] πυνθανομένου δέ τινος διὰ Plutarchus. 13. ἀντὶ τοῦ] τὸ Suidas. παρανομούμενον idem. 14. οἰκέτας Z. 21. θνητῶν Ab. 24. μεσότης] ποσότης Ab. 25. τῷ μήτε Stobaeus. ψυχῆς] τύχης idem. 26. εἶναι recte Ab, Stobaeus om. 29. γίνεται Ab.

δας κτλ.] Plut. v. Lycurg. 15. Apophth. Lac. 228 B.

91. Suidas: Arsen. XLVIII, 45. Zenob. VI, 16.

92. Plutarch. Inst. Lacon. 239 A: Arsen. XLVIII, 46. Cf. Apost. XV, 79 et Suid. s. τὴν χεῖρα, qui explicationis causa Babrii fab. 20 adscripsit.

93. Plut. Apophth. Lacon. 232 C: Arsen. XLVIII, 47.

94. Suidas: Arsen. XLVIII, 48: Macar. VII, 99.

94a. Arsen. XLVIII, 49: Macar. VII, 100.

95. Suidas: Arsen. XLVIII, 50. Cf. Apost. IX, 89. Greg. Cypr. M IV, 12.

95a. Arsen. XLVIII, 51. XXVI, 18: Stob. Flor. 105, 51.

96 *Ταμίας ἀγαθός*: ἐπὶ τῶν ἀκριβῶς φυλαττόντων τά τε ἴδια τά τε δημόσια· ταμίαι δὲ ἦσαν ἄρχοντες ἐν Ἀθήναις κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια ἐφύλαττον, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς· ἦσαν δὲ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς

πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται,
σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη:. Ἀπολλοδώρου.

95b *Τὰ σῦκα σῦκα, τὴν σκάφην σκάφην λέγει.*

95c *Τὰ ὑπὲρ ἡμᾶς οὐδὲν πρὸς ἡμᾶς*: ἀντὶ τοῦ μὴ ζήτει τὰ ὑπὲρ δύναμιν.

95d *Τὰς μηχανὰς μετὰ τὸν πόλεμον κομίζει*: ἐπὶ τῶν προθυμουμένων βοηθεῖν ὅτε οὐ χρεία.

95e *Τὰς δὲ τῶν κακῶν συνουσίας φεῦγε ἀμεταστρεπτί*:. Πλάτων.

95f *Ταῦτα γὰρ ἁ γραία με κοτυτταρὶς ἐξεδίδαξε.*

---

2. ἄρχοντές εἰσιν Suidas, ἄρχοντές εἰσι δέκα Hemsterhusius. ἐν Ἀθήναις] Ἀθήνησι Suidas. 5. φυλάττουσιν idem. 6. ἦσαν] εἰσὶ idem. 8. σφάλῃ Ab. Ἀπολλοδώρου] τραγικὸν ἐπεισόδιον Ab, Stobaeus: monuit de his verbis Meinekius Com. Gr. Fr. II, 2, p. 756. 14. ξυνουσίας Plato. 15. »Vera scriptura Κοτυτταρίς erit habenda, si nomen a Κοτυττοῖ sit formatum, ut Theocriti interpretes coniecerunt:« G. Dindorfius in Steph. Thes. L. Gr. IV, 1887 C.

95b. Arsen. XLVIII, 52. Similia affert Apost. I, 24a. XVI, 10. Auctor versus ignoratur. Usurpatur a Lucian. de hist. conscrib. 41: τοιοῦτος οὖν μοι ὁ συγγραφεὺς ἔστω, ἄφοβος, . . . ὡς ὁ κωμικός φησι, τὰ σῦκα, σῦκα, τὴν σκάφην δὲ σκάφην ὀνομάζων, ubi v. C. Fr. Hermannus: Demetr. de Eloc. 229: τὸ γὰρ δὴ κατὰ τὴν παροιμίαν "τὰ σῦκα σῦκα" λεγόμενον, ἐπιστολαῖς τοῦτο ἐπιτηδεύειν: Iulian. Oratt. 8, p. 208 A: ἀλλ' ἄμεινον ἄν τις διδαχθείη μὴ τὰ πράγματα ἀκούων αὐτά, μηδὲ τὰ ἐπ' αὐτοῖς ὀνόματα κατὰ τὸν κωμικὸν τὴν σκάφην σκάφην λέγοντα. Denique respexit, ut videtur, Philippus, Alexandri magni pater: Plut. Apophth. Regg. 178 B: σκαιοὺς ἔφη φύσει καὶ ἀγροίκους εἶναι Μακεδόνας καὶ τὴν σκάφην [adde σκάφην] λέγοντας.

95c. Arsen. XLVIII, 53. Lactant. Instit. Div. III, 20: *celebre hoc proverbium Socrates habuit: quod supra nos, nihil ad nos*: Minuc. Fel. Octav. 13: *eius viri* [Socratis] *quotiens de caelestibus rogabatur, nota responsio est: quod supra nos, nihil ad nos*: Hieronym. Apol. adv. Rufin. 3, 28, T. II, p. 557 Vallars. Fluxit ex Xenoph. Memor. IV, 7, 6. I, 1, 11, ut vidit Sext. Empir. adv. Mathem. VII, 8: formam debet Aristoni philosopho: v. Stob. Flor. 80, 7, de quo cf. Krischii librum: *die theologischen Lehren der Griech. Denker*, I, 411 sqq. Respexit Xenopho personatus apud Stob. Flor. 80, 12: ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς, παντὶ δῆλον.

95d. Arsen. XLVIII, 54. Usurpatur in Bruti epistola ad Lycios, p. 112 Cuiac.: αἱ μηχαναὶ ὑμῶν μετὰ τὸν πόλεμον, ὡς ἡ παροιμία, ἐκομίσθησαν. Cf. Apost. XI, 30.

95e. Arsen. XLVII, 55: Plat. Legg. IX, 854 C.

95f. Arsen. XLVIII, 56: Theocr. Id. VI, 40.

96. Arsen. XLVIII, 57. ταμίαι κτλ.] Suidas: Photius.

ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος.

97 *Τὰ ἐκ πρῴρας καὶ τὰ ἐκ πρύμνης ἀπόλλυται: ἐπὶ τῶν πανολεθρίᾳ φθειρομένων.*

98 *Τὰ μὲν ἐξ ἀρχῆς οὐ μέμνημαι, τὰ δὲ μέσα οὐ συνίημι, τὰ δ' ἐπὶ πᾶσιν οὐ δοκιμάζω: ἐπὶ τῶν πολλὰ λεγόντων καὶ πάντα οὐδενὸς ἄξια· ὁμοία τῇ, Τὰ μὲν πρῶτα ἐπιλελάθαμες, τὰ δὲ ὕστερα οὐ συνήκαμες διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι.*

99 *Τὰ μέροπος δρᾷς: ἐπὶ τῶν τἀναντία πάντων ἢ δρώντων, ἢ λεγόντων:. Ὁ γὰρ μέροψ τὸ ὄρνεον ἔμπαλιν, φασί, τοῖς ἄλλοις ἅπασι πέταται· τὰ μὲν γὰρ εἰς τοὔμπροσθεν ἵεται καὶ κατ' ὀφθαλμούς, ὁ δὲ εἰς τοὐπίσω:. Λέγεται καὶ τοῦτο περὶ αὐτοῦ· ὅτι οὐκ ἀναμένει γηράσαντας ἐκτρέφειν τοὺς πατέρας, ἀλλ' ἅμα τῷ φῦσαι τὰ ὠκύπτερα τοῦτο ἐργάζεται.*

100 *Τὰ ἀπὸ Τυαννάκου ταῦτα: ἐπὶ τῶν ἐπὶ παλαιότητι θαυμαζομένων. Τυάννακος γὰρ Φρυγῶν βασιλεὺς πρὸ τῶν Δευκαλίωνος χρόνων.*

96a *Τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν:. Ἐξ ἀποφθέγματος.*

98a *Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται,*
θνητὸς πεφυκώς, ὃν τρόπον χρεὼν φέρειν·
οὐδ' ἀνδρὸς δύναιτ' ἀνθυποστῆναι βέλος:. Εὐριπίδου.

---

5. *Ὧν εἰρήκατε τὰ μὲν* Plutarchus. *τὰ δὲ*] *διὰ τοῦτο δὲ καὶ τὰ* idem. 12. *πέτεται* As. 13. *ὁ δὲ*] *τὸ δὲ* As. 14. *λέγεται — οὐκ*] *ὁ μέροψ ὄρνις ταύτῃ τοι δοκεῖ δικαιότερος εἶναι τῶν πελαργῶν· οὐ γὰρ* As. 17. *Ναννάκου* Suidas. *ταῦτα*] Suidas ignorat. 18. *Νάννακος* Suidas. 21. *ἐξ ἀποφθέγματος* in Stobaeo deest. 24. *δύναιθ' ὑποστῆναι* Stobaeus. *Εὐρ. Ἡρακλεῖ* idem.

96a. Arsen. XLVIII, 58: Stob. Flor. 1, 26.

97. Arsen. XLVIII, 59. Huc pertinet Philostr. Heroic. 1, 3, p. 671 Olear.: *εἰ δὲ μή, καὶ τά ἐκ πρῴρας, φασί, καὶ τὰ ἐκ πρύμνης ἀπολεῖται:* plane contrario sensu adhibetur a Dion. Chrysost. Or. 37, p. 120 R.: *ὑμεῖς γάρ ἐστε νῦν τὸ δὴ λεγόμενον πρῷρα καὶ πρύμνα τῆς Ἑλλάδος, ὄλβιοι μὲν καὶ ἀφνειοὶ κτλ.*, quocum componas Cic. Epist. ad Famil. XVI, 24, 1: *mihi prora et puppis, ut Graecorum proverbium est, fuit a me tui dimittendi, ut rationes nostras explicares.*

98. Arsen. XLVIII. 60. *Τὰ μὲν — δοκιμάζω*] Cleomenes Anaxandridae filius apud Plut. Apophth. Lacon. 223 D. *τὰ μὲν πρῶτα κτλ.*] Plut. l. c. 232 D.

98a. Arsen. XLVIII, 61: Stob. Flor. 108, 12. Eur. Herc. fur. 1348.

99. Arsen. XLVIII, 63. *Ὁ γὰρ — τοὐπίσω*] Aelian. N. An. I, 49. *Λέγεται κτλ.*] id. ib. XI, 30.

100. Suidas: Arsen. XLVIII, 62. Macar. VIII, 4.

1 *Ταντάλου κῆπον τρυγᾷς:* ἐπὶ τῶν μάταια ποιούντων· παρόσον σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.

2 *Τάδ' οὐ παρὰ τοῖσι Κενταύροισι:* λεγόμενόν τι ἦν· Τηλεκλείδῃ τισὶ τῶν δυναστῶν.

3 *Τἄλλα καὶ φιλώμεθα:* καὶ τοῦτο λεγόμενον τι· οἷον, τἄλλα καὶ φίλοι ὦμεν. κατὰ τοῦτο δ', οὔ φημι οὐδὲ συναινῶ.

4 *Τὰ ἐξ ἁμαξῶν:* ἐπὶ τῶν ἀπερικαλύπτως σκωπτόντων· Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτῇ, οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν· τὸ δ' αὐτὸ καὶ τοῖς Ληναίοις ὕστερον ἐποίουν.

2a *Τὰν παροῦσαν ἄμελγε.* τί τὸν φεύγοντα διώκεις;

---

3. τοῖσι] Suidas et Photius om. Scribe *τοῖς Κενταύροις*. 4. *ἦν· Τηλεκλείδης* Suidas cum Photio. *τισί*] *Ἡσιόδοις* Meinekius: Porso Advers. 206 vocem desiderat cum poetae oratione cohaerentem. Sed *τισὶ* ex male repetito articulo *τοῖσι* ortum est. *τῶν δυναστῶν*] *τῶν δυνατῶν τι κέλευ'. οὐ γὰρ παρὰ Κενταύροισι* Suidas, Photius: Phot. s. *τῶν: τῶν δ. τι κ. οὐ γὰρ παρὰ Κενταύροις.* Arcte coniungendum est cum Apost. XII, 12 s. Diog. VI, 74 et scribendum:

α. τῶν δυνατῶν τι κέλευε· β. τάδ' οὐ παρὰ τοῖς Κενταύροις.
α. νοῦς οὐ παρὰ Κενταύροισι; . . .

similiter e versu dactylico in iambicum transit oratio in Arist. Equitt. 1069. Unde ea, quae in ann. ad Diog. l. c. scripsi, ex parte retractanda sunt. 5. *καὶ τοῦτο* Suidas om. 6. *κατὰ τοῦτο κτλ.*] Suidas om. Ds: *Τἄλλα φιλώμεθα: τἄλλα μὲν ἀγαπώμεθα· κατὰ τοῦτο, Οὐ σύμφημι οὐδὲ σ.*: Phrynichus: *τἄλλα καὶ φιλώμεθα: παροιμία ἐπὶ τῶν ἐν μὲν τοῖς ἄλλοις συγχωρούντων, ἃ βούλονταί τινες, ἑνὶ δέ τινι μηκέτι. σημαίνει δὲ οἷον τἄλλα φίλοι ὦμεν, κατὰ δὲ τοῦτο διαφερώμεθα*: unde patet Apostolii locum mutilum esse et hunc fere in modum redintegrandum: *Τἄλλα — τι· [σημαίνει δὲ] οἷον, τἄλλα κ. φ. ὦμεν, [κατὰ δὲ τοῦτο διαφερώμεθα. ὅμοιον τῷ,] οὐδὲ σύμφημι οὐδὲ συναινῶ.* Simili modo Bernhardius ad Suid. l. c. Diogenianum sanavit. 8. ἐξ] *ἐκ τῶν* Z Suidas. *ἁμαξῶν*] *σκώμματα* Suidas addit. *ἀπαρακαλύπτως* Z cum Suida et Photio. 12. *παρεοῖσαν* Theocritus.

1. Arsen. XLVIII, 64. Suidas: *Ταντάλου κήπους τρυγᾶν. Ἰσαίου τοῦ ῥήτορος νεωτέρου ἀσωτευομένου, ὕστερον δὲ σωφρονήσαντος, ἤρετο αὐτόν τις, Τίς ἄριστος τῶν ἰχθύων καὶ τῶν ὀρνέων εἰς βρῶσιν; Πέπαυμαι, ἔφη ὁ Ἰσαῖος ταῦτα σπουδάζων· ξυνῆκα γάρ, τοὺς Ταντάλου κήπους τρυγῶν. ἐνδεικνύμενος δήπου τῷ ἐρομένῳ ταῦτα, ὅτι σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι*: quae e Philost. Vit. Sophist. I, 20, 1, p. 513 Ol. descripta sunt. *Ταντάλου κήπους* idem Philostratus memorat Vit. Apoll. IV, 25. Vitt. Sophist. II, p. 595 Ol.

2. Suidas: Arsen. XLVIII, 65: Photius. *Τηλεκλείδῃ*] fr. fab. inc. 11 Mein. Cf. Apost. XVII, 45b.

2a. Arsen. XLVIII, 66: Theocr. Id. XI, 75. Cf. Apost. XVI, 45.

3. Suidas: Arsen. XLVIII, 67: Phot., Diog. VIII, 50: Phryn. in Bekk. Anecdd. I, 65, 25.

4. Suidas: Arsen. XLVIII, 68: Photius. Macar. VII, 98. Apost. II, 76. XII, 66c.

5 *Ταὐτόν ἐστι χιλίων προβάτων κρατήσαντα πεντήκοντα λύκοις μάχεσθαι:* ὅτι δεῖ κρατήσαντα μὴ αὖθις κινδυνεύειν.

6 *Τὰ ἐν χερσὶ κρατούμενα μείζονά ἐστι τῶν προςδοκωμένων.*

7 *Τὰ ἐν ποσὶ οὐκ οἶδεν:* ἐπὶ τῶν ἀμαθῶν.

8 *Τὰ Μαγνήτων κακά:* ἐπὶ τῶν μεγίστων καὶ ἀλγεινοτάτων κακῶν· παρόσον οὗτοι ἀσεβήσαντες εἰς θεοὺς μεγάλων κακῶν ἐπειράθησαν.

9 *Ταντάλειοι τιμωρίαι:* ἐπὶ τῶν ἀγαθὰ μὲν ἐπιτυχόντων, μὴ συγχωρουμένων δὲ ἀπολαύειν αὐτῶν. φασὶ γὰρ τοῦ Ταντάλου ἔμπροσθεν εἶναι παντοδαπὰ δένδρα· καὶ ἡνίκα ἂν τὴν χεῖρα ἐκτείνῃ λαβεῖν τι τῶν δένδρων, ἐκκλίνουσιν ἀπ' αὐτοῦ· ἢ ὅτι πηγὴ πλήρης ὕδατός ἐστι καὶ ὑπὲρ κεφαλῆς λίθος μεγάλη κρέμαται· καὶ ἡνίκα ἂν κύψῃ τοῦ πιεῖν, πίπτει ἡ πέτρα καὶ οὐκ ἐᾷ αὐτὸν πιεῖν. καὶ τοῦτο ἀϊδίως.

---

2. ὅτι κτλ.] Plutarchus non agnoscit. 8. θεὸν Suidas. 10. ἀγαθῶν Z. ἐπιτυχόντων] ἐχόντων Suidas. 16. τοῦ ποιεῖν AN, τοῦ πιεῖν Z. αὐτὸν πιεῖν] αὐτὸν ποιεῖν N.

5. Arsen. XLVIII, 69: Eudamidae dictum apud Plut. Apophth. Lac. 220 F.

6. Arsen. XLVIII, 70: Aesop. fab. 20 Fur., 18 Schn.: *ὁ μῦθος δηλοῖ, ὅτι αἱρετώτερόν ἐστι τὸ παρὸν κέρδος κρατεῖν, κἂν μικρὸν ᾖ, ἢ τὸ προςδοκώμενον, κἂν μέγα ὑπάρχῃ*: similia v. in Aesop. fab. 4. Schneid., 97 Fur., Babr. fab. 6: add. Men. Monost. 18: *ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.*

7. Arsen. XLVIII, 71. Proverbio notum vetulae dictum in Thalen ansam dedisse videtur: v. Plat. Theaet. 174 A, ex quo hausta sunt, quae narrat Serenus apud Stob. Flor. 80, 5: *Θαλῆν εἰς τὸν οὐρανὸν ὁρῶντα καὶ ἐμπεσόντα εἰς τὸ βάραθρον ἡ θεράπαινα, Θρᾷττα οὖσα, δίκαια παθεῖν ἔφη, ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν τὰ ἐν οὐρανῷ ἐσκόπει*: eadem fere recurrunt in Max. Conf. Serm. 21, p. 600 Comb., Diogen. Laert. I, 34. Aesop. fab. 40 Schneid. Facete in usum suum convertit Bion Stob. Flor. 80, 3: add. Aristid. Or. 48, p. 354 Iebb.

8. Suidas: Arsen. XLVIII, 72: Suid. s. *Μαγνήτων.* Archilochus proverbii auctor fuisse videtur: v. Strab. XIV, 647 coll. Schneidewino ad Heracl. Polit. 22, p. 88 sqq.: adhibuit Iulian. Or. VII, p. 210 Spanh., quem Suidas s. *Μαγνήτων* adscripsit.

9. Arsen. XLVIII, 73. *Ταντάλειοι — αὐτῶν*] Suidas. Adhibetur a Polyb. IV, 45, 6: *ὑπομένουσί τινα καὶ τιμωρίαν Ταντάλειον, κατὰ τὸν ποιητήν*: add. Theophyl. Simoc. Opusc. p. 21 Boiss. Apost. XIII, 11. *φασὶ κτλ.*] similia habuimus in Apost. VII, 60, ubi v. annott. *δένδρα*] hinc exiit proverbium *δένδρα Ταντάλου*: Eustath. ad Hom. Od. *Λ*, 590, p. 1701, 45: *ἰστέον δὲ καὶ ὡς πολλὴ διαφορὰ κήπου Ἀδώνιδος* [v. Apost. I, 34] *καὶ δένδρων Ταντάλου. διὸ τοῦτο μὲν παροιμιακῶς ἐπὶ τῶν ἀκερδῶν τίθεται, ἐκεῖνο δὲ ἐπὶ τῶν ἀκάρπων καὶ ὠκυμόρων.* *πιεῖν*] hinc ortum adagium *Ταντάλου δίψα*, quod Schol. ad Pind. Ol. I, 90 commemorat: add. Scholl. ad Eur. Orest. 6: *ἐκ τούτου παροι-*

10 *Τὰ σῦκα σῦκα λέγω, καὶ τὴν κάρδοπον:* ἐπὶ τῶν τὰ ἀληθῆ λεγόντων ἀνεπιφθόνως.

9a *Τὰ μὲν καθ' ἡμᾶς οὕτω γέγονεν, ὡς ἔδοξε τῷ θεῷ· χρὴ δὲ μὴ γιγνομένων χαλεπὸν ἡγεῖσθαι, μηδὲ δυςχερῶς φέρειν, ὥσπερ ἐν δεινοῖς οὖσι. παραινοῦσι δὲ ἄλλοι τε σοφοὶ καὶ οὐχ ἥκιστα Ὅμηρος, μηδαμῇ ἀπόβλητα εἶναι ἀνθρώποις θεῶν δῶρα, καλῶς ὀνομάζων δῶρα, τὰ ἔργα τῶν θεῶν, ὡς ἅπαντα ἀγαθὰ ὄντα καὶ ἐπ' ἀγαθῷ γινόμενα:. Δίωνος.*

9b *Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. θάνατος, οὐ φοβερόν· ἐπεὶ καὶ Σωκράτει ἂν ἦν· ἀλλὰ τὸ δόξαι τὸν θάνατον εἶναι φοβερόν. ὅταν οὖν ἐμποδιζώμεθα μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ' ἑαυτούς· τοῦτο δέ ἐστι τὰ φαῦλα δόγματα:. Ἐπικτήτου.*

10a *Τὰ τῆς τύχης φέρειν δεῖ ἠπίως τὸν εὐμενῆ·*
τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναι μοι δοκεῖ·
ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν ὀρθοῦ τρόπου:. Ἀντιφάνους.

10b *Τὰ προςπεσόντα προςδοκᾶν ἅπαντα δεῖ*
ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν:. Μενάνδρου.

---

1. Fortasse scribendum: *τὰ σ. σ. γὰρ λέγω καὶ κάρδοπον Τὴν κάρδοπον.* 4. *μὴ] μηδὲν τῶν ὑπ' ἐκείνου* Dio. *ὥσπερ — δὲ] ὡς παραινοῦσιν* Dio. 6. *Ὅμηρος]* addunt *λέγων* Dio et Stobaeus. *τὰ θεῶν* Dio, Stobaeus. *τὰ δῶρα* Stobaeus. 8. *γιγνόμενα* Dio, Stobaeus. *Δίωνος ἐκ τοῦ Χαριδήμου* Stobaeus. 10. *θάνατος οὐ φ.] οἷον ὁ θ. οὐδὲν δεινόν* Epictetus. 11. *ἦν] ἐφαίνετο* idem. *δόγμα* idem. *τὸν — εἶναι] τὸ περὶ θανάτου ὅτι δεινὸν, ἐκεῖνο τὸ δεινόν ἐστιν* idem. 12. *ἐμποδιζώμεθα ἢ ταραττώμεθα ἢ λυπώμεθα μ.* idem. *ἄλλους* idem. 13. *τουτέστι τὰ ἑαυτῶν δόγματα* idem. 14. *τὰ τύχης* recte Stobaeus. *ἠπίως] γνησίως* Iacobsius. *εὐγενῆ* Stobaeus. 15. *τὸ μὲν κτλ.]* novum hic incipit fragmentum. 16. *ὀρθῷ τρόπῳ* Grotius. 18. *Μενάνδρου Ἀνδρογύνου* Stobaeus.

μία Ταντάλου φόβον φοβοῦμαι, ἔτι τε πρὸς τὴν ἑτέραν ἱστορίαν Ταντάλου δίψαν διψῶ: hinc *Ταντάλου δίψος* apud Auct. Axioch. 371 E aliosque, quos Boissonadus ad Nicet. Eugen. VI, 588 citat; add. *Ταντάλου πόμα* apud Achill. Tat. II, 35, ubi v. Iacobsius. Propter has poenas in perpetuum Tantalo impositas *Ταντάλειος βίος* de vita infelicissima dicebatur: Greg. Nazianz. Epist. 7, p. 772 A: *ὃς Ταντάλειον ὑμῖν ποιεῖ τὴν ζωήν.* Sed quum Tantalus hominum causa, (immortalitatem enim iis comparare voluit) diris cruciatibus afflictus esset, etiam proverbio benevolentia eius erga mortales celebrata est: Eustath. ad Hom. Od. *Λ*, p. 1701, 11: *ὅτι δὲ φιλικώτατος ἀνθρώπων ἦν Τάνταλος ὁ Φιλόστρατος* [V. Apoll. III, 32, p. 123 Olear.] *ἱστορεῖ, ἐξ οὗ καὶ παροιμιωδῶς, φησίν, εἴρηται τό, ἡ Ταντάλου φιλοτησία πινέσθω:* add. Philostr. l. c. 25, p. 115 sq. Cf. Apost. XVI, 16.

9a. Arsen. XLVIII, 74: Stob. Flor. 124, 33. Dion. Chrys. Or. 30, p. 549 R.

9b. Arsen. XLVIII, 75: Stob. Flor. 118, 20. Epict. Manual. c. 5.

10. Arsen. XLVIII, 76. Cf. Apost. XV, 95b.

10a. Arsen. XLVIII, 77: Stob. Flor. 108, 29. Antiph. fr. fab. inc. 66. 67 Mein.

10b. Arsen. XLVIII, 78: Stob. Flor. 108, 38. Men. Andr. fr. IV Mein.

11 *Τὰ πρῶτ' ἀρίστους παῖδας Αἴγιν' ἐκτρέφει:* ἐν ἀκμῇ γὰρ μεταβάλλουσιν ἐπὶ τὸ χεῖρον οἱ Αἰγινῆται ἀπὸ Ἀχιλλέως, Πατρόκλου, Αἴαντος, Νεοπτολέμου.

12 *Τὰ πέρυσι ἀεὶ βελτίω:* ἐπὶ τῶν κατόπιν ἐν ταῖς χερσὶ γινομένων· ταπεινούμενοι γὰρ οἱ Ἀθηναῖοι κατὰ τὰ Μακεδονικὰ ἐπεφώνουν τὸ τοιοῦτον.

13 *Τὰ τῶν φόρων κρέττω:* Ὑπερίδης ἐν τῷ κατὰ Εὐθη-

10c *Τὰ δυςχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε*
ὁρᾷς ἐν αὐτῷ, τἀγαθὰ δ' οὐκέτι βλέπεις.
εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
ἀγαθὸν, ὅπου τι μὴ πρόςεστι καὶ κακόν:. Μενάνδρου.

10d *Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ' αὐτοῦ τοῦ πυρὸς καταναλίσκεται· ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται:.* Πλουτάρχου.

10e *Τὰ μέγιστα τῶν κακῶν οἱ πένητες ἐκπεφεύγασιν, ἐπιβουλὴν, φθόνον καὶ μῖσος, οἷς οἱ πλούσιοι καθ' ἡμέραν συνοικοῦσιν:.* Δημοκρίτου.

10f *Ταῖς νόσοις ὁ θάνατος ἀλλήλαις ἐπιλαβανούσαις οὐδ' αὐτὸς παρεῖναι ἀναβάλλεται:.* Μοσχίωνος.

10g *Τὰ γὰρ ἡδέα, κἂν μήπω παρῇ, τέρπει ταῖς ἐλπίσι:.* Λευκίππου.

---

2. παροιμία· ἐν Suidas. γὰρ (φασί) idem. 4. ἀεὶ τὰ πέρυσι Ds. ταῖς χερσί] τοῖς χείροσι scribendum esse monui ad Greg. Cypr. l. c. Idem vidit C. Fr. Hermannus in Schneidewini Philol. III, 513. 7. φόρων Bekkerus: scribe φωρῶν: fures enim, non speculatores proverbio notantur. κρείττω Harpocratio. Εὐθυνογένους Z, Ἀθηνογένους Fabric. B. Gr. III, 292 Harl., Bekkerus. 8. λυπήσοντα Meinekius. 9. τὰ δ' ἀγαθ' idem. 11. Μενάνδρου Μισογύνου Stobaeus. 12. αὐξάνοντα Maximus. τοῦ πυρὸς Stobaeus om. 13. ἐκτρέφων Stobaeus. 14. Πλουτάρχου] Ἀριστωνύμου Τομαρίων Stobaeus. 18. ἀλλήλας Wagnerus. ἐπιλαμβανούσαις Maximus. 20. ἡδέα τῶν πραγμάτων Achilles. Λευκίππου] Σέξτου Georgides. Scribe Λευκίππης.

10c. Arsen. XLVIII, 79: Stob. Flor. 108, 44. Men. Misog. fr. 1 Mein.

10d. Arsen. XLVIII, 89: Max. Conf. Serm. 11, p. 565 Comb., Stob. Flor. 14, 9. Plut. fr. 26 Wytt.

10e. Arsen. XLVIII, 81: Anton. Mel. 143, p. 229 Fabr., Georg. in Boiss. Anecd. I, 84. Democr. fr. 40 Mull.

10f. Arsen. XLVIII, 82: Max. Conf. Serm. 36, p. 627 Comb. Moschion. fr. 21 Wagn.

10g. Arsen. XLVIII, 83: Max. Conf. Serm. 38, p. 630 Comb., Georg. in Boiss. Anecd. I, 91. Est Achill. Tat. V, 22.

11. Suidas: Arsen. XLVIII, 84. Diog. VIII, 38.

12. Diog. II, 84: Arsen. XLVIII, 85. Greg. Cypr. L I, 17. Apost. I, 67a. II, 73.

13. Harpocr. 174, 19: Arsen. XLVIII, 86: Phot. Suidas. Ὑπερίδης] cf. Kiesslingius de Hyper. Comm. p. 226 sq.

νογένους δευτέρῳ· παροιμία λεγομένη· πλείω δὲ φερόμενοι ὧν ἠδίκησαν.

14 *Τὰ Σαμίων ὑποπτεύεις: αὕτη λέγεται ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους αἰκισμοὺς παθεῖν, ἕνεκα προδοσίας· παρῆλθε δὲ ἀπὸ τῶν γινομένων ὑπὸ Ἀθηναίων εἰς Σαμίους αἰκισμῶν· ἑλόντες γὰρ αὐτοὺς οἱ Ἀθηναῖοι τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔστιξαν τῇ καλουμένῃ σάμῃ, ἥ ἐστιν εἶδος πάθους Σαμιακοῦ· ἀνθ' ὧν καὶ οἱ Σάμιοι τοὺς ἁλόντας μετὰ ταῦτα Ἀθηναίων ἔστιξαν.*

15 *Ταρτησία μύραινα: ἐπ' εὐμεγέθους· ὡς ἐκεῖ γενομένων μεγίστων.*

16 *Τὰ Ταντάλου τάλαντα: πλούσιος ὁ Φρὺξ Τάνταλος διαβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν τρίτῃ· γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα· ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται, Ταντάλου τάλαντα ταλαντίζεται.*

15a *Ταῦτα δ' ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γένοιτο, δᾶλον. ὅτι δ' ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι, φανερόν· συνέχεται*

---

1. *ἐστὶ λεγομένη* Harpocratio. *κατὰ τῶν πλείω φερομένων* idem. 2. *ὧν ἠδ.*] »noli mutare breviloquentiam orationis: plura quam pro commissis et malefactis, h. e. non ex merito«: Bernhardius. 4. *ἀνηκέστους — προδοσίας*] *ἀνηκέστους κακῶν προδοσίας* Suidas. 5. *γενομένων* idem. *ὑπὸ τῶν* R. 8. *πάθους*] *σκάφους* Pantinus coniecit probante Kustero ad Suid. l. c. 10. *ἐπ' εὐμεγέθους* Suidas om. *γινομένων* Suidas. 12. *Τὰ* Photius om.: recte: tantummodo verba *Ταντάλου τάλαντα* Anacreonti vindicari posse Nitra de Tantali nominis origine disput. p. 9 demonstrat. 14. *ἐν γ'* Photius, *ἐν τρίτῳ* Suidas. 16. *ταντταλίζεται* Z Photius. VV. *Ταντάλου τ. ταλ.* hoc loco non commemoranda fuisse, sed *Ταντάλου τάλαντα*, recte Bernhardius ad Suid. s. *τὰ Ταντάλου ταλαντίζεται* monuit: v. Suid. s. *τὰ Ταντάλου τάλαντα ταντταλίζεται: αὕτη οὖν ἡ παροιμία παρὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων εἴρηται· ἐπείπερ παίζοντες πολλὰ καὶ ἄλλα τοιαῦτα πεποιήκασιν· οἷον ἀγαθῶν ἀγαθίδες* [Apost. I, 14.] *καὶ σοφώτερος σοφοῦ παρ' Ἐπιχάρμου*: fr. inc. 41 Krus.

14. Suidas: Arsen. XLVIII, 87. App. Provv. IV, 84. Apost. XV, 32.

15. Suidas: Arsen. XLVIII, 88: Photius. Sumptum ex Arist. Ran. 475, ubi v. Scholl. Explicatio falsa: muraena enim inter crudelissimas bestias refertur: v. Athen. VII, 312 B, Aelian. N. A. I, 32. V, 48. IX, 40 c. intt.: hinc usus vocis metaphoricus explicandus, de quo v. Blomfieldus ad Aesch. Choeph. gloss. 981. *Ταρτησία* mihi videtur ex imitatione proverbii *γαλῇ Ταρτησία* additum, de quo v. Apost. V, 20 c. annott.

15a. Arsen. XLVIII, 89: Stob. Flor. 48, 66 fin.

16. Photius: Arsen. XLVIII, 90: Zenob. VI, 4. Macar. VIII, 1. Apost. XVI, 9. *Ἀνακρέων*] fr. 143 Bergk. *κωμικῷ*] Menandrum Stob. Flor. 118, 10, 2 Bernhardius huc trahit.

17 *Τὰς δεσποίνας αἱ κύνες μιμούμεναι:* λέγεται ὁπόταν καὶ οἱ ὑποχείριοι τοῖς ἄρχουσιν ἐπὶ κακῷ συμφωνῶσι.

18 *Τὰς ἐν ᾅδου τριακάδας:* τιμᾶται ἡ τριακὰς ἐν ᾅδου διὰ τὴν Ἑκάτην· καὶ γὰρ Ἀθηνᾶ καὶ Ἄρτεμις καὶ Ἑκάτη ἓν εἶναι δοκοῦσι.

19 *Τὰ γὰρ Γαδείρων οὐ περατά:* ἐπὶ τῶν πορρωτάτω καὶ ἀδυνάτων· τὰ δὲ Γάδειρά ἐστιν ἔξω τῆς καθ' ἡμᾶς θαλάσσης περὶ τὸν ὠκεανόν, ὃν Ἄδρων ὁ Ἁλικαρνασεὺς φησι γήμαντα Πομφολύγην καὶ Παρθενόπην, ἐκ μὲν Παρθενόπης σχεῖν Εὐρώπην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην· ὅθεν ὠνομάσθαι τὰς ἠπείρους.

γὰρ εὐκοσμίᾳ τε καὶ τάξει τᾷ δεούσᾳ· νόῳ δὲ χωρὶς οὐκ ἂν αὐτὰ γενοίατο. οὐδ' ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς· δικαιοσύναν φαμὶ καὶ ἐγκράτειαν καὶ κοινωνίαν, καὶ ὅσα τούτων ἀδελφά:. Ἐκ τῶν Ἐκφάντου τοῦ Πυθαγορίου ὑποθηκῶν.

17a *Ταῦτά σοι καὶ Πύθια καὶ Δήλια:* ἐπὶ τῶν τελευταῖα ποιούντων.

19a *Ταῦτα Κυμαίοις, ἐμοὶ δὲ ὄνος εἴη:* ἐπὶ τῶν μετὰ δέους ἀνάξια δεδιότων· φασὶ γὰρ τοὺς Κυμαίους ὡς θηρίον δεδιέναι

---

1. τὰς — κύνες] αἱ κύνες τὴν δέσποιναν Ds. 6. γὰρ] πέρα Z: γὰρ ἐπέκεινα N. 8. ὃν — γήμαντα] Ἄνδρων ὁ Ἁλικαρνασσεὺς φησὶ τὸν Ὠκεανὸν γῆμαι Scholiasta. 9. ἐκ — Εὐρώπην] σχεῖν δὲ ἐκ μὲν Π. Ε. καὶ Θρᾴκην idem. 11. ὅθεν κτλ.] ἀφ' ὧν τὰς ἠπ. ὀνομασθῆναι συμβέβηκε idem. 14. ἐγκράτηαν Stobaeus. 17. Καὶ Δήλι' ἔστι ταῦτά σοι καὶ Πύθια scribit et Menandro tribuit Meinekius Com. Gr. Fr. IV, p. 296. 19. Insere λέων post v. Κυμαίοις.

17. Diog. V, 93: Arsen. XLVIII, 91. Cf. DV III, 51.

17a. Arsen. XLVIII, 92: Diog. VIII, 35. Cf. Apost. XV, 9.

18. Diog. VIII, 39: Arsen. XLVIII, 93. Greg. Cypr. L III, 14.

19. Arsen. XLVIII, 94. Ex Pindari [Nem. IV, 69] versu, Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν, variae adagii formae ductae sunt, quibus utuntur Graeci, quum, ut ait Billius ad Greg. Nazianz. T. II, 776 A, quis ad eum modum finemque pervenerit, ultra quem progredi non sinit natura: *Γάδειρα γάρ*, verba sunt Scholiastae ad Pind. l. c., πόλις μέχρι τῶν στηλῶν Ἡρακλέους, ἔνθα τὸ τέλος ἐστὶ τοῦ πλεῖν καὶ τοῦ ὁδεύειν· περαιτέρω γὰρ λοιπὸν ὁ Ὠκεανὸς καὶ πάντα ἀφανῆ ζόφου ὄντος: comprobat hoc Arist. Or. 48, p. 354 Iebb.: πῶς οὐκ ἀληθῶς ἔξω στηλῶν καὶ Γαδείρων φήσει . . . εἶναί σοι τὸν νοῦν: item Greg. Naz. Or. 20, p. 333 D: τὸ γὰρ ἐπέκεινα Γαδείρων οὐ περατόν; Choric. in A. Maii Spicil. Rom. T. I, 456. Anacreont. 13, 25 Bergk.: Constant. Manass. Comp. Chron. 6733: οὐ γάρ περάσιμά φασι τὰ τῶν Γαδείρων πέρα, ad quem locum v. Meursium e Basilio locos huc facientes indicantem. ὃν Ἄνδρων κτλ.] Scholl. ad Aesch. Pers. 183: verbis paulum mutatis eadem fere proferunt Tzetz. ad Lycoph. 894. 1283, id. Exeges. Iliad. p. 135 Herm., Eudoc. p. 439. Ἄνδρων] fr. 1 Muell.

19a. Arsen. XLVIII, 95. Ex Aesopi fabula, quam pulchre enar-

20 *Τὰ τρία εἰς τὸν θάνατον*: ὅτι ὁ μαντευόμενος ἐν Δελφοῖς σεσημασμένους ἐλάμβανε τοὺς χρησμούς, καὶ προείρητο αὐτῷ, εἰ λύσει, ζημία τῶν τριῶν. ἢ γὰρ τῶν ὀφθαλμῶν αὐτὸν ἔδει στερηθῆναι, ἢ τῆς χειρὸς ἢ τῆς γλώττης. ἄλλοι δὲ φασίν· ἐπὶ τῶν κατακρινομένων τῷ θανάτῳ προσεφέρετο τὰ τρία ταῦτα· ξίφος, βρόχος, κώνειον.

21 *Ταχυβάμονας ὅρκους*: Ἀρίσταρχος κατὰ ἀντίφρασιν ἀκούει, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ τοὺς ἐν ἑτέρῳ τινὶ γενομένους νοεῖν· ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες· ὅθεν καὶ παροιμία, *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος*.

τὸν ὄνον· ὀνηλάτην οὖν φυγόντα ὄνον καὶ σκιρτῶντα παίειν καὶ λέγειν τὸ προκείμενον.

19b *Ταὐτόν ἐστιν* ἀῤῥωστοῦντι φορτίον ἀναθέσθαι καὶ ἀπαιδεύτοις εὐτυχίας:. Ἐκ τῶν Ἰσοκράτους ἀποφθεγμάτων.

19c *Τὰ χρήματ'* ἀνθρώποισιν εὑρίσκει φίλους.

21a *Ταὐτόν ἐστιν* ἐν γυμνικῷ ἀγῶνι ἡττηθέντα ὕβρεως δίκην τῷ ἀνταγωνιστῇ λαχεῖν καὶ ἐν τῷ ζῆν νικώμενον ὑπὸ τῆς τύχης ἐγκαλεῖν αὐτῇ, ἐφ' οἷς δικαίοις εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν:. Σωκράτους.

21b *Ταῖς ἀτυχίαις μὴ ἐπίχαιρε τῶν πέλας·*
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥάδιον:. Μενάνδρου.

---

1. τὰ εἰς N Suidas. 3. λύσειν malit Finckhius Annott. in Zenob. p. 20. ζημία μία Suidas. 5. ἄλλοι — ταῦτα] Suid. s. τὰ τρία τῶν εἰς θάνατον: ὅτι τοῖς εἰς θάνατον κατακριθεῖσι τρία παρετίθουν, κτλ.: propius tamen ad Apostolii orationem accedit Zenob. l. c. 8. ἐν ἑτέρῳ] scribendum esse ἐν ἔρωτι post alios in n. crit. ad App. l. c. monui. 9. γινομένους Suidas. 10. καὶ] ἡ Z. 13. ταὐτόν ἐστιν Maximus om. ἐπιθέσθαι Ab, ἐπιθεῖναι Maximus. 14. εὐτυχίαν Stobaeus, εὐτυχίαν, ταὐτόν ἐστι Maximus. Ἐκ τῶν κτλ.] Stobaeus om., Πλουτάρχου Maximus. 18. αὐτῇ, ἀγνοοῦντα Stobaeus. 20. ἀτυχίαισι μὴ πίχαιρε Bentleius.

rat Lucian. Piscat. 32: add. Aesopi fabb. p. 169 Cor. et Apost. XI, 90ª. XII, 84. Macar. VIII, 17. Zenob. III, 75. Aliter expedit Suidas s. Ὄνος εἰς Κυμαίους: ἐπὶ τῶν παραδόξων καὶ σπανίων· διότι παρὰ Κυμαίοις ἐδόκει φοβερὸς εἶναι ὁ ὄνος. Καὶ κατὰ τοιουσοὶ τοὺς καιροὺς πάντες ἦσαν Κυμαῖοι, σεισμοῦ καὶ χαλάζης φοβερώτερον εἶναι τὸν ὄνον ἡγούμενοι. Cf. Apost. XVI, 51.

19ᵇ. Arsen. XLVIII, 96. IX, 72: Stob. Flor. 4, 64. Max. Conf. Serm. 18, p. 589 Comb. Plut. fr. 67 Wytt.

19ᶜ. Arsen. XLVIII, 96: Menand. Monost. 500.

20. Arsen. XLVIII, 98. τὰ — γλώττης] Suid. s. τὰ τρία τά. Usurpavit Alexis ἐν Αἰπόλοις, ut Suid. l. c. tradit: fr. I, p. 385 Mein. ἄλλοι κτλ.] Suid. s. τὰ τρία τῶν: Zenob. VI, 11. DV III, 40.

21. Suidas: Arsen. XLVIII, 99. App. Provv. IV, 86. Aristarchi sententiam explicare studet Lobeckius in Actt. Sociel. Gr. T. II, 318. Ἀφροδίσιος κτλ.] Apost. IV, 56.

21ª. Arsen. XLVIII, 100: Stob. Flor. 109, 9.

21ᵇ. Arsen. XLIX, 1: XXVI, 30: Stob. Flor. 112, 1. Men. fabb. inc. fr. 127 Mein.

22 *Ταυροπόλας Ἀρτέμιδος ταχύτερος:* ὡς γὰρ ταῦρος περίεισι πάντα· οὕτως Ἀπολλόδωρος. Ἴστρος δέ, ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἔκτεινε· καὶ ἡ Ἀθηνᾶ δὲ ταυροπόλος ἐν Ἄνδρῳ. ὁ γὰρ Ἄνιος δοὺς ταῦρον τοῖς Ἀτρείδαις, ἐκέλευσεν, ὅπου ἂν ἐκ τῆς νεὼς ἅληται ἱδρύσασθαι Ἀθηνᾶν· οὕτως εὐπλοήσειν. ὁ δ' ἐν Ἄνδρῳ ἐξήλατο.

Τὸ τ̃ μετὰ τοῦ ε̃.

23 *Τελενίκου πενέστερος:* ὅθεν καὶ τὸ κενῶσαι τελενικῆσαι λέγουσιν οἱ Σερίφιοι ἀπὸ τούτου, ὡς τὸ εἰκός, πένητος παντελῶς· λέγεται καὶ Τελενίκιος ἠχὼ μεταφορικῶς. ἀπὸ τῶν ἀγγείων τῶν μὴ ἐχόντων ἔνδον τι.

24 *Τελμισσεῖς οἰκοῦσιν ἐν Καρίᾳ:* ἀντὶ τοῦ δοῦλοι παροικοῦσι δούλοις καὶ πένησι πένητες· ἀπέχοντες στάδιον Ἁλικαρνάσου, ὡς Πολέμων. Τελμισσὸς δὲ πόλις ἐν Λυκίᾳ ἀπὸ Τελμισσοῦ τοῦ Ἀπόλλωνος καὶ μιᾶς τῶν Ἀντή-

---

1. *Ταυροπόλας — γὰρ*] *Ταυροπόλον* [*Ταυροπόλαν* cod. Suidae Mediceus: *Ταυροπόλου* Z]. *τὴν Ἄρτεμιν. ὅτι ὡς* Suidas. 2. *οὕτως*] *ὡς* idem. *δὲ*] *δ' ἐν τρίτῳ Ἀτάκτων* idem. 4. *ἔκτεινε*] *ἐξοίστρησεν ἐπὶ πᾶσαν γῆν. οἱ δ' ὅτι ἔβαλε, διὸ καὶ ταυροβόλον* idem. *ταυροβόλος* idem. 5. *Ἀνιὸς* Z, *Ἄνιὸς* A: de accentu monuit Meinekius Anal. Alex. 16. 6. *ἅλληται* idem. *καὶ οὕτως* idem. 7. *ἐξήλλατο* Z. 9. *Τελενίκου — τούτου*] *Τελενικῆσαι* [*τελενικίσαι* Phot., Etym. M.]. *ἐν Σεριφίοις* [recte Hemsterhusius *Κρατίνου* adiecit]. *ἀπὸ Τελενίκου τινός*, Suidas, cuius sensum non cepit Apostolius. 11. *λέγεται καὶ*] *καὶ λέγεταί τις* Suidas. *μεταφορικῶς κτλ.*] *ἐκ μεταφορᾶς ἀπὸ τῶν κενῶν ἀγγείων* Suidas. 13. *Τελμισσεῖς — στάδιον*] *Τελμισσεῖς* [scribe *Τελμησσῆς* vel *Τελμησῆς*: cf. G. Dindorfius ad Arist. Frr. p. 186. Bernhardius ad Dion. Perieg. 859.]. *οὗτοι οἰκοῦσιν ἐν Καρίᾳ, ἀπέχοντες ξ' στάδια* Suidas.

22. Arsen. XLIX, 2. *ὡς κτλ.*] Suid. s. *Ταυροπόλον*: Phot., Etym. M. 747, 52. Philem. Gramm. 153 Os. *Ἀπολλόδωρος*] T. I, p. 402 Heyn. *Ἴστρος*] fr. 8 Muell. Vocis *ταυροπόλος* originationem expendunt Boeckhius ad Corp. Inscr. Gr. T. II, p. 89. Lobeckius ad Soph. Aiac. 172. De Anio dixit Heynius in Excurs. I ad Verg. Aen. III, p. 559.

23. Suidas: Arsen. XLIX, 3: Phot., Etym. M. 751, 5: Hesychius: *τελενικῆσαι* [sic]: *ἀντὶ τοῦ, μὴ κενὸν ποιῆσαι.* Grammaticorum explicationem iure reiecit Meinekius Com. Gr. Fr. II, 1, p. 139: Telenicus enim quum fuerit Phania apud Athen. XIV, 638 C auctore poeta futilis, consentaneum est v. *τελενικίσαι* idem esse quod Telenici instar carmina incondita atque inanium verborum plena componere. Eundem sensum *ἠχὼ Τελενίκιος* praebet.

24. Suidas: Arsen. XLIX, 4: Phot. Etym. M. 751, 26. Hesychius. *Πολέμων*] fr. 35 Prell., quem vide. De Telmisso vate admonuit Lo-

νορος θυγατέρων, ἡ ἐμίγη εἰς κύλικα μεταβαλών. διὸ καὶ τερατοσκόπον αὐτὴν ἐποίησεν, ὡς Διονύσιος ἐν Κτίσεσι.

25 *Τενέδιος ἄνθρωπος: Κύκνον τὸν Ποσειδῶνος, γενόμενον πατέρα Ἡμιθέας καὶ Τέννου, ἐπιγῆμαι τούτοις καὶ κατηγορηθῆναι τὸν Τέννην ὑπὸ τῆς μητρυιᾶς ὡς παιρῶντα αὐτήν· πεισθέντα δὲ Κύκνον εἰς λάρνακα βαλεῖν τὸν νεανίαν. ἑλομένης δὲ τῆς Ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ, ἑκατέρους κατεπόντωσεν· ἡ δὲ λάρναξ ἐπὶ τὴν πρότερον καλουμένην Λευκοφόρον ἠνέχθη, ὕστερον δὲ Τένεδον ἀπ' ἐκείνου· ὃς καὶ βασιλεύσας τῆς νήσου ἐνομοθέτησε τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πέλεκυν ἐπηρμένον, ὡς ἐλεγχθέντας παραχρῆμα ἀναιρεῖσθαι· ἀπὸ δὲ τοῦ φοβεροῦ θεάματος ἐκείνου λέγεσθαι Τενέδιος ἄνθρωπος. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις.*

26 *Τενέδιος συνήγορος: ἀντὶ τοῦ ἀπότομος· δύο γὰρ πελέκυς ἐν ἀναθήμασι τιμῶσι Τενέδιοι· καὶ παροιμία, Τενέδιος πέλεκυς. Ἀριστοτέλης μέντοι, ὅτι βασιλεὺς Τενέδιος μετὰ πελέκεως δικάζων τοὺς ἀδικοῦντας εὐθέως ἀνῄρει. ἢ ὅτι Ἀσερίνα τόπος ἐν Τενέδῳ, ἔνθα ποταμίσκος, ἐν ᾧ καρκίνοι τὰ χελώνια διηρθρωμένα ἔχοντες ἐπὶ πλοῖον*

---

1. *κύλικα*] *σκύλακα* Suidas. 2. *κτίσεσιν* A. 3. *ἄνθρωπος*] *ἡ Τενέδιος πέλεκυς* AZ addunt. 9. *Λεύκοφρυν* Suidas. 14. *δὲ*] *οὖν* idem. 16. *ξυνήγορος* Suidas. 17. *πελέκεις* idem. 19. *τὸν ἀδικοῦντα* idem. 20. *Ἀσσερίνα* idem: scr. *Ἀστέριον* cum Reinesio et v. nott. ad h. l. 21. *πλεῖον* Portus.

beckius Aglaoph. I, 269. *Διονύσιος*] est Chalcidensis.

25. Suidas: Arsen. XLIX, 5: Phot., Scholl. Ven. ad Hom. Il. *Α*, 38. Zenob. VI, 9: infr. 26. De Tenne dixit Strab. XIII, 1, 46, p. 604, quem docte illustrant Potter ad Lycoph. Cass. 232 et Schneidewinus ad Heracl. Polit. p. 64. *ἀπ' ἐκείνου*] Schol. Ven. ad Hom. Il. *Ω*, 544: *Μάκαρος ἕδος ἡ Λέσβος ... καθὰ καὶ ἡ Λεύκοφρυς Τένου ἕδος, ὅθεν εἰς Τένεδον σύγκειται. ἐπὶ τῶν κτλ.*] Eustath. ad Dion. Perieg. 536: *ἐπὶ τῶν αὐστηρὰ ψηφιζομένων ᾄδεται παροιμία.*

26. Suidas: Arsen. XLIX, 6. 7: Photius. *T. πέλεκυς*] Diog. VIII, 58, ad quem locum quae scripsi, correcta atque aucta sunt a Schneidewino ad Heracl. Polit. p. 66: add. Macar. VIII, 7. Apost. VIII, 27. Siebelis ad Pausan. X, 14, 2. *Ἀσερίνα*] Plut. de Pythiae Orac. 12, p. 399 F: *καὶ Τενέδιοι [sc. ἀναθεῖναι λέγονται] τὸν πέλεκυν ἀπὸ τῶν καρκίνων τῶν γινομένων περὶ τὸ καλούμενον Ἀστέριον παρ' αὐτοῖς· μόνοι γάρ, ὡς ἔοικεν, ἐν τῷ χελωνίῳ τύπον πελέκεως ἔχουσι*, quibuscum cf. Hesych. s. *Ἀστέριοι, οἱ πρῶτοι τὴν Τένεδον κατοικήσαντες.* Quo sensu ponatur, declarat Hesych.: *Τενέδιον βέλος, ἀντὶ τοῦ Τενέδιος πέλεκυς. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀποτόμως τι πραττόντων.* Alludit Alciph. Epist. III, 69: *ἐγὼ δὲ τὴν φλυαρὸν γλῶτταν ἀποτέμνειν*

καὶ πελέκει. τοὺς μοιχοὺς ἄμφω καρατομεῖν καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησε τοῦτο. καθ' ὃ καὶ ἐν τῷ νομίσματι ἐφ' οὗ μὲν πέλεκυς, ἐφ' οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος. οἱ δ' ὅτι γεννῆσαι ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς, μετὰ πελέκεως τὰς φονικὰς ἔκρινε δίκας.

27 Τερεβίνθου ἀνοητότερος: ἐπὶ τῶν μωρῶν καὶ ἀναισθήτων· ἔστι δὲ τερέβινθος ὁ δρῦς.

28 Τερμέρια κακά: τὰ μεγάλα· τερμία γὰρ ἡ ἡμέρα, ἐφ' ἧς μέλλει τὸ τέρμα τοῦ βίου εὑρήσειν.

29 Τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτ' ἐστὶν οὔτε μήποτε γένοιτο: ἐξ ἀποφθέγματος.

30 Τέρμα δ' ὁρᾶν βιότοιο, Σόλων ἱεραῖς ἐν Ἀθήναις.

31 Τερθρείᾳ συζῇς: ἀντὶ τοῦ φλυαρίᾳ· οἱ δέ φασι λεπτολογίᾳ· ἔστι γάρ τι σχοινίον ἐν τοῖς πλοίοις λεπτόν,

27a Τέκνα μάθε τίκτειν, οὐ τὰ γηροβοσκήσαντα τὸ σῶμα, τὴν δὲ ψυχὴν θρέψοντα τῇ ἀϊδίῳ τροφῇ:. Πυθαγόρου.

27b Τέκνον μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς,
ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα,
τέκνον, ὑπὸ ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην,
εἰς φάος ἐρχομένου· λαρὸν δ' ἐπὶ χείλεσι πρώτη
μαστὸν ἐπισχομένη λευκῷ δέ σ' ἔλοισα γάλακτι:. Εὐφορίωνος.

---

1. πελέκει ἐμφερῆ· ἢ ὅτι βασιλεύς τις νόμον θεὶς πελέκει τοὺς Suidas. 4. γεννῆσαι ἃ] γεννῆσαια [sic] ἃ R: Τέννης δι' ἃ Suidas e Porsonis coniectura. 7. ἡ δρῦς Z. 8. τερμία κτλ.] Ds ignorat. γὰρ] Suidas om. 11. γένηται Plutarchus. 13. τερθρείᾳ — ἔστι] τερθρεία. ἡ λεπτολογία. ἔστι Suidas, Photius. συζῇ A. 14. σχοινίον] ἱστίον Schneiderus coniecit. 16. τὴν δὲ] τὰ δὲ τὴν Stobaeus. Πυθαγόρου Stobaeus om. 20. ἐς φάος Meinekius. 21. σ' ἔλοισα] σ' ἔψησα Stobaeus, σ' ἔψισα Meinekius.

ὀστράκῳ Τενεδίῳ τοῖς βουλομένοις ἕτοιμός εἰμι παρέχειν, ubi v. Wagnerus, cuius interpretatio confirmatur iis, quae ego de mistione proverbiorum ad Macar. VII, 83 disputavi.

27. Arsen. XLIX, 8. Suid. s. τερέβινθος: εἶδος δένδρου. ἡ δρῦς: meliora praebet Schneiderus ad Theophr. Opp. T. V, p. 522.

27ª. Arsen. XLIX, 9: Stob. Flor. 1, 25.

27ᵇ. Arsen. XLIX, 10: Stob. Flor. 78, 5. Euphor. fr. 51 Mein.

28. Diog. VIII, 24: Arsen. XLIX, 11. Macar. VIII, 8. τερμία κτλ.] Suid. s. τερμία: incogitanter hic ab Apostolio illata sunt. Spectant ad Soph. Oed. Col. 89, ubi v. Reisigium.

29. Plut. Apophth. Lacon. 233 B: Arsen. XLIX, 12. Respexit Plat. Phaedr. 260 E.

30. Anth. Pal. IX, 366, 6: Arsen. XLIX, 13.

31. Arsen. XLIX, 14. ἀντὶ κτλ.] Suid. Photius: auctiora habet Etym. M. 752, 47. λεπτολογίᾳ] videtur vox hoc sensu apud Pherecratem extitisse: Etym. M. l. c., Pherecr. fr. fabb. inc. 12 Mein.: add. Herodian. apud Piers. ad Moer. 443: ἐξονυχίζειν δὲ, τὸ λεπτολογεῖσθαι, ὅπερ καὶ τερθρείαν λέγουσιν. ἔστι —

ὃ καλεῖται τέρθριον· φασὶ δέ τινες τὰ ἄνω τρημάτια τοῦ ἐπὶ τοῦ ἱστοῦ ὀργάνου, ἀφ' οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία. οἱ δὲ ὅτι ἔθος ἦν τοὺς ἐφήβους μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας στρατεύεσθαι μέν, εἰ συμβαίη πόλεμος, μὴ μέντοι μετὰ τῶν ἄλλων, ἀλλ' ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης. διὸ τὴν στρατιὰν καλεῖσθαι τὴν ἐν τοῖς μέρεσι· σημαίνει δὲ τὴν ἀπάτην καὶ περιεργείαν.

32 *Τέττιγα τοῦ πτεροῦ ξυνείληφας*: ἐπὶ τῶν τὰ στόματα τῶν ἀθυρογλώσσων πυλούντων.

33 *Τέττιξ ἀκάνθιος*: ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων· οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες.

34 *Τετράδι γέγονας*: ἐπὶ τῶν ἄλλως πονούντων· καὶ γὰρ τὸν Ἡρακλέα τετράδι γεννηθέντα Εὐρυσθεῖ προσταλαιπωρῆσαι. Φιλόχορος δὲ αὐτὴν ἐπὶ Ἑρμοῦ δύνασθαι

---

1. τέρθρον Suidas. 2. ἐπὶ τῷ ἱστῷ Suidas. κεραία] addit Suidas: ἄλλοι δὲ τερθρείαν φασὶ τὴν φλυαρίαν [hanc vocis significationem Ruhnkenius ad Tim. Lex. VV. Plat. 252 et Piersonus ad Moer. Att. p. 364 Lugd. illustraverunt.]. καὶ τὴν ἐν τοῖς δύο μέρεσι καλουμένην μάχην. 6. στρατείαν Photius probante Kustero. 7. σ. καὶ ἀπάτη καὶ περιεργία Suidas. περιεργίαν Z. 12. ἄλλοις Suidas. 13. ταλαιπωρῆσαι idem. 14. Φιλόχωρος A. καὶ ἐπὶ A Suidas.

κεραία] Arist. Equitt. 440: τοὺς τερθρίους παρίει, ubi Schol.: οἱ ἔσχατοι κάλοι, οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται, οὕς, ὅταν ἐνδιδῷ τὸ πνεῦμα, πρώτους ἐκ πρῴρας χαλῶσι: Erot. Expos. Voc. Hippocr. p. 368 Fr.: οἱ περὶ ναῦν ἔμπειροι τερθρίους κάλους ἐπονομάζουσι τοὺς ἐπὶ τέλει τοῦ ἱστοῦ: add. Scholl. ad Apoll. Rhod. 1, 567. Hesych. s. τέρθρον et v. Schueiderus ad Vitruv. X, 2, 10. Confer etiam quae ad DV I, 88 notata sunt. οἱ δὲ — σημαίνει] aliter expedit Schol. ad Aesch. περὶ παραπρ. §. 168: v. Boeckhius in ind. schol. univ. Berol. $18^{19}/_{20}$, p. 6 sq. σημαίνει κτλ.] Thom. Mag. 348 R.: τερθρεία δὲ ὁ μετὰ φλυαρίας τερατώδης λόγος: Hesych. s. τερθρεία: λογομαχία. ἀπάτη. φλυαρία. φληναφία: Philo de Cherub. §. 12, T. I, p. 146 fin. Mang.: ἐκείνοις … κατεσχημένοις ἀνιάτῳ κακῷ, τύφῳ ῥημάτων καὶ ὀνομάτων γλισχρότητι καὶ τερθρείαις ἐθῶν, ἄλλῳ δὲ οὐδενὶ τὸ εὐαγὲς καὶ ὅσιον παραμετροῦσιν.

32. Arsen. XLIX, 15. Lucian. Pseudolog. 1: τὸ δὲ τοῦ Ἀρχιλόχου [fr. 132 Bergk.] ἐκεῖνο ἤδη σοι λέγω, ὅτι τέττιγα τοῦ πτεροῦ συνείληφας· … ἐκεῖνος [Archilochus] τοίνυν πρός τινος .. ἀκούσας κακῶς, εἰκάζων ἑαυτὸν τῷ τέττιγι ὁ Ἀρχίλοχος φύσει μὲν λάλῳ ὄντι καὶ ἄνευ τινὸς ἀνάγκης, ὁπόταν καὶ τοῦ πτεροῦ ληφθῇ, γεγωνότερον βοῶντι: unde apparet Apostolii explicationem a vero aberrare: v. Huschkius de fabb. Archil. p. 13, cui add. Tzetz. Chiliad. VIII. 68: κἂν τις κατάσχῃ τοῦτον [cicadam] Μᾶλλόν ἐστι λαλίστερος. ὅθεν ἡ παροιμία· Τέττιγα λέγει τῶν πτερῶν δόξεις κατεσχηκέναι. Usurpatur a Theod. Hyrtac. in Boiss. Anecd. II, 427.

33. Arsen. XLIX, 16. Cf. Apost. I, 100a.

34. Suidas: Arsen. XLIX, 17. Zenob. VI, 1. Φιλόχορος] fr. 177

λέγεσθαι. διατεθεῖσθαι δὲ Ἡρακλεῖ τὴν ἡμέραν ἐν ταύτῃ εἰς θεοὺς μεταστάντι.

35 Τεττάρων ὀβολῶν ἄξιος: ὁμοία τῇ ταρτημορίου ἄξιος· ἤτοι διχάλκου· ἐπὶ τῶν οὐ πολλῆς τιμῆς ἀξίων.

36 Τέττιγος τρόπον: ἐπὶ τῶν ποιούντων ἃ μὴ ὠφελοῦσιν αὐτούς, ἐώντων δὲ τὰ ὠφελοῦντα:. Ἐγὼ δὲ εἶδον καὶ τέττιγας εἴροντάς τινας καὶ πιπράσκοντας ἐπὶ δεῖπνον· τὸ γάρ τοι ζῷον τὸ πάμβορον τοῦτο οὐδὲ ὑμῶν φείδεται, ἀλλὰ καὶ ὑμᾶς ταρίχους ἐργάζεσθαι τολμῶσι καὶ

34a Τέττορες αἰτίαι τὰ σύμπαντα περαίνοντι, καὶ ἐπὶ τέλος ἐπιτίθεντι φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα· καὶ τῶν μὲν ἐξ ἄθεος ποτὶ συμφωνίαν πολιτικῶν φερόντων νόμος ἐπιστάτης καὶ δημιουργός· τῶν δὲ διὰ φρονήσιος ἀνθρωπίνας τελεθόντων τέχνα λέγοιτο δικαίως μάτηρ δὲ καὶ ἡγεμὼν ἦμεν· τῶν δὲ εἰκᾶ τε καὶ ὡς ἔτυχεν ἀπὸ τοῦ αὐτομάτου ὁμοίως μεταπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς τύχαν τῶν τοιούτων αἰτίαν φάσκομες. ταύταν δ' οὔτ' ἐν μέτρῳ οὔτ' ἐν ὅρῳ τέταγμέναν καὶ πεφρονηκυῖαν ἕκαστα ποιεῦν:. Ἀρχύτου τοῦ Ταραντινοῦ ἡ γνώμη.

35a Τέττιγας ἐσθίεις: ἐπὶ τῶν διὰ λιχνείαν καὶ τὰ οὐδενὸς ἄξια ἐσθιόντων.

---

3. ἄξιος Suidas om. ὁμοία — διχάλκου] Suid. s. τεταρτημόριον: δίχαλκον. ὁ γὰρ χαλκοῦς ὄγδοον τοῦ ὀβολοῦ. καὶ τεταρτημόριόν τινα καλοῦσιν, οἷον διχάλκου ἄξιον. τεταρτημορίου ARZ. 4. οὐ Suidas om. Addit Suidas in fine locum e Iuliani Epistolis desumptum, de quo v. Apost. XVI, 44g. 5. τρόπον] addendum fortasse ᾄδων: cf. Macar. VIII, 12. 7. εἴραντας As. 8. δεῖπνον, καὶ μάλα γε ἐδείπνει As. τοι] τι A. πάμβροτον R. 9. ἐργάσασθαι As. 12. πολιτικὰν Stobaeus. 13. φρονάσιος idem. 15. ποτιπιπτόντων idem. 16. φασοῦμες idem. 17. πεφρονημένως idem. 18. ποιεῦν] Stobaeus adiicit: γενναθεῖσα δὲ, ἃ ἐξ αὐτῶν τῶ γένεος ἄμφω κινεῖται. Ἀρχύτου — γνώμη] Διωτογένους Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότητος Stobaeus. 20. ἐσθιόντων] huic proverbio A addit Aeliani locum, quem infr. 36 legimus.

Muell. Dixit de proverbio Dryander de Antiph. Vit. p. 23 sqq.

34a. Arsen. XLIX, 18: Stob. Flor. 43, 130.

35. Suid. s. τεττάρων et s. τεταρτημόριον: Arsen. XLIX, 19. Simile confert Eustath. ad Hom. Il. *I*, 378, p. 757, 32: τὸ δέ γε ὀλίγου τινὸς τιμᾶσθαί τινα καὶ ὀβολοῦ τιμᾶσθαι οἱ ὕστερον ἔλεγον Ἀττικοὶ καὶ τοιαῦτα τινά: quo tendit etiam Suid. s. τοῖς πολλοῖς τοὐβόλου: τουτέστι τοῖς εὐώνοις, quod ad Arist. Equitt. 951 spectat, ubi v. Scholiastam.

35a. Arsen. XLIX, 20. Aptiorem explicationem petes ex Liban. Oratt. T. I, p. 401 R.: τί δὴ θαυμαστὸν εἰ σωμάτων ὀλιγώρηται κάλλος, ἐν τεττίγων μὲν τροφῇ, λόγων δ' ἀπεργασίᾳ, θεῶν δὲ συνουσίᾳ, πόνῳ δὲ συνεχεῖ. Locustas a veteribus esitatas ex Athen. IV, 133 aliisque Bochartus Hieroz. III, 329 docet.

36. Fluxit ex Aesopi fab. 195. 198 Fur. Cf. Macar. VIII, 11. Ἐγὼ κτλ.] Aelian. N. An. XII, 6.

ἐσθίειν ὑμῶν τῶν τεττίγων ἀφειδῶς ἔχουσι καὶ λελήθασιν ἑαυτοὺς ταῖς Μούσαις ταῖς Διὸς θυγατράσι ταῦτα ἄπο θυμοῦ δρῶντες.

37 *Τέττιγος εὐφωνότερος: ἐπὶ τῶν μελῳδούντων.*

38 *Τεττιγοφόρος εἶ: οἱ Ἀθηναῖοι τέττιγας ἐφόρουν χρυσοῦς, σύμβολον τοῦ γηγενεῖς εἶναι ἢ μουσικούς.*

39 *Τεττίγων ἀνάμεστοι: μωροὺς τοὺς τέττιγας παρέλαβεν Ἀριστοφάνης, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον ὅτι αὐτόχθονες οἱ Ἀθηναῖοι ὡς οἱ τέττιγες:. Ψυχροί τινες τὴν φύσιν οἱ τέττιγες· διὸ μετὰ θερινὰς τροπὰς ἀπάρχονται τῆς ᾠδῆς, καὶ ἡλίου ἀπερχομένου τὸν ἑαυτῶν μεθίασι κέλαδον ὥστε μεσημβρίας εἰσὶν ᾠδικώτεροι· τέττιξ γοῦν θήλεια, κατὰ πολὺ ψυχροτέρα τοῦ ἄῤῥενος, καὶ φύσις αὐτῇ τὴν σιωπὴν ἐγκελεύεται, ἐπίτασιν ἐντιθεῖσα ψυχρότητος· διὸ κώτιλλος τέττιξ οὐκ ἔνεστι θήλεια, ἀλλ' οἷά τις Θεανὼ σιωπῶσα τὰ ἄῤῥητα.*

---

1. *τῶν*] *καὶ* As. *κ. σφᾶς αὐτοὺς λελήθασι* omisso v. *ἑαυτοὺς* As. 2. *ἀπὸ* Z. 5. *τεττιγοφόρος — τέττιγας*] *τεττιγοφόροι. οἱ Ἀθηναῖοι. τέττιγας γὰρ* Suidas. 6. *ἢ μουσικοὺς* Suidas om.: Scholl. ad Hermog. T. IV Rhett. Gr. p. 79 W.: *σύμβολον δ' ἦν αὐτοῖς ὁ τέττιξ τοῦ εἶναι αὐτόχθονας καὶ μουσικοὺς τῷ τέττιγα καὶ αὐτόχθονα εἶναι καὶ μουσικόν*: add. Scholl. ad Arist. Nub. 980. 7. *μωροὺς* recte a Suida abest. 10. *εἰσιν οἱ* Suidas. *ὡς καὶ* idem. 12. *ἑαυτῶν*] *ἡδυμελῆ* Theophylactus. *μετίασι* Boissonadus. 13. *ὥστε*] *ὥρᾳ τε* Theophylactus. 14. *οὖν* idem. 16. *κωτίλος* idem. *ἔστι* idem. 17. *ἄῤῥητα*] *ὥσπερ Ὁμήρῳ μοι δοκεῖ πειθαρχεῖν μῦθος ἄνδρεσσι μελήσει διδάσκοντι* Theophylactus addit. Quod in fine Z adiecit *Πλουτάρχου*, in erro-

37. Arsen. XLIX, 21. In quem hoc dicitur proverbium, is omni cumulatur laude, quum Musae ipsae cicadis cantum donasse ferantur, ut Plato narrat Phaedr. 259. Hinc Theocr. Id. A, 148: *τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις*: Himer. Eclog. p. 198: *ἐνίκησα μὲν ὑπό σοι κριτῇ κατὰ τὴν θερινὴν ὥραν τὸν τέττιγα*: Greg. Naz. Carm. 13, 7, p. 86 Colon.: alia indicant Wernsdorfius ad Himer. l. c., Iacobsius Ann. ad Anth. I, 1, p. 121. Astius ad Plat. Phaedr. 259 A. Nec alienum ab hoc loco erit de auxilio monere, quod in certamine musico cicada Eunomo Locrensi tulit: v. Phot. Patr. Epist. 93.

38. Suidas: Arsen. XLIX, 22: Photius: similia inveniuntur in Scholl. ad Arist. Eq. 1331, Thuc. I, 6. Hermog. T. IV. Rh. Gr. p. 70. 79 W., in Eustath. ad Hom. Il. *Γ*, 150, p. 395, 35 et Tzetz. in Cram. Anecdd. Oxon. III, 351. *Γηγενὴς* cicada audit in Anacreont. 35, 16 Bergk.: de cuius epitheti sensu atque origine quaerit Lobeckius Aglaoph. I, 169.

39. Arsen. XLIX, 23. *τεττίγων — τέττιγες*] Suidas. Arist. Nub. 980, ubi v. Scholia. *Ψυχροὶ κτλ.*] Theoph. Simoc. Dial. c. 13, ubi v. Boissonadus. *κωτίλος*] unde proverbium natum *τέττιγος λαλίστερος*, de quo exponit Tzetz. Chil. VIII, hist. 169. Add. Arist. Av. 39.

40 *Τευτάζειν βούλει τὸν ἄνθρωπον:* ἀντὶ τοῦ σκευωρεῖσθαι. ὁ δὲ Πλάτων ἀντὶ τοῦ πραγματεύεσθαι· οἱ δὲ ἀντὶ τοῦ στρατεύεσθαι καὶ πολὺ διατρίβειν· Δίδυμος δὲ ἀντὶ τοῦ φροντίζειν· Λυκόφρων ἀντὶ τοῦ ἐπιστρεφῶς τι πράττειν ἐκλαμβάνει. σημαίνει καὶ τὸ σπουδάζειν καὶ ἡσυχάζειν.

41 *Τέφραν φεύγων εἰς ἀνθρακιὰν ἔπεσεν:* ἐπὶ τῶν ἀπὸ ἡττόνων χείροσι περιπεσόντων κακοῖς.

42 *Τευμησία ἀλώπηξ καὶ κύων:* περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκανῶς ἱστορήκασι, καθάπερ Χρηστόδημος· ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδμείοις, διότι τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι τὸν Δηΐονος, Ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον, ὃν οὐδὲν διέφευγε τῶν θηρίων· ὃς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρόκριν, καθηράντων αὐτὸν τῶν Καδμείων· διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός· καταλαμβανομένους δὲ περὶ τὸ Τευμισὸν λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα.

39a *Τελευτησάντων τῶν φίλων θρηνεῖν μὲν οὐκ εὐγενές, προνοεῖν δὲ τῶν οἰκείων, ἐπιμελές:.* Κλειτάρχου.

39b *Τετρὰς καὶ νουμηνία:* ἐπὶ τῶν φύσει ἀργῶν.

---

rem induxit Iacobsium in ann. ad Aelian. N. An. I, 20: ex Plutarcho in hoc loco nihil ductum esse iam Wyttenbachius ad Plut. V, 3, p. 904 perspexerat.

3. *στραγγεύεσθαι* Suidas: eandem fere scripturae discrepantiam in DV II, 82 vidimus. *διατρίβειν ἐν τῷ αὐτῷ. Λυκόφρων οὕτω, καὶ Δίδυμος προςθείς, ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. Ἡρακλέων δὲ καταμεμψάμενος Λυκόφρονά φησιν εἶναι τὸ ἐπιστρεφῶς τι πράττειν* Suidas. 9. *Τελμησία* Z. *ἀλώπηξ κ. κ.*] Suidas ignorat. *Τελμησίας* Z. 11. *Ἀριστόδημος* Suidas: de corrupta Apostolii lectione monuerunt Fabricius B. Gr. T. VI, 359 Harl., Valckenarius ad Scholl. Eurip. Phoen. 1120. Ungerus l. c. 400. 14. *Δηΐονος* Suidas. 17. *μετὰ* N om. 18. *τὸν Τευμησόν* Suidas. *ἀλώπεκα*] Suidas addit: *εἰλήφασι δ᾽ οὗτοι τὸν μῦθον ἐκ τοῦ ἐπικοῦ κύκλου.*

39a. Arsen. XLIX, 24: Anton. Mel. 135, p. 214 Fabr.

39b. Arsen. XLIX, 25: Macar. VIII, 9.

40. Arsen. XLIX, 26. *ἀντὶ κτλ.*] sunt e Suida s. *τευτάζειν* neglegentissime excerpta: cum Suida consentiunt Phot. et Etym. M. 755, 38: differunt, sed tamen ita, ut ex eodem fonte derivata esse appareant, Scholl. Plat. 383 Bekk. *Πλάτων*] et comicum et philosophum Suidas citat: v. Xantr. fr. 2 Mein., Ruhnkenius ad Tim. Lex. VV. Plat. 253. Stallbaumius ad Plat. Phileb. 56 E.

41. Arsen. XLIX, 27. Cf. Apost. XI, 37. Macar. VIII, 42.

42. Suidas: Arsen. XLIX, 28; Photius: Hesych. Etym. M. 755, 54. Steph. Byz. s. *Τευμησσός*. Macar. VIII, 13. Fabulam exposuit Ungerus Thebaic. Parad. I, 399.

43 *Τείχη Σεμυράμιδος: καί· Τείχη Ἱεριχούντια:* ἐπὶ τῶν ἀσφαλῶν καὶ δυσαλώτων ἢ θαυμαστῶν.

Τὸ τ̃ μετὰ τοῦ η̃.

44 *Τὴν Ἀκεσαίου σελήνην:* ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων· ἦν δὲ Νηλέως κυβερνήτης ὁ Ἀκεσαῖος.

44a *Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία:.* Ἀπολλωνίου Μακεδόνος τὸ ἀπόφθεγμα.

44b *Τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον, ἥνπερ νομοθετοῦντας:.* Λυσίου ἡ ὑποθήκη.

44c *Τήμερον οὐδεμίαν γραμμὴν ἤγαγον:* ἐπὶ τῶν ἀμελούντων τῆς σπουδῆς καὶ τῆς ἑαυτῶν τέχνης· τοῦτο Ἀπελλῆς ὁ ζωγράφος εἴρηκεν.

44d *Τῆς ῥινὸς ἕλκῃ:* Λουκιανός· οὐδὲν κωλύσει τῆς ῥινὸς ἕλκεσθαι ὑπὸ πάντων.

44e *Τῇ δὲ νῦν τύχῃ*
βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,

---

1. *Σεμιράμιδος* Z. 5. *Νείλεω* Suidas, *νειλέως* Photius. 6. *Ἀπολλωνίου Μακεδόνος* Z, *Ἀπολλω^ν μακε^δ* A, *Ἀπολλώνιος Μακεδόνι* Stobaeus. 9. *ἡ ὑποθήκη* Ab om. 13. *σε τῆς* Lucianus. 14. *ὑπὸ π.*] *ὑφ' ἑκάστων* idem.

43. Arsen. XLIX, 29. Suid. s. *Ἱεριχώ. ὄνομα πόλεως. καὶ Ἱεριχούντια τείχη, διὰ τοῦ ῑ. Σεμιράμεια δέ:* id. s. *Σεμιράμεια*, Zonar. 1637. Herod. Epimer. 122 Boiss. idem praeceptum tradunt. Artificiosissimum Semiramidis opus memorant Theocr. Id. 16, 100, ubi v. intt., et Dio Chrysost. Or. 64, T. II, p. 339 R.: proverbii vero speciem magis praestat Synes. Epist. 4, p. 162 D: *παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε, . . . σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος τὸ Σεμιράμιδος*: add. Paul. Silent. in Anth. Pal. V, 252, 3: *Σεμιράμιδος γὰρ ἐκεῖνο Τεῖχος ἐμοὶ δοκέει λεπτὸν ὕφασμα σέθεν*: Nicet. Eugen. VI, 680. Etiam Babylonis moenia, quae inter septem mundi miracula celebrantur [v. Pasinus Catal. Codd. Taurin. T. I, p. 73] in proverbium abiere: Aristid. *ὑπ. τ. τεττ.* 192 Iebb.: *τί πλέον τοῦ τείχους ἦν, εἰ καὶ σεμνότερον τοῦ τῶν Βαβυλωνίων ἐστάθη καὶ πάσης κρεῖττον μηχανῆς*: Max. Tyr. Diss. 27, 3, p. 36 R.: add. Apost. XVIII, 59ⁱ. *Ἱεριχ. τείχη*] Greg. Naz. Or. 40, p. 707 C: *ἱερέας, ἐξ ὧν τὰ Ἱεριχούντια τείχη κατασείεται*, quem locum Ioannes Sicel. in Walzii Rh. Gr. T. VI, p. 219 explicat.

44. Suidas: Arsen. XLIX, 30. Photius. Apost. I, 90.

44a. Arsen. XLIX, 31: Stob. Flor. 20, 49. Est Apollonii Tyanensis epistola ad Macedonem: v. Olearius ad Philost. Ep. 86, p. 409.

44b. Arsen. XLIX, 32. VIII, 95: Stob. Flor. 46, 17. Hoelscherus de V. et fr. Lys. p. 216.

44c. Arsen. XLIX, 33. Plin. N. H. XXXV, 10, 84: *Apelli fuit alioqui perpetua consuetudo numquam tam occupatum diem agendi, ut non liniam ducendo exerceret artem, quod ab eo in proverbium venit.*

44d. Ars. XLIX, 34. *οὐδὲν κτλ.*] Lucian. Hermot. §. 68.

44e. Arsen. XLIX, 35: Eur. Heracl. 863.

45 *Τὴν παρεοῦσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;*

46 *Τὴν χεῖρ' ἐπιβάλλει:* ἐπὶ τῶν μετεχόντων ἀρίστων καλῶν· ἔθος γὰρ εἶχόν τινες ἄλλων θυόντων συνεφάπτεσθαι τῆς θυσίας καὶ κοινωνεῖν· καὶ Αἰσχίνης δὲ ἔφη· Γινώσκειν ὥσπερ τοὺς ἐφαπτομένους τῶν ἱερῶν.

τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
θανόντ' ἴδῃ τις, ὡς ἐφήμεροι τύχαι:. Εὐριπίδου Ἡρακλειδῶν.

44f *Τῆς δὲ ταλαίνης νύμφης,* ὡς Μεγαρέων, οὐ λόγος οὐδ' ἀριθμός:. Καλλιμάχου.

44g *Τὴν παῤῥησίαν* τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν τὸ λεγόμενον.

44h *Τῆς τύχης σκοπεῖν* δεῖ τὸ μέγιστον ὡς ἔλαττον,
καὶ τὸ μὴ παρὸν μὴ θέλειν· οὐδὲ γὰρ σὸν ἐστίν.
ἀμφότερα μένειν οὐκ οἶδε· ἑστήκει γὰρ οὐδέν·
ἐὰν πλούσιος ὢν καθ' ἡμέραν σκοπῇς τὸ πλεῖον,
εἰς τοσοῦτον εἶ πενιχρός, εἰς ὅσον εἶ περισσός.
ὡς πένης θέλεις σχεῖν καὶ πλούσιος πλέον ἔχειν,
ἴσον ἔχουσιν αὐτῶν αἱ ψυχαὶ τὸ μεριμνᾶν:. Σωτάδου ἡ ὑποθήκη.

44i *Τῆς μὲν κακῆς* κάκιον οὐδὲν γίνεται
γυναικός· ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις:. Εὐριπίδου.

46a *Τῆς αὐτῆς κεραμίας:* ἐπὶ τοῦ ὁμοίου καὶ παραπλησίου.

---

4. *καὶ καλῶν* Z. 5. *γινώσκειν τῶν συμμάχων τοὺς συνεφαπτομένους ὥσπερ ἐν τοῖς σπένδουσι τῶν ἱερῶν* Aeschines. 9. *οὐδ'*] *οὔτ'* Callimachus. 15. *οἶδεν* Stobaeus. *ἕστηκεν* G. Hermannus El. D. M. 446. 16. *ἂν* idem. 18. *θέλων ἔχειν* idem. 19. *ἴσον* Stobaeus. Versus A non distinxit. 21. *γίγνεται* Stobaeus.

44f. Arsen. XLIX, 36: Callim. Epigr. 26, 4. Cf. Zenob. I, 48.
44g. Arsen. XLIX, 37: Iulian. Epist. 59. Cf. Apost. XVI, 35. Macar. VI, 19. App. Provv. V, 27.
44h. Arsen. XLIX, 38: Stob. Flor. 5, 32.
44i. Arsen. XLIX, 39: Stob. Flor. 69, 11. Eur. Melan. fr. 14 Matth.
45. Theocr. Id. XI, 75: Arsen. XLIX, 40. Scholl. ad Theocr. l. c.: *ὁ νοῦς· τί πρὸς ἀμηχανίαν τρέπει; Ἡσίοδος* [fr. 186 Goettl.]· *Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν τὰ* [dele articulum] *ἀνέτοιμα διώκει. Κατὰ τὴν παροιμίαν τοῦτο λέγει· τὸν θέλοντα βοῦν ἔλαυνε* [v. Mant. Provv. s. *τὸν θέλοντα*]. *ἤγουν, τὴν ἀγαπῶσάν σε φίλει.* Cf. Apost. XVI, 60b. 2a. III, 77b.
46. Arsen. XLIX, 41. *ἔθος — κοινωνεῖν*] cf. Diog. II, 39. Apost. IV, 40. *Αἰσχίνης*] de falsa legat. §. 84. Aliter explicat locutionem Eustath. ad Hom. Od. *I*, 288, p. 1630, 25: *δέδωκε δὲ ἀφορμὴν* [Homerus] *τοῖς ὕστερον λέγειν ἐπὶ βίας τό, χεῖρας ἐπέβαλε*: quo sensu exstat in Arist. Lysist. 440. Nub. 933. Lucian. Timon. 4.
46a. Arsen. XLIX, 42: Macar. VIII, 15.

47 *Τὴν ἐξούλης δίκην φεύγεις*: οἱ δίκῃ νικήσαντες, ὥςτε ἀπολαβεῖν τι χωρίον ἢ ἀγρὸν ἤ τι τοιοῦτον καὶ μὴ ἐώμενοι, ἀνέτρεχον εἰς δικαστήριον αὖθις καὶ εἰςῆγον δίκην, ἥτις ἐκαλεῖτο ἐξούλη. ἐξέλλειν γὰρ οἱ παλαιοὶ τὸ ἀπελαύνειν καὶ κωλύειν ἔλεγον. οἱ δὲ ἀπὸ τοῦ ἐξεῖναι τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων.

48 *Τὴν θύραν ἔχειν τετριμμένην ὥσπερ αἱ ποῖμναι*: ἐπὶ τοῦ ἀπανθρώπου καὶ ἀπροςπελάστου.

49 *Τὴν Χάρυβδιν ἐκφυγὼν, τῇ Σκύλῃ περιέπεσον*: ὁμοία τῇ· *Ἔφυγον κακὸν εὗρον ἄμεινον*:. Λέγουσι περὶ Σκύλης ὡς ἦν Τυῤῥηνία, θηρίον τι, γυνὴ

---

1. *οἱ δίκην*] Etymologicum. 2. *χωρίον — οἱ*] *χωρίον ἢ οἰκίαν, ἔπειτα ἐμβατεύειν κωλυόμενοι, ἢ ἐμβατεύσαντες ἐξελαυνόμενοι, δίκην εἰςάγουσι πρὸς τοὺς ἐξελαύνοντας, ἢ οὐκ ἐῶντας ἐμβατεύειν. καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται. εἴρηται δὲ ἀπὸ τοῦ ἐξέλλειν. οἱ γὰρ* Suidas. 4. *ἐξέλλειν ἔλεγον* idem. 6. *κτημάτων*] *κεκτημένων* Z. 7. *ἔχων τετρημένην* Suidas. 9. *Σκύλλῃ* Z. 10. *οὐχ εὗρον* Pantinus scribendum esse existimat. 11. *Σκύλλης* Z Ps. *ἐν Τυῤῥηνίᾳ* RZ Ps.

47. Arsen. XLIX, 43. Lemma e Demosth. or. in Mid. 543 R. depromptum esse videtur: *ἀλλὰ δίκην ἐξούλης ὑπομένει φεύγειν*. *οἱ δίκῃ — ἔλεγον*] Suidas: ex Lexico Rhetorico descripta esse Etym. M. 348, 48 testatur: reliquos veterum grammaticorum de vi atque originatione v. *ἐξούλη* locos excutiunt Hudtwalcker de diaetetis disp. 141 et Schoemannus de litt. Att. 749. *ἐξέλλειν*] de hac voce Hemsterhusius egit apud Ruhnkenium ad Tim. Lex. VV. Plat. 71 Lugd. *οἱ δὲ κτλ.*] ex Harpocr. s. *οὐσίας* p. 141, 21 imperitissime excerpta.

48. Suidas: Arsen. XLIX, 44. Diog. VIII, 56.

49. Arsen. XLIX, 45. Primum de Charybdi monebo. *Χάρυβδις* quum absorbeat omnia a se prehensa atque interimat: Etym. M. et Suidas: s. *Χάρυβδις*: . . *εἴρηται δὲ (Χάρυβδις) πᾶν τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον, οἱονεὶ εἰς χάος βαθὺ ὄν*: Scholl. ad Plat. p. 463 Bekk.: *εἴρηται δὲ παρὰ τὸ εἰς χάος ῥοιβδεῖν* [cf. Hom. Od. *M*, 104], *ὅ ἐστιν ἀναῤῥοφεῖν*: nomen veteres ad dirae rapacitatis homines transtulerunt: cibicidam ridens Cratinus *γαστροχάρυβδιν* dixit: Phryn. apud Bekk. Anecd. I, 33: unde profecit Diogenes Cynicus *τὴν γαστέρα Χάρυβδιν λέγων τοῦ βίου*, ut ait Diog. Laert. VI, 51: similia Schweighaeuser ad Athen. XI, 485 D. Abramius ad Cic. Philipp. II, 27, 67, Mitscherlichius ad Hor. Carm. I, 27, 19 atque in Racemat. Venus. fasc. IV, p. 3 contulerunt, quibus si adiiciuntur Philostr. Epist. 49, et Alciph. Epist. I, 6 de meretrice dicens: *ἄναλοτ Χαρύβδεως δίκην* et Nilus in Ioann. Damasc. Parall. Sacr. 13, T. II, 419 Paris.: *φιλήδονος καὶ φιλενδείκτης ὑπάρχων οὐ μακρὰν ἀφεστήκασι τῆς ταρταρείας Χαρύβδεως*, non multa opinor supererunt, quae valde desiderentur. Pergo ad Scyllam. Dicebant Scyllam mulierem voracem inprimisque rapacem: Anaxilaus Athen. XIII, 558 C: *ἡ δὲ Νάννιον τί νυνὶ διαφέρειν Σκύλλης δοκεῖ*: Liban. Oratt. T. I, 18 R.: *ἐπὶ καὶ Σκύλλης κεφαλὰς, ἢ εἰ βούλει γε, Σειρήνων δεινοτέρας γείτονας ἑταίρας μελῳδούσας, αἳ πολλοὺς ἐξέδυσαν, μάτην ᾀδούσας ἀπέφηνα*: v. Blomfieldus ad Aesch. Agam. gl. 1204, qui in eo tamen errat, quod Calli-

μὲν μέχρι τοῦ ὀμφαλοῦ, κυνῶν δὲ ἐντεῦθεν αὐτῇ προςπεφύκασι κεφαλαί· τὸ δ' ἄλλο σῶμα ὄφεως. τοιαύτην δὲ φύσιν ἐννοεῖν πολὺ εὔηθες· ἡ δὲ ἀλήθεια αὕτη· Τυῤῥηνίων νῆσοι ἦσαν, αἳ ἐλῄζοντο τὰ περίχωρα τῆς Σικελίας καὶ τὸν Ἰόνιον κόλπον· ἦν δὲ ναῦς τριήρης ταχεῖα τό τε ὄνομα Σκύλα· αὕτη ἡ τριήρης τὰ λοιπὰ τῶν πλοίων συλλαμβάνουσα πολλάκις εἰργάζετο βρῶμα, καὶ λόγος ἦν περὶ αὐτῆς πολύς· ταύτην τὴν ναῦν Ὀδυσσεὺς σφοδρῷ καὶ λαύρῳ πνεύματι χρησάμενος διέφυγε, διηγήσατο δὲ ἐν Κερκύρᾳ τῷ Ἀλκινόῳ, πῶς ἐδιώχθη καὶ πῶς ἐξέφυγε, καὶ τὴν ἰδέαν τοῦ πλοίου· ἀφ' ὧν προςανεπλάσθη ὁ μῦθος.

49a *Τὴν αὐτοῦ σκιὰν δέδοικεν*: *ἐπὶ τῶν σφόδρα δειλῶν.*

49b *Τὴν ἀμίδα σανδάλῳ ἐπιφράττεις*: *ἐπὶ τῶν μικροῖς μεγάλα ἐπιχειρούντων.*

49c *Τὴν ἀπὸ Σκυθῶν ῥῆσιν*: *ἐπὶ τῶν ὠμῶς καὶ περιφανῶς ἀποκρινομένων· τοιοῦτος γὰρ ἦν ὁ Ἀνάχαρσις, Σκύθης ὤν.*

---

3. *Τυῤῥηνῶν* Ps. 6. *Σκύλλα* Z Ps. 8. *φορῷ καὶ λάβρῳ* Ps. 12. *δειλοτάτων* L. 15. *περιφανῶς*] scribe *ὑπερηφάνως* ex Macario.

machi versum ad Scyllam Nisi filiam pertinentem huc trahit: v. Etym. M. s. *ψίθυρ* et Naekius Opusc. T. II, p. 61. Recessit ab hoc usu Synesius Ep. 4, p. 162 quum scriberet: *ἄρας ὅλοις ἱστίοις ἠξίου πλεῖν εὐθὺ Ταφοσίριδος καὶ ἀπεπειρᾶτο τῆς Σκύλλης, ἣν ἐν τοῖς γραμματίοις ἀποτροπιαζόμεθα*, ubi v. Petavius: add. Iacobsius Opp. Omn. T. IV, 368. Sed Scyllae et Charybdis periculosa vicinitas quum inde ab Homero [Od. *M*, 235] in omnium ore versaretur, variae inde dictiones ad proverbii speciem a scriptoribus adornatas pullularunt: Liban. Epist. 658: *ἀνάγκης δὲ οὔσης ἀνασχέσθαι θάτερα, τῇ Σκύλλῃ συμπλέκεται μᾶλλον ἢ τὸ σκάφος ἐπὶ τὴν Χάρυβδιν ἄγει*: Poeta incert. in Cram. Anecdd. Paris. IV, 288, 1: *ἐγγύθι τῆς Σκύλλης χαλεπὴ παρέστηκε Χάρυβδις*: add. Greg. Nazianz. Carm. 61, 148, p. 143 Colon., eiusd. Oratt. III, p. 92 D, Eustath. Opusc. 305, 80: nullum vero exemplum propius ad Apostolii proverbium accedit quam versus Latinus: *incidis in Scyllam, cupiens vitare Charybdin*, quo primus quantum scio Gualtherus in Alexandr. V, 301 usus est: similiter Petrus de Riga in historia Susannae nondum edita: *Sirtes incurrit, fugiens mea cymba Charybdin*, qui colorem fortasse ex Cicerone duxit: Orat. III, 41, 163: *Syrtin patrimonii scopulum libentius dixerim: Charybdim bonorum voraginem potius*: or. in Verr. II, 5, 56, 146: *non enim Charybdim tam incertam neque Scyllam nautis, quam istum in eodem freto fuisse arbitror.* *ὁμοία — ἄμεινον*] Apost. VIII, 16: add. Macar. VIII, 42. Apost. XVI, 41, nec non Posidippum eleganter eandem fere sententiam profitentem apud Athen. XIV, 662: A: *ἐκ τοῦ πυρὸς Εἰς τὰς μαχαίρας ἦλθον*: denique Horatium Serm. I, 2, 24: *dum vitant stulti vitia, in contraria currunt.* *Αἴγουσι κτλ.*] Palaeph. *π. ἀπ.* 21.

49a. Arsen. XLIX, 46: Greg. Cypr. L III, 18.

49b. Arsen. XLIX, 47.

49c. Arsen. XLIX, 48. Cf. Diog. Laert. I, 101. Macar. VIII, 22. Apost. VIII, 39.

50 *Τὴν ἀρχὴν οὐ δυνήσῃ τῷ τέλει συνάψαι:* ὁ μὲν Ἀλκμαίων τοῦτ' ἔφη, τὸ τοὺς ἀνθρώπους ἀπόλλυσθαι μὴ δυναμένους τὴν ἀρχὴν τῆς ζωῆς τῷ τέλει προσάψαι· κύκλος γὰρ ἂν ἦν· ἐγὼ δ' ἐπὶ τῶν ἡμιτελῆ ἢ ἀτελῆ ἔργα ποιούντων.

51 *Τὴν ἡμέραν πᾶσαν σήθῃ, ὃς οὐ βούλεται ζυμῶσαι.*

52 *Τὴν λεοντῆν ἐνδύου:* ἴσον τῷ γεννιάζου.

53 *Τὴν ἅλμην κυκᾷς, πρὶν τοὺς ἰχθύας ἑλεῖν:* ἐπὶ τῶν πρὸ πολλοῦ παρασκευαζομένων.

54 *Τῆς μητρὸς ὡς αἶξ καλεῖται:* οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπωλίοις ἀπὸ τῶν μητέρων γνωρίζονται· ἀπὸ πατέρων γὰρ ἀδύνατον.

55 *Τὴν καθ' ἑαυτὸν ἔλαυνε:* ἀντὶ τοῦ ἴσαις ὁμίλει. τίς γὰρ Πιττακὸν ἤρετο βιαζόμενος ὑπὸ δυὸ γυναικῶν, τῆς

---

1. *τὴν ἀρχὴν — ποιούντων*] *τοὺς γὰρ ἀνθρώπους φησὶν Ἀ. διὰ τοῦτο ἀπόλλυσθαι, ὅτι οὐ δύνανται τὴν ἀ. τῷ τ. πρ., κομψῶς εἰρηκώς, εἴ τις ὡς τύπῳ φράζοντος αὐτοῦ ἀποδέχοιτο καὶ μὴ διακριβοῦν ἐθέλοι τὸ λεχθέν. εἰ δὴ κύκλος ἐστί, τοῦ δὲ κύκλου μήτε ἀρχὴ μήτε πέρας, οὐδ' ἂν πρότεροι εἶεν τῷ ἐγγυτέρω τῆς ἀρχῆς εἶναι, οὔθ' ἡμεῖς ἐκείνων οὔτ' ἐκεῖνοι ἡμῶν* Aristoteles. 5. *σήθει* Z. 7. *γενναΐζου* Suidas. 8. VV. *τὴν ἅ. κυκᾷς* in Diogeniano post v. *ἑλεῖν* posita sunt. 11. *αἰπολίοις* Suidas. 13. *κατὰ σαυτὸν* Suidas. 14. *τίς — ἤρετο*] differt paullum Scholiasta. *τῆς μὲν* Scholiasta.

50. Arsen. XLIX, 49. Ex Aristot. Problem. 17, 3. De sensu dicti Unna in Petersenii Diss. histor. et philos. I, 71 sqq. disputavit.

51. Arsen. XLIX, 50.

52. Suidas: Arsen. XLIX, 51. Veteres proverbium ab Hercule apud Omphalen degente derivare solent: Plut. an seni sit resp. ger. 4, p. 785 E: *ἢ καθάπερ ἔνιοι τὸν Ἡρακλέα παίζοντες οὐκ εὖ γράφουσιν, ἐν Ὀμφάλης κροκωτοφόρον ἐνδιδόντα Λυδαῖς θεραπαινίσι ῥιπίζειν καὶ παραπλέκειν ἑαυτόν· οὕτως τὸν πολιτικὸν ἐκδύσαντες τὴν λεοντῆν καὶ κατακλίναντες, εὐωχήσομεν ἀεὶ καταψαλλόμενον*: alia Wyttenbachius indicavit ad Plut. de Εἰ Delph. 7, p. 387 E: add. ann. ad Zenob. I, 93. Macar. VIII, 16 et Apost. XVI, 19ª, quum etiam ad Aesopicam de asino Cumano fabulam proverbii origo referri possit.

53. Diogen. VII, 93: Ars. XLIX, 52. Apost. XIV, 75.

54. Suidas: Arsen. XLIX, 53: Photius. Quadrat in Lycios aliosque, qui a matre nomen tenebant: v. Valesius ad Nicol. Damasc. 519. Wesselingius et Valckenaerius ad Herod. I, 173. Em. Kuhnius in libro: *Beiträge zur Verfassung des Röm. Reichs*, p. 23.

55. Arsen. XLIX, 54. *τὴν — ὁμίλει*] Suidas: *ἀπὸ χρησμοῦ τινος ἐλέχθη. τουτέστιν οἷος εἶ τοιοῦτος καὶ φαίνου καὶ μείζοσι μὴ συμπαρεκτείνου. τοῦτο οἱ μὲν Πυθικὸν εἶναί φασιν ἀπόφθεγμα, οἱ δὲ Σόλωνος* [v. Auson. Sept. Sapient. Sent. s. Solon.]. *ἔνιοι δὲ αὐτὰ Χίλωνα εἰπεῖν συμβουλευομένῳ τινί, εἰ πλούσιον ἕλοιτο γάμον*: alia in ann. ad Diogen. VIII, 46 allata sunt: add. Macar. VIII, 24. Apost. XVIII, 32. *τίς γὰρ κτλ.*] Scholl. ad Aeschyl. Prom. V. 886. Secutus Pittacus est antiqui temporis doctrinam: Cleobulus apud Diog. Laert. I, 92: *γαμεῖν ἐκ τῶν ὁμοίων*: Aeschyl. l. c.: Corp. Inscr.

μιᾶς οὔσης πλουσίας καὶ ὑπὲρ αὐτόν, τῆς δὲ γένους ἀξίας, καὶ ἀπορῶν ποίας κληθείη ἀνὴρ, ἤρετο ποίᾳ γυναικὶ χρήσαιτο, τοῦ δὲ εἰπόντος, μέτει πρὸς τοὺς παῖδας τοὺς πλησίον ἡμῶν τοὺς βέμβηκας παίζοντας, ὅ ἐστιν οἱ στρόμβοι, καὶ παρ' αὐτῶν μαθήσῃ, ποίᾳ ἂν χρήσαιο γυναικί· ἀπελθὼν ἐκεῖνος ἠκροάσατο τῶν παίδων λεγόντων πρὸς ἀλλήλους, τὴν καθ' ἑαυτὸν ἔλαυνε· καὶ αἰσθόμενος τοῦ λόγου τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο γυναικὶ τῇ καὶ τοῦ γένους ἀξίᾳ.

56 *Τῆς Ὀρφέως ἀπόζεις κιθάρας* ἐν τῷ λέγειν: ὁ Ὀρφεὺς γέγονε μουσικὸς Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτως προσηνῶς ᾖδεν, ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα καὶ τοὺς λίθους καὶ τοὺς

1. δὲ ἑτέρας πενεστέρας καὶ τοῦ γένους αὐτοῦ ἀξίας Scholiasta. 2. χρήσεται idem. 3. μέτει] μέτιθι idem. 4. ἡμῖν ταῖς βέμβιξι idem. ταῖς στρόμβαις idem. 5. παρ'] ἀπ' idem. 6. πρὸς ἀλλήλους] πρὸς τὴν οἰκείαν στρόμβαν idem. 7. κατὰ σαυτὸν idem. λόγου τῶν παίδων idem. 9. ἀξίᾳ] A addit: λέγεται δὲ ἐπὶ τῶν μείζονα ἢ κατὰ αὐτῶν δύναμιν αἱρουμένων [haec, quae etiam Z habet, exstant apud Macar. l. c.]. φέρεται δ' εἰς τοῦτο καὶ τουτὶ τὸ ἐπίγραμμα [Callim. Epigr. 1 Ern., Anth. Palat. VII, 89.]·

Ξεῖνος Ἀταρνείτης τις ἀνήρετο Πιττακὸν οὕτω
  τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑῤῥαδίου·
ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
  νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ.
ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε μοι σύ [σύν μοι Callimachus]
  βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.
εἶπεν· ὁ δὲ σκίμπωνα [sic], γεροντικὸν ὅπλον, ἀείρας,
  ἠνίδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
  ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
κείνων ἔρχεο, φησί, μετ' ἴχνια. χὠ μὲν ἐπέστη
  πλησίον. οἱ δ' ἔλεγον· τὴν κατὰ σαυτὸν ἔλα.
ταῦτ' ἀκούων [ἀΐων Callim. editt.] ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
  δράξασθαι, παίδων κληδόνι συνθέμενος.
τὴν δ' ὀλίγην, ὡς κεῖνος, ἐς οἶκον ἐπήγετο νύμφην.
  οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

11. ὅτι Nonnus om. 12. προσηνῶς καὶ ἐκμελῶς ᾆσαι ὡς Nonnus. 13. μᾶλλον δὲ τῇ μαγείᾳ τὰς idem.

Graec. T. III, n. 4310, 5: ἰρᾶς δικαίων ἐγ γάμων ἴδειν σπορᾶν: Ovid. Herold. IX, 32: *si qua voles apte nubere, nube pari*: cf. C. F. Hermannus in tractatu de iuris domest. et famil. apud Plat. de Legg. cum veteris Gr. . . institutis compar. p. 5.

56. Arsen. XLIX, 55. ὁ — ποταμούς] Nonnus ad Greg. Nazianz. 154 Mont., Cosmas in A. Maii Spicil. Rom. II, 149, Eudoc. Viol.

ποταμούς. τοῦτο δὲ ψευδὲς καὶ μῦθος· δοκεῖ δέ μοι ταῦτα εἶναι. Βάκχαι μανεῖσαι πρόβατα διέσπασαν ἐν τῇ Πιερίᾳ, πολλὰ δὲ καὶ ἄλλα βιαίως εἰργάζοντο, τρεπόμεναί τε εἰς τὸ ὄρος διέτριβον ἐκεῖ τὰς ἡμέρας, ὡς δὲ ἔμειναν, οἱ πολῖται δεδιότες περὶ τῶν γυναικῶν καὶ θυγατέρων, μεταπεμψάμεναι τὸν Ὀρφέα ἐδέοντο μηχανᾶσθαι ὃν τρόπον καταγάγοι αὐτὰς ἐκ τοῦ ὄρους· ὁ δὲ συνταξάμενος τῷ Διονύσῳ ὄργια κατάγει αὐτὰς βακχευούσας κιθαρίζων· αἱ δὲ νάρθηκας τότε πρῶτον ἔχουσαι κατέβαινον ἐκ τοῦ ὄρους καὶ κλῶνας δένδρων παντοδαπῶν· τοῖς δ' ἀνθρώποις θαυμαστὰ τότε θεασαμένοις ἐνεφαίνετο πρῶτον τὰ ξύλα καταγόμενα, καὶ ἔφασαν, Ὀρφεὺς κιθαρίζων ἄγει τὴν ὕλην ἐκ τοῦ ὄρους· καὶ ἐκ τούτου ὁ μῦθος ἀνεπλάσθη.

Τὸ τ̃ μετὰ τοῦ ῑ.

57 *Τιθωνοῦ γῆρας*: ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται· ἱστορεῖται γάρ, ὅτι Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλλε.

58 *Τιτᾶνας καλεῖν*: ἐπὶ τῶν κεκραγότων τινὰς εἰς βοήθειαν.

59 *Τὶς ἐν Κύδωνος*: ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους ἀπὸ Κύδωνος Κορινθίου φιλοξένως διατεθέντος.

56a *Τῇ δ' Ἀφροδίτῃ* πόλλ' ἔνεστι ποικίλα·
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς.
τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής:. Εὐριπίδου.

57a *Τίς ἂν φίλοισι μάχοιτο;*

57b *Τί μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα*: ἐπὶ τῶν μανθανόντων τι οὐκ αὐτοῖς χρειῶδες.

---

1. τοῦτο — μῦθος] pluribus verbis Ps utitur. 3. περιερίᾳ N. 12. ἔφασαν ὅτι Ps. 16. γὰρ] δὲ Suidas. ὅτι ὁ idem. 17. μετέβαλεν idem. 20. ἀεί τις Suidas. 21. διατεθέντος ὑπερβαλλόντως idem. 24. Εὐριπίδου Αἰόλῳ Stobaeus. 25. φιλέοντι Homerus.

318. τοῦτο δὲ κτλ.] Palaeph. π. ἀπιστ. 34.
56a. Arsen. XLIX, 56. X, 3: Stob. Flor. 63, 1. Eur. Aeol. fr. VII Matth.
57. Suidas: Arsen. XLIX, 58. Greg. Cypr. L III, 13.
57a. Arsen. XLIX, 59: Hom. Od. Θ, 208, ubi Eustathius: ἐπάγει γνωμικόν.
57b. Arsen. XLIX, 60. Arist. Nub. 648.
58. Diog. VIII, 47. Macar. VIII, 38.
59. Suid. s. τίς: Arsen. XLIX, 57. Diog. VIII, 42. Macar. I, 32.

60 *Τί πρὸς τὸν Ἑρμῆν:* ἀντὶ τοῦ πρὸς τὸν λόγον.

61 *Τίς πατέρ' αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα:* ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα ἀπορίᾳ ἰδίων προφερόντων.

60a *Τί κοινὸν κυνὶ καὶ βαλανείῳ:* ἐπὶ τῶν ἔν τισι χρείαις ἀνωφελῶν.

60b *Τί τὸν φεύγοντα διώκεις;*

60c *Τί μύζεις; πάντα πεποίηται καλῶς:.* Ἀριστοφάνους.

60d *Τί τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνετε;*

60e *Τί μ' ἔδει μακροῖς αὐλοῖς αὐλεῖν:* ἐπὶ τῶν πονησάντων καὶ μὴ ἀπολαβόντων μισθόν.

61a *Τί δ' αἰσχρόν, ἂν μὴ τοῖσι χρωμένοις δοκῇ:* τοῦτ' Εὐριπίδου· οὗ ἐναντίον· *Αἰσχρὸν τό γ' αἰσχρὸν κἂν δοκῇ κἂν μὴ δοκῇ·* τοῦτο Διογένους.

61b *Τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα:.* Εὐριπίδου ἡ γνώμη.

---

2. πατρίδ' N. 3. ἴσως Ds om. ἀπορίᾳ ἰδίων N om. ἰδίᾳ Ds. 5. ἐπὶ — ἀνωφελῶν] ἐπὶ τῶν ἀναρμοδίων margo cod. A Suidae. 12. ἦν Schol. ad Arist. Ran. l. c. 14. Διογένους] Platonem nominat et uberius rem narrat Stobaeus.

60. Arsen. XLIX, 61. Macar. VIII, 30.

60ª. Arsen. XLIX, 62. Macar. VIII, 34.

60ᵇ. Arsen. XLIX, 63: Theocr. Id. XI, 75: cf. Apost. XVI, 2ª. 45. Callim. Epigr. 33, 5: χοὐμὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν Οἶδε: Aristaen. Epist. II, 16: ἐκείνην διώκεις, ὅτι σε πόῤῥωθεν ἀποφεύγει: Heracl. Epist. 332 Cuiac. de Deo: διώκει τὰ φεύγοντα: alia suppeditabit Iacobsius Ann. ad Anthol. I, 2, p. 264: add. Pind. Pyth. III, 21. Similia percrebuerunt ἀκίχητα διώκειν, de quo v. ann. ad Plut. Boiss. 13 et Apost. XII, 82, τὰ πετόμενα διώκειν Plat. Eutyph. 4 A, ὄρνιθας ζητεῖν, de quo v. ann. ad Apost. XII, 100, aliaque, quae ab Victorio Lectt. XI, 13, Dorvillio ad Charit. 309 Lips., Stanleio ad Aesch. Agam. 385 illustrantur: add. Eurip. apud Stob. Flor. 111, 1: κενὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας.

60ᶜ. Arsen. XLIX, 64: Arist. Thesmoph. 232.

60ᵈ. Arsen. XLIX, 65: cf. Apost. XVI, 71.

60ᵉ. Arsen. XLIX, 66. Quum in re sacra Graeci tibiis longis uterentur, dicebatur proprie de eo, qui sacrificium fecisset nec ullum inde fructum percepisset, ut recte Erasmus I, 6, 97 statuit: a vero plane aberravit Turnebus Advers. V, 1. XVII, 20. Translatum tum ad alios, ut docet Cass. Dio LXIV, 7: ὥστ' αὐτὸν [Othonem] μεταγνόντα ἐπὶ τοῖς πεπραγμένοις εἰπεῖν· Τί γάρ με ἔδει μ. α. αὐλεῖν; ἔστι δὲ τοῦτο δημῶδες ἐς παροιμίαν φέρον ἐπὶ τῶν ἔξω τι τοῦ προσφόρου σφίσι ποιούντων: Suet. Oth. 7: *postridie quoque in augurando tempestate orta graviter prolapsum, identidem obmurmurasse: τί γάρ μοι καὶ μακροῖς αὐλοῖς*: prorsus falsa narrat Cedren. Synops. Hist. I, 216 C.

61. Diog. VIII, 46: Arsen. XLIX, 68. Macar. VIII, 20.

61ª. Arsen. XLIX, 69: Ioann. Damasc. in nott. Gaisfordi ad Stob. Flor. 5, 82: add. Append. Florent. in Stob. Floril. T. IV, p. 27 Gaisf. Eur. Aeol. fr. 11 Matth.: cf. Fritzschius ad Arist. Ran. 1475.

61ᵇ. Arsen. XLIX, 70: Stob. Flor. 39, 17. Eur. Phoen. 391.

62 *Τιμὴ Γεράνης:* ἐπὶ τῶν παρ' ἀξίαν τιμωμένων:. Παρὰ τῷ τῶν Πυγμαίων ἔθνει ἐκλιπόντος ποτὲ τοῦ γένους τῶν ἀῤῥένων βασιλέων ἐκράτησέ τις βασιλὶς Γεράνα ὄνομα· ἥνπερ οὖν καὶ ἐκθειοῦντες οἱ Πυγμαῖοι σεμνοτέραις ἢ κατ' ἄνθρωπον ἐτίμων τιμαῖς· ἐκ τούτων οὖν ἐκείνη τὴν διάνοιαν ἐξηνεμώθη, καὶ Ἥραν καὶ Ἀφροδίτην καὶ Ἀθηνᾶν οὐδὲ ἴκταρ ἔλεγε βάλλειν πρὸς τὸ αὐτῆς κάλλος. οὐκοῦν κατὰ χόλον Ἥρας εἰς ὄρνιν αἰσχίνην τὸ εἶδος τὸ ἐξ ἀρχῆς ἤμειψε, καὶ ἔτι νῦν ἡ γέρανος πολεμεῖ τοῖς Πυγμαίοις, ὅτι αὐτὴν ἐξέμηναν τῇ πέρα τιμῇ καὶ ἀπώλεσαν.

63 *Τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο:* Θεόκριτος. ἐπὶ τῶν ἀνοήτων.

64 *Τιτανῶδες βλέπει:* καταπληκτικόν, φοβερόν.

65 *Τίκτει κόρος ὅταν κακῷ ἀνδρὶ παρείη:* ἐπὶ τῶν ἐν εὐτυχίαις ἐπαιρομένων.

66 *Τίς ἂν θύρας ἁμάρτοι:* ἐπὶ τῶν ῥᾳδίων.

61c *Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;*
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι:. Μιμνέρμου ἡ γνώμη.

---

2. παρὰ — ὄνομα] ἀλλὰ τό γε τῶν Π. ἔθνος ἀκούω καὶ ἐκεῖνο καθ' ἑαυτὸ βασιλεύεσθαι, καὶ οὖν καὶ γενέσθαι παρ' αὐτοῖς ἐκλείποντος τοῦ γ. τοῦ τῶν ἀῤῥ. βασιλέως βασιλίδα τινά, καὶ κρατῆσαι τῶν Πυγμαίων, Γεράναν ὄνομα As. 4. οὖν ἐκθεοῦντες As. 5. ταῖς τιμαῖς As. ἐκείνη, φασί, As. 6. καὶ τὰς θεὰς παρ' οὐδὲν ἐτίθετο, μάλιστα δὲ τὴν Ἥ. καὶ τὴν Ἀθ. καὶ τὴν Ἄρτεμιν καὶ τὴν Ἀφροδ. οὐδὲ As. 8. οὐκοῦν ἔμελλεν ἁμαρτήσασθαι κακοῦ νοσοῦσα τοιαῦτα· κατὰ γὰρ τὸν τῆς Ἥρας χόλον As. αἰσχίστην As. 9. ἔστιν ἡ νῦν γέρανος καὶ As. 13. βλέπειν Suidas. 14. τοι κόρος ὕβριν Ds. 16. θύρας] θήρας Erasmus I, 6, 36 corrigendum esse existimat provocans ad Aristid. Or. ὑπὲρ τ. τ. 125 Iebb.: καὶ πέπονθας ταὐτὸν τῷ Πινδάρου Πηλεῖ, ὃς τῆς τε θήρας διήμαρτε: sed plane alienus ab hoc proverbio hic locus est: vide sis Boeckhium ad Pind. T. II, 2, p. 566. 17. χρυσείης Brunckius.

61c. Arsen. XLIX, 71: Stob. Flor. 63, 16. Mimn. fr. 1.
62. Παρὰ τῷ κτλ.] Aelian. N. An. XV, 29.
63. Theocr. Id. V, 26.
64. Suidas: Arsen. XLIX, 72. App. Provv. IV, 89.
65. Diog. VIII, 22: Arsen. XLIX, 73. Macar. VIII, 27.
66. Arsen. XLIX, 67. Usurpat Aristot. Metaphys. I, p. 993, b, 4 Bekk.: ὥστ' εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροιμιαζόμενοι, τίς ἂν θύρας ἁμάρτοι; ταύτῃ μὲν ἂν εἴη ῥᾳδία: ad quem locum Alexander Aphrod. p. 103 Bonitz. haec commentatus est: ὅτι τοὺς πάντας τι ὑγιὲς εἰρηκέναι τοὺς περὶ αὐτῆς [ἀληθείας] λέγοντας σημεῖον ἂν εἴη τοῦ ῥᾳδίαν αὐτὴν εἶναι, ἔδειξε τῇ παροιμίᾳ προσχρησάμενος τῇ τίς — ἁμάρτοι; ἣ λέγεται μὲν ἐπὶ τῶν εὐκόλων καὶ μηδὲν χαλεπὸν καὶ δυσεύρετον ἐχόντων, εἴληπται δὲ ἀπὸ τῶν τοξοτῶν τῶν ἐπὶ σκοπὸν τοξευόντων. οὗτοι γάρ, ἂν μὲν στενὸς ὁ προκείμενος ᾖ σκοπός, οὐ ῥᾳδίως αὐτοῦ τυγχάνουσιν, ἂν δὲ ᾖ πλατύς, οὐ

67 *Τίς τῇδε:* οἱ σπένδοντες ἔλεγον, τίς τῇδε; ἀντὶ τοῦ, τίς πάρεστιν; οἱ δὲ παρόντες ἐπευφημούμενοι ἔλεγον· *πολλοὶ κἀγαθοί.* τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα συνειδότες ἑαυτοῖς τὶ ἄτοπον συγχωροῖεν τῶν σπονδῶν.

68 *Τίς ἀνάγκη σαπραγόρᾳ; προίξ:* ἐπὶ τῶν τὰ μὴ πρέποντα αὐτοῖς ζητούντων.

69 *Τιτανίδα παροικεῖς:* ἐπὶ τῶν φιλοθέων· οἱ μὲν τὴν πᾶσαν γῆν, οἱ δὲ τὴν Ἀττικὴν φασίν, ἀπὸ Τιτηνίου, ἑνὸς τῶν Τιτάνων ἀρχαιοτέρου, οἰκήσαντος περὶ Μαραθῶνα, ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς θεούς, ὡς Φιλόχορος ἐν τραπόλει καὶ Ἴστρος ἐν πρώτῃ Ἀττικῶν.

70 *Τίθει παρὰ χρυσοῦν κεραμεοῦν ποτήριον:* ὅτι τὸν εὐτυχήσαντα δεῖ μεμνῆσθαι τῶν ὅτε ἦν ἐν πενίᾳ· καὶ γὰρ Ἀγαθοκλῆς, υἱὸς κεραμέως, γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθείς, εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ. καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον νῦν ταῦτα ποιεῖ διὰ τὴν ἀμέλειαν καὶ ἀνανδρίαν.

71 *Τί τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνετε:* ἐπὶ τῶν μὴ δοκιμαζόντων τὰ πράγματα ἀκριβῶς, ἀλλ' ὡς ἐκεῖνοι βούλονται.

---

2. οἱ δὲ] εἶτα οἱ Suidas. εὐφημιζόμενοι idem. 3. ἵνα οἱ idem. 4. ἐκχωροῖεν idem. 7. Τιτανίδα — οἱ] Τιτανίδα γῆν· οἱ Suidas. 8. γῆν Suidas om. φασίν Suidas om. 11. Τετραπόλει Suidas. καὶ Ἴστρος] Ἴστρος δὲ idem. 14. ἦν υἱὸς A, υἱὸς ἦν Plutarchus. 18. ἐπιμέλειαν Z Plutarchus. τὴν ἀνδρίαν AZE Plutarchus. 19. τί ταῦτα τοὺς Aristides.

χαλεπὸν τὸ τούτου τυγχάνειν, διὸ καὶ πάντες αὐτοῦ τυγχάνουσι. εἰ οὖν τοῦ ῥᾳδίου πάντες κτλ.

67. Suidas: Arsen. XLIX, 74. App. Provv. IV, 90.

68. Plutarch. de cupid. divit. 5, p. 525 A: *Βυζάντιόν τινα λέγουσιν ἐπὶ δυσμόρφῳ γυναικὶ μοιχὸν εὑρόντα εἰπεῖν· ὦ ταλαίπωρε, τίς ἀνάγκη, σαπρεαγόρα προίξ.* Corrupta Byzantii verba hunc in modum refingenda censet Winkelmannus in Actt. Societ. Gr. II, p. 15: *τίς σοι ἀνάγκη σαπρᾷ γραΐ χρωΐζεσθαι;*

69. *Οἱ μὲν κτλ.*] Suidas: Phot. Hesych. s. *Τιτανίδα*, s. *Τιτανίς*, Etym. M. 760, 35. Cf. Voelckerus de myth. gent. Iapetid. 286. *Φιλόχορος*] fr. 157 Muell. *Ἴστρος*] fr. 1 Muell.

70. Arsen. XLIX, 75. *Ἀγαθοκλῆς κτλ.*] Plut. Apophth. Regg. cett. 176 E: paulum differt Plut. de sui laude 13, p. 544 B. Rem breviter narrant Liban. Oratt. T. III, 251 R., Amm. Marcell. XIV, 11 fin.: versibus expressit Auson. Epigramm. VIII.

71. Adhibetur ab Arist. ὑπ. τ. τεττ. 206 Iebb., ubi Scholl. sic explicant: *παροιμία· τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ ἐωμένων. παρῆκται δὲ ἀπὸ τοῦ τὸν Πρίαμον καὶ τὴν Ἑλένην ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας περὶ αὐτῶν διαλέγεσθαι:* v. Phot. Biblioth.

72 *Τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ:* οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειρισάμενοι πολλῆς τιμῆς ἠξιοῦντο.

73 *Τί μικρῶν πέρι μεγάλα φροιμιάζῃ:* ἐπὶ τῶν μακρολογούντων.

74 *Τίς χρεία πυθομένου κρομμύου:* ἐπὶ τῶν ἀχρήστων.

75 *Τίς οὐ γενήσῃ τυγχάνων εἰς Ἀρβέλας:* Ἀρβέλαι πόλις Σικελική. εὐεξαπάτητοι δὲ οἱ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εἶναι.

76 *Τιτυοῦ σε περιμένει καὶ Ἰξίονος κολαστήρια:* ὁ Τιτυὸς ἠράσθη τῆς Λητοῦς καὶ ἐρασθεὶς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κρηδέμνου· εἶτα Ἄρτεμις καὶ Ἀπόλλων παῖδες ὄντες τῆς Λητοῦς κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον· καὶ νῦν φασιν ἐν τῷ Ἅιδῃ ἔχει τὰ βέλη ἐμπεπαρμένα καὶ κολάζεται ἐκ τούτου. Ὁ δὲ Ἰξίων ἠράσθη τῆς Ἥρας· ἡ Ἥρα προςαγγέλλει τῷ Διί· ὁ δὲ Ζεὺς βουληθεὶς γνῶναι, εἰ ὄντως ἐρᾷ αὐτῆς, ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ ἔστησεν. Ὁ δὲ Ἰξίων νομίσας αὐτὴν εἶναι τὴν Ἥραν συμμίγνυται αὐτῇ τῇ νεφέλῃ· καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν οὕτως· τροχῷ διατείνας αὐτὸν ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχόν, καὶ ἔστιν ἀεὶ οὕτως ἀνακυκλούμενος καὶ καταφερόμενος ταύτην τίνων τὴν τιμωρίαν.

Τὸ τ̃ μετὰ τοῦ ὀ̃.

77 *Τὸ Μηλιακὸν πλοῖον:* ἐπὶ τῶν ἄγαν εἰςρεόντων

---

7. *τί οὐ* Suid. s. *τί οὐ.* *τυγχάνων εἰς*] *ἰὼν ἐς* Suidas. 12. *κρηδέμνου θέλων αὐτῇ συγγενέσθαι* Nonnus. 14. *φησὶ* Nonnus, sc. Greg. Nazianz. Or. IV, 132 A. *κολάζεται ἐν τῷ* Nonnus. *ἔχων* idem. *καὶ — τούτου*] *ἐν τῷ ἥπατι* idem. 15. *ἡ δὲ* idem. 17. *ἠράσθη* idem. *καὶ ἔστησεν αὐτὴν* Cosmas, *καὶ πέμπει πρὸς αὐτὸν* Nonnus. 22. *τίνων* Z om., *τινὰ* Nonnus. 24. *ἐπὶ — φησίν*] *ἐπὶ τῶν ἄγαν ῥεόντων καὶ ὁ λόγος ᾧ χρῆσαι.*

429 Bekk., Scholl. ad Arist. Oratt. T. III, 636 Dind.

72. Greg. Cypr. P III, 80: Arsen. XLIX, 76. Explicatio falsa: v. Zenob. VI, 17 et C. Fr. Hermannus de vestigiis institutorum vett. per Platonis de Legg. Libros indagand. p. 55.

73. Ars. XLIX, 77. Plut. Apophth. Lac. 224 C: *Λάβωτας μακρολογοῦντός τινος εἶπε, Τί μοι μικρῶν π. μ. φρ.; ὅσον γὰρ εἴη πρᾶγμα, τοσοῦτον καὶ ὁ λόγος ᾧ χρῆσαι.*

74. Arsen. XLIX, 78.

75. Suidas: Arsen. XLIX, 79. Plut. Provv. II, 30. Apost. XIII, 53.

76. Arsen. XLIX, 80. Lemma illustratur iis quae Wyttenbachius ad Iul. Orat. in laudem Constant. 240 Schaef. disputavit. *Ὁ Τιτυὸς κτλ.*] Nonnus Narr. p. 171 sq. Mont., Cosmas ad Greg. Naz. Carm. in A. Maii Spicil. Rom. II, 213. 133.

77. Suidas: Arsen. XLIX, 81.

καὶ εἰσιόντων. φησὶν Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι, μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτέ, καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

78 *Τὸν ἀγαθὸν μυθητὰν δεῖν τοῖς πράγμασιν ἶσον τὸν λόγον ἔχειν: Λακεδαιμόνιοι Κηφισοφῶντα εἰπόντα περὶ τοῦ τυχόντος δύνασθαι ὅλην τὴν ἡμέραν λέγειν ἐξέβαλον, φάμενοι τοῦτο τἀπόφθεγμα.*

79 *Τοῦ πατρός ἐστι τὸ παιδίον: ἐπὶ τῶν πατρῳζόντων εἴς τινας ἐπιτηδειότητας.*

80 *Τὸ μέλλον οὐδεὶς ἐκφύγοι: ὅτι δ' ἀληθὲς, ἔκ τε ἄλλων κἀντεῦθεν δῆλον:. Βαβυλωνίων βασιλεύοντος Εὐηχόρου, Χαλδαῖοι λέγουσι τὸν γενόμενον ἐκ τῆς ἐκείνου θυγατρὸς τὴν βασιλείαν ἀφαιρήσεσθαι τὸν πάππον· τοῦτο ἐκεῖνος πέφρικε, καί, ἵνα τι καὶ ὑποπαίξας εἴπω, Ἀκρίσιος γίνεται εἰς τὴν παῖδα· ἐφρούρει γὰρ πικρότατα. λάθρα δὲ ἡ παῖς, ἦν γὰρ τοῦ Βαβυλωνίου σοφώτερον τὸ χρεών, τίκτει ὑποπλησθεῖσα ἔκ τινος ἀνδρὸς ἀφανοῦς· τοῦτο οἱ φυλάσσοντες δέει τοῦ βασιλέως ἔῤῥιψαν ἐκ τῆς ἀκροπόλεως· ἀετὸς δὲ τὴν ἔτι τοῦ παιδὸς καταφορὰν ὀξύτατα ἰδών, πρὶν ἢ τῇ γῇ προσαραχθῆναι τὸ βρέφος, ὑπελθὼν αὐτὸ κατὰ*

πλοίων εἴρηται τοῦτο, ἀπὸ ἱστορίας τινός. φησὶ γὰρ Suidas: *ἐπὶ τῶν παλαιῶν καὶ ἄγαν ἐκρεόντων πλοίων* Suid. s. *Μηλιακόν*.

2. *καταράσασθαι*] Suidas addit: *ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀῤῥωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν, κατέμενον, κατηράσατο μήτε κτλ.* 13. *Σευηχόρου* As. 14. *πάππον*] *καὶ Χαλδαίων μὲν ἦν τὸ εἰρημένον θέσπισμα* As addit. 15. *ἵνα εἴπω τι* As. *ὑποπαίσας* As. *εἴπω* As om. 18. *τοῦτον οὖν οἱ* As. 20. *ἦν γὰρ ἐνταῦθα ἀφειργμένη ἡ προειρημένη. οὐκοῦν ὁ ἀετὸς τὴν ἔτι τοῦ* As. 21. *ὑπῆλθεν a. καὶ τὰ νῶτα ὑπέβαλεν* As.

DV III, 76. Diog. VIII, 31. *Ἀριστοτέλης*] Polit. fr. 143 Muell.

78. Plut. Instit. Lacon. 239 C, ad quem locum de Cephisophonte nobis aliunde non noto Wyttenbachius quaerit.

79. Macar. VIII, 43.

80. Sententia iam ab Homero similiter expressa Il. Σ, 117: add. Pind. apud Plut. Marcell. 29: *σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον τεῖχος*: Aesch. Prom. V. 518: *οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην*: id. fragm. 286 Dind., Soph. Antig. 951. Elect. 696. Babrius in Etym. M. 662, 28: *τὸ χρεὼν γὰρ οὐ φεύξῃ*: Herod. I, 91: *τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγέειν καὶ θεῷ*: Plat. Gorg. 512 E: *τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι*: Arist. Oratt. T. II, 193, 10 Iebb.: *τὸ μὲν γὰρ μέλλον ἅπασιν ἦν ἐν ἀφανεῖ*: Vit. Aesopi p. 53 Westerm.: *ὁ δὲ Αἴσωπος οὐχ εὑρὼν μηχανὴν τῆς πονηρᾶς τύχης, ὡς θνητὸς ἂν δυνήσεται τὸ μέλλον ἐκφυγεῖν, ἐπένθει*: alia exscripserunt Gatacker ad Marc. Anton. p. 173. 223. Mitscherlichius

νῶτα ὑπέλαβε, καὶ κομίζει εἰς κῆπόν τινά· ὁ τοίνυν τοῦ κήπου μελεδωνὸς καλὸν παιδίον θεασάμενος ἐρᾷ αὐτοῦ καὶ τρέφει, καὶ καλεῖται Γίγαλμος καὶ βασιλεύει Βαβυλωνίων.

81 *Τοῦτο τὸ ὑπόδημα ἔῤῥαψε μὲν Ἱστιαῖος, ἐπεδήσατο δὲ Ἀρισταγόρας*: ἐπὶ τῶν σκευωρούντων καὶ συῤῥαπτόντων μηχανὰς κλεπτιστάτας. *Ἱστιαῖος, Σάμιος* μὲν ἦν τὸ γένος, φίλος δὲ γενόμενος Δαρείου τοῦ Περσῶν βασιλέως, ἐλύθη ὑπ' αὐτοῦ ἐν Περσίδι· ἐκεῖ δὲ διαιτώμενος ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα· μὴ ἀπολυόμενος δὲ γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετῆσαι ἀπόστασιν· καὶ πείθει καί τινας τῶν Ἰώνων ἀποστῆναι· πράττει δὲ οὕτως· λαβὼν πιστὸν οἰκέτην καὶ τούτου τὴν κεφαλὴν ξυρήσας ἐγχαράττει τῇ κεφαλῇ, ὃ ἠβούλετο δηλῶσαι· εἶτα μέλανι ἐγκαυτῷ τὴν χάραξιν μελαίνει, καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας· καὶ μετὰ τὸ κομάσαι αὐτὸν ἀποπέμπει, λέγων τῷ οἰκέτῃ, πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἀρισταγόρας τὰ γράμματα. ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας καὶ μαθὼν ἐποίησε τὴν ἀπόστασιν σχεδὸν πάντων τῶν Ἰώνων· εἶτα μανθάνει ἐν Περσίδι ὁ βασιλεὺς καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρ' αὐτοῦ Ἱστιαίου, αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. ἐλθὼν οὖν ὁ Ἱστιαῖος εἰς τὴν Ἀσίαν καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σάρδεων ἤκουσε ταῦτα. ὑπόδημα δὲ λέγει τὴν ὅλην κατασκευὴν τοῦ πράγματος.

82 *Τὸν οἴκοι θησαυρὸν διαβάλλεις*: ἐπὶ τῶν τὰ ἴδια διαβαλλόντων.

83 *Τὸ εὔωνον κρέας οἱ κύνες ἐσθίουσιν*: ἐπὶ τῶν διὰ φειδῶ πλείονος διαπάνης φαῦλα ὤνια ἐωνημένων.

---

1. τινά, καὶ τίθησι πεφεισμένως εὖ μάλα As. 2. κήπου] χώρου As. 3. Γίλγαμος As. 4. ὑπεδήσατο ARZ Ds, ὑπεδύσατο N. 8. ἐλήθη R, ἐλήφθη NAOZ Nonnus. δὲ καὶ Nonnus. 11. συναποστῆναι idem. 12. πράττει δὲ οὕτως] γράφει δὲ ὡς μὴ φωραθῆναι τὸν τρόπον τοῦτον idem. 14. ἐγκαυστῷ Nonnus. 17. γνῷ idem. 18. ἀποστασίαν idem. 21. παρ' αὐτοῦ] παρὰ τοῦ idem. 22. ἐν τῇ Ἀσίᾳ idem.

ad Horat. Carm. III, 2, 14. Welckerus ad Theogn. p. 28. *Βαβυλωνίων κτλ.*] Aelian. N. An. XII, 21 ubi v. Iacobsius.

81. Arsen. XLIX, 82. *Τοῦτο — Ἀρισταγόρας*] Diog. VIII, 49: Aesopi Provv. 17. *Ἱστιαῖος κτλ.*] Nonnus ad Greg. Naz. 162 Mont.

82. Scholl. ad Aristid. 182 Fromm. Utitur Arist. ὑπὲρ τ. τεττ. II, p. 135 Iebb.

83. Hoc proverbium Erasmus IV,

84 *Τότ' ᾄσονται κύκνοι, ὅταν κολοιοὶ σιωπήσωσι.*

85 *Τὸ σκαμβὸν ξύλον οὐδέποτ' ὀρθόν: αὕτη δημώδης ἐστὶ καὶ φανερά· τάττεται δὲ ἐπὶ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων.*

86 *Τοιοῦτο Θεμιστοκλῆς οὔποτ' ἐνόησε: διὰ τὸ τειχίσαι τὸν Πειραιᾶ, ἢ ὅτι σοφίας δόξαν Θεμιστοκλῆς ἀπηνέγκατο. λέγεται ἐπὶ τῶν ἄγαν ἐπαιρομένων ἐπὶ μικροῖς κατορθώμασι.*

87 *Τὸ καλὸν φίλον εἶναι: ἐπὶ τῶν τὸ συμφέρον αἱρουμένων.*

88 *Τὸ Πάρνου σκαφίδιον: ἐπὶ τῶν μικρὰ ζητούντων· Πάρνος γάρ τις τὴν σκάφην ἀπολέσας συνεχῶς ᾔτει τὸν δῆμον.*

89 *Τοῖς κακοῖς τρὶς τὰ κακά: ἡ παροιμία σαφής· γέγονε δὲ ἐντεῦθεν. φασὶ τοὺς ἀττάγας ὄρνιθας μετακομισθέντας εἰς Αἴγυπτον ἐκ Λυδίας καὶ ἀφεθέντας εἰς τὰς ὕλας, τὰ μὲν πρῶτα ὄρτυγος φωνὴν ἀφιέναι, χρόνῳ δὲ ὕστερον τοῦ ποταμοῦ κοίλου ῥυέντος λοιμὸς ἐγένετο καὶ*

85a *Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.*

85b *Τὸ δὲ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον:. Λουκιανοῦ.*

85c *Τὸ μὲν φάσθαι, τὸ δὲ κεκρυμμένον εἶναι.*

---

1. *σιωπήσωσιν* Z Gregorius. 2. *αὕτη ἡ παροιμία* Suidas. 3. *ἐπὶ*] *κατὰ* idem. 5. *τοιοῦτον* P, *τοιουτονὶ* Aristophanes. *ἐπενόησε* KN, *οὐπώποτ' ἐπενόησεν* Aristophanes. *ἢ διὰ* K. 7. *λέγεται κτλ.*] K non agnoscit. 11. *τὰ μικρὰ πολλάκις* VB. 12. *γὰρ*] *ὁ κυβερνήτης* Suidas addit. *ᾔτει*] *ἠνώχλει* Ds. 14. *τοῖς — ὄρνιθας*] *λόγος τις λέγει τοὺς ὄρνιθας τοὺς ἀττάγας* As. 18. *ῥέοντος* As. 20. *γίγνεται* Stobaeus. 23. *ἀλλὰ τὸ* Homerus. *δὲ καὶ* idem.

3, 37 vulgus recentiorum temporum sapere opinatur.

84. Greg. Naz. Epist. I fin. p. 768 B. Liban. Epist. 40: *εὗρον, ὅτι τότε μὲν ὑπὸ τῆς νεότητος ἐξηπατῶ καὶ κύκνον ἡγοῦ τὸν κολοιόν· τὸ γῆρας γάρ σε ἐπαίδευσε τὸν κολοιὸν, ὅπερ ἐστὶν, ἡγεῖσθαι κολοιόν· ἀλλ' ἡμεῖς γε σὲ καὶ τότε καὶ νῦν κύκνον.*

85. Suidas: Arsen. XLIX, 83. Macar. VII, 69.

85a. Arsen. XLIX, 84: Stob. Flor. 106, 12. Demosth. Olynth. I, p. 16 R.

85b. Arsen. XLIX, 85: Lucian. Dial. Mort. 11, 4.

85c. Arsen. XLIX, 86: Hom. Od. Δ, 443.

86. K in nott. ad Greg. Cypr. P III, 71: Arsen. XLIX, 87.

87. Scholl. ad Plat. Lysid. 321 Bekk.: Arsen. XLIX, 88. Macar. VIII, 41.

88. Diog. VIII, 27.

89. Aelian. N. An. XV, 27, ubi cf. Iacobsius.

πολλοὶ τῶν κατὰ τὴν χώραν ἀπώλλυντο· οὐ διέλιπον οὖν οἱ ὄρνιθες οὗτοι πολλῷ σαφέστερον καὶ ἐναρθρότερον παιδίου μεῖζον φθέγμα ἀφιέντες καὶ λέγοντες· *Τρὶς τοῖς κακοῖς τὰ κακά.* λέγει δὲ ὁ αὐτὸς λόγος, ὅτι καὶ συλληφθέντες οὐ μόνον οὐ τιθασεύονται, ἀλλ' οὐδὲ φωνὴν ἀφιᾶσιν ἣν πρότερον ἠφίεσαν· ἡ δουλεία δὲ αὐτῶν καὶ ἡ κάθειρξις καταψηφίζεται σιωπήν· ἐὰν δὲ ἀφεθῶσι καὶ ἐλεύθερον ἁπλώσωσι τὸ πτερὸν πάλιν γίνονται ἔμφωνοι, ὁμοῦ καὶ τὸ φθέγμα καὶ τὴν παῤῥησίαν ἀπολαμβάνοντες.

90 *Τοσοῦτον σχεδὸν, ὅσον ἐκ Διονυσίων:* ἐπὶ τῶν ἀποδοχῆς ἀξίας τυχόντων.

91 *Τὸν οἴκοθεν βρεχόμενον οὐδὲ θεὸς οἰκτείρει:* καὶ αὕτη δημώδης.

92 *Τὸν κολοφῶνα ἐπέθηκας:* ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου τάσσεται· δώδεκα πόλεις τῆς Ἰωνίας συνήεσαν περὶ τῶν κοινῶν βουλευσόμεναι· καὶ εἴποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν τὴν νικῶσαν ἐτίθεντο· Σμυρναίους γὰρ ἐλθόντας συνοίκους ἐκέκτηντο, ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἔθεντο· ὅθεν ἐπὶ τῆς κρατίστης καὶ βεβαίας ψήφου ἡ παροιμία εἴρηται.

93 *Τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἔπεσον:* ἐπὶ τῶν τὰ μικρὰ τῶν δεινῶν φευγόντων καὶ εἰς μείζονα ἐμπιπτόντων.

91a *Τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στὶ χρήσιμον.*

---

4. ὅτι συλληφθ. καὶ ἀγρευθέντες As. 6. ἔτι ἀφιᾶσιν As. δὲ] γὰρ idem. 8. πτερόν, καὶ εἰς ἤθη τὰ ἑαυτῶν ἀφίκωνται, πάλιν idem. 9. ἀναλαβόντες idem. 10. σχεδὸν τοσοῦτον ὅσον Suidas, σχεδὸν τοσοῦτον χὤσον Aristophanes. Διονυσίων] ἔθος ἦν Ἀττικοῖς λέγειν τὰ ἔτη καὶ τὸν ὑπερπίπτοντα ἀριθμὸν ἀπὸ τῶν Διονυσίων: quem morem respexit Megara in Alciph. Epist. I, 39: κληθεῖσα ὑπὸ Γλυκέρας εἰς τοσοῦτον χρόνον, ἀπὸ Διονυσίων γὰρ ἡμῖν ἀπήγγειλεν, οὐχ ἥκεις, ubi intt. errant. 14. τὸν M om. 15. τάσσεται M om. 16. συνήεσαν εἰς τὸ Πανιώνιον λεγόμενον Suidas. 18. ἐκέκτηντο] εἶχον idem. 19. ἐτίθεντο idem. 20. κρατούσης idem. 22. μείζονα δεινὰ Ds. 23. πᾶσίν ἐστι Menander.

90. Suid. s. Διονύσια: Ars. XLIX, 89. τοσοῦτον — Διονυσίων] Arist. Thesmoph. 747, ubi v. Scholia et annotationem Engeri.

91. Arsen. XLIX, 90. Add. hic locus Lobeckii de v. βρέχεσθαι disputationi in ann. ad Phrynich. 291.

91a. Arsen. XLIX, 91: Men. Monost. 584.

92. Arsen. L, 1. τὸν — τάσσεται] Greg. Cypr. M III, 91: Macar. VIII, 54. Apost. IX, 93. δώδεκα κτλ.] Suid. s. τὸν κολοφῶνα ἐπέθες.

93. Diog. VIII, 45: Arsen. L, 2. Macar. VIII, 42. Apost. IX, 59a. XVI, 49. Mant. Provv. s. ψύχος.

94 *Τὸν πόλεμον ἐξωρχήσαντο:* ἐπὶ τῶν ἡττηθέντων ἀλόγως ἐν τῷ πολέμῳ. Συβαρίτας τοὺς ἐν Ἰταλίᾳ τρυφῆς ἀκούω ποιήσασθαι φροντίδα ὑπερβάλλουσαν, καὶ τῶν μὲν ἄλλων ἔργων καὶ σπουδασμάτων ἀμαθῶς ἔχειν, πάντα δὲ τὸν ἑαυτῶν βίον διάγειν ῥαστωνεύοντας ἐν ἀργίᾳ καὶ πολυτελείᾳ· ἐκδεδιδαγμένοι γοῦν ἦσαν αὐτοῖς οἱ ἵπποι παρὰ τὸν τῆς εὐωχίας καιρὸν ὀρχεῖσθαι πρὸς αὐλὸν τῷ ῥυθμῷ· τοῦτο οὖν εἰδότες οἱ Κροτωνιᾶται, ἐπολέμουν αὐτοῖς· σάλπιγγα μὲν οὖν καὶ ἦχον σύντονον καὶ παρακλητικὸν εἰς ὅπλα κατεσίγασαν, αὐλοὺς δὲ καὶ αὐλητὰς παραλαβόντες, ἐπεὶ ὁμοῦ ἦσαν καὶ τόξευμα ἐξικνεῖτο ἤδη, ἐνέδοσαν ἐκεῖνο τὸ μέλος τὸ ὀρχηστικόν· ὅπερ οὖν ἀκούσαντες οἱ τῶν Συβαριτῶν ἵπποι κατὰ τὴν οἴκοι μνήμην, ὡς ἐν μέσοις ὄντες τοῖς συμποσίοις, ἀπεσείσαντο μὲν τοὺς ἀναβάτας, ἐσκίρτων δὲ καὶ ἐχόρευον καὶ τῇ τε ἄλλῃ τὴν τάξιν συνέχεαν καὶ τὸν πόλεμον ἐξωρχήσαντο.

95 *Τὸ κυνὸς κακὸν ὗς ἀπέτισεν:* ἐπὶ ἄλλων μὲν ἁμαρτησάντων, ἄλλων δὲ δόντων δίκην.

96 *Τοὺς πλέονας κακίους δὲ, Βίας ἀπέφηνε Πριηνεύς.*

97 *Τὸ τῆς Ἀμαλθείας κέρας:* Φιλήμονος·

Τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι· τοῦτ' ἐὰν ἔχῃς, λέγε

---

4. τε καὶ As. 6. πολυτελείᾳ, περιηγεῖσθαι μὲν οὖν ἕκαστα τῶν ἐν Συβάρει μακρὸν ἂν εἴη νῦν, ἐκεῖνο δ' οὖν ὁμολογεῖ τρυφὴν ἄμαχον. δεδιδαγμένοι ἦσαν As. 8. ἐπολέμουν δὲ αὐτοῖς, σάλπιγγα cod. Vaticanus apud Iacobsium ad h. l. 9. οὖν As om. 12. ἐκεῖνοι As. 17. τῶν ἄλλων Z. 21. Φιλήμονος Πτέρυγες Stobaeus, A: scribe Πτερυγίῳ. 22. Ἀμαλθαίας Stobaeus, Ἀμαλθίας A. 24. τοῦτο δ' Stobaeus.

94. *Συβαρίτας κτλ.*] Aelian. N. An. XVI, 23, ubi v. Iacobsius. Fluxit ex Aristotelis Politiis: v. Aristot. Pol. fr. 233[a] Muell.

95. K in nott. ad Greg. Cypr. P III, 77: Arsen. L, 3. Macar. VIII, 56.

96. Anthol. Pal. IX, 366, 7. Diog. Laert. I, 87: ἔλεγε δὲ [Bias], . . . φιλεῖν ὡς μισήσοντας [cf. Apost. V, 90m]· τοὺς γὰρ πλείστους εἶναι κακούς: Clem. Alex. Stromm. I, 14, 61, p. 129 Sylb.: τὸ πάντες ἄνθρωποι κακοί, ἢ οἱ πλεῖστοι τῶν ἀνθρώπων κακοί· διχῶς γὰρ ἐκφέρεται τὸ αὐτὸ ἀπόφθεγμα, οἱ περὶ Σωτάδαν τὸν Βυζάντιον Βίαντος λέγουσιν εἶναι, quibuscum consentiunt Demetr. apud Stob. Flor. 3, 72, ζ et Schol. apud Iacobsium ad Anth. Palat. T. III, p. 542. Sententiam Mangeius ad Philon. T. I, 361 illustrat.

97. Cf. Apost. II, 53. *τὸ τῆς κτλ.*] Stob. Flor. 91, 13: Arsen. XLV, 7. Philem. Pteryg. fr. 1 Mein.

πολλοὶ τῶν κατὰ τὴν χώραν ἀπώλλυντο· οὐ διέλιπον οὖν οἱ ὄρνιθες οὗτοι πολλῷ σαφέστερον καὶ ἐναρθρότερον παιδίου μεῖζον φθέγμα ἀφιέντες καὶ λέγοντες· Τρὶς τοῖς κακοῖς τὰ κακά. λέγει δὲ ὁ αὐτὸς λόγος, ὅτι καὶ συλληφθέντες οὐ μόνον οὐ τιθασεύονται, ἀλλ' οὐδὲ φωνὴν ἀφιᾶσιν ἣν πρότερον ἠφίεσαν· ἡ δουλεία δὲ αὐτῶν καὶ ἡ κάθειρξις καταψηφίζεται σιωπήν· ἐὰν δὲ ἀφεθῶσι καὶ ἐλεύθερον ἁπλώσωσι τὸ πτερὸν πάλιν γίνονται ἔμφωνοι, ὁμοῦ καὶ τὸ φθέγμα καὶ τὴν παῤῥησίαν ἀπολαμβάνοντες.

90 *Τοσοῦτον σχεδὸν, ὅσον ἐκ Διονυσίων*: ἐπὶ τῶν ἀποδοχῆς ἀξίας τυχόντων.

91 *Τὸν οἴκοθεν βρεχόμενον οὐδὲ θεὸς οἰκτείρει*: καὶ αὕτη δημώδης.

92 *Τὸν κολοφῶνα ἐπέθηκας*: ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου τάσσεται· δώδεκα πόλεις τῆς Ἰωνίας συνήεσαν περὶ τῶν κοινῶν βουλευσόμεναι· καὶ εἴποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν τὴν νικῶσαν ἐτίθεντο· Σμυρναίους γὰρ ἐλθόντας συνοίκους ἐκέκτηντο, ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἔθεντο· ὅθεν ἐπὶ τῆς κρατίστης καὶ βεβαίας ψήφου ἡ παροιμία εἴρηται.

93 *Τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἔπεσον*: ἐπὶ τῶν τὰ μικρὰ τῶν δεινῶν φευγόντων καὶ εἰς μείζονα ἐμπιπτόντων.

91a *Τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στὶ χρήσιμον.*

---

4. ὅτι συλληφθ. καὶ ἀγρευθέντες As. 6. ἔτι ἀφιᾶσιν As. δὲ] γὰρ idem. 8. πτερὸν, καὶ εἰς ἤθη τὰ ἑαυτῶν ἀφίκωνται, πάλιν idem. 9. ἀναλαβόντες idem. 10. σχεδὸν τοσοῦτον ὅσον Suidas, σχεδὸν τοσοῦτον χὤσον Aristophanes. Διονυσίων] ἔθος ἦν Ἀττικοῖς λέγειν τὰ ἔτη καὶ τὸν ὑπερπίπτοντα ἀριθμὸν ἀπὸ τῶν Διονυσίων: quem morem respexit Megara in Alciph. Epist. I, 39: κληθεῖσα ὑπὸ Γλυκέρας εἰς τοσοῦτον χρόνον, ἀπὸ Διονυσίων γὰρ ἡμῖν ἀπήγγειλεν, οὐχ ἥκεις, ubi intt. errant. 14. τὸν M om. 15. τάσσεται M om. 16. συνήεσαν εἰς τὸ Πανιώνιον λεγόμενον Suidas. 18. ἐκέκτηντο] εἶχον idem. 19. ἐτίθεντο idem. 20. κρατούσης idem. 22. μείζονα δεινὰ Ds. 23. πᾶσίν ἐστι Menander.

90. Suid. s. Διονύσια: Ars. XLIX, 89. τοσοῦτον — Διονυσίων] Arist. Thesmoph. 747, ubi v. Scholia et annotationem Engeri.

91. Arsen. XLIX, 90. Add. hic locus Lobeckii de v. βρέχεσθαι disputationi in ann. ad Phrynich. 291.

91a. Arsen. XLIX, 91: Men. Monost. 584.

92. Arsen. L, 1. τὸν — τάσσεται] Greg. Cypr. M III, 91: Macar. VIII, 54. Apost. IX, 93. δώδεκα κτλ.] Suid. s. τὸν κολοφῶνα ἐπέθης.

93. Diog. VIII, 45: Arsen. L, 2. Macar. VIII, 42. Apost. IX, 59a. XVI, 49. Mant. Provv. s. φύχος.

94 *Τὸν πόλεμον ἐξωρχήσαντο:* ἐπὶ τῶν ἡττηθέντων ἀλόγως ἐν τῷ πολέμῳ:. *Συβαρίτας τοὺς ἐν Ἰταλίᾳ* τρυφῆς ἀκούω ποιήσασθαι φροντίδα ὑπερβάλλουσαν, καὶ τῶν μὲν ἄλλων ἔργων καὶ σπουδασμάτων ἀμαθῶς ἔχειν, πάντα δὲ τὸν ἑαυτῶν βίον διάγειν ῥᾳστωνεύοντας ἐν ἀργίᾳ καὶ πολυτελείᾳ· ἐκδεδιδαγμένοι γοῦν ἦσαν αὐτοῖς οἱ ἵπποι παρὰ τὸν τῆς εὐωχίας καιρὸν ὀρχεῖσθαι πρὸς αὐλὸν τῷ ῥυθμῷ· τοῦτο οὖν εἰδότες οἱ Κροτωνιᾶται, ἐπολέμουν αὐτοῖς· σάλπιγγα μὲν οὖν καὶ ἦχον σύντονον καὶ παρακλητικὸν εἰς ὅπλα κατεσίγασαν, αὐλοὺς δὲ καὶ αὐλητὰς παραλαβόντες, ἐπεὶ ὁμοῦ ἦσαν καὶ τόξευμα ἐξικνεῖτο ἤδη, ἐνέδοσαν ἐκεῖνο τὸ μέλος τὸ ὀρχηστικόν· ὅπερ οὖν ἀκούσαντες οἱ τῶν Συβαριτῶν ἵπποι κατὰ τὴν οἴκοι μνήμην, ὡς ἐν μέσοις ὄντες τοῖς συμποσίοις, ἀπεσείσαντο μὲν τοὺς ἀναβάτας, ἐσκίρτων δὲ καὶ ἐχόρευον καὶ τῇ τε ἄλλῃ τὴν τάξιν συνέχεαν καὶ τὸν πόλεμον ἐξωρχήσαντο.

95 *Τὸ κυνὸς κακὸν ὗς ἀπέτισεν:* ἐπὶ ἄλλων μὲν ἁμαρτησάντων, ἄλλων δὲ δόντων δίκην.

96 *Τοὺς πλέονας κακίους δὲ, Βίας ἀπέφηνε Πριηνεύς.*

97 *Τὸ τῆς Ἀμαλθείας κέρας:* Φιλήμονος·

Τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριον ἐστί· τοῦτ᾽ ἐὰν ἔχῃς, λέγε

---

4. τε καὶ As. 6. πολυτελείᾳ, περιηγεῖσθαι μὲν οὖν ἕκαστα τῶν ἐν Συβάρει μακρὸν ἂν εἴη νῦν, ἐκεῖνο δ᾽ οὖν ὁμολογεῖ τρυφὴν ἄμαχον. δεδιδαγμένοι ἦσαν As. 8. ἐπολέμουν δὲ αὐτοῖς, σάλπιγγα cod. Vaticanus apud Iacobsium ad h. l. 9. οὖν As om. 12. ἐκεῖνοι As. 17. τῶν ἄλλων Z. 21. Φιλήμονος Πτέρυγες Stobaeus, A: scribe Πτερυγίῳ. 22. Ἀμαλθαίας Stobaeus, Ἀμαλθίας A. 24. τοῦτο δ᾽ Stobaeus.

94. *Συβαρίτας κτλ.*] Aelian. N. An. XVI, 23, ubi v. Iacobsius. Fluxit ex Aristotelis Politiis: v. Aristot. Pol. fr. 233ª Muell.

95. K in nott. ad Greg. Cypr. P III, 77: Arsen. L, 3. Macar. VIII, 56.

96. Anthol. Pal. IX, 366, 7. Diog. Laert. I, 87: ἔλεγε δὲ [Bias], . . . φιλεῖν ὡς μισήσοντας [cf. Apost. V, 90m]· τοὺς γὰρ πλείστους εἶναι κακούς: Clem. Alex. Stromm. I, 14, 61, p. 129 Sylb.: τὸ πάντες ἄνθρωποι κακοί, ἢ οἱ πλεῖστοι τῶν ἀνθρώπων κακοί· διχῶς γὰρ ἐκφέρεται τὸ αὐτὸ ἀπόφθεγμα, οἱ περὶ Σωτάδαν τὸν Βυζάντιον Βίαντος λέγουσιν εἶναι, quibuscum consentiunt Demetr. apud Stob. Flor. 3, 72, ζ et Schol. apud Iacobsium ad Anth. Palat. T. III, p. 542. Sententiam Mangeius ad Philon. T. I, 361 illustrat.

97. Cf. Apost. II, 53. *τὸ τῆς κτλ.*] Stob. Flor. 91, 13: Arsen. XLV, 7. Philem. Pteryg. fr. 1 Mein.

πρὸς τοῦτ' εἰ βούλει, πάντα σοι γενήσεται,
φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι.

98 Τὸ γὰρ βροτεῖον σπέρμ' ἐφημέρια φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον, ἢ καπνοῦ σκιά. Αἰσχύλου.

99 Τοῦ Κροίσου παιδὸς σιγηλότερος: Κροῖσος γὰρ ἐκέκτητο υἱὸν ἄφωνον.

100 Τὸν τρέχοντα ἐρέθιζε: πρόδηλος· καὶ οὕτω δεῖ τοὺς φρονίμους.

99a Τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα,
τὸ δ' ἔργον ὡς πάρεργον ἐκπονούμεθα:. Ἀγάθωνος.

99b Τοῦτο δέ ἐστιν ὃ λέγουσιν, ὡς φίλος αὐτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει:. Πλάτων ἐν τοῖς νόμοις.

99c Τὸν περὶ ψυχῆς δρόμον τρέχει.

---

1. τοῦθ' ὃ Stobaeus: v. Meinekius. 3. ἐφήμερα Stobaeus: Apostolii lectionem post Burmannum commendaverunt multi: v. Meinekius Men. et Philem. Rell. p. 376. 13. τρέχειν τὸν περὶ ψυχῆς: οἷον δρόμον Photius: cf. Zenob. IV, 85 ibiq. annott.

98. Stob. Flor. 98, 49. Aesch. fr. 282 Dind.

99. Greg. Cypr. P III, 79: Arsen. L, 4.

99a. Arsen. L, 5: Athen. V, 185 A. Cf. Kayserus Hist. Crit. tragg. Gr. 167 sq.

99b. Arsen. L, 6.

99c. Arsen. L, 7: Phot. s. τρέχειν, Suid. s. τρέφεσθαι. Explicatur ab Eustath. ad Hom. Il. X, 161, p. 1264, 15: τὸ δέ, περὶ ψυχῆς ἔθεον, παροιμίαν ἀπετέλεσε, λέγουσαν τὸ περὶ ψυχῆς θέειν, ὅτε τις ἀγωνιῶν ἐπὶ ἐσχάτῳ κινδύνῳ διαπράττεταί τι· τοῦτο δὲ καὶ ἀγῶνα θανάσιμον Εὐριπίδης [Orest. 878] φησίν, ἐξ Ὁμηρικοῦ κερδήσας τὸ νόημα, ὃς καὶ ἄλλως ἑρμηνεύων περιφραστικώτερον τὸν περὶ ψυχῆς δρόμον ἀγῶνα [Orest. 847, ubi v. Matthiae] φησίν, ἐν ᾧ ζῆν ἢ θανεῖν χρεών. τούτοις ὅμοιον καὶ παρὰ Ἡροδότῳ [VIII, 74: add. VII, 57, ubi v. Valckenaerius, et Schweighaeuser Lexic. Herod s. θέειν.] τό, θέοντες τὸν περὶ τοῦ παντὸς ἤδη δρόμον. Usurpavit Arist. Vesp. 375: alia indicata sunt in annott. ad Zenob. IV, 85: add. Greg. Nazianz. Epist. 17 [51], p. 779 D: ὁπότε . . τὸν περὶ ψυχῆς δρόμον τρέχουσιν ἄνθρωποι: Synes. Epist. 4, p. 164 C: ἐπειδὴ νῦν σαφῶς τὸν περὶ ψυχῆς θέομεν: v. annott. ad Macar. VI, 39. Apost. X, 41. XVII, 22.

100. Proverbium e versu Hom. Il. Θ, 293 derivandum est: τί με σπεύδοντα καὶ αὐτὸν Ὀτρύνεις: ad quem locum Eustath. p. 713, 57 ita disserit: τὸ δὲ ῥηθὲν Ὁμηρικὸν ῥητόν, . . . παρεποιήθη τοῖς μεθ' Ὅμηρον εἰς παροιμίαν ἀποφαντικὴν ταύτην· σπεύδοντα ὀτρύνεις, quo utitur Lucian. Nigrin. 6: τοῦτο γάρ τοι τὸ τοῦ Ὁμήρου, σπεύδοντα καὶ αὐτὸν παρακαλεῖς: add. Mant. Provv. s. μύωπι. Imitati sunt Homerum etiam Latini: Cic. Epist. ad Famil. XV, 15, 3: eumque . . *ad pacem currentem, ut aiunt, incitarem:* id. Epist. ad Attic. XIII, 45, 2: *quod me hortaris, ut eos dies consumam in philosophia explicanda, currentem tu quidem:* id. de Orat. II, 44, 186: *facilius est enim currentem, ut aiunt, incitare, quam commovere languentem:* Plin. Epist. I, 8, 1. III, 7, 15.

1 *Τὸ ἀρνίον σου λελάληκεν*: ἐν Αἰγίνῃ, ὥς φασίν, ἀνθρωπείᾳ φωνῇ ἐχρήσατο καὶ εἶπε τὰ μέλλοντα.

2 *Τὸ βασιλικὸν βοίδιον*: ἐπὶ τοῦ Πτολεμαίου βοῦς ἀπέτεκεν ἓξ βοίδια· πρὸς οἰωνοῦ δὲ ἀγαθοῦ τὸ συμβησόμενον λαβὼν ὁ Πτολεμαῖος ἐν τοῖς βασιλείοις μετὰ πάσης ἐπιμελείας προςέταξε τρέφεσθαι· χρήσῃ δὲ τοῦτο, ἢ ἐπὶ τῶν θεραπείας πολλῆς ἀξιουμένων, ἢ ἐπὶ τῶν εὐτυχούντων.

3 *Τὸ Δίωνος γρῦ*: οὗτος ὁ Δίων, Ἀλεξανδρεὺς μὲν ἦν τὸ γένος, ἐπὶ φιλοσοφίᾳ δὲ περιβόητος· ἔχων δὲ ἀδελφὸν παλαιστὴν, Τόψιον καλούμενον, λοιδορούμενος ὑπό τινος τῶν ἀνταγωνιστῶν αὐτοῦ καὶ ἀκούων ἄῤῥητα ῥήματα, ἐπακολουθοῦντος καὶ ὄχλου πολλοῦ, αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο, κατεσταλμένον τὸ τῆς σοφίας παράγγελμα τηρῶν· ἐντὸς δὲ τοῦ ἰδίου πυλῶνος γενόμενος καὶ μηδὲν ὀργῆς ὑπομείνας εἶπε πρὸς τὸν νέον οὐδὲ γρῦ· ὁ δὲ ἀθυμήσας ἀπήγξατο.

4 *Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐν τῇ γλώσσῃ τοῦ μεθύοντος.*

5 *Τὸ Φιλοξένου οὔ*: ἐπὶ τῶν μεγάλως ἀρνουμένων. Φιλόξενος ὁ Κυθήριος διαφυγὼν τὰς λατομίας, εἰς ἃς αὐτὸν Διονύσιος ὁ τύραννος ἐνέβαλεν οὐκ ἐπαινοῦντα τὰς τραγῳδίας αὐτοῦ, διέτριβεν ἐν Κρότωνι τῆς Ἰταλίας. πυ-

---

1. σοι Ds, Suidas. Explicatio in Diogeniano excidit. Αἰγίνῃ] Αἰγύπτῳ Suidas. 2. ἐχρήσατο κτλ.] ἐλάλησεν· εὑρέθη δὲ ἔχον βασίλειον δράκοντα ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ πτερωτόν, ἔχοντα μῆκος πήχεων δ', καί τινι λελάληκε τὰ μέλλοντα Suidas. 3. Differunt paulum BK. 6. τούτῳ Z. 7. ἢ ἐπὶ τῶν εὐτυχούντων] KB non agnoscunt. 8. ἢ πολυτόκων in fine Z ex Diogeniano adiecit. 9. οὐδὲ τὸ Zenobius. γρύ A, γρῦ N. 10. τὸ γένος K om. διαβόητος δὲ ἐπὶ φ. Zenobius. δὲ Zenobius om. 11. ἐπικαλούμενον Zenobius. δὲ ὑπὸ idem. 12. καὶ — ῥήματα in K desunt: κ. ἀκ. ῥητὰ καὶ ἄῤῥητα Zenobius. καίτοι π. ὄ. ἐπακολουθοῦντος idem. 14. κατεσταλμένον — τηρῶν K om. κατεσταλμένον αὐτὸν κατὰ Wyttenbachius, κατεστυμμένον Finckhius annott. ad Zenob. 19. φιλοσοφίας A Zenobius. 15. ἐντὸς δὲ] πρὶν ἂν ἐντὸς K. 16. ὑπομείνας] ὑποφήνας Zenobius. πρὸς τὸν νέον K om., πρὸς τὸν νεανίαν Zenobius. 18. ἐπὶ τῆς γλώσσης Ds. 19. ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων Z e Diogeniano adiecit.

1. Diog. VIII, 30. Suid. s. ἀρνίον et s. τὸ ἀρνίον: Arsen. L, 8.
2. VK in nott. ad Diog. VIII, 41: Arsen. L, 9. De Ptolemaeo Philopatore v. Meinekius Anal. Alex. 342.
3. Zenob. V, 54. App. Provv. IV, 91: Arsen. L, 10.
4. Diog. VIII, 43: Arsen. L, 11. Macar. VIII, 40.
5. Scholl. ad Aristid. 264 Fromm. Append. Provv. V, 16. Apost. VI, 68.

θόμενος δὲ ὁ Διονύσιος ἠξίου αὐτὸν εἰς Συρακούσας παραγενέσθαι· ὁ δὲ πρὸς ταῦτα λαβὼν χάρτην καὶ κατὰ μέσον γράψας μικρὸν οὗ περὶ τοῦτο μεῖζον περιεχάραττεν, ὥστε τὸ σχῆμα τοιοῦτον· καὶ πλήσας τούτων πάντων τὸν χάρτην ἐπεμψεν, ἐμφαίνων ὅτι πολλάκις καὶ μεγάλως ἀρνεῖται.

6 *Τὸ Πάσητος ἡμιώβολον: οὗτος μαλακὸς ἦν ὁ Πάσης ἐπὶ μαγείᾳ διενηνοχώς· τὸ γὰρ ἡμιώβολον διδοὺς παρ' ἑαυτῷ πάλιν εὕρισκε.*

7 *Τὸ πέλαγος πρότερον οἴσει ἄμπελον, ἢ τόδε τι γενέσθαι: ἐπὶ τῶν ἀδυνάτων.*

8 *Τὸ Ἱππάρχου τειχίον: ἐπὶ τῶν δαπανηρῶν πραγμάτων. Ἵππαρχος γὰρ ὁ Πεισιστράτου παρὰ τὴν Πυθίαν τεῖχος ᾠκοδόμησε, πολλὰ τοὺς Ἀθηναίους ἀναγκάσας ἀναλῶσαι.*

9 *Τὸν Ὕλλαν κραυγάζεις: ἐπὶ τῶν μάτην πονούντων καὶ κραυγαζόντων· ἐπεὶ τὸν Ὕλλαν ἀφανῆ γενόμενον Ἡρακλῆς ἀποβὰς τῆς νεὼς Ἀργοῦς ζητήσας οὐχ εὗρε.*

10 *Τὸ μὲν νόημα τοῦ θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν: οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι ἔλεγον· ὁ μὲν θεὸς ὑπέβαλεν, ὁ ἐργασάμενος δὲ ἐγώ.*

11 *Τοῦ Διὸς τὸν σάνδαλον: ἐπὶ τῶν μεγάλα δή τινα προβαλλομένων καὶ καινά.*

12 *Τὸ κανοῦν τῆς θεοῦ φέρει: ἐπὶ τῶν ἁγνῶν· αἱ γὰρ ἁγναὶ ἔφερον.*

---

4. *τοιοῦτον γενέσθαι* 8 Scholiasta. 7. *τὸ γὰρ κτλ.*] e comici cuiusdam versibus superesse videntur: *τὸ γὰρ ἡμιωβόλιον διδοὺς Πάλιν παρ' ἑαυτῷ τοῦτ' ἀνέλαβε*: v. VB in nott. ad Diog. l. c. Ceterum Suidas s. *Πάσης* sic explicat: *ὁ δὲ Πάσης οὗτος μ. ἦν τὴν φύσιν, πάντας δὲ ἀνθρώπους ἐν μ. διενήνοχεν, ὥστε ἐκ τῶν ἐπαοιδῶν αὐτοῦ καὶ δεῖπνα πολυτελῆ ὁρᾶσθαι καὶ διακονουμένους τινάς, καὶ πάλιν ἀφανῆ πάντα γίνεσθαι. εἶχε δὲ καὶ ἡμιωβόλιον ἐκ μιᾶς* [vox suspecta] *αὐτῷ πεποιημένον, ὃ διαδιδόμενον ὑπ' αὐτοῦ τοῖς πιπράσκουσι, παρ' ὧν ἤθελεν ὠνεῖσθαι, εἰ ἠβούλετο, πάλιν παρ' αὐτῷ ηὑρίσκετο. καὶ Ἀπίων δὲ ὁ γραμματικὸς μνημονεύει αὐτοῦ ἐν τῷ περὶ μάγου.* 9. *ἢ τόδε τι γενέσθαι*] Ds non agnoscit. 12. *περὶ τὴν Ἀκαδημίαν* Suidas. 15. *Ὕλαν* idem. 17. *καὶ ζητήσας* idem. 18. *τῆς θεοῦ* Suidas, Aristophanes. 21. *μεγάλα κτλ.*] *ὡς μέγα δή τι. Εὔπολις Χρυσῷ γένει* Suidas cum Photio. Cf. Meinekius Com. Gr. Fr. II, 1, p. 545. 23. *ἐπὶ τ. ἁγνῶν*] Ds ignorat.

6. Diog. VIII, 40.
7. Diog. VIII, 44.
8. Suidas: Arsen. L, 12. Greg. Cypr. P III, 81.
9. Suidas: Arsen. L, 13. Diog. VIII, 33. Apost. VIII, 34.
10. Greg. Cypr. P III, 83: Arsen. L, 14.
11. Suidas: Arsen. L, 15. Photius.
12. Diog. II, 46. Macar. I, 19.

13 *Τοῦ Βάϋνος χοροῦ:* ἐπὶ τῶν ἁπλουστέρων καὶ ἀμαθῶν. παρόσον ὁ Βάϋν κακοὺς ἐποίει τοὺς μαθητάς.

14 *Τὸ Ἐπιμελίδειον δέρμα:* ἐπὶ τῶν ἀποθέτων· κατέκειτο γὰρ παρὰ τῇ Λακεδαίμονι τοῦτο.

15 *Τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται:* παραπλησία τῇ· *Ἐμοὶ μὲν τὸ γένος ἄτιμον, σὺ δὲ τῷ γένει:.* *Ἰφικράτης* σκυτοτόμου υἱὸς πρὸς Ἁρμόδιον τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον εἰς δυςγένειαν αὐτῷ λοιδορούμενον ἔφη τόδε.

16 *Τὸ Φρυνίχου πάλαισμα:* κατὰ τῶν πανούργως σοφιζομένων· προδότης γὰρ οὗτος γέγονε τῶν Λακεδαιμονίων.

17 *Τὸν Μίδα πλοῦτον καὶ Κροίσου καὶ Κυνήρου:* ἐν ὑπερβολῇ ταῦτα.

18 *Τορώνη:* Δίδυμός φησιν, ὅτι παροιμία ἐστὶν ἐπὶ τῶν ἁρμοζομένων καὶ σεμνοποιούντων ἑαυτοὺς πρὸς τὰ ἐναντία· Ἰσοκράτης δέ φησι πόλιν εἶναι ἐν Θρᾴκῃ.

19; *Τοῦ σελίνου δεῖται:* ἐπὶ τῶν ἰσχυρῶς νοσούντων· καὶ γὰρ εἰώθασι στεφανοῦν σελίνοις τὰ μνήματα.

20 *Τὸν ξύοντα ἀντιξύειν:* ἐπὶ τῶν βλαπτόντων ἢ ὠφελούντων τινάς. ἀπὸ μεταφορᾶς τῶν ὄνων· ἀλλήλους γὰρ ἀντικνήθουσιν.

---

1. *Τοῦ* C om. *Βάβυος* C Suidas. *χορός* C. 2. *παρόσον κτλ.*] Suidas non agnoscit. Scribe *Βάβυς* et cf. Zenob. IV, 81. 3. *Ἐπιμενίδειον* Ds. 6. *ἐμοὶ μὲν*] *μὲν* A om. 7. *ἄτιμον*] *ὄνειδος* Stobaeus. 11. *οὗτος* Ds om. 12. Scribe *Κινύρου.* 14. Harpocration: *Τορώνη· Ἰσοκράτης Παναθηναϊκῷ* [§. 63]. *πόλις ἐν Θρᾴκῃ, ὡς Ἔφορος ἐν δ'* [fr. 75 Muell.] *ἱστορεῖ. Τοὺς ἑτέρους* [*ἑταίρους* codd. Suidae et Photii s. *τοὺς*] *τραγῳδοὺς ἀγωνιεῖται· Λυκοῦργος ἐν τῷ πρὸς Δημάδην. Δίδυμός φησιν . . . ἐναντία:* ex hoc loco patet, ea quae ad Diog. V, 43 de Toronae spongiis scripsi, prorsus delenda esse. 15. *ἁρμοζομένων πρὸς τὰ ἐπιόντα* Hemsterhusius ad Luciani Tim. §. 51 coniecit, *ἁρμοζομένων ἐνόντα* Toupius. 18. *εἰώθαμεν* Ds.

13. Suidas: Arsen. L, 16. App. Provv. I, 46.
14. Diog. VIII, 28. Apost. VII, 73.
15. Arsen. L, 17. *τὸ — παύεται*] Plut. Apophth. Regg. cett. 187 B. *παραπλησία — γένει*] Stob. Flor. 90, 12; habet Arsenius etiam XLVIII, 6. *Ἰφικράτης κτλ.*] Plut. Apophth. l. c., Arsen. XXXI, 95: add. Plut. de Nobil. 21, Stob. Flor. 86, 15. Simile adscribitur Sostrato dictum apud Stob. Flor. 86, 14 et Max. Conf. Serm. 63, p. 676 Comb.
16. Diog. VIII, 29. Macar. VIII, 75. DV III, 80. Apost. XVIII, 3.
17. Diog. VIII, 53. Greg. Cypr. L III, 15.
18. Harpocr. 176, 17 Bekk. Dixit post Hemsterhusium de hoc loco Kiesslingius de Lycurgi Or. deperd. frr. p. 67. Proverbium de Torona Apost. X, 34 commemoravit.
19. K in nott. ad Diog. VIII, 57: Arsen. L, 18. Macar. VII, 75. Apost. XIII, 47. XV, 37.
20. Greg. Cypr. P III, 78: Arsen.

Τὸ τ̃ μετὰ τοῦ ρ̃.

21 *Τραγικὸς Θεοκρίνης*: ἐπὶ συκοφαντούντων. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος λοιδορούμενος Αἰσχίνῃ φησί, Τραγικὸς Θεοκρίνης, βούλεται δὲ λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὡς ἐστι δῆλον ἐκ τοῦ κατὰ Θεοκρίνου, εἴτε Δημοσθένους ἐστὶν εἴτε Δεινάρχου οὗτος ὁ λόγος.

20a *Τὸ τῆς παροιμίας* ποιεῖς τῆς ἐν τῇ φάτνῃ κειμένης, ἣ οὔτε αὐτὴ τῶν κριθῶν ἐσθίει οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπιτρέπει.

20b *Τὸ γὰρ ἔαρ* οὔτε μία χελιδὼν ποιεῖ οὔτε μία ἡμέρα:. Ἀριστοτέλης Ἠθικῆς.

20c *Τὸν ἐν ἀλλοτρίῳ* χορῷ πόδα τιθέντα περίεργον ἡ παροιμία καὶ γελοῖον ἀποδείκνυσι. Πλουτάρχου.

20d *Τὸ φῶς* δ' ἀνθρώποισιν ἥδιστον βλέπειν:. Εὐριπίδης Ἰφιγενείᾳ ἐν Αὐλίδι.

20e *Τὸν γὰρ γυναικὸς* ὅρκον εἰς οἶνον γράφε.

20f *Τὸν καυλὸν* οἶσθ' ἐκεῖνον τοῦ σιλφίου τὸν ἄξιον λεγόμενον:. Ἀριστοφάνης Ἱππεῦσι.

20g *Τὸν αὐτὸν* αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.

20h *Τὸν ἕβδομον* βοῦν ἡ σοφὴ παροιμία.

---

1. τραγικὸς — συκοφαντούντων] Θεοκρίνης Harpocratio. 7. λόγος] τὸν γοῦν πάλαι μὲν ὑποκριτὴν τραγικόν, ὕστερον δὲ συκοφάντην εἰκότως ὠνόμασε τραγικὸν Θεοκρίνην Harpocratio addit. 8. παροιμίας] κυνὸς Lucianus. κατακειμένης idem. 11. τὸ — οὔτε] μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ οὐδὲ Aristoteles. 12. Corrige Ἠθικῶν. 13. τὸν μὲν γὰρ Plutarchus. 15. δ'] τάδ' Euripides. 17. τὸν — ὅρκον] ὅρκον δ' ἐγὼ γυναικὸς Athenaeus. 18. λεγόμενον] γενόμενον Aristophanes.

XLIX, 92. Diog. VIII, 48: add. Anon. Encom. comae p. 50, 22 Mill.: ἡ γὰρ παροιμία μοι συμβεβούλευκεν ἀντιξέειν τὸν ξύοντα.

20a. Arsen. XLIX, 93: Lucian. advers. indoct. 30. DV II, 83. Apost. VIII, 42.

20b. Arsen. XLIX, 94: Aristot. Eth. ad Nicom. I, 6. Apost. XI, 63.

20c. Arsen. XLIX, 95: Plutarch. qua quis rat. se ipse sine invid. laud. 3, p. 540 B. Adhibet Plutarchus etiam Sympos. Quaest. V, 1, 2, p. 673 D: ἐγὼ δέ, καίπερ ἐν ἀλλοτρίῳ χορῷ πόδα τιθείς, εἶπον κτλ.

20d. Arsen. XLIX, 96: Eurip. Iphig. Aul. 1250.

20e. Arsen. XLIX, 97: Xenarch. apud Athen. X, 441 E. Plut. Boiss. 5. Apost. VI, 56.

20f. Arsen. XLIX, 98: Arist. Equitt. 893.

20g. Arsen. XLIX, 99: Menand. Monost. 506.

20h. Arsen. XLIX, 100: Suid. s. ἑβδομαῖος. Macar. II, 89. Apost. V, 8. Respexit, ut videtur, Liban. Oratt. T. IV, p. 160 R.: ἀτεχνῶς λίθινοί τινες ὄντες, περὶ ὧν ἡ καλὴ παροιμία, βοῦς ἕβδομος.

21. Harpocr. 95, 14. Κτησιφῶντος] §. 313, p. 329 R., ubi cf. Dissenius.

22 *Τρέχει τὴν ἐσχάτην:* ἐπὶ τῶν τὰ λοίσθια πνεόντων.

23 *Τρικέφαλος Ἑρμῆς:* παρόσον ὁ λόγος μέγιστα ἰσχύει· οἱ δέ φασιν αὐτὸν τρικέφαλον ὡς διδάσκοντα τὰς ὁδοὺς καὶ ἔχοντα ὑπογραφήν, ποῦ μὲν αὕτη φέρει ἡ ὁδός, ποῦ δὲ ἐκείνη· ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἔστι δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὥς Φιλόχορος φησί, Προκλείδης Ἱππάρχου ἐραστής.

24 *Τροχίλος θεραπεύει κροκόδειλον:* ἐπὶ τῶν φόβῳ τοῖς κρείττοσι δουλευόντων, ὅμως καὶ αὐτῶν ὑπ' ἐκείνων ὠφελουμένων:. *Ὁ κροκόδειλος νήχεταί* τε ἅμα καὶ κέχηνεν· ἐμπίπτουσιν οὖν αἱ βδέλλαι καὶ λυποῦσιν αὐτόν· ὅπερ εἰδὼς ἰατροῦ δεῖται τοῦ τροχίλου. ἔστι δὲ ὁ τροχίλος ὄρνις τῶν ἑλείων εἷς, καὶ παρὰ τὰς ὄχθας τῶν ποταμῶν ἀλᾶται, καὶ ὅ τι ἂν τύχῃ παρεκλέγων βόσκεται· πλήρης οὖν βδελλῶν γενόμενος ὁ κροκόδειλος, ἐπὶ τὴν ὄχθην προελθὼν κατὰ τοῦ ἀκτῖνος κέχηνεν· ὁ τοίνυν τροχίλος ἐκβαλὼν τὸ ῥάμφος ἐξάγει τὰς προειρημένας· καρτερεῖ δὲ ὠφελούμενος ὁ κροκόδειλος καὶ ἀτρεμεῖ· καὶ ὁ μὲν ἔχει δεῖπνον τὰς βδέλλας, ὁ δὲ ὀνίναται, καὶ τὸ μηδὲν ἀδικῆσαι τὸν τροχίλον λογίζεταί οἱ μισθός:. *Κειμένῳ δὲ καὶ ὑπνώττοντι* τῷ κροκοδείλῳ ἐπιβουλεύει ὁ ἰχνεύμων καὶ ἐμφὺς τῇ δέρῃ, πολλάκις ἀπέπνιξεν αὐτόν· ἀλλ' ὅ γε τροχίλος ὑπεραγρυπνῶν τοῦ τροφέως βοᾷ καὶ παίει κατὰ τῆς ῥινὸς αὐτὸν καὶ ἀνίστησι καὶ πρὸς τὸν ἐχθρὸν ὑποθήγει.

25 *Τρὶς ἓξ ἢ τρεῖς κύβοι:* οἱ μὲν τρὶς ἓξ νίκην, οἱ δὲ τρεῖς κύβοι κενοί.

---

1. *τρέχειν* Suidas. *ἐπὶ τῶν κτλ.*] horum loco citat Suidas Polyb. XVIII, 35, 6: *ἐὰν τὸ δὴ λεγόμενον τρέχωσι τὴν ἐσχάτην, ἐπὶ τοὺς Ῥωμαίους καταφεύξονται κτλ.*: v. Schweighaeuser ad h. l. 2. *Τρικέφαλος — διδάσκοντα*] *τρικέφαλος: ὁ Ἑρμῆς. ὥσπερ διδάσκων* Photius. 4. *ἔχων* idem. 10. *ὁ γοῦν* As. 11. *ἐς αὐτὸν καὶ* As. *αὐτόν* As om. 12. *ἔστι — ὄρνις*] *ὁ μὲν τρ. ὄρνις ἐστὶ* As. 15. *οὖν*] *γὰρ* As. *βδελλῶν*] *αὐτῶν* As. *ὁ κροκόδ.* As om. 16. *τῆς* As. 17. *ἐμβαλὼν* As. 20. *μισθόν* As. 21. *δὲ καὶ*] *μὲν γὰρ καὶ ὑπερυπνώττοντι ἐπιβουλεύει* As. 22. *δέρῃ* As. 23. VV. *ὑπεραγρυπνῶν τ. τρ.* ex antecedentibus huc Apostolius posuit.

22. Suidas: Arsen. L, 21. Cf. Apost. XVI, 99c.

23. Photius: Suid. Etym. M. 766, 24. Harpocr. 178, 4 Bekk. *Φιλόχορος*] fr. 69 Muell. De Mercurio tricipite v. Sluiterus Lectt. Andoc. 41 Lugd. Cf. Apost. praef. §. 8.

24. *Κροκόδειλος — τροχίλου*] Aelian. N. An. III, 11. *ἔστι — βόσκεται*] Ael. l. c. VIII, 25. *πλήρης — μισθός*] Aelian. l. c. III, 11. *κειμένῳ κτλ.*] Aelian. l. c. VIII, 25.

25. Suidas: Arsen. L, 22. Append. Provv. IV, 99. Apost. VIII, 72.

26 *Τριτογενείας ἔφυ παῖς:* ἐπὶ τῶν ἐνδόξων καὶ φρονίμων. λέγεται δὲ Τριτογενὴς ἡ Ἀθηνᾶ, ἤτοι ὅτι ἐκ τῆς νηδύος καὶ τῆς μήτρας καὶ τῆς κεφαλῆς τοῦ Διὸς ἐξῆλθεν· ἢ ὅτι παρὰ Τρίτωνι τῷ ποταμῷ Λιβύης ἐγεννήθη, φθίνοντος, ὡς καὶ Ἀθηναῖοι ἄγουσιν· ἢ ὅτι μετὰ Ἄρτεμιν τρίτη καὶ Ἀπόλλωνα ἐγεννήθη· ἢ ὅτι ἐπεὶ τριτὼ τὴν κεφαλὴν Ἀθηναῖοι ἔλεγον.

27 *Τρὶς παρ' ἀσπίδα στῆναι ῥᾷότερον ἢ ἅπαξ ἀνταγωνίσασθαι τῇ πενίᾳ:* τοῦτο ἐκ τῆς τραγῳδίας.

28 *Τρίτου κρατῆρος ἐγεύσω:* ἐπὶ τῶν μεμυημένων τὰ τελεώτατα καὶ σωτηριωδέστερα· τρεῖς δὲ ἦσαν κρατῆρες· καὶ

---

4. φθίνοντος τρίτη Z: hoc loco plura verba excidisse Kusterus ad Suid. l. c. et Mullachius ad Democr. fr. p. 120 monuerunt. Recte: variis autem veterum locis inter se collatis oratio manca sic fere reconcinnanda videtur: ἢ ὅτι τρίτη φθίνοντος ἐτέχθη· ἢ ὅτι τῇ τρίτῃ τοῦ μηνὸς ἐγεννήθη· διὸ καὶ ἑορτὴν τῇ τρίτῃ Ἀθηναῖοι ἄγουσιν: v. Scholl. Ven. ad Θ l. c.: ἢ ὅτι τρίτη φθίνοντος ἐτέχθη· καὶ παροιμία κτλ.: Tzetz. ad Lycoph. l. c.: ἢ ὅτι κατὰ Καλλισθένην [p. 271 Geier.] τρίτῃ τοῦ μηνὸς ἐγεννήθη· διὸ παρ' Ἀθηναίοις ἡ τρίτη ἱερὰ τῆς Ἀθηνᾶς: Bekk. Anecd. I, 306, 32: τριτόμηνις: ἑορτὴ ἀγομένη Ἀθηνᾶς τῇ τρίτῃ: add. Harpocr. 178, 15. Crameri Anecd. Oxon. II, 264 et v. ann. ad Macar. VIII, 9, ad Apost. I, 10. 6. ὅτι ἐπεὶ] ὅτι om. Suidas, ἐπεὶ Z. τρίτωνα Suidas. Ἀθηναῖοι] Ἀθαμᾶνες Hesych. s. τριτώ, Photius; ad eandem lectionem etiam Choeroboscus ducit: v. Schleussnerus ad Etym. Gudian. 1051. 7. ἔλεγον] post hanc vocem Apostolius lacunae signum posuit: aut quae in Suida sequuntur addere voluit: ἢ ἐπεὶ παρὰ Τρίτωνι ἐγένετο· ἢ τοῦ τρεῖν καὶ εὐλαβεῖσθαι αἰτία· ἢ γεννητική· ἢ ὅτι ἀπελούσατο ἐν τῷ Τρίτωνι τῷ Λιβύης ποταμῷ: aut quae EZ habent: ἢ ὅτι τρία γίνεται ἐξ αὐτῆς, ἃ πάντα τὰ ἀνθρώπινα συνέχει [Democriti verba: Diog. Laert. IX, 46. Suid. s. τριτογένεια: accuratius philosophi sententiam, de qua v. Lobeckius Aglaoph. I, 157, refert Schol. Ven. ad Hom. Θ l. c.]. τρία γάρ ἐστι, δέσποτα, | δι' ὧν ἅπαντα γίνεται [γίγνετ' Stobaeus], ἢ κατὰ τὸν νόμον [τοὺς νόμους Stobaeus, Meinekius], | ἢ ταῖς ἀνάγκαις ἢ [ἢ τὸ Stobaeus] τρίτον ἔθει τινί: sunt Menandri versus ex Stob. Flor. 43, 15, Ἐμπιπραμένης fr. II Mein. 10. Τρίτου — Ὀλυμπίων] τρίτου κρατῆρος. τοῦ Σωτῆρος· ὃν καὶ τέλειον

26. Integrum proverbium cum proba explicatione exstat apud Schol. Ven. ad Hom. Il. Θ, 39: καὶ παροιμία· παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια· ἀῤῥενώδεις γὰρ αἱ τοιαῦται γυναῖκες: add. Suid. s. τριτογένεια. φρονίμων] nam Minerva ἡ αὐτή ἐστι τῇ φρονήσει, ut explicat Tzetz. ad Lycoph. 519. λέγεται δὲ κτλ.] Suid. s. τριτογενής: Phot., Tzetz. l. c., Eustath. ad Hom. Il. Δ, 504, 15. Θ, 696, 38, ad Odyss. Γ, 1473, 12 et qui ex eodem fonte plura addit Choeroboscus in Etym. M. 767, 40: brevissime rem tractarunt Hesych., Scholl. Ven. ad Hom. Il. Δ, 515, Etym. Gudian. 535, 32: add. Cornutus de Nat. Deor. 20, ubi v. Osannus.

27. Ante oculos habuisse videtur auctor incertus Eurip. Med. 250: ὡς τρὶς ἂν παρ' ἀσπίδα στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ, quo loco usus est Lucian. Gall. 19.

28. Τρίτου — Ὀλυμπίων] Suidas: Photius. Graecis hominibus in

τὸν μὲν πρῶτον ἔλεγον Ὀλυμπίων, τὸν δὲ δεύτερον Ἡρώων· Πλάτων ἐν πολιτείᾳ· τὸν δὲ τρίτον Ὀλυμπικῶς τῷ σωτῆρί τε Ὀλυμπίῳ. ἐλέγετο καὶ τριττὺς ἡ ἐντελὴς θυσία ἐκ συός, κριοῦ καὶ τράγου, καὶ φυλῆς μέρος τρίτον.

29 *Τραγικὸν πάθος*: ἐπὶ τῶν μεστῶν συμφορῶν: *Οἱ τράγοι μάχονται* πρὸς τράγους ὑπὲρ τῶν θηλειῶν, ὥσπερ ὡραίων γυναικῶν, καὶ οἱ ταῦροι πρὸς ταύρους, καὶ ὑπὲρ οἰῶν οἱ κριοὶ πρὸς τοὺς ἀντερῶντας. ὀργῶσι δὲ καὶ ἐπὶ τὰς θηλείας καὶ οἱ θαλάττιοι κάνθαροι· γίνονται δὲ ἐν τοῖς ἄσπροις καλουμένοις χωρίοις καὶ εἰσὶ ζηλότυποι, καὶ ἴδοις ἂν μάχην ὑπὲρ τῶν θηλειῶν καρτεράν· καὶ ἔστιν ὁ ἀγὼν οὐχ ὑπὲρ πολλῶν, ὡς τοῖς Ἀργείοις ὁ πόλεμος, ἀλλ' ὑπὲρ τῆς ἰδίας γαμετῆς, ὡς τῷ Μενέλεῳ πρὸς τὸν Πάριν.

ἔλεγον. τὸν μέν γε πρῶτον Ὀλυμπίων φασὶ Suidas. Meliora praebet Schol. Plat. 325 Bekk.: τὸ τρίτον τῷ Σωτῆρι, ἐπὶ τῶν τελείως τι πραττόντων· τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διῒ τῷ σωτῆρι. τέλειος γὰρ ὁ τρία ἀριθμός [cf. de hac numerorum doctrina Wyttenbachius ad Plut. T. VII, 1, 30.], ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχει, καὶ πρῶτος οὗτος τῶν ἀριθμῶν ἀρτιοπέριττος. τέλειος δὲ καὶ ὁ Ζεύς, ὥστε κατὰ λόγον τρίτον τῷ Διῒ σπένδεταί τε καὶ ὁ κρατὴρ τρίτος τίθεται. Σοφοκλῆς Ναυπλίῳ: fragmentum v. apud Apost. X, 5ª. Adiiciam e Schol. ad Pl. Phileb. 383: τὸ τρ. τῷ σ.] ἐκ μεταφορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους· . . . ἔλεγον δὲ αὐτὸν [sc. τρίτον κρατῆρα] καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς.

1. ἡρώων] post hoc verbum vv. τὸν δὲ τρίτον Σωτῆρος excidisse Gaisfordus recte monuit. 2. τὸ Plato. 3. τε καὶ idem. Ὀλυμπίῳ Διῒ idem. ἐλέγετο κτλ.] perverse duos articulos in unum coaluisse et loco plane alieno positos esse docet Suidas s. τριττύς. φυλῆς μέρος τρίτον. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη τριττῦς καὶ ἔθνη καὶ φατρίας, ὡς Ἀριστοτέλης φησί. Τριττύς. ἡ ἐντελὴς — τράγου. 5. ἐπὶ — συμφορῶν] συμφορᾶς μεστόν Suidas c. reliquis. 7. ὥσπερ] ὡς ὑπὲρ As. Ceterum in initio As verba aliter collocavit. 8. δὲ καὶ] καὶ As om. 12. Ἀργείοις] σαργοῖς As, σκάροις Pantinus: laudat Oppian. Hal. IV, 375 Iacobsius. 13. ὑπὲρ τῆς ἰδίας συννόμου, ὡς ὑπὲρ γαμετῆς τῷ As.

proverbio est τὸ τρίτον τῷ Σωτῆρι, ut compertum e Platone aliisque habemus: Plat. Charmid. p. 167 A, Phileb. 66 D, ubi v. Stallbaumius, Legg. III, 692 A, Epist. VII, 340 A: dicitur de re nunc tandem finienda et plane absolvenda: hanc enim proverbii vim esse contra Erasmum Heindorfius ad Plat. Charm. l. c. et Astius ad Plat. Reip. IX, p. 603 docuerunt. De secundo poculo uberius egit Plutarchus Instit. Rom. 25, p. 270 A. Et hoc in proverbium abiit: Lucian. Pisc. 39: οὐκοῦν δευτέρου κρατῆρος ἤδη καταρχώμεθα: add. Apost. X, 77ª. Πλάτων] Reip. IX, 583 B, quem locum explanat C. O. Muellerus ad Aesch. Eumen. p. 188: add. annott. ad Apost. X, 5ª. I, 10. Ceterum hunc usum conviviorum praeclare in suam rem convertit Pind. Isthm. V, init., ubi v. Dissenius. ἐλέγετο κτλ.] Suid. s. τριττύς.

29. Suidas: Phot. Hesychius. Οἱ κτλ.] Aelian. N. An. I, 26.

30 *Τροφονίου κατὰ γῆς παίγνια:* καὶ παροιμία· *Ἐς Τροφωνίου μεμάντευται.* ἐν Λεβαδίᾳ χρηστήριον ἦν, ὃ Καταβάσιον ἐκάλουν· στόμιον γάρ τι ἦν, ὡς τὰ ἄκρα δύνασθαι μόνον τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἁγνεύσαντες πρῶτον ὡρισμένως καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ τινι σχήματι, ἀμφοτέραις ταῖς χερσὶ μελιττούτας λαβόντες, οὕτως ἐκάθιζον ἐπὶ τὸ στόμιον, καὶ αἰφνίδιον ἡρπάζοντο, καὶ κατέδυον ἐπὶ τῆς γῆς· τὰς δὲ μελιττούτας, ὅ ἐστι μάζας, ἐλάμβανον ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντώντων ὄφεων.

31 *Τρυγόνος λαλίστερος:* ἐπειδὴ καὶ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέλεσιν ἠχοῦσι, καὶ ἐκ τῆς πυγῆς λαλοῦσιν, ὡς Αἰλιανὸς φησίν:. *Οἱ τὰς θαλασσίους τρυγόνας* θηρῶντες, ἑστήκασιν ὀρχούμενοι καὶ ᾄδοντες εὖ μάλα μουσικῶς· αἱ δὲ, καὶ τῇ ἀκοῇ θέλγονται, καὶ τῇ ὄψει τῆς ὀρχήσεως κηλοῦνται καὶ προσίασιν ἐγγυτέρω· οἱ δὲ ὑπαναχωροῦσιν ἡσυχῇ καὶ βάδην, ἔνθα δήπου ταῖς δειλαίαις πρόκειται δίκτυα ἐκπεπετασμένα, εἶτα ἐμπίπτουσιν εἰς αὐτὰ καὶ ἁλίσκονται:. *Λέγει Λεωνίδης* ὁ Βυζάντιος ἰχθύων φύσεώς τε καὶ κρίσεως ἄπειρον ἄνθρωπον ἁρπάσαντα ἐκ δικτύου τρυγόνα, ᾤετο δὲ ἄρα ὁ δυστυχὴς ψῆτταν εἶναι, φέροντα ὡς εἶχεν, ἐπὶ κόλπον βαλεῖν καὶ βαδίζειν, ἵνα λάθῃ, ὥς τι ἀγαθὸν εὑρών, εἶτα καὶ εἰς ἐμπολὴν κερδαλέαν ἑαυτῷ ἔχῃ ἅρπαγμα· ἡ δὲ ἄρα ἤλγησε πιεζομένη, καὶ παίει τῷ κέντρῳ διείρασα, καὶ ἐξέχεε τοῦ δυστυχοῦς κλέπτου τὰ σπλάγχνα, καὶ ἔκειτο παρὰ τῇ τρυγόνι νεκρὸς ὁ φώρ, ἐναργὴς ἔλεγχος ὧν οὐκ εἰδὼς ἔδρασε.

---

1. *Τροφωνίου* Suidas. καὶ — μεμάντευται] Suidas ignorat. Adiecta sunt e Scholl. ad Greg. Naz. l. c., ut ex ann. ad DV l. c. apparet. 4. *μόνα* Suidas. 5. *ὡρισμέναις ἡμέραις* idem. 7. λαβόντες] ὅ ἐστι μάζας μέλιτι δεδευμένας Suidas addit. 8. *κατέδυον* Suidas. 9. μελιττούτας — μάζας] μάζας idem. ὄφεων addit nonnulla Suidas. 12. καὶ] L om. *μέρεσιν* L. 13. καὶ — λαλοῦσιν] ἤδη δὲ καὶ ἐκ τῶν κατόπιν μερῶν, ὥς φασί, πάμπλειστα, sc. φθέγγεται As. 14. θαλαττίους] As om. θηρῶντες] addit As nonnulla. 18. *δήπου καὶ ὁ δόλος ταῖς* As. 19. ἁλίσκονται, ὀρχήσει καὶ ᾠδῇ ἠρημέναι πρῶτον As. 21. *τοῦ δικτύου* As. 22. *ἐπικόλπιαν ἐμβαλεῖν* As. 23. εὑρὼν — καὶ] *εὑρόντα, καὶ* As. 24. *ἔχειν* As.

30. Suidas: DV II, 50. Lemma ex Gregorio Nazianzeno sumptum est: v. Oratt. 39, 5. ἐς Τρ. μεμ.] Apost. VI, 82.
31. Τρυγόνος — ἠχοῦσι] Greg. Cypr. L III, 12: Arsen. L, 23. καὶ — φησίν] Aelian. N. An. XII, 10. Οἱ τὰς — ἁλίσκονται] Aelian. l. c. I, 39. Λέγει κτλ.] Aelian. l. c. II, 50.

32 *Τραγικὸς πίθηκος*: ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων.

33 *Τροχὸς τὰ ἀνθρώπινα*: ἤγουν εὐμετάβολα.

34 *Τρικέφαλος Γηρυόνης*: ἐπὶ τῶν θηριογνωμόνων. Φασὶ γὰρ Γηρυόνην, ὡς τρικάρηνος ἦν· ἀδύνατον δὲ σῶμα τρεῖς κεφαλὰς ἔχειν· ἦν δὲ τοιόνδε τοῦτο· πόλις ἐστὶν ἐν τῷ Εὐξείνῳ πόντῳ Τρικαρηνία καλουμένη· ἦν δὲ Γηρυόνης ἐν τοῖς τότε ἀνθρώποις ὀνομαστός, πλούτῳ τε καὶ ἄλλοις διαφέρων· εἶχε δὲ καὶ βοῶν ἀγέλην θαυμαστήν, ἐφ' ἣν ἐλθὼν Ἡρακλῆς ἀντιποιούμενον Γηρυόνην ἔκτεινεν· οἱ δὲ θεώμενοι περιελαυνομένας τὰς βοῦς ἐθαύμαζον· ἦσαν γὰρ τὸ μὲν μέγεθος μικραί, ἀπὸ δὲ κεφαλῆς ἐπὶ τῇ ὀσφύϊ μικραὶ καὶ σιμαί, κέρατα οὐκ ἔχουσαι, ὀστᾶ δὲ μακρὰ καὶ πλατέα. πρὸς τοὺς πυνθανομένους οὖν ἔλεγον τινές, Ἡρακλῆς ταύτας περιήλασεν, οὔσας Γηρυόνου τοῦ Τρικαρήνου· τινὲς δὲ ἐκ τοῦ λεγομένου ὑπέλαβον αὐτὸν τρεῖς ἔχειν κεφαλάς.

Τὸ τ μετὰ τοῦ υ.

35 *Τυφλότερος ἀσπάλακος*: τοῦτο τὸ ζῶον οὐκ ἔχει ὀφθαλμούς· φησὶ δ' αὐτὸ Στησίμβροτος ὑπὸ τῆς Γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς· ἔχει γὰρ ὀδόντας μιαρωτάτους καὶ ῥύγχον ὥσπερ γαλῆς καὶ πόδας ὡς ἄρκτου·

32a *Τράγον ἀμέλγειν*: ἐπὶ τῶν ἀνάρμοστόν τι ποιούντων καὶ ἀνόητον. ὅθεν καὶ Διογενιανός· πότερον ὁ τὸν τράγον ἀμέλγων ἢ ὁ τὸ κόσκινον ὑποτιθεὶς ἀφρονέστερος;

---

2. Suidas in fine addit: *Δημοσθένης καὶ ἄλλα πολλὰ εἰπὼν εἰς τὸν Αἰσχίνην, φάσκων ὑποκρινόμενον τοῖς ποιηταῖς τραγῳδιῶν, ἔτι καὶ πίθηκον προσηγόρευσεν· ἤτοι ὅτι βραχὺς ὢν τῷ σώματι εἰσῄει εἰς τὴν σκηνήν, ἢ ὅτι ὁ πίθηκος μιμηλὸν ζῷον ἐστί, εἰς τοῦτο ἐπέσκωψε τὸν Αἰσχίνην, ὡς ἀνθρώπους ὑποκρινομένους τραγῳδίαν μιμούμενον.* 5. *φασὶ — ἦν*] *Γηρυόνην φασὶν ὅτι τρικέφαλος ἐγένετο* Ps. 9. *τοῖς ἄλλοις* Ps. 12. *μακραὶ* Ps. 13. *τὴν ὀσφὺν* Ps. 19. *τοῦτο — ἔχει*] *διὰ τὸ μὴ ἔχειν τὸ ζῷον τοῦτο* Suidas: v. K in nott. ad Diog. VIII, 25. 22. *ῥύγχος* Suidas. 25. *ἐπιτιθεὶς* (ὑπο) A. *ἀφρονέστερος* post *ἀμέλγων* Ds collocat.

32. Greg. Cypr. P III, 85: Arsen. L, 19.
32a. Arsen. L, 20. Cf. Diog. VII, 95.
33. Greg. Cypr. L III, 16: Arsen. L, 24. Apost. X, 28.
34. Arsen. L, 25. *φασὶ κτλ.*] Palaeph. π. ἀπίστ. 25.
35. Suidas: Arsen. L, 26. DV III, 79. Adhibuit Cleomed. *κυκλ. θεωρ.* II, 1, p. 86 Balf.: *κατὰ πολὺ τῶν σπαλάκων τυφλότερος.*

36 *Τυφῶνος πολυπλοκώτερον*: Τυφὼν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ τοῦ Διός· τούτου ποικιλώτερον.

37 *Τυφλὸς τὰ ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ.*

38 *Τυφλὸν ὄνειρον*: ἐπὶ τῶν ἀπατηλῶν.

39 *Τυφογέρων*: ἐπὶ τῶν τυφομανῶν γερόντων.

Τὸ τ̃ μετὰ τοῦ ω̃.

40 *Τῶν ἐαρινῶν φύλλων πλείονές εἰσιν οἱ συκοφάνται.*

41 *Τῶν ἀνεφύκτων μὴ ἐπιχείρει.*

42 *Τῶν καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν*: Εὐριπίδης τὸν καλὸν Ἀγάθωνα περιλαμβάνων ἐν τῷ συμποσίῳ καὶ καταφιλῶν ἤδη γενειῶντα πρὸς τοὺς φίλους εἶπε, Μὴ θαυμάζητε· τὸ παροιμιῶδες τοῦτ' εἰπών.

43 *Τῶν δ' ὄνων οὔ μοι μέλει*

41a *Τῷ οἰκείῳ μέτρῳ παραμέτρει.*

43a *Τῷ δὲ Ἀγαμέμνονι* τῆς Θερσίτου παῤῥησίας ἧττον ἔμελεν ἢ χελώνη μυιῶν τὸ τῆς παροιμίας.

43b *Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει*: Εὐριπίδου ἡ γνώμη.

---

3. τὰ] τά τ' L. 4. τυφλὸν — ἐπὶ] τυφλῶν ὀνείρων: ἤτοι Ds. 7. συκοφαντοῦντες Suidas. 9. ἀνεφίκτων A. 10. VV. τῶν — ἐστίν Plutarchus post v. θαυμάσητε posuit. 13. θαυμάσητε Plutarchus. τὸ κτλ.] Plutarchus om. 15. καὶ παραμετρῇς τῷ ο. μ. ἑκάτερον Lucianus.

36. Suidas: Arsen. L, 27. Greg. Cypr. P III, 72.
37. Greg. Cypr. L III, 17: Arsen. L, 28.
38. Diog. VIII, 26: Arsen. L, 29.
39. K in Append. Provv. V, 1: Arsen. L, 30.
40. Suidas: Arsen. L, 31. »Flosculus opinor Eunapii«: Bernhardius.
41. Arsen. L, 32. Diog. Laert. I, 86: ἔλεγε [Bias] ... νόσον ψυχῆς τὸ τῶν ἀδυνάτων ἐρᾶν: poeta incert. in Boisson. Anecd. I, 163: τοῖς ἀνεφίκτοις μὴ βαλεῖν χεῖρα σκόπει.
41a. Arsen. L, 33: Lucian. pro Imagg. 21.
42. Plut. Apophth. Regg. cett. 177 A: Arsen. L, 38. Eandem historiolam narrant Plut. Erot. 24, p. 770 C. Aelian. V. Hist. XIII, 4. Plut. Alcib. 1. Usum v. μετόπωρον metaphoricum Iacobsius Ann. ad Anth. III, 1, p. 129 illustratum dedit.
43. Suidas: Arsen. L, 34: Photius. Est ultima pars proverbii a Suida s. ἀπονίμου allati: ἀπονέμου [μοι Scaliger Strom. 1196 inseruit] τῆς ἁμάξης· τῶν δ' ὄνων οὐδὲν μέλει: παροιμία ἐπὶ τῶν τὰ οἰκεῖα τημελούντων, τῶν δὲ ἀλλοτρίων ἀμελούντων. παρόσον οἱ ἰδίαν ἔχοντες ἅμαξαν, ὄνους δὲ μισθούμενοι ἀμελοῦσιν αὐτῶν.
43a. Arsen. L, 40: Iulian. Epist. 59. Cf. Apost. XVIII, 19.
43b. Arsen. L, 46: Stob. Flor. 29, 34. Cf. Zenob. V, 93: add. Cram. Anecd. Oxon. IV, 255.

44 *Τῷ θρίῳ τὴν ἔγχελυν*: θρίον τὸ φύλλον τῆς συκῆς· τραχὺ γάρ ἐστιν· αἱ δὲ ἐγχέλυς ὀλισθηραί· πρὸς τὸ λαμβάνειν οὖν αὐτὰς κατάλληλον.

45 *Τῶν πλειόνων ἡ ψῆφος νικᾷ.*

46 *Τῶν ἀχαρίστων αἱ δωρεαὶ ἀνατρέπονται.*

Ἀρχὴ τοῦ ῡ στοιχείου.

Τὸ ῡ μετὰ τοῦ β̃.

47 *Ὕβρις ὕβριν ἔτικτε καὶ ψόγος ψόγον.*

45a *Τῶν δυστυχούντων* οὐδὲ εἷς φίλος.

45b *Τῶν δυνατῶν τι* κέλευ'· οὐ γὰρ παρὰ Κενταύροις.

46a *Τῷ γὰρ ὄντι* ἡ νεότης εἰς πᾶν ἐπίδοσιν ἔχει:. Πλάτων.

46b *Τῶν δὲ σωμάτων* θηλυνομένων καὶ αἱ ψυχαὶ ἐπὶ πολὺ ἀῤῥωστότεραι γίνονται:. Ξενοφῶντος.

46c *Τῶν γὰρ πλούτων* ὅδ' ἄριστος γενναῖον λέχος εὑρεῖν:. Εὐριπίδου.

46d *Τῶν γὰρ καλῶν* παράλειψις οὐχ ἧττον ἢ τῶν βλαβερῶν ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες:. Πλουτάρχου ἡ γνώμη.

46e *Τῷ πονοῦντι* δ' ἐκ θεῶν
ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος:. Αἰσχύλου.

47a *Ὕβριν τε τίκτει* πλοῦτος ἢ φειδὼ βίου: Εὐριπίδου.

47b *Ὕβρις καὶ οἶνος* ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.

47c *Ὕβρις μικρῶν* κρατοῦντα φυσᾶσθαι μέγα.

---

3. *κατάλληλον δοκεῖ* Ds. 9. *οὐδὲ εἷς*] *εὐτυχὴς οὐδεὶς* Menander. 10. *Κενταύροισι* Suidas. 12. *ἐπὶ* Xenophon om.: v. Breitenbachium. 13. *γίγνονται* Xenophon. 20. *Εὐριπίδου Ἱππολύτῳ* Stobaeus. 22. *Μενάνδρου* in fine addunt Z et auctor incertus Crameri; *Πλουτάρχου* Maximus. 23. *μέγα*] *ἄλλου τινός* Z addit, *θεολόγου* Antonius et Georgides.

44. Diog. VIII, 55: Arsen. L, 47.
45. Arsen. L, 35. In sententiam cf. Plat. Legg. I, 627 A.
45a. Arsen L, 36: Menand. Monost. 502.
45b. Arsen. L, 37: Suidas. Cf. Apost. XVI, 2.
46. Arsen. L, 39: X. Oecon. 4, 2.
46a. Arsen. L, 41: Stob. Flor. 52, 13. Plat. Theaet. 146 B.
46b. Arsen. L, 42.
46c. Arsen. L, 43: Stob. Flor. 67, 10. Eurip. Androm. fragm. 20 Matth.
46d. Arsen. L, 44.
46e. Arsen. L, 45: Clem. Alex. Stromm. IV, 7, 50, p. 211 Sylb. Aesch. fr. 292 Dind.
47. Greg. Cypr. P III, 86: Arsen. LI, 29.
47a. Arsen. LI, 30: Stob. Flor. 93, 3. Eur. Hippol. fr. 10 Matth.
47b. Arsen. LI, 31: XXXVI, 64: Max. Conf. Serm. 30. p. 617 Comb., inc. auctor in Cram. Anecd. Oxon. IV, 254. Plut. fr. 39 Wytt., Menand. fr. fab. inc. 354 Mein.
47c. Arsen. LI, 32: Anton. Mel. 51 Fabr., Georg. Gnom. in Boiss. Anecdd. I, 91.

Τὸ ῡ μετὰ τοῦ γ̄.

48 Ὑγρὰ νύξ: ἐπὶ τῶν συμβαινόντων χαλεπῶν.

Τὸ ῡ μετὰ τοῦ δ̄.

49 Ὕδρας κεφαλὰς τέμνεις: ἐπὶ τῶν ἀμηχάνων:. Ἱστορεῖται γὰρ ἡ ὕδρα, ὡς ἐν τῇ Λέρνῃ ἦν ἔχουσα κεφαλὰς ἑκατόν· ὡς δ' ἐξ ἐπιταγῆς Εὐρυσθέως ἐκελεύσθη ὁ Ἡρα-

48a Ὑγιαίνειν μὲν ἄριστον ἀνδρί. Δεύτερον δὲ φυὰν καλὸν γενέσθαι. Τρίτον δὲ πλουτεῖν ἀδόλως:. Σιμωνίδου αὗται αἱ παροιμιάδεις γνῶμαι.

48b Ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει
ἐξαρκῶν κτεάτεσσι καὶ εὐλογίαν προστιθεὶς μὴ ματεύσῃ θεὸς
γενέσθαι.

48c Ὑγιέστερος κολοκύντης: παρόσον ἡ κολόκυντα ἐν πολλοῖς χρησιμεύει.

48d Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τρίτον δὲ πλουτεῖν ἀδόλως,
εἶτα τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

48e Ὑγίεια μὲν ἡγεῖται, κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχύς, τέταρτον δὲ πλοῦτος οὐ τυφλός, ἀλλ' ὀξὺ βλέπων.

48f Ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.

---

4. ὕδρας — τέμνεις] ὕδραν τέμνειν Suidas. ἱστορεῖται — καταπαίνοντος] haec ab edito Palaephato in multis recedunt. ἱστορεῖται — ἑκατόν] similiter Suid. s. ὕδραν. 6. ἐξ — αὐτὸν] haud dissimilia apud Zenob. VI, 26 leguntur. ἐκελεύθη A. 8. τὸ τρίτον Clemens. αὗται κτλ.] Clemens non agnoscit. 11. ἐξαρκέων Pindarus. 13. παρόσον κτλ.] Suidas et Photius ignorant. 15. Σκληρίου praemisit Stobaeus; alii Simonidi adscribunt. 19. ἔστι δὲ τὰ μὲν ἐλάττονα ὧν ἡγεῖται μὲν ὑγίεια Plato. 20. ἰσχὺς εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι idem. δὲ δὴ idem. 21. ἐσθλὰ] ἀγαθά Menander.

48. Arsen. LI, 33. Cf. Apost. XII, 15a.

48a. Arsen. LI, 34: Clem. Alex. Stromm. IV, 6, 23, p. 207 Sylb.: cf. infr. 48d.

48b. Arsen. LI, 35: Pind. Ol. V, 23.

48c. Arsen. LI, 36: Suid. Photius. Adhibuit Epicharm. apud Athen. II, 59 C: ὑγιέστερος θήν ἐστι κολοκύντας πολύ, ut Meinekius Exerce. Critt. in Athen. I, p. 7 locum correxit: add. Sophron. Etym. M. 774, 42: ὑγιώτερον κολοκύντας: Aelian. Epist. rust. 10, p. 419 Cuiac.: εἶτα ὑγιεινότερος ἔσται κρότωνος [cf. Mant. Provv. s. ὑγιέστερος] δήπου καὶ κολοκύντης. Cf. ann. ad Zenob. VI, 27.

48d. Arsen. LI, 37: Stob. Flor. 103, 9. Simon. fr. 42 Schneidewin.: v. sup. 48a.

48e. Arsen. LI, 38: Plat. Legg. I, 631 C.

48f. Arsen. LI, 39: Menand. Monost. 519.

49. Arsen. LI, 40. ὕδρας — ἀμηχάνων]: Suidas: Macar. VIII, 25. 70. Theophyl. Simoc. Epist. 16: ἐπειδὴ τοίνυν τὸ δανείζεσθαι πολυ-

κλῆς φονεῦσαι αὐτήν. καὶ εἰς μάχην σταθεὶς καὶ τέμνων τὰς κεφαλὰς αὐτῆς μιᾶς κοπτομένης πολλαὶ ἀνεφύοντο· καὶ οὐκ ἂν νικητὴς ταύτης ἀνεφάνη, εἰ μὴ Ἰολαίου τυχόντος ἐκεῖσε τὰς ἐκφυομένας κεφαλὰς κατακαίοντος. τοιοῦτον δ' εἴ τις πείθεται γενέσθαι μάταιός ἐστι. τὸ δ' ἀληθὲς ὧδε ἔχει. Λέρνος ἦν βασιλεύς· ᾤκουν δὲ πάντες οἱ ἄνθρωποι κατὰ κώμας· ἦσαν δὲ βασιλεῖς ἐφ' ἑκάστῳ τῶν χωρίων τούτων· νέλος δὲ ὁ τοῦ Περσέως εἶχε τὸ μέγιστον καὶ πολυανθρωπότατον, τὴν Μυκήνην. Ὁ δὲ Λέρνος οὐκ ἤθελεν αὐτῷ ὑποτετάχθαι· ἐπολέμουν οὖν οἱ δύο διὰ τοῦτο. ἐν δὲ τῇ εἰσβολῇ τῆς χώρας ἦν τῷ Λέρνῳ πολίχνιόν τι καρτερὸν καὶ ἐφρούρουν αὐτὸ πεντήκοντα τοξόται ἀνδρεῖοι, οὓς ἐπήεσαν ἐπὶ τῷ πύργῳ ἀδιαλείπτως νύκτα καὶ ἡμέραν· ὄνομα δὲ ἦν τῷ πολιχνίῳ Ὕδρα. πέμπει οὖν Εὐρυσθεὺς Ἡρακλέα καὶ πολιορκεῖ αὐτὸ τὸ πολίχνιον· οἱ δὲ ἐπὶ τῷ πύργῳ ἐπυρπόλουν τοὺς κάτω· ὁπότε δέ τις πληγεὶς πέσοι, ἀνέβαινον δύο τοξόται ἀνθ' ἑνός. ἐπειδὰν ἀνδρεῖος ἦν ὁ προανῃρημένος· ἐπεὶ δὲ συνείχετο ὁ Λέρνος ὑπὸ Ἡρακλέους τῷ πολέμῳ, μισθοῦται ὀθνεῖον στρατόν· ἦλθε δὲ αὐτῷ ἄγων τὴν στρατιὰν Καρκῖνος ὄνομα τῷ ἀνδρί, μέγας τὴν ἰσχὺν καὶ πολεμικὸς καὶ σὺν τούτῳ ἀντεῖχον πρὸς τὸν Ἡρακλέα· εἶτα βοηθεῖ ὁ Ἰόλαος ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὢν τῷ Ἡρακλεῖ, ἔχων στρατιὰν ἀπὸ Θηβῶν· καὶ τὸν πεφυκότα πύργον πρὸς τῇ Ὕδρᾳ προσελθὼν ἐνέπρησε καὶ σὺν ταύτῃ τῇ δυνάμει ἐπόρθησεν αὐτοὺς ὁ Ἡρακλῆς καὶ τὴν Ὕδραν ἀναιρεῖ καὶ τὴν στρατιὰν ἀπόλλυσιν· οὗ γενομένου ὁ μῦθος ἀνεπλάσθη· καὶ γράφουσι τὴν ὕδραν ὄφιν καὶ τὸν μῦθον ἀναπλάττουσιν.

50 **Ὑδροφορίαν ἄγεις**: ἑορτὴ ἦν πένθιμος Ἀθήνησιν, ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολλομένοις· ὡς Ἀπολλώνιος.

---

3. ταύτης N om. Ἰολάου Z. 4. κατακαίοντος AZ. 7. δὲ καὶ R Ps. 8. νέλος] Σθένελος Z Ps. 13. οὓς] οἳ Ps. 15. πολιορκεῖ] ἐκπορθεῖ Ps. οἱ δὲ — κάτω] οἱ δὲ περὶ Ἡρακλέα ἐπυρπόλουν τοὺς ἐπὶ τῷ πύργῳ τοξότας Ps. 17. ἐπεὶ δὲ] ἐπειδὴ δὲ Ps. 18. ὑπὸ τοῦ Ps. 21. ἀντεῖχε Ps. 27. καὶ γράφουσι κτλ.] v. Fischerus. 29. ἄγεις Suidas non agnoscit. ἦν Suidas om. 30. ἀπολομένοις Suidas.

σχιδές τι τοῖς ἀνθρώποις ἐστὶ κακόν, καὶ τῆς μυθικῆς Ὕδρας τοῖς αὐτομάτοις γεννήμασιν ἐστι χαλεπώτερον καὶ ἐν ταῖς καθ' ὕπνον κτλ. Ἱστορεῖται κτλ.] Palaeph. π. ἀπίστ. 39, ubi v. annot. Fischeri.

50. Suidas: Arsen. LI, 41. Phot. Hesychius.

51 *Ὕδωρ αὐτοπαγές*: τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς· ἢ τὸ αὐτομάτας πηγὰς ἔχον.

52 *Ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις*: τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος, οἱ μὲν Ἀσκληπιάδου, οἱ δὲ Θεαιτήτου φασίν.

53 *Ὕδωρ παραῤῥέει*: ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπουδάσειν· ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.

Τὸ ῡ μετὰ τοῦ μ̄.

54 *Ὑμεῖς δαίμονα αἱρήσεσθε, οὐχ ὑμᾶς δαίμων λήξεται*: ὅτι ἐκ προαιρέσεως καὶ οὐκ ἐξ εἱμαρμένης τὰ ἀνθρώπινα, κατά τε Ὀλυμπιόδωρον καὶ Ἀμμώνιον.

Τὸ ῡ μετὰ τοῦ π̄.

55 *Ὑπὲρ τὸν κατάλογον*: ἐπὶ τῶν γεγηρακότων.

53a *Υἱὸν τρέφει τις, κἂν πένης τις ὢν τύχῃ·*
θυγατέρα δ' ἐκτίθησι κἂν ᾖ πλούσιος:. Ἑρμαφροδίτου.

53b *Ὕλη ἐστὶ τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ καὶ ταῖς ἄλλαις μεταβολαῖς. οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου καὶ οἱ Στωϊκοὶ τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ ῥευστὴν ὅλην δι' ὅλων τὴν ὕλην. Οἱ δ' ἀπὸ Δημοκρίτου ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον καὶ τὸ κενὸν τὸ ἀσώματον, Ἀριστοτέλης καὶ Πλάτων τὴν ὕλην σωματοειδῆ ἄμορφον ἀνείδεον ἀσχημάτιστον ἄποιον, ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δόξαι κενὴν δὲ τῶν εἰδῶν, οἷον τιθηνὴν καὶ ἐκμαγεῖον καὶ μητέρα γενέσθαι. οἱ δὲ ὕδωρ λέγοντες ἢ πῦρ ἢ ἀέρα ἢ γῆν τὴν ὕλην, οὐκέτι ἄμορφον αὐτὴν λέγουσιν, ἀλλὰ σῶμα. οἱ δὲ τὰ ἀμερῆ καὶ τὰς ἀτόμους ἄμορφον.*

53c *Ὑμεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι*: ἐπὶ τῶν οὐδενὸς λόγου ἀξίων.

---

15. τις] πᾶς Stobaeus. 16. Ποσειδίππου Ἑρμαφροδίτου idem. 17. ὑποκείμενον πρῶτον Plutarchus. 19. ἀλλοιωτὴν] καὶ μεταβλητὴν Plutarchus addit. ὅλον Plutarchus. 21. καὶ τὸ idem. 22. καὶ ἄμορφον idem. ἄποιον μὲν idem. 23. δόξαι κενὴν] δεξαμένην idem.

51. Suidas: Arsen. LI, 42. Photius.
52. Suidas: Arsen. LI, 43: Photius. Zenob. VI, 22. Est versus Cratini, de quo quaerunt Iacobsius ad Anth. Pal. XIII, 29, Meinekius Com. Gr. Fr. II, 1, 119 et Lhardy de Demade orat. disp. 82.
53. Suidas: Arsen. LI, 44. DV III, 85.
53a. Arsen. LI, 45: Stob. Flor. 77, 7. Comic. Gr. Fr. T. IV, p. 516 Mein.
53b. Arsen. LI, 46: Plutarch. de Plac. Philos. I, 9, p. 882 B.
53c. Ars. LI, 46. Cf. Apost. I, 59.
54. Arsen. LI, 47. Verba Platonis: v. Reip. X, 617 E: add. id. Phaedon. 107 D, ubi v. Wyttenbachius. Explicatur locus ab Olympiodoro: v. comm. ad Alcib. p. 45 Creuz., ad Phaedon. 197 Finckh.
55. Greg. Cypr. L III, 21: Arsen. LI, 48.

56 Ὑπὲρ τὰ Καλλικράτους: ἐπὶ πλουσίων· πλούσιος γὰρ οὗτος ἐν Κορίνθῳ.

57 Ὑπεψηνισμένη: ἀκμαία πρὸς τόκον. ἀπὸ μεταφορᾶς τῶν σύκων τῶν διὰ τοὺς ψῆνας πεπείρων.

58 Ὑποβολιμαῖος εἶ: ἐπὶ τῶν εὐτελῶν· ἀπὸ τῶν ὑποβαλλομένων παιδίων καὶ χαμαιρριφῶν, ἅπερ ἑαυτῶν ἀποβάλλουσιν ἢ ὑποβάλλουσιν αἱ γυναῖκες.

59 Ὑπερβερεταῖος: ἐπὶ τῶν ὑπερχρονίων· ὁ γὰρ τελευταῖος μὴν ἐστιν οὗτος.

60 Ὑποζυγιώδης ἄνθρωπος: ὁ μὴ ἐκ τῆς αὐτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως· ὥσπερ καὶ τὰ ὑποζύγια. εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα.

61 Ὑπὸ παντὶ λίθῳ σκορπίος: λείπει τὸ εὕδει· λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐριστικῶν.

61a Ὑπερήφανόν που γίνεθ' ἡ λίαν τρυφή.

61b Ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ:. Εὐριπίδου.

61c Ὑπέκκαυμα γὰρ ἐπιθυμίας λόγος ερωτικός:. Ἀρικλείας.

61d Ὑπ' οὐδενὸς φιλεῖσθαι δοκήσῃ τις μηδένα φιλῶν:. Ἰσοκράτους.

---

1. ἐπὶ πλουσίων] ἢ πλουσίων K. 3. μεταφορᾶς] Photius om. 5. ὑποβολιμαῖος — καὶ] ὑποβολιμαῖοι. ὑποβαλλόμενοι καὶ εἰςποίητοι. ἐπὶ τῶν Suidas. 6. χαμαιριφῶν idem. ἑαυταῖς ὑποβάλλουσιν Hesychius. 7. ἢ ὑποβάλλουσιν] in Suida desunt. 13. πρᾶγμα] Ἀριστοφάνης Suidas cum Photio et Etymologico addit. 14. Integram proverbii formam fuisse ὑπὸ παντί τοι [vel που] λίθῳ καθεύδει σκορπίος in Schneidewini Philol. III, 571 conieci. 14. λείπει — εὕδει] ἐλλείπει ὕπεστι Suidas. 15. καὶ ἐπὶ idem. 16. γίγνεθ' Stobaeus. τοῦ αὐτοῦ, i. e. Μενάνδρου Stobaeus praemisit. 19. ἐρωτικὸς Maximus. Χαρικλείας idem. 20. ὑπ'] ἀπ' Antonius. δοκείτω idem.

56. K in nott. ad Diog. VIII, 62: Arsen. LI, 49. Macar. VIII, 68.

57. Arsen. LI, 62. ὑπεψηνισμένη — τόκον] Suidas. ἀπὸ κτλ.] Photius. Cf. Suid. s. ψῆνες.

58. Suidas: Arsen. LI, 67. Phot. Hesychius.

59. Diog. VIII, 63: Arsen. LI, 50. Saniora Suidas praebet: Ὑπερβερεταῖος. ὄνομα μηνός. καὶ παροιμία· Ὑπερβερεταῖος. ἐπὶ τ. ὑ. εἴρηται. παρὰ γὰρ Μακεδόσιν ὁ τελευταῖος μὴν τοῦ ἐνιαυτοῦ Ὑπ. ἀνεγράφη.

60. Suidas: Arsen. LI, 68. Phot. Etym. M. 782, 22. Phrynich. Bekk. Anecd. I, 67, 12. Aristoph. fr. 696 Dind.

61. Suidas: Arsen. LI, 69. Macar. VIII, 69.

61[a]. Arsen. LI, 70: Stob. Flor. 93, 22. Menand. fr. fab. inc. 60 Mein.

61[b]. Arsen. LI, 71: Stob. Flor. 105, 1, 3. Eurip. In. fr. 22 Matth.

61[c]. Ars. LI, 72: Max. Conf. Serm. 3, p. 540 Comb. Achill. Tat. I, 5: cf. nott. critt. ad Apost. VIII, 41l.

61[d]. Arsen. LI, 73: Anton. Mel.

62 *Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς:* ὅμοιον τῷ· *ὑπὲρ βάθμιον πόδα τείνεις.* εἴρηται ὑπὸ Πεντάκλου τοῦ Κροτωνιάτου, ὃς πεντήκοντα ποδῶν ὄντων πρότερον τῶν ἐσκαμμένων, πρῶτος αὐτὸς ὑπερέβαλε τοῖς πηδήμασιν, ὡς τὸ ἐπίγραμμα λέγει·

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος,
δίσκευσεν δ' ἑκατόν, πέντ' ἀπολειπομένων.

63 *Ὑπὲρ τῶν ὅλων ἀναῤῥίπτεις τοὺς κύβους:* οἱονεὶ ὑπὲρ τῶν ὅλων ἀγωνίζῃ καὶ κινδυνεύεις.

64 *Ὑπέρου περιστροφή:* ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων.

65 *Ὑπέρου γυμνότερος:* καί· *Ὑπέρου πολλῷ φαλακρότερος.*

61e *Ὑπὸ πολλῶν* διαβάλλεσθαι κακῶν οὔτε ἀληθὲς οὔτε βλαβερόν· τὸ δὲ ὑφ' ἑνὸς ἀγαθοῦ ψέγεσθαι καὶ ἀληθὲς καὶ λυσιτελές:. Μοσχίωνος.

61f *Ὑπὸ γυναικὸς* ἄρχεσθαι ὕβρις ἂν εἴη ἐσχάτη:. Δημοκρίτου.

64a *Ὑπὲρ τὸν Ἐπιμενίδην* κεκοίμησαι.

---

1. *ὑπερβάθμιον* P. 2. *ἀπὸ Φαΰλλου τοῦ πεντάθλου τοῦ Κροτωνιάτου* Suidas. 3. *σκαμμάτων, πρότερος* idem. 4. *πηδήμασι ταῦτα* idem. 7. *δίσκευσε* A. 10. *περιτροπή* Suidas. *ποιούντων*] *καὶ μηδὲν περαινόντων* Suidas addit, *πολλάκις καὶ οὐδὲν ἀνυόντων* AEZ. 16. *ἂν εἴη*] *ἀνδρὶ* Stobaeus, *καὶ ἀνανδρίη* ex Democratis sent. 78 Or. Mullachius.

135, p. 215 Fabr. Epict. fr. 156 Schweigh.

61e. Arsen. LI, 74: Max. Conf. Serm. 10, p. 563 Comb. Mosch. fr. 15 Wagn.

61f. Arsen. LI, 75: Max. Conf. Serm. 39, p. 631 Comb.: Stob. Flor. 74, 39. Democr. fr. 179 Mull.

62. K in nott. ad Greg. Cypr. P III, 89: Arsen. LI, 51. Macar. VIII, 67. *τῷ — τείνεις*] Suid. s. *ὑπερβάθμιον πόδα ῥιπτῶν.* *ἀντὶ τοῦ ἀτάκτως, ἀπρεπῶς διαπραττόμενος. Οὐδὲ ὑπερβάθμιον πόδα ῥιπτῶν, κατὰ τὸ λόγιον, εἰς τὴν θεοσέβειαν, ἀλλὰ κτλ.*, locus notante Kustero ex vita Isidori a Damascio conscripta sumptus. »Alii proverbium hoc sic efferunt, *ὑπερβάθμιον πόδα τείνειν.* Agathias II, p. 67: *ἔπειτα ῥᾴδιόν τι ἡγοῦνται καὶ προχειρότατον, ὑπερβάθμιον, τὸ λεγόμενον, πόδα τείνειν καὶ θεολογίας ἐφάπτεσθαι.* Marinus in Vita Procli c. 13: *εἰς τὴν Πλάτωνος [αὐτὸν] ἦγε μυσταγωγίαν, ἐν τάξει καὶ οὐχ ὑπερβάθμιον πόδα, κατὰ τὸ λόγιον, τείνοντα.* Kusterus. *Καὶ μὴ κατὰ τὸν χρησμὸν ὑπερβάθμιον πόδα πέμπειν* Ammonius in Categor. p. 12. a. 6. ed. Ven. 1545. Porson. *διὰ τὸ μὴ ὑπερπηδᾶν καὶ ὑπερβάθμιον πόδα τείνειν* Simplicius in Epictet. p. 84 Schweigh. Bernhardius.« Epigramma tractatur ab Iacobsio Anth. Palat. T. III, p. 949.

63. Greg. Cypr. P III, 90: Arsen. LI, 52. Apost. II, 93.

64. Suidas: Arsen. LI, 56. DV III, 81.

64a. Arsen. LI, 57: Lucian. Timon. 6. Greg. Cypr. M II, 96.

65. Arsen. LI, 59. 60. *Ὑπ. γυμνότερος*] Greg. Cypr. L III, 20. *Ὑπέρου π. φαλ.*] Synes. Calvit. Encom. 73 B: *ἵνα δὲ ὃν οὐ κρύπτου-*

66. *Ὑπόχαλκον τὸ χρυσίον:* ἐπὶ τῶν κεκιβδηλευμένων.

67 *Ὑπηνέμια τίκτει:* τὰ ψευδῆ καὶ ἀβέβαια.

68 *Ὑπὲρ τὸν Ὑπέρβολον:* φιλόδικος οὗτος ἦν.

69 *Ὑπὲρ ὄνου σκιᾶς:* ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων. λέγουσιν ὅτι Δημοσθένης ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος οὐκ ἀνασχομένων τῶν δικαστῶν εἶπεν· Ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ· Νεανίσκος ποτὲ Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατο· μεσημβρίας δὲ καταλαβούσης, καταλύσας τὸν γόμον ὑπέδυ τὴν σκιὰν τοῦ ὄνου· ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου μὴ καὶ τὴν σκιὰν μεμισθῶσθαι λέγοντος, εἰςῆλθον εἰς τὸ δικαστήριον ἀμφότεροι. εἰπὼν ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος· ἀξιούντων δὲ τῶν δικαστῶν τὸ τέλος τῆς δίκης μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος, ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε, ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ φωνῆς

66a *Ὑπηνέμια ὀνείρατα καὶ ἐπαίνων σκιαί:* ἐπὶ τῶν μάτην ἐλπιζόντων.

66b *Ὑπὲρ κάρα πτύει:* ἐπὶ τῶν ἐπαιρομένων καὶ ὑπερηφανῶν.

66c *Ὑπὸ τοῦ δικαίου δ' ἐστὶν ἡττᾶσθαι καλόν:.* Φιλωνίδου ἡ ὑποθήκη.

66d *Ὑπέρφ ὕδωρ πλήττει.*

---

3. ὑπὲρ τὸν] Suidas non agnoscit. 5. Δημοσθένης ὁ ῥήτωρ Suidas. 6. ἀνεχομένων idem. 11. τὸ] Suidas om. 12. εἰπὼν δὲ Suidas. 17. ἐπαίνων] ἐπῶν coniecit Gesner ad Lucian. T. III, p. 853: v. Lucianum. 18. ἐλπιζόντων] scribe ἐπαινουμένων: v. Macarius.

σιν, ἀλλ' ἀναδεικνύουσι τὸν Ἀσκληπιών, τοῦτον ἂν ἴδοις ὕπέρου πολὺ φαλακρότερον: Anon. Encom. Comae p. 45 Mill.: πῶς δέ σε παρέδραμε καὶ τὸ τῆς παροιμίας ὕπερον, ᾧ τὰ λίαν ἀπεικάζει γυμνούμενα, ὡς τούτῳ ἂν καὶ φαλάκρα λίαν ἔσχε τὸ ἐμφερές.

66. Greg. Cypr. L III, 22: Arsen. LI, 61.

66a. Arsen. LI, 62: Lucian. Harmon. 4. Cf. Macar. III, 99.

66b. Ars. LI, 63: Macar. VIII, 68.

66c. Arsen. LI, 64: Stob. Flor. 9, 14, 3. Dixerunt de huius versus auctore Hanovius Exercc. Critt. in Com. Gr. I, p. 18, Meinekius Com. Gr. Fr. II, 1, p. 425.

66d. Arsen. LI, 65: Lucian. Hermot. 79: μᾶλλον δὲ τὸ ὅμοιον ποιεῖν ὥσπερ εἴ τις ἐς ὅλμον ὕδωρ ἐκχέας ὑπέρῳ σιδηρῷ πτίττοι [v. var. lectt. ad h. v. et Apost. XVIII, 66g.] πράττειν ἀναγκαῖόν τι καὶ προὔργου οἰόμενος, οὐκ εἰδὼς ὅτι ἂν ἀποβάλῃ, φασί, τοὺς ὤμους πτίττων [cf. Suid. s. ἀναπολεῖ ibiq. intt.], ὕδωρ ὁμοίως τὸ ὕδωρ μένει;

67. Greg. Cypr. F II, 97: Arsen. LI, 58.

68. Suid. s. Ὑπέρβολον: Arsen. LI, 53.

69. Suidas: Arsen. LI, 54. DV III, 43. Apost. XIV, 22a, XII, 92.

ἀνέχεσθε· τούτῳ καθαψάμενος τῶν κριτῶν τὸν κατηγορούμενον περιέσωσεν.

Τὸ ῡ μετὰ τοῦ σ̄.

70 Ὗς ὑπὸ ῥόπαλον: ἡ παροιμία παρὰ Δεινολόχῳ. ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλόντων:. Δημόκριτος πολύγονα εἶναι ὗν καὶ κύνα· πολλὰς γὰρ ἔχειν λέγει τὰς μήτρας καὶ τοὺς τόπους τοὺς δεκτικοὺς τοῦ σπέρματος. ὁ τοίνυν θορὸς οὐκ ἐκ μιᾶς ὁρμῆς ἁπάσας αὐτὰς ἐκπληροῖ, ἀλλὰ δίς τε καὶ τρὶς ταῦτα τὰ ζῷα ἐπιθόρνυται, ἵνα ἡ συνέχεια πληρώσῃ τὰ τοῦ γόνου δεκτικά. ἡμιόνους δὲ λέγει μὴ τίκτειν· μὴ γὰρ ἔχειν ὁμοίας μήτρας τοῖς ἄλλοις ζῴοις, ἑτερομόρφους δέ, ἥκιστα δυναμένας γονὴν δέξασθαι· μὴ γὰρ εἶναι φύσεως ποίημα τὴν ἡμίονον, ἀλλὰ ἐπινοίας ἀνθρωπίνης καὶ τόλμης, ὡς ἂν εἴποις μοιχίδιον ἐπιτέχνημα τοῦτο καὶ κλέμμα.

71 Ὗς Διαρροίδων: ἐπὶ τῶν σκαιῶν καὶ ἀπαιδεύτων· Κράτης:. Ὗν οὔτε ἄγριον οὔτε ἥμερον ἐν Ἰνδοῖς γενέσθαι λέγει Κτησίας, πρόβατα δὲ τὰ ἐκείνων οὐρὰς πήχεως ἔχειν τὸ πλάτος πού φησιν.

72 Ὗς ἐκώμασεν: ἐπὶ τῶν ἀσέμνως τι ποιούντων καὶ παρ' ἀξίαν ἐπαιρομένων ἐπί τισιν εὐπραγίαις.

73 Ὗς πότ' Ἀθηναίαν ἔριν ἤρισεν: Θεόκριτος. ἐπὶ τῶν τοῖς κρείττοσι φιλονεικούντων.

69a Ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι: ἐπὶ τῶν ἄγαν σωφρόνων, τοῦτ' ἔφησεν Εὐριπίδης ἐν τραγῳδίᾳ Ἐρεχθειδῶν, ᾧδέ πῃ λέγων·

Ἀλλ' ὦ τέκνον μοι δὸς χεῖρ', ὡς θίγῃ πατήρ,
καὶ χαῖρ'· ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι·
γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.

---

1. τούτῳ] οὕτω Suidas. 5. ἐμβαλλόντων P. Δημόκριτος — λέγει] λέγει Δημ. πολύγονα εἶναι ὗν κ. κ., καὶ τὴν αἰτίαν προςτίθησι λέγων, ὅτι πολλὰς ἔχει As. 16. διὰ ῥόδων Suidas. 17. Κράτης Γείτοσιν Suidas: fr. VI Mein. 22. ποκ' Ἀθαναίαν Theocritus. 23. φιλονεικούντων] ἀντεριζόντων cum codd. parte Gaisfordus. 25. Corrige Ἐρεχθεῖ. 27. χέρ' Stobaeus. 28. καὶ χαῖρ'] EZ om.

69a. Arsen. LI, 55. ἀλλ' κτλ.] Stob. Flor. III, 18, 32: Eur. Erechth. fr. 20 Matth.

70. Arsen. LI, 76. ὗς — ἐμβαλόντων] K in nott. ad Greg. Cypr. P III, 94. Δημόκριτος κτλ.] Aelian. N. An. XII, 16.

71. Arsen. LI, 77. ὗς — Κράτης] Suidas: Photius. ὗν κτλ.] Aelian. N. An. III, 3. Κτησίας] p. 304 Baehr., quem vide.

72. Diog. VIII, 60: Arsen. LI, 78.

73. Theocr. Id. V, 23 cum Scholl.: Arsen. LI, 79. Cf. Mant. Provv.

74 *Ὗς ὀρίνει*: ἐπὶ τῶν βιαίων λέγεται καὶ ἐριστικῶν.

75 *Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου*: ὅμοιον τῷ Κράτητος· καὶ τῷ· *ὗς ἐν βορβόρῳ ὑλισπᾶται.*

Τὸ ῦ μετὰ τοῦ φ.

76 *Ὑφάντου παίσματος ὑπήτης ἐτύφθη*: ὅτι πολλάκις ἄλλοι μὲν παίουσιν, ἄλλοι δὲ ἀπολαμβάνουσιν.

Ἀρχὴ τοῦ φ στοιχείου.

Τὸ φ μετὰ τοῦ ᾶ.

77 *Φαλλέκιον ποίημα*: αὐτοσχέδιον· ἐπὶ τῷ φαλλῷ ᾀδόμενον· ἦν δὲ φαλλὸς δέρμα ἐσχηματισμένον εἰς αἰδοῖον, ὃ περιετίθεσαν οἱ Ἕλληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ Διονύ-

76a *Ὑψοῖ δὲ τὸ μέλαθρον ὑμήναον. ἀείρα τε
τέκτονες ἄνδρες· ὑμήναον, γαμβρὸς
ἔρχεται ἶσος Ἄρει*:. Σαπφοῦς.

---

3. καὶ τῷ K om. ἰλυσπᾶται K. 5. παίσαντος NZH Erasmus IV, 3, 63. ὑπῆτις E, ὑπηρέτης W: Reinesius Var. Lectt. I, 24 coniecit ὑφάντου πτ. ὑπήνης ἐτύφθη. 6. ἀπολαμβάνουσιν] recte πληγὰς vel simile quid Pantinus desiderat. 9. Φαλαίκιον Suidas: corrige Φαλλικὸν et v. Suid. s. Φαλλικά. ποίημα: ἤτοι αὐτ. Z. 10. ᾀδόμενον] λέγεται περὶ τῶν ἐρώντων Z addit. 11. ὅπερ ἀμφιετίθεσαν Z, ὅπερ ἐτίθεσαν R. 12. ὕψι Hephaestio, ὕψοι Schneidewinus. δὴ Hephaestio. ἀέῤῥετε idem. 14. ἐςέρχεται Seidlerus. Ἄρηϊ Hephaestio, Ἄρη Schneidewinus. Versuum fines imperite positos esse sponte apparet.

s. τὸ τῆς. Finitimum est, quod contra Demosthenem Demades iecit secundum Plutarch. Reip. gerend. praec. 7, p. 803 D: καὶ πρὸς Δημάδην βοῶντα, Δημοσθένης ἐμὲ βούλεται διορθοῦν, ἡ ὗς τὴν Ἀθηνᾶν: add. Plut. V. Demosth. 11. Latinorum usum explanat Fest. p. 310 Muell.: *Sus Minervam in proverbio est, ubi quis id docet alterum, cuius ipse inscius est. Quam rem in medio, quod aiunt, positam Varro et Euhemerus ineptis mythis involvere maluerunt, quam simpliciter referre*: v. Cic. Acad. Quaest. I, 5, 18, Orat. II, 57, 233 c. annott. Ellendtii, Epist. ad Famil. IX, 18, 3, ubi v. Manutius: add. Hieron. Opp. T. II, p. 472 Vallars.: *sus Minervam.*

74. Diog. VIII, 64: Arsen. LI, 80. Cf. Mant. Provv. s. πάλιν.

75. K in nott. ad Greg. Cypr. P III, 93: Arsen. LI, 81. Alludit Ioannes in Boiss. Anecd. IV, 172: καὶ λοιπὸν ὥσπερ ὗς ἐγκυλινδούμενος βορβόρῳ ἥδεται: add. Lucian. Anach. 1: καὶ ἐν πηλῷ συναναφύρονται κυλινδούμενοι ὥσπερ σύες: Greg. Nazianz. Or. III, p. 70 C: ὗς ἐν βορβόρῳ κυλισθείς, κατὰ τὴν παροιμίαν.

76. Arsen. LI, 82.

76a. Arsen. LI, 83: Hephaest. de Metr. 129 Gaisf. Sapph. fr. 44 Schneidew.

77. Arsen. LII, 14. Φαλλέκιον — ᾀδόμενον] Suidas: Phot., Etym. M. 786, 56. ἦν δὲ κτλ.] e Scholiis ad Greg. Nazianz. excerpta: v. Nonnus

σου καὶ ᾖδον· ὁ γὰρ Διόνυσος σύκινον αἰδοῖον πελεκήσας περιῆψεν εἰς τὸν ἑαυτοῦ τράχηλον, ἀφοσιούμενος τὸν ἔρωτα τοῦ ἐρωμένου, ὃς ἀπέθανε πρὸ τῆς μίξεως.

78 *Φαλάριδος ἀρχὴ καὶ Ἐχέτου: ἐπὶ τῶν ἀπηνῶς ἀρχόντων. Ἔχετος τῆς Ἠπείρου ὑπῆρχε τύραννος· οὗτος ὠμότατος ὢν ἐπενόει παντοίας τιμωρίας καὶ κολαστήρια· πρὸς τοῦτον οἱ θέλοντες ἀφειδῶς κολάσαι διέπεμπον· ὡς καὶ ὁ ποιητὴς περὶ αὐτοῦ·*

> *Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.*

Ὁ δὲ Φάλαρις τοιοῦτός τις ἦν· καὶ οὗτος καινοτέρων κολαστηρίων γέγονεν εὑρετής· ἦν δὲ τὸ γένος Σικελιώτης· οὗτος Διονυσίῳ τῷ τυράννῳ χαριζόμενος, ὄντι ὠμοτάτῳ καὶ τιμωρητικῷ, ἐπενόησε βοῦν χαλκοῦν, ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους καὶ πῦρ ἀνακαίεσθαι, ἵνα ἔνδον ὄντες καιόμενοι καὶ βοῶντες, διατρεχούσης τῆς φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου, δόξῃ ὁ ταῦρος καιόμενος μυκηθμὸν ἀποτελεῖν. τούτου δὲ τοῦ Φαλάριδος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν καὶ καύσας ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ μηχανήμασιν:. Καὶ

---

4. *ἀρχαὶ* K. *καὶ Ἐχέτου* K om. 8. *λέγει περὶ* Nonnus. 10. *πάντων*] AEZ haec ex Anon. Scholl. ad Aphthon. Prog. l. c. [T. II, 48 Walz.] descripta inserunt: *τοῦτόν φασι τὸν Ἔχετον τὴν θυγατέρα* [Metope aut Amphissa nuncupatur a Schol. et Eustath. ad Hom. l. c.] *ὑπό του φθαρεῖσαν ἐγνωκότα ταῖς οἰκείαις χερσὶν ἐκκεντῆσαι τὰς ὄψεις αὐτῆς καὶ σιδηρᾶς ἀλήθειν κριθὰς ἀναγκάσαι εἰρηκότα, τότε αὐτῇ τὰς ὄψεις ἀποδώσειν, ὅταν καὶ αὐτὴ τὸν σίδηρον ἄλευρον ποιήσῃ. τὸν δὲ φθορέα τῆς κόρης Αἰχμόδημον τά τε ἄλλα μέρη περιτεμεῖν τοῦ σώματος καὶ αὐτὰ τὰ αἰδοῖα*: similia apud Hesych. s. *Ἔχετος*, Eudoc. p. 163 et in Eustath. Scholiisque ad Hom. l. c. leguntur. De Echeto eiusque facinoribus plurima seriori tempore ficta esse monstrat Boettiger in libro, cuius titulus est: »*Ideen zur Kunstmythologie*« I, 385. 11. *τοιοῦτος — καὶ*] Nonnus om. 15. *καὶ καιόμενοι* Nonnus.

p. 139 Mont., Cosmas in A. Maii Spic. Rom. II, 157, Arsenii Narrationes s. *Διόνυσος*, XXI, 70: alia monstrant Creuzerus Comm. Herod. I, 146 et Lobeckius Aglaoph. I, 659.

78. Arsen. LII, 15. *Φαλάριδος — ἀρχόντων*] K in nott. ad Diog. VIII, 65: DV III, 87: add. Phot. Epist. 22, p. 83 Mont.: *Φάλαρις ἴσως σοι καὶ Διονύσιος καὶ οἷς ἐπὶ ὠμότητι μεῖζον ὄνομα, εἰς ἀγῶνα προκεῖσθαι πεφιλοτίμηνται.* *Ἔχετος — πάντων*] Nonnus ad Greg. Naz. 143 Mont. *ποιητής*] Hom. Od. Σ, 85. Aphthon. Progym. 9 fin.: *τοσούτῳ Φίλιππος Ἐχέτου δεινότερος.* *ὁ δὲ — μηχανήμασιν*] Nonnus l. c.: Basilius ad Gregor. Naz. apud Boissonadum ad Herod. Epimer. 39. Eudoc. Viol. 412. *Διονυσίῳ*] castigatur Nonnus a Bentleio Opusc. Phil. 160. *Καὶ ταύτην κτλ.*] haec

ταύτην μὲν οὕτως ἔχουσαν εὗρον τὴν ἱστορίαν καὶ τῇ συναγωγῇ τῶν παροιμιῶν, ὡς εἶχε προςέθηκα, μὴ μέντοι γε ἀληθεύουσαν τοῖς προσώποις· οὐ γὰρ Φάλαρις ἦν ὁ τὸν βοῦν ἐπινοήσας τὸ κολαστήριον, ἀλλὰ Τιμόλαος ὁ Ἀθηναῖος· ὡς ἔστι γε τῷ θέλοντι κατιδεῖν ἐκ τῆς πρὸς Ἀθηναίους ἐπιστολῆς τοῦ Φαλάριδος ὑπὲρ αὐτοῦ ἀπολογουμένου· ὃν ὁ Φάλαρις ἐμβαλὼν εἰς τὸν βοῦν κατέκαυσεν ἐλεεινῶς καὶ βύζην μυκώμενον· ἤ που γε ἐς τόνδε τὸ τοῦ Ἡσιόδου ἠλήθευσεν· Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων.

79 *Φασηλιωτῶν θῦμα: ἐπὶ τῶν εὐτελῶν τίθεται· Φασηλιώτας γὰρ τάριχον τῷ κολάβρῳ θύειν φησὶν ὁ Καλλίμαχος.*

80 *Φάων ὑπάρχεις τῷ κάλλει καὶ τὸν τρόπον: ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων· τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι τὴν Σαπφώ, οὐ τὴν ποιήτριαν, ἀλλὰ τὴν*

---

2. *συναγωγῇ τῶν π.*] *Ἰωνιᾷ* AEZ. 4. *Περίλαος* AEZ: v. Ebertus *Σικελ.* I, 49. 7. *ἐκβαλὼν* Z. *τὴν* AEZ. 8. *μυκώμενον*] *μηκώμενον* A. Inserunt EZ haec e Stob. Flor. 49, 49: *περὶ Φαλάριδος καὶ Δωρόθεος δὲ ἐν τῇ πρώτῃ Σικελικῶν ὧδέ πη λέγει· Φάλαρις, Ἀκραγαντίνων τύραννος, ἀπότομος καὶ ἀπαθὴς ὑπάρχων, ξέναις καὶ παρευρημέναις βασάνοις ἔτρυχε καὶ ἐστρέβλου τοὺς ὁμοφύλους. Περίλαος* [*Πέριλλος* Stobaeus] *δὲ τῇ τέχνῃ χαλκοῦργος, κατασκευάσας δάμαλιν, ἔδωκεν τῷ βασιλεῖ δῶρον, ἵνα τοὺς ξένους εἰς αὐτὴν βάλλων κατακαίῃ ζῶντας. μυκηθμὸν δ᾽ ἡ δάμαλις ἀνεδίδου τῷ φυσικῷ παρόμοιον. Φάλαρις δὲ τότε μόνον γενόμενος δίκαιος αὐτὸν τὸν τεχνίτην πρῶτον ἐνέβαλεν*: similia e Callimacho Plut. Parall. Gr. et Rom. 39 affert: in quam rem inquirit et de Dorotheo veterum testimonia expendit Ebertus l. c. 88. *ἤ που γε κτλ.*] A om. *ἐς τόνδε*] *ἐς τόνδε τὸν Ἀρχέλαον Ἀθηναῖον* EZ. 9. *ἠλήθευσεν ἔπος* EZ. 11. *Φασηλιτῶν* Suidas. *εὐτελῶν*] *καὶ ἀναίμων* Suidas addit. 12. *Φασηλίτας* Suidas. *Καλάβρῳ* Suidas, *Κολάβρῳ* Photius, *Κυλάβρᾳ* Toupius et Iablonskius diss. de locis sacri cod. diff. III, 105 ex Athen. VII, 297 E. *ὁ* Suidas om. 13. *ἐν βαρβαρικοῖς νομίμοις* in fine Suidas addit. 16. *φασι τὴν*] *φ. σὺν πολλοῖς καὶ* Suidas.

ipse Apostolius addidisse videtur: res Nonnus l. c. suppeditavit. *ἐπιστολῆς*] Ep. 5 Lennep. *Ἡσιόδου*] Op. et D. 265. Phalarin et Echetum ubi de summa crudelitate sermonem iniiciunt serioris aevi scriptores coniungere solent: Liban. Or. T. IV, 370 R.: *καὶ ἄλλοι τυραννίδες ὠμαὶ καὶ πικραί, Ἔχετοι καὶ Φαλάριδες, ἄνθρωποι περικόπτοντες καὶ ἀκρωτηριάζοντες, εἴ τινας ἄρα βούλοιντο κολάσαι*: Greg. Nazianz. Or. III, p. 91 A: *ὡς μικρὰν εἶναι τὴν Ἐχέτου καὶ Φαλάριδος ἀπανθρωπίαν πρὸς τὴν ἐκείνων ὠμότητα*: poet. inc. in Crameri Anecdd. Pariss. IV, 295: *κἂν Φάλαριν τὶς ἐᾷ, κἂν Ἐχέτου μανίαν*: alia Ungerus Eclect. crit. p. 11 collegit.

79. Suidas: Arsen. LII, 18. Zenob. VI, 36.

80. Arsen. LII, 16. *Φάων — τρόπον*] Liban. Epist. 260 fin.: *σὺ δὲ ἴσως ἐκαλλωπίζου, Φάων τις ἕτερος ἡγούμενος εἶναι.* *ἐπὶ — πέτρας*] Suidas: Photius, Plut. Provv. I, 29.

Λεσβίαν· καὶ ἀποτυγχάνουσαν ῥῖψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας:. Τῷ δὲ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλατταν· πορθμὸς ἦν θάλασσα. ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ἐνομίζετο. ἐπεὶ καὶ μέτριος ἦν καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο· θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις· ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεός, Ἀφροδίτην λέγουσι τὴν θεόν, καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας· τῷ Φάωνι δὲ διαλέγεται περὶ πλοῦ. ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπατῆσαι· τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον, καὶ ἀμείβεται νεότητι καὶ κάλλει γέροντα. οὗτος ὁ Φάων ἐστίν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις αἷμα ἐποίησε.

81 **Φεραύλας βληθεὶς οὐδαμῇ μετεστράφη:** ἐπὶ τῶν σπουδαιοτάτων καὶ ἐπιμονωτάτων, οἷς εἵλοντο κοπιᾶν:. Ὁ γὰρ Κῦρος μετὰ τὴν ἐκ Βαβυλῶνος ἐξέλασιν καὶ τὴν ἐπὶ τῷ Διὶ καὶ τοῖς ἄλλοις θεοῖς ὁλοκαύτωσιν, καλοῦ ὄντος τοῦ ἐν ᾧ χωρίου ἐξήλασεν, ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε κατὰ φῦλα ἀνὰ κράτος ἐνταῦθα ἀφιέναι τοὺς ἵππους. σὺν μὲν οὖν τοῖς Πέρσαις αὐτὸς ἤλασε, καὶ ἐνίκα πολύ. μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρτάβαζος ἐνίκα· Κῦρος γὰρ τὸν ἵππον

80a **Φασὶ δὲ δυςβουλίαν τῇδε τῇ πόλει προςεῖναι.**

80b **Φέρει καὶ ὄρνις γάλα:** ἐπὶ τῶν ἄγαν εὐδαιμόνων.

80c **Φεύγειν** τὴν ἀδικίαν ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν:. Ζαλεύκου.

---

5. τὸ τοῦ Ps. 8. γεγηρακυίας μορφὴν Z. 10. ἀπαιτῆσαι Ps. (η) 11. τὸν γέροντα Ps. 12. ἐφ' ὃν Ps. 13. ᾆσμα Ps. 14. οὐδαμοῦ A, οὐδέ γε R. 16. ὁ γάρ — καλοῦ] ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διῒ καὶ ὡλοκαύτωσαν τοὺς ταύρους, ἔπειτα τῷ Ἡλίῳ καὶ ὡλοκαύτωσαν τοὺς ἵππους· ἔπειτα τῇ Γῇ σφάξαντες, ὡς ἐξηγήσαντο οἱ μάγοι ἐποίησαν, ἔπειτα δὲ ἥρωσι τοῖς Συρίαν ἔχουσι· μετὰ δὲ ταῦτα, καλοῦ Xenophon. 18. ἐν ᾧ et statim ἐξήλασεν Xenophon om. 20. ἀφεῖναι Xenophon. 25. φεύγειν] φεύγοντα Stobaeus.

Cf. Welckeri Opusc. II, 110. Τῷ δὲ κτλ.] Palaeph. π. ἀπ. 49.

80[a]. Arsen. LII, 17: Arist. Nub. 587 sq. Cf. Mant. Provv. I, 3, ubi v. annot.

80[b]. Arsen. LII, 20: K in nott. ad Plut. Boiss. 38. Greg. Cypr. M IV, 71.

80[c]. Arsen. LII, 19: Stob. Flor. 44, 20 fin.

81. Arsen. LII, 21. ὁ γὰρ Κῦρος κτλ.] Xenoph. Cyrop. VIII, 3, 24.

ἐδεδώκει αὐτῷ· Σύρων δὲ τῶν πάντων Γαδάτας· Ἀρμενίων δὲ Τιγράνης· Ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ὑππάρχου· Σακῶν δὲ ἰδιώτης ἀνήρ· ἀπέλιπε δὲ τῷ ἵππῳ τοὺς ἄλλους ἱππεῖς ἐγγὺς τὸ ἥμισυ τοῦ δρόμου. ἔνθα δὴ λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον, εἰ δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου· τὸν δ' ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαίμην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ καταθέσθαι δέξαιμι ἄν· καὶ ὁ Κῦρος εἶπε· καὶ μὴν ἐγώ σοι δεῖξαι θέλω, ἔνθα, κἂν καμύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. πάντως ὁ Σάκας ἔφη, δεῖξόν μοι, ὡς βαλῶ γε πάντῃ τῇ βώλῳ ἀνελόμενος· καὶ ὁ μὲν Κῦρος δείκνυσιν αὐτῷ, ὅπου ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων ἵησι τῇ βώλῳ, καὶ παρελαύνοντος Φεραύλα τυγχάνει· ἔτυχε γὰρ ὁ Φεραύλας παραγγέλλων τι τακτικὸν ὑπὸ Κύρου· βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ' ᾤχετο ἐφ' ὅπερ ἐτάχθη. ἀναβλέψας δὲ ὁ Σάκας ἐρωτᾷ τίνος ἔτυχεν· οὐ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, οὐδενὸς τῶν παρόντων. ἀλλ' οὐ μέντοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων; ναὶ μὰ Δία, ἔφη ὁ Κῦρος, σύ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύνοντος τὸν ἵππον. καὶ πῶς, ἔφη, οὐδὲ μεταστρέφεται; καὶ ὁ Κῦρος ἔφη· μαινόμενος γάρ τί ἐστιν, ὡς ἔοικεν· ἀκούσας ὁ νεανίσκος ᾤχετο σκεψόμενος τίς εἴη· καὶ εὑρίσκει τὸν Φεραύλαν γῆς τε καταπλέων τὸ γένειον καὶ αἵματος· ἐῤῥύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι· ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτὸν εἰ βληθείη· ὁ δὲ ἀπεκρίνετο, ὡς ὁρᾷς. δίδωμι τοίνυν σοι, ἔφη, τοῦτον τὸν ἵππον. ὁ δ' ἐπήρετο, ἀντὶ τοῦ; ἐκ τούτου δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα καὶ τέλος εἶπεν· οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ. καὶ Φεραύλας εἶπεν· ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ ἐσωφρόνεις, ἢ ἐμοὶ ἐδίδως· νῦν δὲ

81a Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

81b Φάτταν ἀντὶ περιστερᾶς, ἑταίραν ἀντὶ νύμφης.

---

1. αὐτῷ post γὰρ in Xenophonte positum. τῶν — Γαδάτας] ὁ προστατῶν Xenophon corrupte. 2. ἱππάρχου Xenophon. 3. δὲ] ἄρα idem. ἵππους idem. 4. τῷ ἡμίσει idem. 7. δεξαίμην ἂν idem. 8. δεῖξαι σοι idem. 9. μύων idem. πάντως τοίνυν idem. 10. πάντῃ] ταύτῃ AZ Xenophon. βώλῳ ἔφη Xenophon. 14. τακτόν pars codd. Xenophontis. ὑπὸ] παρὰ τοῦ Xenophon. 16. Δί' idem. ὁ Κῦρος a Xenophonte abest. 20. οὐδὲ] οὐ Xenophon. 21. τί] τις idem. 24. συνῆλθεν Z. 25. τουτονὶ τὸν Xenophon. 27. εἶπε· Καὶ idem. 28. καὶ ὁ idem. 29. μὲν A om. ἐδίδους Xenophon. 30. ἐπανήγαγέ μοι φάτταν Aelianus.

81a. Arsen. LII, 22: Hom. Od. Δ, 230.

81b. Arsen. LII, 23: Aelian. Epist. rust. 19, p. 421 Cuiac. Respexit

κἀγὼ δέξομαι. ἐπεύχομαι δὲ πᾶσι τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι ὑπό σου, δοῦναί μοι ποιῆσαι μὴ μεταμέλειν σοι τῆς ἐμῆς δωρεᾶς· καὶ νῦν ἔφη ἀπέλασον ἀναβὰς ἐπὶ τόνδε τὸν ἐμὸν ἵππον· αὖθις δ' ἐγὼ παρέσομαι πρός σέ.

Τὸ Φ μετὰ τοῦ ι.

82 Φιλοτιμοῦνται ὡς Μεμφῖται τοῖς τῆς Ἴσιδος πλοκάμοις καὶ Θηβαῖοι τοῖς τοῦ Γηρυόνου ὀστοῖς καὶ Τεγεᾶται τῷ τοῦ Καλυδωνίου δέρματι.

83 Φίλος ἀνεπίκαρπος χείρων ἐχθροῦ.

84 Φιλία παρδάλεως: ἐπὶ τῶν πιστότατα φιλούντων:. Πάρδαλιν γὰρ ἐκ νηπίου θηρατὴρ ἀνὴρ ἡμερώσας οἷα φίλην ἢ ἐρωμένην περιεῖπεν· οὐκοῦν ἔριφον αὐτῇ φέρων ζῶντα ἐδίδου, τροφὴν ἐν αὐτῷ καὶ ἡδονήν τινα ἐπινοήσας τῷ θηρίῳ ἐν τῷ διασπᾶν τὸν ἔριφον, ἀλλὰ μὴ δοκεῖν ἐσθίειν κενέβριον τε καὶ θνησείδιον· καὶ δὴ κομισθέντος ἐρίφου

81c Φεῦ φεῦ· παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός:. Εὐριπίδου.

81d Φεῦ· ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
πέφυκεν ἀνδρῶν, ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον:. τοῦ αὐτοῦ Οἰνεῖ.

81e Φιλεῖ γὰρ τὸ δαιμόνιον πολλάκις ἀνθρώποις τὸ μέλλον νύκτωρ λαλεῖν, οὐχ ἵνα φυλάξωνται μὴ παθεῖν· οὐ γὰρ εἱμαρμένης δύνανται κρατεῖν, ἀλλ' ἵνα κουφότερον πάσχοντες φέρωσι:. Λευκίππου.

82a Φιλονεικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωρεῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει:- Δημοκρίτου.

---

1. πᾶσι] ἔφη idem. 3. νῦν μὲν idem. ἀπέλα idem. 4. παρελεύσομαι R. 7. ὡς] καὶ Lucianus, qui orationis seriem aliter instituit. 12. γὰρ As om. θηρατὴς As. εἶχεν, οἷα δήπου φ. ἢ ἐρ. ἀγαπῶν καὶ περιέπων ἰσχυρῶς. οὔκουν As. 14. ταὐτῷ As. 18. Εὐριπίδου Δίκτυϊ Stobaeus. 21. Οἰνεῖ] Ἰνοῦς Stobaeus. 25. Scribe Λευκίππης. 26. δυςμενέος Mullachius. 27. ξυμφέρον idem.

Plat. Theaet. 199 B: ὅτε ἄρα τὰ ἕνδεκα δώδεκα ᾠήθη εἶναι, τὴν τῶν ἕνδεκα ἐπιστήμην ἀντὶ τῆς τῶν δώδεκα λαβών, τὴν ἐν ἑαυτῷ οἷον φάτταν ἀντὶ περιστερᾶς: ubi v. Heindorfius.

81c. Arsen. LII, 24: Stob. Flor. 90, 5. Eur. Dict. fr. XV Matth.

81d. Arsen. LII, 25: Stob. Flor. 73, 24. Eurip. In. fr. VIII Matth.

81e. Arsen. LII, 26: Maxim. Conf. Serm. 65, p. 679 Comb. Achill. Tat. I, 3, ad quem locum v. Iacobsius.

82. Lucian. adv. Indoct. 14: Arsen. LII, 27.

82a. Arsen. LII, 28: Stob. Flor. 20, 62. Democr. fr. 147 Mullach.

83. Arsen. LIII, 38.

84. Arsen. LII, 29. Πάρδαλιν —

ἥδε ἐγκρατῶς ἔσχε, δεομένη ἀπόσιτος εἶναι διὰ πλησμονήν· ἔδρασε δὲ καὶ τῇ δευτέρᾳ τοῦτο· ἐδεῖτο γὰρ ἔτι ὡς φαρμάκου τοῦ λιμοῦ· τῆς δὲ τρίτης ἐπιστάσης ἡμέρας ἐκεῖνα μὲν καὶ συνήθως ἐπεδείκνυτο τοῦτο τῷ φθέγματι, οὐ μὴν τοῦ ἐρίφου γενομένου δύο ἡμερῶν φίλου ἔτι προςήψατο, ἀλλὰ ἐκεῖνον μὲν εἴασεν, ἄλλον δὲ ἔλαβεν. ἄνθρωποι δὲ καὶ ἀδελφοὺς προὔδοσαν, καὶ τοὺς γειναμένους, καὶ φίλους ἀρχαίους :. Εὐωδίας τινὸς θαυμαστῆς τὴν πάρδαλιν μετειληφέναι φασίν, ἡμῖν μὲν ἀποῤῥήτου, αὐτὴ δὲ οἶδε τὸ πλεονέκτημα τὸ οἰκεῖον· καὶ μέντοι καὶ τὰ ἄλλα ζῷα συνεπίσταται τοῦτο, καὶ ἁλίσκεται τὸν τρόπον τοῦτον· ἡ πάρδαλις τροφῆς δεομένη ἑαυτὴν ὑποκρύπτει ἢ λόγχῃ πολλῇ ἢ φυλλάδι βαθείᾳ, καὶ ἐντυχεῖν ἐστιν ἀφανής, μόνον δὲ ἀναπνεῖ. οὐκοῦν οἱ νεβροὶ καὶ δορκάδες καὶ τὰ τοιαῦτα τῶν ζῴων, ὡς ὑπό τινος ἴυγγος τῆς εὐωδίας ἕλκεται, καὶ γίνεται πλησίον· ἡ δὲ ἐκπηδᾷ καὶ ἔχει τὸ θήραμα :. Πάρδαλις Καρικὴ καὶ Λυκιακὴ οὐκ ἔστι μὲν θυμική, οὐδὲ οἵα σφόδρα ἀλτικὴ εἶναι, τὸ σῶμα δὲ μακρά· τιτρωσκομένη δὲ καὶ δόρασι καὶ αἰχμαῖς ἀντίτυπος ἐστί, καὶ οὐ ῥᾳδίως τῷ σιδήρῳ εἴκει, τοῦτο δὴ τὸ Ὁμηρικὸν δρῶσα,

Ἡ ῥά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει.

85 **Φιλίππου Ἀλεκτρυών:** ὄνομα στρατηγοῦ. ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων.

86 **Φιλέψιος ὅδε τὸν τρόπον:** ἐπὶ τῶν φιλοπαιγμόνων· οὗτος γὰρ μεταξὺ τῶν δημηγοριῶν μύθους ἔλεγε. κεκωμῴδηται δὲ εἰς πανουργίαν.

86a **Φιλοχρηματίη** τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον οὐκ οἶδεν :. Εὐσεβίου.

---

3. ἐπείνη As. 5. ἑαυτῇ φίλου As. 7. ἀρχαίους, καὶ πολλοὶ πολλάκις Z As. 8. μετειληχέναι As. 10. τοῦτο τῇ παρδάλει As. 11. τοῦτον ἐκείνῃ· ἡ π. As. 12. ὑπαποκρύπτει As. λόγχμῃ As. 14. δορκάδες καὶ αἱ αἶγες αἱ ἄγριαι As. 21. ἢ ῥά] ἀλλά Homerus: v. Spitznerus ad h. l. 25. τὸν τρόπον K om.

ἀρχαίους] Aelian. N. An. VI, 2. Εὐωδίας — θήραμα] id. ib. V, 40. Πάρδαλις κτλ.] id. ib. XVII, 43. Ὁμηρικόν] Il. Φ, 577.
85. K in App. Provv. V, 14: Arsen. LII, 30. Macar. VIII, 73.
86. K in App. Provv. V, 13: Arsen. LII, 31. Greg. Cypr. L III, 29.
86a. Arsen. LII, 32: Stob. Flor. 10, 28. Euseb. fr. 12, p. 364 Orell.

Τὸ φ μετὰ τοῦ ο.

87 *Φοινίκων συνθῆκαι:* οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες, ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτας καὶ ἡμέρας· ἐπιτυχόντες δὲ τούτου οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι ὡς συντιθέμενοι νύκτας καὶ ἡμέρας μένειν· διὸ λέγεσθαι τοῦτο ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ' ὅμοια καὶ Δήμων ἐπὶ Μεταποντίνων ἱστορεῖ.

86b *Φιλοχρηματίην* ἐφ' ἡμέρῃ ἑκάστῃ ἐπιῤῥέων πλοῦτος οὐχ ἵστησιν, ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη· ἐπιγινόμενος δ' ἀεὶ ἐς τοῦ πλεῦνος τὴν ἐπιθυμίην ἐξάπτει μειζόνως. νόος δὲ μοῦνος παραστὰς καὶ τοῦτο οἶδεν ἀκέσασθαι.

86c *Φιλεῖ δὲ τῷ* κάμνοντι συσπεύδειν θεός: Εὐριπίδου ἡ γνώμη.

86d *Φιλέει γὰρ θεὸς* τὰ ὑπερέχοντα πάντα κολούειν: Ἡροδότου.

86e *Φιλάργυρος οὐδεὶς* ἀγαθὸς οὔτε βασιλεὺς οὔτε ἐλεύθερος:. Δημοκρίτου.

86f *Φιλήδονον καὶ* φιλοσώματον καὶ φιλοχρήματον καὶ φιλόθεον τὸν αὐτὸν οὐ δύναται εἶναι· ὁ γὰρ φιλήδονος πάντως καὶ φιλοσώματος· ὁ δὲ φιλοσώματος πάντως καὶ φιλοχρήματος· ὁ δὲ φιλοχρήματος ἐξ ἀνάγκης καὶ ἄδικος· ὁ δὲ ἄδικος εἰς μὲν θεὸν ἀνόσιος, εἰς δὲ ἀνθρώπους παράνομος:. Πυθαγόρου.

86g *Φιλονεικότερος* τῶν ἀλεκτρυόνων.

86h *Φιλεῖ δ' ἑκάστου* πλεῖον οὐδεὶς οὐδένα.

87a *Φοίνικος παλαιότερος:* μακρόβιον γὰρ τὸ ζῷον.

---

4. *νύκτα καὶ ἡμέραν* Suidas. 10. ἐπιγεγνόμενος Stobaeus. 11. ἐς A: praepositionem cum Orellio dele. ἐπιθυμιαν A, ἐπιθυμίαν Stobaeus. 13. Εὐριπίδου κτλ.] Αἰσχύλου Stobaeus. 14. κολούειν Herodotus. 16. Δημοκρίτου] Ἀντισθένους Stobaeus. 18. οὐ δύναται] ἀδύνατον Orellius. φιλήδονος πάντως] πάντως Orellius om. 20. καὶ ἄδικος] καὶ Orellius om. 21. Πυθαγόρου apud Orellium non legitur.

86b. Arsen. LII, 33: Stob. Flor. 10, 29. Euseb. fr. 13 Or.

86c. Arsen. LII, 34. XXXVI, 31: Stob. Flor. 29, 21. Aesch. fr. 277 Dind.

86d. Arsen. LII, 35: Herod. VII, 10, ubi v. Valckenarium.

86e. Arsen. LII, 36. VII, 74: Stob. Flor. 10, 42.

86f. Arsen. LII, 37: Demophili Sent. Pythag. 44, ad quem locum v. Orellius Opusc. Sentent. I, p. 467.

86g. Arsen. LII, 38: Lucian. Piscat. 34.

86h. Arsen. LII, 39: Menand. Monost. 528.

87. Suidas: Arsen. LII, 40. Diog. VIII, 67. Δήμων] fr. 15 Muell. Tetigit Boissonadus ad Psell. de Operat. Daem. p. 221.

87a. Arsen. LII, 41. De avi dixit Lucian. Hermot. 53: εἰ μὴ φοίνικος ἔτη βιώσῃ: add. infr. 91: contra de Achillis praeceptore apud Plut. V. Alex. 24 legitur: ἐξηκολούθησε γὰρ αὐτῷ [Lysimachus Alexandro] λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων οὐδὲ πρεσβύτερος.

88 *Φόνου πτερόν: ἤ, θανάτου πτερόν:* ὁ οἰστὸς λέγεται.

89 *Φοινικήϊα γράμματα:* ἤγουν ἀρχαιότατα. Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος Ἀγήνορος τοῦ εὑρόντος. τούτοις δὲ ἀντιλέγουσι Κρῆτες, ὡς εὑρέθη ἀπὸ τοῦ γράφειν ἐν φοινίκων πετάλοις. Κάμων δ' ἐν δευτέρᾳ τῶν εὑρημάτων ἀπὸ Φοινίκης τῆς Ἀκταίονος ὀνομασθῆναι. μυθεύεται δ' οὗτος ἀρσένων μὲν παίδων ἄπαις, γενέσθαι δὲ αὐτῷ θυγατέρας, Ἀγλαύρην, Ἕρσην, Πάνδροσον· τὴν δὲ Φοινίκην ἔτι παρθένον οὖσαν τελευτῆσαι· διὸ καὶ Φοινικήϊα γράμματα τὸν Ἀκταίονα εἰπεῖν, βουλόμενον τινὸς τιμῆς ἀπονεῖμαι τῇ θυγατρί.

90 *Φορμίωνος στιβάς:* ἐπὶ τῶν εὐτελῶν.

91 *Φοινίκων αὖθις ἐπιθυμεῖ:* ὅτι τὰ παθήματα τοῖς

---

3. ἤγουν ἀρχαιότατα] Suidas om. 4. εὑρόντος λέγουσι Z. 6. Σκάμμων Suidas: v. Fabricius B. G. III, 288 Harl., Westermannus ad Voss. Hist. Gr. 496. ἐν τῇ Suidas. 7. Ἀκταίωνος Suidas. 9. Ἄγλαυρον idem. 11. τὰ γράμματα idem. Ἀκταίωνα idem. εἰπεῖν Suidas om. 14. τοῖς ἀνθρώποις] τοῖς φρονίμοις Aesopus.

88. K in App. Provv. V, 18. DV III, 86.

89. Suidas: Arsen. LII, 42. Phot., Hesych. s. φοινίκια: add. id. s. φοινικίοις γράμμασιν. Σοφοκλῆς Ποιμέσιν [fr. 460 Dind.]. ἐπεὶ δοκεῖ Κάδμος αὐτὰ ἐκ Φοινίκης κεκομικέναι: v. Franzius Elem. Epigr. Gr. 15. 26: add. Scholl. ad Greg. Nazianz. Stelit. 66 Mont. et Crameri Anecd. Oxon. IV, 318 sq., quibus similia sunt haec a Walzio ad h. l. ex cod. Vatic. 711 fol. 97 B edita: χρὴ εἰδέναι, ὅτι πρότερον οἱ Ἕλληνες φοινικοῖς [sic] ἐχρῶντο γράμμασιν. ὕστερον δὲ ἐλθὼν ὁ Παλαμήδης, ἀνὴρ εὖ εἰδὼς καὶ πάσης ἐπιστήμης ἔμπλεως, ἀρξάμενος ἀπὸ τοῦ α' δέκα ἓξ μόνα στοιχεῖα εὗρε τοῖς Ἕλλησιν· α. β. γ. δ. ε. ι. κ. λ. μ. ν. ο. π. ρ. σ. τ. καὶ υ. προσέθηκε δὲ αὐτοῖς καὶ Κάδμος Μιλήσιος γράμματα τρία θ. φ. χ. διὸ καὶ πολλῷ τῷ χρόνῳ τοῖς δέκα ἐννέα ἐχρῶντο, ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ ψ' τὴν ψαλίδα πασαλίδα ἔλεγον. ἀλλὰ καὶ πολλὰ ὀνόματα ἄλλως ἐξεφώνουν καὶ ἔγραφον. μετὰ ταῦτα Σιμωνίδης ὁ Χῖος ἐλθὼν προσέθηκε δύο, η καὶ ω μέγα. Ἐπίχαρμος δὲ ὁ Συρακούσιος εὗρε τὰ τρία ζ. ξ. ψ. καὶ οὕτως ἐπληρώθη τὰ εἴκοσι τέσσαρα στοιχεῖα· ὅθεν μιμησάμενος ὁ Ὅμηρος τὸν ἀριθμὸν τῶν εἴκοσι δύο βιβλίων τῶν παρ' Ἑβραίοις, εἰς τὸν τῶν εἴκοσι δύο στοιχείων τυπωθέντα ἀριθμόν, καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος τῶν εἴκοσι τεσσάρων ῥαψῳδιῶν διὰ τῶν εἴκοσι τεσσάρων στοιχείων ἐποίησεν· οὕτω δὲ καὶ Ὀδύσσειαν. Πότε τὰ εἴκοσι τέσσαρα στοιχεῖα λέγονται γράμματα καὶ πότε στοιχεῖα· ὅτε μὲν γράφονται, λέγονται γράμματα· ὅταν δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα. Greg. Naz. Or. III, p. 99 C: τί δέ; οὐ Φοινίκων τὰ γράμματα, ὡς δέ τινες Αἰγυπτίων;

90. Suidas: Arsen. LII, 43. Fluxit ex Arist. Pac. 347: πολλὰ γὰρ ἀνεσχόμην Πράγματά τε καὶ στιβάδας, ἃς ἔλαχε Φορμίων, ad quem locum Scholiastae doctissime de Phormione imperatore egerunt.

91. Arsen. LII, 44. Φοινίκων —

ἀνθρώποις μαθήματα γίνεται:. Ὁ Φοίνιξ τὸ ζῷον ἄνευ λογικῆς οἶδε συμβαλεῖν ἀριθμὸν πεντακοσίων ἐτῶν οὐ δεδεημένος δακτύλων εἰς ἐπιστήμην ἀριθμητικῆς· καὶ οἱ μὲν ἱερεῖς περὶ τῆς ἀφίξεως ἀριθμοῦντες τὰ ἔτη προςδέχονται· ὁ δὲ πάρεστιν· οἱ δὲ θύουσι καὶ σχολὴν ἄγουσι τοῦ ἡλίου ἐν ταῖς λέσχαις καταδύοντος, ὅσα δ' ὄρνιθες οὐκ ἴσασιν. ἐκεῖνα δέ, ὦ πρὸς τῶν θεῶν, οὐ σοφὰ εἰδέναι; ποῦ μὲν Αἴγυπτός ἐστί, ποῦ δὲ Ἡλιούπολις, ἔνθα αὐτῷ πέπρωται ἥκειν, καὶ ὅποι ποτὲ τὸν πατέρα καταθέσθαι χρή, καὶ ἐν θήκαις τίσι; ταῦτα δὲ εἰ μὴ δοκεῖ, θαυμαστά, ἆρά γε τὰ ἐνόπλια καὶ ἀγοραῖα καὶ τὰς κατ' ἀλλήλων ἐπιβουλὰς ἐροῦμεν σοφίαν; ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σισύφων καὶ Τελχίνων καὶ Κερκώπων ζηλωταὶ ἄνθρωποι· λέγω δὲ πρὸς τοὺς ἀκριβοῦντας ταῦτα.

92 Φοβερὸν καὶ τὸ παθεῖν ὑπὸ τυράννου καλῶς.

93 Φοβερώτερόν ἐστι στρατόπεδον ἐλάφων ἡγουμένου λέοντος, ἢ λεόντων ἐλάφου: Χαβρίας εἴωθε τοῦτο λέγειν.

94 Φοίβου πότ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα: ἐπὶ τῶν ἐχόντων θυγατέρας ἀμορφοτάτας.

Τὸ φ̃ μετὰ τοῦ ρ̃.

95 Φρουρᾶς ᾄδων: ἐπὶ τῶν ἀγρυπνούντων.

96 Φρουρεῖν ἢ πλουτεῖν: ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων.

97 Φράσω σου τοῖς σοροπηγοῖς τὴν μανίαν: ἐπὶ τῶν ἄξια θανάτου πραττόντων.

---

1. ὁ — ἀριθμητικῆς] ἄνευ δὲ λογιστικῆς οἱ φοίνικες σ. ἐτῶν π. ἴσασιν ἀριθμόν, μαθηταὶ φύσεως τῆς σοφωτάτης ὄντες καὶ διὰ ταῦτά τοι μήτε δακτύλων δεδεημένοι ἢ ἄλλου τινὸς εἰς ἐπιστήμην ἀριθμητικῆς As. 3. δεδαημένος A. καὶ οἱ — ἴσασιν] hic epitomator Aelianum pessime tractavit. 8. δὲ καὶ As. 11. τὰ ἀγοραῖα καὶ τὰ ἐν. καὶ τὰς ἄλλας τῶν ἀνθρώπων εἰς ἀλλήλους τε καὶ κατ' As. 12. σοφά As. 14. ταῦτα] addit nonnulla As. 15. παθεῖν] εὐπαθεῖν Plutarchus, qui καλῶς non habet.

γίνεται] Aesop. fab. 164 Fur., 203 Schneid. ὅτι — γίνεται] cf. ann. ad Apost. XIII, 90. Ὁ φοῖνιξ κτλ.] Aelian. N. An. VI, 58: cf. Anon. in Crameri Anecdd. Oxonien. IV, 260.

92. Plut. Apophth. Regg. cett. p. 176 B, ubi v. Wyttenbachius.

93. Plut. Apophth. Regg. cett. 187 D: eodem fere modo legitur in Aristid. Or. 69, p. 400 Iebb. Philippo datur a Stob. Flor. 54, 61.

94. Arsen. LII, 45. Ciceronis dictum: Plut. V. Cicer. 27. Cf. Eurip. Phoen. 17 sqq.

95. Greg. Cypr. L III, 26: Arsen. LII, 46.

96. Greg. Cypr. L III, 27: Arsen. LII, 47.

97. Arsen. LII, 48. Arist. Nub.

98 *Φρουρήσεις ἐν Ναυπάκτῳ· ὅτι λόγος μισθὸς ἐδίδοτο τοῖς Ναύπακτον φρουροῦσι τῶν ἐπιτηδείων πολλῶν πιπρασκομένων· ἢ ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν· γνώμῃ τοὺς φρουροὺς αὐτὸς ἀπέκτεινε πάντας.*

99 *Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.*

100 *Φρὺξ μηδὲν ἧττων Σπινθάρου: οὗτος ὁ Σπίνθαρος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ.*

98a *Φρονεῖ γὰρ ὡς γυνὴ μέγα :. Εὐριπίδου.*

98b *Φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς :. Σοφοκλῆς Οἰδίποδι.*

99a *Φράζεο δὴ σπουδὴν ἐντυνάμενος μύθων δι' ἀκοῆς*
ἡμετέρων, ἀτραπὸν περὶ παντὸς ἀληθῆ,
κῆρας ἀπωσάμενος πολυπήμονας, αἵ τε βεβήλων
ὄχλον ἀνιστῶσαι, ἄτας περὶ πάντα πεδῶσι
παντοίας ἰδέαις, μορφῶν ἀπατήματ' ἔχουσαι.
τοὺς μὲν ἀπὸ ψυχῆς εἴργειν φυλακαῖς νόοιο.
οὗτος γάρ σε καθαρμὸς ὄντως δικαίως ὁσιεύσει,
εἴ κεν ἀληθείῃ μισέῃς ὀλοὸν γένος αὐτῶν,
ἤδη μὲν πρώτιστα αἰσχρῶν δότειραν ἁπάντων,
ἣν ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς.

Ἐκ μὲν τῆς προμαντικῆς πρόνοιαν ἔφασαν δεῖν ἐπιζητεῖν· ἐκ δὲ τῆς ἰατρικῆς τῆς τε προνοίας ἐπανόρθωσιν· ταῦτα γὰρ εἶναι πέρατα τῆς ἰατρικῆς ἐπιστήμης· ἐκ δὲ τῆς μουσικῆς αἴσθησιν ἀκριβῆ τε καὶ ἐπιστημονικήν· ἐκ δὲ τῶν μαθηματικῶν ὀνομαζομένων συλλογισμόν τε καὶ ἀπόδειξιν τῶν δι' αὐτῶν νοημάτων :. Λίνου ὑποθήκη.

---

1. *φρουρήσειν* N. Corrige *ὀλίγος*. 2. Scribe *πολλοῦ*. 3. *ὅτι*] *ἢ ὅτι* Z: *ἔνιοι δὲ ὅτι* Suidas. 5. *Σοφοκλῆς* A in fine addit. 10. *φράζεο — χαλίνοις*] Versus A non distinxit. *μύθων* ante *ἡμετέρων* Stobaeus collocat. 13. *ἄταις* Stobaeus. 14. *ἰδέαις* Stobaeus non agnoscit. *μορφῶν χαλεπῶν* Stobaeus. 15. *τοὺς*] *τὰς* idem. *φυλακαῖσι* idem. 16. *ὄντως — ὁσιεύσει*] *ἀναμπλακέως ὁσιεύσει* Grotius, *ἀπ' ἀτρεκέως ὁσιώσει* Valckenarius. 17. *μισέεις* Stobaeus. 18. *ἤδη*] *νηδὺν* idem, ex Valckenarii coniectura. *πρώτιστ'* Stobaeus. *δώτειραν* idem. 25. *ὑποθήκη* in Stobaeo deest. Ceterum Stobaeus et A *Λίνου* etiam ante v. *φράζεο* collocant.

846: *ἢ τοῖς σ. τὴν μανίαν αὐτοῦ φράσω*; ubi v. Scholia et Berglerum.

98. Greg. Cypr. F apud L III, 28: Arsen. LII, 49.

98a. Arsen. LII, 50: Soph. Oed. Tyr. 1078.

98b. Arsen. LII, 51: Soph. Oed. Tyr. 617.

99. Greg. Cypr. L III, 25: Arsen. LII, 52.

99a. Arsen. LII, 54. *Φράζεο — χαλινοῖς*] Stob. Flor. 5, 22. Recepit Gaisfordus in Poet. Gr. Min. I, 466 Oxon. »Versus dicuntur esse Lini: videntur cuiusdam Pythagorei, quos Lino carmina supposuisse tradit Iamblichus de V. P. 139«: Valckenarius Diat. Eurip. p. 281 Lugd. Add. Ambroschius de Lino diss. p. 8. *Ἐκ μὲν κτλ.*] Stob. Flor. 3, 52.

100. Suidas: Arsen. LII, 55. Arist. Av. 762, ubi v. interpp. Graeci.

1 *Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος:* ἐπεὶ δοκοῦσιν ἀργότεροι καὶ νωχελέστεροι εἶναι οἱ Φρύγες οἰκέται.

2 *Φρυνώνδας ἄλλος:* ἐπὶ τῶν πονηρῶν· καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ, Ὦ μιαρὲ, καὶ Φρυνώνδα, καὶ πονηρὲ σύ. λέγεται δὲ καὶ ἐπὶ μάγων, ὡς Εὔδημος φησί.

3 *Φρυνίχου πάλαισμα:* ἐπὶ τῶν πονηρῶν καὶ δολίων. Φρύνιχος στρατηγὸς Ἀθηναίων, οὗ στρατηγοῦντος Ἀθηναῖοι ἡττήθησαν καὶ πολλὰ αὐτῷ ὡς προδόντι τὸν πόλεμον προσεκρούσθησαν.

Τὸ φ μετὰ τοῦ υ.

4 *Φυλακὴν γυμνῷ ἐπιτάττεις:* φανερὰ ἡ παροιμία. τίς γὰρ γυμνὸς φυλάττων ὑποσταίη βέλη καὶ λίθους καὶ ξίφη;

4a *Φύλασσε τρόπον* καλοκαγαθίαν ὅρκου πιστοτέραν:. Σόλων.

4b *Φύσει γὰρ ἐχθρὸν* τὸ δοῦλον τοῖς δεσπόταις:. Εὐριπίδου.

4c *Φύσει γυνὴ δυσήνιον* καὶ πικρόν:. Μενάνδρου.

4d *Φύσει μὲν γὰρ* δυσχαλίνωτον ὄρεξις· προςλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν, ἀχαλίνωτον:. Πλουτάρχου.

---

4. ἄλλος Suidas non agnoscit. ἐπὶ τ. πον.] τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων Suidas. 5. Ἀμφιάρεῳ Suidas: fr. 92 Dind. 6. σύ] Suidas addit: ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. Κακοήθης ὁ Φρυνώνδας οὗτος καὶ πανοῦργος μισθοῦ τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθεὶς, ὥς φησιν Εὔδημος. Καὶ αὖθις [Aeschin. c. Ctesiph. 766 R.]· «ἀλλ' οἶμαι οὔτε Φρυνώνδας οὔτ' Εὐρύβατος οὐδ' ἄλλος πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης.» λέγεται — μάγων] Suidas ignorat. 7. παλαίσματα A. 13. τίς γὰρ κτλ.] Ds om. 14. φύλασσε in Maximo deest. τρόπου Maximus. δεῖ πιστοτέραν ἔχειν idem. Σόλων] Εὐσεβίου idem. 15. Εὐριπίδου] Ἑρμογένους Antonius. 16. δυςήνιόν τι ZW, δυςήνιόν ἐστι Stobaeus, δυςάνιόν ἐστι Meinekius. 18. Πλουτάρχου κατὰ πλούτου Stobaeus.

1. Suidas: Arsen. LII, 53. Greg. Cypr. L III, 24.

2. Arsen. LII, 56. Greg. Cypr. P III, 96 et Suid. s. Φρυνώνδας. Cf. annott. ad Apost. VIII, 12. Liban. Epist. 1038: βοήθησον ἀνδρὶ χρηστῷ . . . πολλὰς δεξαμένῳ προςβολὰς ὑπὸ Φρυνώνδου τινός.

3. Arsen. LII, 57. Φρυνίχου — δολίων] Macar. VIII, 75, ubi v. annott. Φρύνιχος κτλ.] K in nott. ad Diog. VIII, 29.

4. Diog. III, 75: Arsen. LII, 58. Apost. V, 69a.

4a. Arsen. LII, 59: Max. Conf. Serm. 33, p. 622 Comb. Cf. Isocr. Demonic. 6 fin.: δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστοτέραν φαίνεσθαι παρεχομένους. προςήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν κτλ.

4b. Arsen. LII, 60: Anton. Mel. 119, p. 193 Fabr. Hermog. π. τ. στάσεων 3, T. III, p. 19 Walz., ad quem locum v. Marcellinus T. IV Rh. Gr. 334 W.

4c. Arsen. LII, 61: Stob. Flor. 73, 46. Men. fr. fab. inc. 259 Mein.

4d. Arsen. LII, 62: Stob. Flor. 93, 32. Plut. fr. XXI, 1 Wytt.

Τὸ φ̃ μετὰ τοῦ ω̃.

5 *Φώκου ἔρανος: ἐπὶ τῶν εὐωχίας συντατιόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπὶ γάμον ἀνεβάλλετο τὸν γάμον· ἐφ' ᾧ ὀργισθέντες οἱ μνηστῆρες ἀπέκτειναν αὐτόν.*

6 *Φωνά τοι τίς ἐντι καὶ οὐδὲν ἄλλο: Τίλλας Λάκων εἶπε τοῦτο ἀηδόνα λαβὼν καὶ βραχεῖαν σάρκα ὁρῶν.*

Ἀρχὴ τοῦ χ̃ στοιχείου.

Τὸ χ̃ μετὰ τοῦ α̃.

7 *Χαλεπὰ τὰ καλά: Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰπεῖν, Χαλεπὸν ἐσθλὸν ἔμμεναι· Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι, Χαλεπὰ τὰ καλά. φασὶ δὲ Περίανδρον τὸν Κορίνθιον καταρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παροιμία. οἱ δὲ τὰ χαλεπὰ ἀντὶ τοῦ ἀδύνατα τιθέασιν, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.*

4e *Φύσις εὐγενὴς μετρίαν ἄσκησιν προςλαβοῦσα ῥαδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρετῆς:. Ζήνωνος.*

4f *Φύσις ἀνθρώπων ἀσκοὶ πεφυσημένοι.*

4g *Φύρουσιν αὐθ' οἱ θεοὶ πάλιν τε καὶ πρόσω: πρὸς τοὺς τὰ πάντα συγχέοντας.*

6a *Ἔστι φωνὴ ἀνὴρ πεπληγμένος.*

7a *Χαλεπὸν τὸ εὖ γνῶναι:. τὸ ἀπόφθεγμα Πιττακοῦ.*

---

3. *ἐπίγαμον* Z Ds. 6. *τοι*] *τυ* Plutarchus. *τις ἐσσί* idem. *Τίλλας — τοῦτο*] *Τίλας τις* idem. 7. *λαβὼν* Plutarchus om. *ὁρῶν*] *εὑρὼν* Plutarchus. 13. *καλά*] *διὸ καὶ ἑκάτερα παροιμιασθῆναι* Suidas addit. 18. *προςλαβοῦσα ἐπί τε τὸν ἀφθόνως διδάξοντα* Diogenes. 20. *Ἐπίχαρμος, αὔτα φ. ἀ. ἀ. πεφυσιημένοι* Clemens: *ἀσκοὶ φύσις ἀνθ. πεφυσιαμένοι* Ahrensius. 21. *αὐτὰ θεοὶ* Euripides.

4e. Arsen. LII, 63: Diog. Laert. VII, 8.

4f. Arsen. LII, 64: Clem. Alex. Stromm. IV, 7, 45, p. 211 Sylb. Epich. fr. 145 Ahrens. Dixit de versu Schneidewinus ad Orion. Anthol. II, 3.

4g. Arsen. LII, 65. Eur. Hecub. 958, ubi v. G. Hermannus.

5. Diog. VIII, 66: Arsen. LII, 66. DV III, 89.

6. Plut. Apophth. Lac. 233 A: Arsen. LII, 67.

6a. Arsen. LII, 67a.

7. Suidas: Arsen. LIII, 67. G 5. Greg. Cypr. L III, 30.

7a. Arsen. LIII, 68. G 3: Stob. Flor. 3, 79, ϑ.

8 *Χαίροις Ὑψιπύλη φίλη· τοὺς ἐμοὺς κορύμβους πλέκω· οὔ σοι λέγω περὶ τούτου. οὑμὸς ἄκοιτις ἐνταῦθα:* ἡ παροιμία τάττεται ἐπὶ τῶν λεγόντων ἀσύμφωνα καὶ ἀκατάλληλα. ὁμοία τῇ· *Ἐγὼ σκόροδά σοι λέγω, σὺ δὲ κρόμμυ' ἀποκρίνῃ.*

7b *Χαλεπὸν ἄρχεσθαι* ὑπὸ χείρονος:. *Δημοκρίτου* ἡ γνώμη.

7c *Χαλεπὸν ὅταν τις* ὢν πίνει πλέον λαλῇ,
μηδὲν κατειδὼς, ἀλλὰ προςποιούμενος:. *Μενάνδρου.*

7d *Χαλεπὸν τὸ ἑαυτὸν* γνῶναι, ἀλλὰ μακάριον· ζῇ γὰρ κατὰ φύσιν:. *Θάλεω.*

7e *Χαλεπαὶ δέ τ'* ἀνάκτων εἰσὶν ὁμοκλαί.

8a *Χαρτοῖσι χαῖρε καὶ* κακοῖσιν ἄσχαλλε μὴ λίην·
γίνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει:. *Ἀρχιλόχου.*

8b *Χαίρει ταῖς κατάραις τὸ κύμινον:* ἐπὶ τῶν μηδὲν ἀπὸ κατάρας βλαπτομένων.

8c *Χαῖρ', εἰ τὸ* χαίρειν ἐστί που κάτω χθονός:. *Ἀστυδάμαντος.*

8d *Χαίρετε δαίμονες,* οἳ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης:. *Κρατίνου.*

8e *Χαίρειν χρὴ τοῖς* ἐλέγχουσιν ἢ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ ὑποσκελίζουσιν:. *Πλουτάρχου.*

8f *Χαῖρε παλαιογόνων* ἀνδρῶν θεατῶν ξύλλογε πανσόφων:. *Πλάτων ἐν Ξαντρίαις.*

---

3. Scribe *ἀκοίτης*. 6. *χειρίονος* Democrates. 7. *πίῃ* Stobaeus. 9. *τὸ*] *δὲ* Maximus. *ζῇ*] *ζῆν* Maximus, *τοιοῦτος* Z. 12. *ἀλλὰ χαρτοῖσίν τε* Stobaeus. *ἀσχάλα* idem. Hic finis prioris tetrametri. 13. *γίγνωσκε* Stobaeus. 19. *τοῖς ἐλέγχοις ἢ τοῖς κόλαξιν* Georgides. 21. *σκελίζουσι* Maximus et Georgides. *Πλουτάρχου*] *Πυθαγόρου* Georgides, similisque sententia Pythagorae tribuitur apud Stob. Flor. 14, 18. 22. *παντοσόφων* Hephaestio.

7b. Arsen. LIII, 69. G 4: Stob. Flor. 45, 27. Democr. 15 Or. Democr. fr. 192 Mull.

7c. Arsen. LIII, 70: Stob. Flor. 18, 19. Men. fr. fab. inc. 83 Mein.

7d. Arsen. LIII, 71: Max. Conf. Serm. 56, p. 663 Comb.

7e. Arsen. LIII, 72: Hom. Od. *P*, 189.

8. Arsen. LIII, 79. G 6. *Ἐγὼ κτλ.*] Apost. VI, 48a.

8a. Arsen. LIII, 80: Stob. Flor. 20, 28, 6. Archil. fr. 58 Schneidew.

8b. Arsen. LIII, 81. Natum ex ritu superstitioso, quem in cumino serendo veteres observabant: v. Theophr. Hist. Plant. VII, 3, 3 ibiq. Schneiderus.

8c. Arsen. LIII, 82: Stob. Flor. 120, 15.

8d. Arsen. LIII, 83: Hephaest. de Metr. 44 Gaisf. Crat. Trophon. fr. III Mein.

8e. Arsen. LIII, 84: Max. Conf. Serm. 11, p. 565 Comb., Georg. in Boiss. Anecd. I, 95. Plut. fr. 29 Wyttenb. Boissonadus ad Georg. l. c. confert Salom. Provv. 27, 5. 28, 23.

8f. Arsen. LIII, 85: Hephaest. de Metr. 91 Gsf. Plat. Xantr. fr. I Mein.

9 *Χαμαιλέοντος εὐμεταβολώτερος*:. Ὁ χαμαιλέων τὸ ζῷον εἰς ἰδίαν μίαν χρόαν οὐ πέφυκεν οὔτε ὁρᾶσθαι, οὔτε γνωρίζεσθαι, κλέπτει δ' αὐτὸν πλανῶν τε καὶ παρατρέπων τὴν τῶν ὁρώντων ὄψιν· εἰ γὰρ περιτύχοις μέλαν τὸ εἶδος, ὁ δὲ ἐξέτρεψε τὸ μόρφωμα εἰς χλωρότητα, ὡς οὖν μεταμφιασάμενος· εἶτα μέντοι ἀλλοῖος ἐφάνη λευκότητα ὑποδύς, καθάπερ προςωπεῖον ἕτερον ἢ στολὴν ὑποκριθεὶς ἄλλην. φαίη ἂν οὖν τις καὶ τὴν φύσιν μὴ καθέψουσαν μηδὲ ἐπιχρίουσαν φαρμάκοις, ὥσπερ Μήδειαν ἢ Κίρκην καὶ ἐκείνην φαρμακίδα εἶναι:. *Λέγεται καὶ* τοῦτο περὶ αὐτοῦ, ὅτι κάρφος πλατὺ καὶ στερεὸν ἐνδακὼν ἑαυτὸν ἐπιστρέφει, καὶ ἀντιπρόσωπος ὁμόσε χωρεῖ τῷ ὄφει· ὁ δὲ αὐτοῦ λαβέσθαι ἀδυνατεῖ, τοῦ κάρφους τὸ πλάτος οὐκ ἔχων περιχανεῖν· οὐκοῦν ἄδειπνος τό γε ἐπ' ἐκείνῳ μένει ὁ ὄφις.

10 *Χαλάσω τὴν ἱερὰν ἄγκυραν*: ἐπὶ τῶν ἐν κινδύνοις φευγόντων εἴς τινα δύνατον.

11 *Χαλεπὸν χορίου κύνα γεύειν*: ἐπὶ τῶν ἐπὶ μικρῶν κακῶν χωρούντων εἰς μεγάλα. τὸ ἔλυτρον τοῦ ἐμβρίου χόριον καλεῖται· οἱ δὲ κύνες γευσάμενοι τούτου καὶ τοῖς ἐμβρίοις διὰ τὸ λιχνὸν ἐπιβουλεύουσι.

8g *Χαίρω σ' ὁρῶν φθονοῦντα*, τοῦτ' εἰδὼς ὅτι
ἓν δρᾷ μόνον ἴδιον ὧν ποιεῖ φθόνος·
λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους:. Καρκίνου.

10a *Χάους ἀρχαιότερος*.

---

1. Ὁ As om. 3. δὲ ἑαυτὸν As. τε ἅμα As. 5. μέλανι As. 6. ὡς] ὥσπερ As. 8. ὑποκριτὴς As. ἐπεὶ τοίνυν ταῦθ' οὕτως ἔχει, φαίη τις ἂν καὶ As. 9. ὥσπερ οὖν ἢ As. τινα ἢ K. καὶ μέντοι καὶ ἐκείνην As. 10. λέγεται — ὅτι] As om. 12. ὄφει] πολεμίῳ As. 14. τό γε] τότε G. 17. εἰς τὸν ἀδύνατον Z: explicatio manca: v. Macar. VIII, 77. 18. γεῦσαι A. ἐπὶ μικρῶν] ἀπὸ μικρῶν N. 19. ἐμβρύου Z. 21. ἐμβρύοις Z. ἐπιβουλεύονται Z. 23. ἴδιον] δίκαιον Porsonus. 25. Χ. ἀρχ. καὶ Κρονίων: ἐπὶ τῶν πάνυ παλαιῶν Suidas.

• 8g. Arsen. LIII, 86. 9: Stob. Flor. 38, 18.
9. Arsen. LIII, 87. G 8. Greg. Cypr. L III, 32. Ὁ χαμαιλέων — εἶναι] Aelian. N. An. II, 14. Λέγεται κτλ.] Aelian. l. c. IV, 33.
10. Greg. Cypr. L III, 31: Arsen. LIII, 76 G 1.
10a. Arsen. LIII, 77: Suidas. Affert Suidas ad proverbium illustrandum locum incerti auctoris hunc: ὁ δὲ φλυαρεῖ καὶ μάτην ἡμῶν λῆρον καταχεῖ τοῦ χάους ἀρχαιότερον καὶ Κρονίων ἀπόζοντα, ubi ultima Arist. Nub. 397 spectant. Cf. Diog. V, 64.
11. Arsen. LIII, 73. G 2. ἐπὶ — μεγάλα] cf. DV III, 94. τὸ κτλ.] DV l. c., K in nott. ad Greg. Cypr. P III, 97.

12 *Χαραδριὸς ἕτερος:* ἐπὶ τῶν ἀποκρυπτομένων. ἐπεὶ γὰρ οὗτος τοὺς ἰκτεριῶντας ὠφελεῖ ὀφθείς, τοῦτο οἱ πωλοῦντες κρύπτουσιν, ἵνα μή τις πρὸ τοῦ ὠνήσασθαι ἰαθῇ. οἱ δέ φασιν οὐ τοὺς ἰδόντας τὸν χαραδριόν, ἀλλὰ τοὺς φαγόντας τῆς νόσου παύεσθαι. ἀλλ' οὗτοι μὲν οὕτως. ὁ δέ γε Αἰλιανὸς οὕτω περὶ χαραδριοῦ φυσιολογεῖ· *Χαραδριοῦ* ἦν ἄρα δῶρον τοῦτο, οὐ μὰ Δί' ἀτιμάζειν ἄξιον· ἦν γοῦν ὑπαναπλησθεὶς τὸ σῶμα ἰκτέρου τις, εἶτά οἱ δριμὺ ἐνορῴη, ὁ δὲ ἀντιβλέπει καὶ μάλα ἀτρέπτως, ὥσπερ οὖν ἀντιθυμιούμενος, καὶ ἡ τοιάδε ἀνάβλεψις ἰᾶται τοῦ προειρημένου πάθους τὸν ἄνθρωπον.

13 *Χάρητος ὑπόσχεσις:* ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων, μηδαμῶς δὲ ἢ δυσκόλως παρεχόντων. Χάρης γὰρ ὁ στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις ἐγένετο μέν, οὐκ ἐπετέλει δέ γε.

11a *Χαλεπὸν τύχης τι πρᾶγμα,* χαλεπόν· ἀλλὰ δεῖ αὐτὴν φέρειν κατὰ τρόπον ὥσπερ φορτίον:. Ἀπολλοδώρου.

11b *Χαλεπὸν θυγάτηρ* κτῆμα καὶ δυςδιάθετον:. Μενάνδρου.

12a *Χαβρίας εἶπε,* φοβερώτερόν ἐστι στρατόπεδον ἐλάφων ἡγουμένου λέοντος, ἢ λεόντων ἐλάφου.

12b *Χαῖρε δὶς ἡβήσας* καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης:. Πίνδαρος εἰς Ἡσίοδον.

---

1. ἕτερος KN om.: recte: nam in Append. l. c. male ἕτερος inserui, quum χαραδριὸν μιμούμενος scribendum esse et Suidas et explicatio abunde docerent; ἕτερος adiecit nescio quis, qui voce sola χαραδριὸς proverbium non effici intellegeret. 2. τοῦτο] τοῦτον G, καὶ τοῦτον Suidas, διὰ τοῦτο K. 3. ἰαθῇ περιέργως Suidas, alia in sequentibus de avis natura addens. 5. παύεσθαι] ἀπαλλάττεσθαι Suidas. 7. ἦ οὐ μὰ Δία As. 8. ἐνορῶν As. 9. μάλα γε As. 12. ὑποσχέσεις Suidas. 13. μηδαμῶς — παρεχόντων Suidas ignorat. 15. ἐγένετο κτλ.] λέγεται γεγονέναι Suidas. 16. τύχη 'στι Porsonus, Meinekius Com. Gr. Fr. IV, p. 456. 18. χαλεπόν γε Menander.

11a. Arsen. LIII, 74: Stob. Flor. 108, 36.

11b. Arsen. LIII, 75: Menand. Monost. 750. Stob. Flor. 87, 6. Menand. Piscat. fr. VI Mein.

12. Arsen. LIII, 88. G 9. ἐπὶ — παύεσθαι] Suidas: App. Provv. V, 23. Χαραδριοῦ κτλ.] Aelian. N. A. XVII, 13. De avi dixerunt Boissonadus ad Theophyl. Simoc. Op. 208 et Knochius ad Babr. frr. p. 130.

12a. Arsen. LIII, 89: cf. Apost. XVII, 93.

12b. Arsen. LIII, 90: Tzetz. ad Hesiod. Proll. p. 9 Gaisf. Append. Provv. IV, 92.

13. Suidas: Arsen. LIII, 91. G 10. DV I, 60.

14 *Χαῖρ' ὦ φίλον φῶς*: γυναῖκα βουλομένην ἀκολασταίνειν σβέσαν τὸν λύχνον φασὶ τοῦτο εἰπεῖν· ἕτεροι δὲ γραῦν.

15 *Χαιρεφῶν αὐτόχρημα*: ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν· καὶ ἐπὶ τῶν διεστώτων ἐκ τῶν ἀδελφῶν σφίσιν· οὗτος γὰρ σφόδρα ἤχθρευσε τῷ ἀδελφῷ· οὓς ὁ Σωκράτης συνῆγε λέγων, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν οὐδὲ ποδῶν.

16 *Χάρωνος θύρα*: δι' ἧς οἱ καταδικοι ἐπὶ τῷ θανεῖν ἐξήρχοντο.

17 *Χάρης ᾄδων ὄρθιον*: ἐπὶ τῶν εὐφώνων· ὁ γὰρ Χάρης αὐλητὴς Θηβαῖος ἦν· ὄρθιος δὲ αὐλητικὸς νόμος οὕτω καλούμενος, εὔτονος καὶ ἀνάτασιν ἔχων· καὶ Ὅμηρος·

Ἔνθα στᾶσ' ἤϋσε θεὰ μέγα δεινόν τ'
ὄρθι' Ἀχαιοῖς.

18 *Χαρὰν πυραύστου χαίρεις*: ἐπὶ τῶν διὰ μικρὰν ἡδονὴν ἑαυτοὺς φθειρόντων:. Ὁ γὰρ πυραύστης ζῶόν ἐστιν, ὅσπερ οὖν χαίρει μὲν τῇ λαμπηδόνι τοῦ πυρός, καὶ προσπέταται τοῖς λύχνοις, ἐνακμαζούσῃ ἔτι φλογί, καὶ δο-

16a *Χάριτας μὲν τὸ δίκαιον ὑπερβαινούσας οὐδ' ὀνομαστέον ἐμοὶ δοκεῖν χάριτας· τὰς δὲ τῆς δικαιοσύνης φίλας οὐδεὶς ἄν, ὃς οὐκ ἀπὸ δρυός ἐστιν ἢ πέτρας ἑκὼν ἀρνησάμενος τύχοι:. Σωπάτρου.*

---

1. *Χαῖρ' ὦ*] *χαῖρε* Suidas. 2. *σβέσασαν* GZ Suidas. 2. *ἕτεροι κτλ.*] *οἱ δὲ αἰσχράν· ἄλλοι γραῦν* Suidas. 3. *αὐτόχρημα* Suidas non agnoscit. *ἰσχνῶν*] Suidas pergit: *καὶ παροιμία· Οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν*: est Arist. Nub. v. 503. 4. *καὶ — σφίσιν*] in Suida desunt. *ἀδελφῶν*] scribe *παίδων*. *οὗτος κτλ.*] plura Suidas e Scholl. ad Arist. Nub. 144. 504. Av. 1296 adiecit. 8. *Χαρώνιος* A, *Χαρώνειος* d Suidas. *μία τοῦ νομοφυλακίου θύρα, δι' ἧς* Suidas. 10. *Χαῖρις* K Suidas. *ἐπὶ τ. εὐφώνων* Suidas om.: *ἀφώνων* potius scribendum fuisse in ann. ad App. l. c. monui. *Χαῖρις* K Suidas. 11. *Θηβαῖος ἄμουσος* Suidas. 12. *οἷον εὔτονος* idem. *καὶ Ὅμηρος κτλ.*] K om. 13. *μέγα τε δεινόν τε* Homerus. 14. *Ἀχαιοῖσιν* idem. 17. *ὅπερ* As. 18. *προσπέτασαι* G, *προσπέτεται* As. *τῇ φλογὶ* Z As.

14. Suidas: Arsen. LIII, 88. G 11. Zenob. VI, 42. Diog. VIII, 70.

15. Suidas: Arsen. LIII, 89. G 12. *Σωκράτης*] Xenoph. Memor. II, 3, 18.

16. Diog. VIII, 68: Arsen. LIII, 92. G 13. DV III, 91.

16a. Arsen. LIII, 93: Stob. Flor. 46, 60. *ἀπὸ δρυός*] cf. ann. ad Macar. III, 40.

17. Suidas et K in App. Provv. V, 21: Arsen. LIII, 94. G 14. De Chaeride v. Scholl. ad Arist. Pac. 951. *Ὅμηρος*] Il. Λ, 10.

18. Arsen. LIII, 95. G 15. Lemma ex Aeliano factum assumpto loco Matth. Euang. 2, 10: antiquum enim de pyrausta proverbium fuit *πυραύστου μόρον*, de quo v. Mant. Provv. s. *πυραύστου*. *Ὁ γὰρ κτλ.*] Aelian.

καί τι λήψεσθαι· ἐμπεσὼν δὲ ὑπὸ ῥώμης εἶτα μέντοι καταπέφλεκται. μέμνηται δὲ αὐτοῦ καὶ Αἰσχύλος λέγων·

Δέδοικα μωρὸν κάρτα πυραύστου μόρον.

Τὸ χ μετὰ τοῦ ε.

19 *Χελώνη μυῶν*: ἐπὶ τῶν ἀφροντίστων τινός· τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἔλαττον ἔμελλεν, ἢ χελώνῃ μυῶν:. Φαγοῦσα ὄφεως χελώνη καὶ ἐπιτραγοῦσα ὠριγάνου ἐξάντης γίνεται τοῦ κακοῦ, ὃ πάντως αὐτὴν ἐκ τῆς τροφῆς ἀναιρεῖν ἔμελλεν:. *Αἱ χελῶναι αἱ θαλάττιαι* ἐν τῇ γῇ τίκτουσι καὶ καταχωννύουσιν ἐν αὐτῇ τὰ ὠὰ καὶ ὑποστρέφουσιν· εἰσὶ δὲ ἐς τοσοῦτον λογιστικαί, ὡς ἀφ' ἑαυτῶν ἐκλογίζεσθαι τὰς ἡμέρας τὰς τεσσαράκοντα, ἐν αἷς τὰ ἔκγονα αὐταῖς τῶν ὠῶν συμπαγέντων ζῷα γίνεται· ἀποστρέψασαι δὲ εἰς τὸν χῶρον, ἐν ᾧ ἔκρυψαν τὰ ἑαυτῶν βρέφη, ὀρύσσουσι τὴν γῆν ἣν ἐπέβαλλον, καὶ κινουμένους ἤδη τοὺς νεοττοὺς καὶ ἕπεσθαι δυναμένους αὐταῖς, ἀπάγουσι.

20 *Χειμὼν ὀρνιθίας*: σφοδρός, ἐν ᾧ τὰ ὄρνεα φθείρεται. λέγεται καὶ ἄνεμος ὀρνιθίας.

21 *Χειρώνειον ἕλκος*: ἤτοι ἀνήκεστον.

18a *Χαίροις νῦν φιλότητι· περιπλομένου δ' ἐνιαυτοῦ*
τέξεις ἀγλαὰ τέκν'· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων.

19a *Χειμὼν κατ' οἴκους ἐστὶν ἀνδράσι γυνή.*

---

2. *Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητὴς* As. 5. *μυιῶν* K Suidas. *ἀφροντιστούντων* K Suidas. 7. *ἔμελεν* K Suidas. *μυιῶν* iidem. 8. *ὀριγάνου* As. 9. *ἀναιρεῖν*] *ἀνελεῖν* As. 10. *καὶ — ὑποστρέφουσιν*] *τεκοῦσαι δὲ παραχρῆμα κατέχουσαν ἐν τῇ γῇ τὰ ὠά, εἶτα ἐπιστρέψασαι ὀπίσω εἰς ἤθη τὰ ἑαυτῶν νήχονται* As. 12. *ὥστε ἐφ' ἑαυτῶν* As. 13. *ἔγγονα* As. 14. *γίνονται* As. *ὑποστρέψασαι* As. *δὲ*] *οὖν αὖθις* As. 15. *ἔκρυψαν*] *κατέθεντο κρύψασαι* As. *ὀρύσσουσι*] *ἀνώρυξαν* As. *ἐπέβαλον* As. 16. *καὶ ἕπεσθαι*] *καὶ* As om. 19. *δὲ καὶ* G Suidas. 21. *Χαῖρε* Homerus. *νῦν*] *γύναι* idem. 22. *τέκνα* idem. 23. *ἐστὶν ἀνδράσι*] *ἀνδράσιν κακὴ* Menander.

N. An. XII, 8. *Αἰσχύλος*] fr. 289 Dind.

18a. Arsen. LIII, 96: Hom. Od. *Λ*, 248.

19. Arsen. LIII, 97. *Χελώνη — μυῶν*] K in App. Provv. V, 27: G 16. Suidas. Greg. Cypr. L III, 33. *τῷ — μυῶν*] Iulian. Epist. 59: v. Apost. XIII, 61d. XVII, 43a. *Φαγοῦσα — ἔμελλεν*] Aelian. N. An. III, 5. *αἱ κτλ.*] Aelian. Var. Hist. I, 6.

19a. Arsen. LIII, 98: Menand. Monost. 540.

20. Macar. VIII, 81: Arsen. LIII, 99. G 17. App. Provv. V, 25.

21. Greg. Cypr. L III, 34: Arsen. LIII, 100. G 18.

22 *Χειμάσει ποτὲ καὶ ἐφ' ἡμᾶς ἡ ἀπὸ τῶν ὀρῶν νεφέλη: ἐπὶ τῶν προσδεχομένων τινὰ κακὰ μετ' ὀλίγον ἐλευθησόμενα:.* Φάβιος Μάξιμος Ἀννίβᾳ μάχεσθαι μὴ βουλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων οὖσαν, ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών· καταγελώντων δὲ τῶν πολλῶν καὶ παιδαγωγὸν Ἀννίβᾳ καλούντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὐτοῦ λογισμοῖς· καὶ πρὸς τοὺς φίλους ἔλεγεν, ὅτι τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας δειλότερον ἡγεῖται τοῦ φεύγοντος τοὺς πολεμίους. ἐπεὶ δὲ τοῦ συνάρχοντος Μινουκίου καταβαλόντος τινὰς τῶν πολεμίων πολὺς ἦν λόγος ὡς ἀνδρὸς ἀξίου τῆς Ῥώμης, μᾶλλον ἔφη τὴν εὐτυχίαν ἢ τὴν ἀτυχίαν τοῦ Μινουκίου φοβεῖσθαι· καὶ μετὰ μικρὸν ἐνέδρᾳ περιπεσόντος καὶ κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως ἐπιβοηθήσας, τῶν τε πολεμίων πολλοὺς διέφθειρε κἀκεῖνον ἔσωσεν. ὁ μὲν οὖν Ἀννίβας εἶπε πρὸς τοὺς φίλους, οὐ πολλάκις ὑμῖν προὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ' ἡμᾶς;

23 *Χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη· γαστέρα δὲ οὐκ ἔχει: ἐπὶ τῶν πολλοὺς μὲν ἱππεῖς καὶ ὁπλίτας ἐχόντων, χρημάτων δὲ οὐκ εὐπορούντων.* Κόϊντος εἶπε πρὸς Φιλοποίμενα· καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος τοιοῦτος ἐτύγχανεν.

21a *Χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε: ἐπὶ τῶν σμικρὰ δῶρα διδόντων.*

---

14. *καὶ κινδυνεύοντος*] *καὶ* Plutarchus om. 21. *ἵππους* G. 24. *ἐτύγχανεν*] *ἦν* G. In Apophthegmatis totum sic refertur: *Φιλοποίμενι δὲ τῷ στρατηγῷ τῶν Ἀχαιῶν ἱππεῖς μὲν πολλοὺς καὶ ὁπλίτας ἔχοντι, χρ. δὲ οὐκ εὐποροῦντι, προσπαίζων ἔλεγεν* [T. Q. Flamininus], *Χεῖρας — ἔχει. καὶ γὰρ καὶ τῇ φύσει ἦν ὁ Φιλοποίμην τοιοῦτος.* Ostendit et hoc exemplum, quo modo proverbia a serioribus procusa sint. 25. *ἐδίηνεν* Homerus.

21a. Arsen. LIV, 1. G 19. Est versus Hom. Il. *X*, 495, ad quem Eustathius 1282, 61 sic disputat: *τὸ δὲ χείλεα — ἐδίηνεν κάλλους μέν ἐστι σχῆμα ὅμοιον τῷ ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν, ἑλκυσθὲν δὲ καὶ εἰς παροιμίαν λέγεται ἐπὶ τῶν μικρά τινα δωρουμένων, δι' ὧν χείλη μὲν ὑγραίνεται, εἰς δὲ τὸ κατὰ στόμα ὑπερῷον ὑγρότης οὐκ ἄνεισι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν λόγοις μὲν ὑποσχετικοῖς εὐφραινόντων, οὐ μὴν καὶ τῇ ἔνδον ἀγαθῇ διαθέσει. δῆλον δὲ ὅτι ὑπερῴην λέγει τὸν κατὰ στόμα οὐρανόν, ἄμφω καλούμενον διὰ τὸ μετὰ ὕψους κατηρεφὲς καθ' ὁμοιότητα ὑπερῴου τε οἰκήματος καὶ οὐρανοῦ. ἀμφιθαλὴς δὲ παῖς κτλ.*

22. Arsen. LIV, 2. *χειμάσει — ἐλευθησόμενα*] G 20. *Φάβιος κτλ.*] Plut. Apophth. Regg. cett. 195 C: add. eiusd. V. Fab. Max. 8. 12.

23. Arsen. LIV, 3. G 21. Ex

24 *Χελώνην Πηγάσῳ κρίνεις: ἐπὶ τῶν τὰ ἀνόμοια συγκρινόντων.*

Τὸ χ μετὰ τοῦ θ.

25 *Χθόνια λουτρά: τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.*

Τὸ χ μετὰ τοῦ ι.

26 *Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι, γνῶθι σεαυτόν.*

27 *Χλαμὺς Συλώσοντος: ἐπὶ τῶν ἀλαζονευομένων ἐπ' ἐσθῆτι· οὗτος γὰρ εἶχε χλαμύδα, ἣν Δαρείῳ ἰδιωτεύοντι δωρησάμενος ἔτυχε τῆς εἰς Σάμον καθόδου.*

Τὸ χ μετὰ τοῦ ο.

28 *Χόας ἓξ χωρήσει: ἐπὶ τῶν παραπλήγων. τουτέστιν ὁ ἐγκέφαλος αὐτοῦ· ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ· ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων.*

26a *Χῖος παραστὰς οὐκ ἐᾷ Κῷον λέγειν: παρόσον οἱ Χῖοι λογιώτεροι τῶν Κῴων ἦσαν καὶ δυνατώτεροι.*

---

1. *συγκρίνεις* AGZ Ds. 8. *Συλοσῶντος* Ds. 12. *χωρήσεται* Suidas ex Arist. Nub. 1238. *παραπλήγων*] *παραληροῦντων* Suidas. 13. *ἀσκοῦ ἔμεινε μεταφορᾶς* idem.

Plut. Apophth. Regg. 197 D. Cf. Plut. V. Philop. 2.

24. Arsen. LIV, 4. G 22. Diog. I, 56. De Pegaso cf. Apost. XIV, 28: de testudine affero Liban. Epist. 72: *ἀλλ' ὅτι μὲν χελώνην εἰς ἀγῶνα ποδῶν καλῶ, σὲ παρακαλῶν ὑπὲρ φίλου τι σπουδάσαι, καλῶς ἐπίσταμαι.*

25. Suidas: Arsen. LIV, 5. G 23. DV III, 92.

26. Anth. Pal. IX, 366, 3: Arsen. LIV, 6.

26[a]. Arsen. LIV, 7. G 24. K in App. Provv. V, 28. Explicatio prorsus falsa: Eustath. ad Hom. Il. Ψ, 88, p. 1289, 64: *τῶν δὲ βόλων, φασίν, ὁ μὲν τὸ ἓξ δυνάμενος Κῷος ἐλέγετο καὶ ἑξίτης, ὁ δὲ τὸ ἓν Χῖος καὶ κύων· ὅθεν καὶ παροιμία* [v. Apost. X, 35]· *Χῖος παραστὰς Κῷον οὐκ ἐάσω· καθ' ἣν παρὰ Στράττιδι τῷ κωμικῷ* [*Λιμνοπ.* fr. 3 Mein.] *τό, Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν· ὃ παραλαλεῖ καὶ Ἀριστοφάνης ἐν τῷ* [Arist. Ran. 970: v. Apost. XIV, 16[b]]. *οὐ Χῖος, ἀλλὰ Κεῖος, ἢ Κῷος:* eadem fere leguntur in Scholl. Plat. 320 Bekk. Cf. annott. ad App. l. c., Zenob. IV, 74 et v. Voemelii doctissimam disputationem de Euripide, casu talorum, Francf. 1847 editam.

27. Diog. V, 14: G 25. Suidas. Respexit Iulian. Orat. III, 117 B: add. id. Epist. 29: *ὁ Συλοσῶν ἀνῆλθε, φησί, παρὰ τὸν Δαρεῖον καὶ ὑπέμνησεν αὐτὸν τῆς χλανίδος καὶ ᾔτησεν ἀντ' ἐκείνης παρ' αὐτοῦ τὴν Σάμον. εἶτα ἐπὶ τούτῳ Δαρεῖος μὲν ἐμεγαλοφρονεῖτο μεγάλα ἀντὶ μικρῶν νομίζων ἀποδεδωκέναι· Συλοσῶν δὲ λυπηρὰν ἐλάμβανε χάριν.*

28. Suidas: Arsen. LIV, 8: App. Provv. V, 29.

29 *Χορὸς ἀργούντων*: ἐπὶ τῶν ἄτοπά τινα διαπραττομένων.

30 *Χοῖνιξ Κνωδάλου*: ἐπὶ τῶν μεγάλοις μέτροις κεχρημένων.

31 *Χορὸν δίδωμι*: ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν· παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας γὰρ καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες, ἀλλ' οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι.

Τὸ χ μετὰ τοῦ ρ.

32 *Χρήματ' ἀνήρ, πενιχρὸς δ' οὐδέποτ' ἐσθλός*: ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων· αὕτη δὲ ἀποφθεγματική ἐστιν ὡς καὶ ἡ· *Ἀρχὴ ἄνδρα δείκνυσι*. καὶ ἡ· *κατὰ σαυτὸν ἔλα*. καὶ ἡ, *γνῶθι σαυτόν*.

33 *Χρὴ μὴ τὸ κακὸν διὰ κακοῦ ἀμύνασθαι*: ὁ Ἀμίλκας τοὺς τὸν ἀδελφὸν ἀνελόντας συλλαβών, εἴς τε τὸν ἑκάστου πατήσας τράχηλον· εἶτα μέντοι ἀπολύσας, ἔφησε τοῦτο, ἀποχρῶσαν δίκην λαβεῖν· ἐπειπὼν ταύτην ἐπὶ τῷ τοῦ ἀδελφοῦ φόνῳ.

34 *Χρηστοῖσι κυσὶ συμφορὰ τὰ δεσποτῶν μᾶλλον ἢ χρηστοῖσι δούλοισιν*, ὦ Εὐριπίδη, κακῶς πιτνῶντα καὶ φρενῶν ἀνθάπτεται. ποῦ γὰρ ἄνθρωπος ἐπὶ τῷ δεσπότῃ τέθνηκε, κυνὸς αὐτὸ δούλου δράσαντος. ὅθεν πεπαροιμία-

31a *Χοροῦ μὲν ἀναρμοστία ποιεῖ γέλωτα, πολιτῶν δὲ ἀναρμοστία ποιεῖ δάκρυα.*

31b *Χορεῖός ἐστι πούς* συγκείμενος ἐκ τριῶν βραχειῶν ∪∪∪, οἷον δόλιος· χορεῖος δὲ ἐκλήθη, ὅτι ἐν χοροῖς τοιούτῳ μέτρῳ ἐχρῶντο.

---

3. κοδάλου Suid. s. κοδάλου. μεγάλοις] μείζοσι idem. 6. γὰρ καὶ] dele γάρ. 10. πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσλός Alcaeus. 13. Scribe τὴν κατά. 19. παίζει δὲ Εὐριπίδης [Med. 54 sq.] λέγων·

χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν
κακῶς πιτνόντα καὶ φρενῶν ἀνθάπτεται.

ποῦ γὰρ ἄ. ἐ. τ. δ. τέθνηκεν κυνὸς δούλου δράσαντος αὐτό; As.

29. Ars. LIV, 9. G 26: Apost. IV, 4.
30. Diog. V, 69: Arsen. LIV, 10. G 27.
31. Suidas: Arsen. LIV, 11. G 28. App. Provv. V, 30.
31a. Arsen. LIV, 12.
31b. Arsen. LIV, 13: Scholl. ad Hephaest. 158 Gaisf.
32. K in nott. ad Greg. Cypr. P III, 98: Arsen. LIV, 14. Greg. Cypr. M V, 15. ἀρχὴ ἄ. δ.] Apost. IV, 1. τὴν κατὰ σ. ἔ.] Apost. XVI, 55. Γν. σαυτόν] Apost. V, 56.
33. Arsen. LIV, 15.
34. Arsen. LIV, 16. χρηστοῖσι — δράσαντος] Aelian. N. An. VII,

σται, κύων δοῦλος ἀνθρώπου δούλου φιλοδεσποτώτερον:. Λέγεταί τις ἀνὴρ Κολοφώνιος παραγενέσθαι εἰς Τέων συνωνησόμενος τινά· καὶ γὰρ ἦν ἐμπορικός, καὶ τὴν ἐκ τῶν ὠνίων καπηλείαν τε καὶ μεταβολὴν πρόσοδον εἶχεν· ἀργύριον δὲ ἐπήγετο καὶ οἰκέτην καὶ κύνα. ἔφερε δὲ τὸ ἀργύριον ὁ δοῦλος. ἐπεὶ δὲ πρὸ ὁδοῦ ἦσαν, ὁ οἰκέτης ἐξετράπετο, ἤπειγε γάρ τι αὐτὸν τῶν κατὰ φύσιν, ἠκολούθησε δὲ ὁ κύων· τὸ τοίνυν φασκώλιον ἀνέπαυσεν ὁ νεανίας καὶ ἀνελέσθαι πάλιν οὐκ ἐνενόησεν, ἀλλὰ ᾤχετο· ὁ δὲ κύων κατακλίνας αὐτὸν ἐπὶ τῷ ἀργυρίῳ ἔμενεν ἥσυχος. ἐλθόντες δὲ εἰς τὴν Τέων ὅ τε δεσπότης καὶ ὁ οἰκέτης, εἶτα μέντοι ἄπρακτοι ἐπανῆλθον, ὅτου ὠνήσονται οὐκ ἔχοντες. τὴν αὐτήν γε μὴν ἐκτρέπονται πάλιν, ἔνθα ὁ οἰκέτης ἀπέλιπε τὸ βαλάντιον, καὶ καταλαμβάνουσι τὸν σφέτερον κύνα ἐπικείμενον αὐτῷ καὶ μόλις ἐμπνέοντα ὑπὸ τοῦ λιμοῦ. ὁ δὲ ὡς εἶδε τὸν δεσπότην καὶ τὸν ὁμόδουλον, ἑαυτὸν ἀποκλίνας τοῦ φασκωλίου, κατὰ τὸν αὐτὸν χρόνον καὶ τὴν φρουρὰν καὶ τὴν ψυχὴν ἀφῆκεν.

34a Χρὴ δὲ καθ' αὐτὸν ἀεὶ παντὸς ὁρᾶν μέτρον.
34b Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι:. Ἡσιόδου.
34c Χρὴ δ' οὔποτ' εἰπεῖν ὄλβιον οὐδένα βροτῶν
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς,
ὅπως περάσας ἡμέραν ἥξει κάτω:. Εὐριπίδου.
34d Χρὴ ψυχὴν λιπεῖν μηδ' ἀνίζειν δακρύοις καὶ θρήνοις· τὸ δὲ χρεὼν ἀνδρὸς ἀγαθοῦ φέρειν:. Σωκράτους.
34e Χρηστότης τυγχάνουσα μὲν χάριτος ἔτι μᾶλλον αὔξεται· προπηλακισθεῖσα δὲ εἰς ὀργὴν ἐρεθίζεται:. Λευκίππου.
34f Χρηΐζων παθέεσσιν ἀκέστορος, ἢν κακὰ κεύθῃς,
οὔποτε σηπεδόνα φεύξεαι ἀργαλέην.

2. Λέγεται — εἰς] Κολοφώνιος ἀνὴρ παραγίνεται εἰς τὴν As. 8. καὶ ὁ As. 9. ᾤχετο ἀπιὼν As. 15. ὑπὸ τοῦ] τοῦ As om. 19. κατ' αὐτὸν Pindarus. 21. οὐδέν' ὄλβιον Euripides. 24. ἀνιάζειν Stobaeus. 26. χρηστότης γὰρ Achilles. 27. Scribe Λευκίππης. 28. χρῄζων Billius.

28. Λέγεται κτλ.] Aelian. l. c. VII, 29.

34a. Arsen. LIV, 17: Pind. Pyth. II, 34.

34b. Arsen. LIV, 18: Stob. Flor. 91, 25. Hesiod. Ἔργ. 686.

34c. Arsen. LIV, 19: Stob. Flor. 105, 14. Eur. Androm. 100.

34d. Arsen. LIV, 20: Stob. Flor. 118, 24.

34e. Arsen. LIV, 21: Max. Conf. Serm. 57, p. 665 Comb. Achill. Tat. VI, 13.

34f. Arsen. LIV, 22: Georg. in Boiss. Anecd. I, 96. Gregor. Nazianz. Carm. p. 146 Bill.

35 *Χροῖ δῆλα*: φασὶ Φερεκύδην τὸν σοφὸν φθειριασίᾳ τελευτῆσαι· Πυθαγόρου γὰρ παραγενομένου καὶ πυνθανομένου πῶς διακέοιτο, προβάλλοντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν· χροῖ δῆλα. καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλοσόφοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται· οἱ δὲ καὶ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνουσι.

36 *Χρόνου γάρ ἄν σοι καιρὸν ἐξείργοι λόγος*: ἐπὶ τῶν πολλὰ λεγόντων.

37 *Χρυσὸς Κολοφώνιος*: οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάζοντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν.

38 *Χρυσοῦ λαλοῦντος* πᾶς ἀπρακτείτω λόγος·
πείθειν γὰρ οἶδε καὶ πέφυκε μὴ λέγειν.

39 *Χρυσοχοήσειν ᾤου σύ*: κέχρηται τῇ παροιμίᾳ Πλάτων· τί δέ, ἦ δ' ὅς, ὁ *Θρασυμάχου χρυσοχοεῖ*; ἔλαβε δ' ἀρχὴν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φα-

34g *Χρὴ πάντας τοὺς λόγους* ἄνω καὶ κάτω μεταστρέφοντα ἐπισκοπεῖν:. Πλάτωνος.

34h *Χρὴ δ' ἐπ' ἀξίοις πονεῖν* σ
ψυχὴν προςβάλλοντ' ἐν κύβοισι δαίμονος:. Εὐριπίδου ἐν κροι.

34i *Χρὴ μὴ θαυμάζειν* εἰ πεπεδημένοι τὴν γλῶττάν τινες καὶ βοῦν ἀφωνίας ἐπ' αὐτὴν βεβλημένοι.

34k *Χρὴ τὴν ἀρετὴν* μὴ χωλεύσαν καθ' ἕτερον, ἀλλ' ἔργῳ καὶ λόγῳ ὀρθὴν καὶ ἀπηρτισμένην κατ' ἀμφότερα εἶναι.

---

1. φασὶ — φθειριασίᾳ] οἱ δὲ *φθειριάσαντα* Diogenes, φθειριάσει Z. 2. Πυθαγόρου γὰρ] ὅτε καὶ Πυθαγόρου Diogenes. 3. *διαβαλόντα* idem. 5. δὲ καὶ] καὶ in Diogene deest. 12. ἄπρακτος λόγος Gregorius: Apostolii lectio etiam apud Georg. in Boiss. Anecd. I, 96 invenitur, qui alterum versum omisit. 13. καὶ] κἂν Gregorius. πέφυκεν idem. 15. *Θρασύμαχος* L. 21. κροι] scribe Ῥήσῳ. 22. Χρὴ μὴ] καὶ οὐ χρὴ Philostratus. *πεπηδημένοι* idem. 24. ἕτερον] *ἑκάτερον* Maximus. 25. εἶναι] *Κυρίλλου* Maximus apponit.

34g. Arsen. LIV, 23: Plat. Phaedr. 272 B.
34h. Arsen. LIV, 24: Eur. Rhes. 182.
34i. Arsen. LIV, 25. LIII, 30: Philostr. Vitt. Sophist. 515 Olear.
34k. Arsen. LIV, 26: Max. Conf. Serm. I, p. 531 Comb.
35. Diog. Laert. I, 118: Arsen. LIV, 27. G 29. Greg. Cypr. M V, 17.
36. K in App. Provv. V, 31: Arsen. LIV, 28.
37. Greg. Cypr. L III, 38: Arsen. LIV, 29. G 30.
38. Greg. Naz. Dist. 71, p. 155 T. II. Bill.: Arsen. LIV, 30.
39. Arsen. LIV, 31. Greg. Cypr. L III, 39.

νείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων· οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ ὑποστρέψαντες καὶ μάτην κακοπαθήσαντες ἔσκωπτον ἀλλήλους λέγοντες, σὺ δὲ ᾠου χρυσοχοήσειν· ὅπερ δηλοῖ, σὺ δὲ ᾠου ψῆγμα πολὺ συλλέξας χρυσοχοήσειν, ἤγουν πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησίν·

Ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν,
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα.

40 Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις: ἐπὶ τῶν εἰκῇ λοιδορουμένων· ἐπιφέρει γάρ, νῦν δὲ κόσμος τοῦτ' ἐστί μοι.

41 Χρυσοῦς ἐν Ὀλυμπίοις στῆθι: ἤγουν ἐν ταῖς πανηγύρεσι λευχειμόνει.

41a Χρυσὲ, κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν·
σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε
ἐχθρὰ δὲ τέκνα γονεῦσιν ἀδελφοί τε συναίμοις:. Φωκυλλίδου.

41b Ὄνειδος χρυσοῦ.
χρυσὲ διῶκτα, τύραννε, πάντολμε, δολοπλόκε,
πάντων κακῶν ἀκρόπολις, φρούριον ἀπωλείας,
ἑλέπολις, ῥιψέπαλξις, σπαράκτρια τειχέων,
πόλεων τειχοσείστρια, τινάκτρια δωμάτων,
οἵοις κακοῖς τοὺς γηγενεῖς κρεωκοπεῖς καὶ τρύχεις.
οὐδὲν ἀνθαμιλλᾶταί σοι πραγμάτων τῶν ἐν βίῳ,
οὐδὲν ἀντιφαρίζει σοι πάντων τῶν ἐπιγείων.
μαλθάσσεις τὸν ἀμάλακτον, τὸν μαλακὸν σκληρύνεις·
γλῶσσαν ἀνοίγεις ἄφωνον, λάλον ἐπιστομίζεις·
ποιεῖς βραδὺν τὸν δρομικόν, πτηνόπουν τὸν ἀργόπουν.

---

8. ὅπλα] Z addit: καὶ σῖτον ἐπὶ μύρμηκας ἡμερῶν τριῶν Ὡς χρυσοτεύκτου ψήγματος πεφυκότος: v. annott. ad App. Provv. V, 32. 12. χρυσοῦς] φασίν Lucianus inserit. στάθητι Lucianus: v. vv. lectt. ad h. l. 16. σεῦ Etymologicum. 17. ἀδελφειοί idem. σύναιμοι τε idem. 25. ἀντιφερίζει Constantinus. 26. μαλάσσεις idem.

40. Suidas: Arsen. LIV, 32. Greg. Cypr. M V, 19.

41. Arsen. LIV, 33. χρυσοῦς — στῆθι] Lucian. Pseudolog. 15. »Luc. Timon. 51 χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα, ubi v. Hemsterh., Theocr. Epigr. 17. 20. Clem. Protrept. p. 2, 21: χαλκοῦν ἀναστήσας Πυθοῖ τὸν Εὔνομον αὐτῇ τῇ κιθάρᾳ: cf. Berglerus ad Alciph. Ep. I, 30. Boissonadus ad Philost. Heroic. 52. Welckerus Syll. Epigr. Gr. p. 210. Reiskius ind. in Demosth. s. v. χαλκοῦς.« Walzius.

41a. Arsen. LIV, 34: Etymolog. Magn. s. ἕκητι, p. 321, 44. Pseudo-Phocyl. 30 sqq.: tres priores versus habet etiam Georgides Monachus in Boissonadi Anecd. Tom. I, pag. 97.

41b. Arsen. LIV, 35: Constant. Manass. Comp. Chron. 3550 sqq.

Τὰ χ̃ μετὰ τοῦ ῦ.

42 *Χύτραις λημᾶν καὶ κολοκύνταις.*

43 *Χύτραν ποικίλλειν. καί· Χύτραν κοσμεῖν: ἐπὶ τῶν ἀδυνάτων.*

πειρράζεις μὲν καὶ θελγητρὸν ἐπάγεις τὴν καρδίαν,
καὶ γοητεύεις ἴυγξιν ἀφύκτοις τὰς αἰσθήσεις,
ἀλλά σου τὸ καλλίχροον ὡς ἔχιδνα μαρμάσσει.
θεσμοὺς καὶ νόμους συμπατεῖς καὶ τὴν αἰδῶ διώκεις.
τυμβωρυχεῖς, τοιχωρυχεῖς, ἀπεμπολεῖς, προδίδως.
λῆρος τὸ κομψευόμενον, ὡς ἔοικε, καὶ μῦθος,
ὡς ἄρα τὸν ἀδάμαντα μόνον αἷμα μαλθάσσει·
τί γάρ σου δραστικώτερον καὶ λίθους ἀπαλῦναι;
τί δὲ τὴν ὑπερίσχυον ἰσχύν σου διαφεύγει;

41c *Χρυσὸς μὲν οἶδε δοκιμάζεσθαι πυρί,*
ἡ δὲ πρὸς φίλους εὔνοια καιρῷ κρίνεται:. Μενάνδρου.

41d *Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός:. Δημώνακτος.*

41e *Χρεία διδάσκει κἂν βραδύς τις, ἦ σοφόν:. Εὐριπίδου.*

41f *Χρόνος εὐμαρὴς θεός: ὅτι εὐκόλως πάντα μαλάττει καὶ πάντα δαπανᾷ.*

41g. *Χρόνος σοφώτατον ἁπάντων· εὑρίσκει γὰρ τὰ πάντα.*

41h *Χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράμματα*
ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν:. Ἀριστοφάνους.

41i *Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος*
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μόνῃ:. Σοφοκλέους.

41k *Χρυσίῳ παρὰ βαρβάροις οἱ κακοῦργοι ἐδέδεντο.*

---

2. *ἐπὶ τῶν ἀμβλυωττόντων* Suidas explicat. 3. *Χύτραν κοσμεῖν* L om. neque aliunde notum est. Voluit fortasse *ὕπερον κοσμεῖν*, de quo v. App. Provv. V, 4. 5. *πειράζεις* Constantinus. *ταῖς καρδίαις* idem. 7. *φαρμάσσει* idem. 9. *ἀπεμπολεῖς* idem. 12. *ἀπαλύνειν* idem. 13. *ὑπερίσχυρον* idem. 14. *δοκιμάζεσθαι*] *ἐξελέγχεσθαι* Meinekius. 15. *ἡ δ' ἐν φίλοις* idem. 16. *Ἱππώνακτος* Stobaeus. 17. *Εὐριπίδου Τηλέφῳ* Stobaeus. 18. *Χρόνος γὰρ* Suidas ex Sophocle. 21. *δράματα* Aristophanes. 23. *δείκνυσιν* Sophocles. 24. *μόνῃ*] *μιᾷ* idem. 25. *παρὰ τοῖς βαρβάροις φασὶν δεδέσθαι τοὺς κακούργους χρυσίῳ* Clemens.

41c. Arsen. LIV, 36: Anton. Mel. 135, p. 214 Fabr. Menand. fr. fab. inc. 143 Mein.
41d. Arsen. LIV, 37: Stob. Flor. 29, 42. Hippon. fr. 20 Bergk.
41e. Arsen. LIV, 38: Stob. Flor. 29, 55. Eurip. Teleph. fr. X Matth.
41f. Arsen. LIV, 39: Soph. Electr. 179, ubi v. Scholl.: add. Suid. s. *χρόνος*.
41g. Arsen. LIV, 40. Thaleti tribuunt Plut. Sept. Sapient. Conviv. 9, p. 153 D et Stob. Eclog. I, 9, p. 248 Heer.
41h. Arsen. LIV, 41: Arist. Thesmoph. 149.
41i. Arsen. LIV, 42: Soph. Oed. Tyr. 614.
41k. Arsen. LIV, 43: Clem. Alex. Paedag. II, 12, 122, p. 90 Sylb.
42. Suidas: Arsen. LIV, 44. DV III, 10.
43. Greg. Cypr. I. III, 36: Arsen. LIV, 45. G 31.

44 *Χυτρεοῦς θεός· καί· Χυτρεοῦς ἄνθρωπος: ὀστράκινος, εὐτελής.*

Τὸ χ μετὰ τοῦ ω.

45 *Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα: ἐπὶ τῶν ἐναντίων· ὁμοία τῇ· Χωρὶς τὰ Μεῤῥᾶς καὶ Σιλωὰμ ῥεύματα.*

46 *Χώρα καὶ νόμος: ὁμοία τῇ· Πόλις καὶ τύπος.*

47 *Χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὸ καίρια.*

Ἀρχὴ τοῦ ψ στοιχείου.

Τὸ ψ μετὰ τοῦ α.

48 *Ψάφωνος ὄρνιθες: ἐπὶ τῶν μεγίστην ἑαυτοῖς δόξαν θηρωμένων:. Ἐν Λιβύῃ ἀνὴρ Λίβυς Ψάφων ὄνομα, ἐρασθεὶς εὐδαιμονίας οὐ ταπεινῆς μὰ Δία, οὐδὲ τῆς περιθεούσης ταύτης, ἀλλὰ ἤθελε γὰρ θεὸς εἶναι δοκεῖν· ξυλλαβὼν οὖν τῶν ᾠδικῶν ὀρνίθων πολλούς, ἐδίδασκεν ᾄδειν τοὺς ὄρνιθας, Μέγας θεὸς Ψάφων, καὶ ἠφίει αὖθις ἐπὶ τὰ ὄρη· οἱ δὲ οἱ αὐτοί τε ᾖδον καὶ οἱ ἄλλοι ὄρνιθες*

---

1. *καὶ — ἄνθρωπος* L om.: v. nott. critt. ad App. Provv. V, 34. 7. *τόπος* Z. 8. *τὰ καίρια* K. *καίρια*] in G hic inseritur: *περὶ ὡρῶν. τοῦ Ψελλοῦ.* Incipit *πῶς ἄν τις*, finit *παράκειται.* Tum nova inscriptio: *Παροιμίαι.* 13. *ἐραστής* Maximus. 17. *οἱ αὐτοί*] articulum Maximus ignorat.

44. Greg. Cypr. L III, 37: Arsen. LIV, 46. G 32.

45. Arsen. LIV, 47. G 33. *Χωρὶς — ὁρίσματα*] Greg. Cypr. M V, 16: Macar. VIII, 83, Suidas. *Χωρὶς — ῥεύματα*] Macar. VIII, 84. Explicatur versus a Schol. ad Greg. Nazianz. in Gaisfordi Catal. Codd. Clarkian. 37, cuius partem priorem in ann. ad Greg. Cypr. l. c. attuli; *κέχρηται δὲ ὑποδείγματι τό· τῆς Μεῤῥᾶς ὕδωρ καὶ τοῦ Σιλωάμ· τὸ μὲν γὰρ πικρίας ἀνάμεστον ἦν καὶ πρ ὂν* [scribe *πικρὸν*] *ὕδωρ. τὸ δὲ τοῦ σιλωὰμ λίαν ἡδύτατον καὶ μέλιτος γλυκίον, ὥστε καὶ νόσοις ἐπικουρεῖν*: v. Lueckius ad Evang. Ioann. 9, 7 et ann. ad Append. Provv. V, 35. Plura de Merrha disputant Euseb. Onomast. p. 112 Cler., Proc. Gaza ad Iesaiae 8, 6, p. 129 Curt., Cosmas in A. Maii Spicil. Rom. II, p. 50 sq. et p. 205.

46. Arsen. LIV, 48. G 34. *Χ. καὶ ν.*] Apost. XII, 14[a]. Simile affert Suidas: *ἀλλ' ἕπου χώρας τρόποις: ὅτι δεῖ χώρας ἑκάστης, ἐν ᾗ ἄν τις γένηται, μιμεῖσθαι τὰ ἔθη*: v. Macar. I, 89: add. Basilius apud inc. auct. in Cram. Anecdd. Oxon. IV, 236.

47. Suidas: Arsen. LIV, 49. G 35. App. Provv. V, 36: add. Scholl. ad Soph. Oedip. Colon. 808.

48. Arsen. LV, 8. *Ἐν Λιβύῃ κτλ.*] Max. Tyr. Diss. 35, 4, p. 172 R. Similem de Hannone Carthaginiensi historiam narrat Aelianus V. Hist. XIV, 30.

ἐθιζόμενοι τῇ φωνῇ. Λίβυες δὲ θείαν νομίσαντες εἶναι τὴν φήμην, ἔθυον Ψάφωνι καὶ ἦν αὐτοῖς θεὸς ὑπὸ ὀρνίθων χειροτονούμενος.

Τὸ Ψ μετὰ τοῦ ε.

49 Ψευδῶν πλέ' ἀτράφαξις: ἀντὶ τοῦ, πλήρης ψευσμάτων. ἀτράφαξις δέ ἐστιν εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. εἴρηται δὲ ἐπὶ τῶν μετεωριζομένων καὶ ὑψουμένων.

50 Ψευδόμενον οὐ χρὴ ἐλέγξαι διὰ τὸ συμβησόμενον· τοῦτο δ' ἐστὶν ἐπιορκία.

51 Ψεκὰς ἡ δρόσος: οὕτως ἐκαλεῖτο Ἀντίμαχος πτυελώδης ὤν· οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διότι προσέρραινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. ἐδόκει δὲ Ἀντίμαχος ψήφισμα πεποιηκέναι ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. δεῖ δὲ κωμῳδεῖν ἐξ ὀνόματος, ὡς μὴ καθαρεύοντα ἀνωνύμως.

52 Ψεκάδες ὄμβρον γεννῶσαι λιμνάζουσιν ὕδατα: ἐπὶ τῶν κατὰ μικρὸν ἐπὶ τὰ μείζω χωρούντων.

53 Ψευδόπυρα, οἷον τὰ σά: ταῦτα διὰ νυκτὸς γίνεται πρὸς τὴν τῶν πολεμίων κατάπληξιν, ἵνα δείξωσι ὅτι πλῆθος πολὺ στρατοπέδου ἐστί.

49a Ψεύδεσιν Ἄρης φίλος: Εὐριπίδου.

50a Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον.

53a Ψιττακὸς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων θεοῦ τι μέρος ἔλεγεν ἔχειν.

53b Ψίθυρον καὶ διάβολον ἄνδρα μὴ προσδέχου· οὐ γὰρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ· ὡς γὰρ τὰ τῶν ἄλλων ἀπόρρήματα

---

3. κεχειροτονημένος Maximus. 5. Ψευδατραφάξυος πλέα K. πλήρη K. 6. ἀτράφαξυς idem. 11. ὁ Ἀντίμαχος NL. 16. ἀνωνύμως] L om. 18. κατὰ] παρὰ A. 22. Ψεύδεσιν δ' Stobaeus. 23. Ἀπολλώνιος Δηλίῳ Stobaeus praeponit. 24. Ἱττάχου φιλοσόφου Maximus, Ἱττάκου φιλοσόφου Antonius Mel. 1, p. 7 Fabr.: scribe Πιττακός. 25. ἔλεγεν Maximus om. 27. ἀπόῤῥητα Maximus.

49. App. Provv. V, 37: Arsen. LV, 9.

49a. Arsen. LV, 10: Stob. Flor. 54, 19, 3. Eurip. Belleroph. fr. IX, 3 Matth.

50. Arsen. LV, 11.

50a. Arsen. LV, 12. VIII, 24: Stob. Flor. 11, 20.

51. Greg. Cypr. L III, 41: Arsen. LV, 13.

52. Arsen. LV, 14.

53. Arsen. LV, 15. Cf. Macar. VIII, 86.

53a. Arsen. LV, 16: Max. Conf. Serm. I, p. 533 Comb.

53b. Arsen. LV, 17: Max. Conf. Serm. 10, p. 563 Comb.

Τὸ ψ μετὰ τοῦ υ.

54 Ψυχῇ δίδου σύγ' ἡδονὴν καθ' ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

55 Ψύρα τὸν Διόνυσον: τὰ Ψύρα εὐτελής νῆσός ἐστι καὶ μικρὰ πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. Λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. Λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.

Τὸ ψ μετὰ τοῦ ω.

56 Ψωριῶσα κάμηλος πολλῶν ὄνων ἀνατίθεται φορτία: ἐπὶ τῶν ἐν γήρᾳ μὲν ὄντων ἢ δυστυχίαις, πολλῶν δὲ ἄμεινον ἐχόντων.

ἀπεκάλυψε σοί, ὡσαύτως καὶ τὰ ὑπό σου λεγόμενα ἑτέροις ἀναθήσεται.

54a Ψυχὴ τελεωτάτη σκήνεος μοχθηρίαν ὀρθοῖ· σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν:. Δημοκρίτου.

54b Ψυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς:. Βίαντος.

54c Ψυχῇ ζῶντας ἡμᾶς, τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν. ὡς ὀφθαλμοῖς ὁρῶντας τῇ τούτων ἀρετῇ καλῶς ὁρᾷν:. Βίαντος.

54d Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον:. Εὐριπίδου.

55a Ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος:. Ἐξ ἀποφθέγματος.

56a Ψωλὸν γενέσθαι δεῖ σε μέχρι μυῤῥίνου.

56b Ὦ ἄνα, Λητοῦς υἱὲ, Διὸς τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,

---

2. Ψυχὴν διδόντες ἡδονῇ Aeschylus. 4. Διόνυσον ἄγοντες: ἡ παροιμία παρὰ Κρατίνῳ [fr. inc. fab. 92, p. 207 Mein.]· τὰ δὲ Ψύρα Suidas. 10. Κάμηλος καὶ ψωριῶσα Ds, ἡ κάμηλος ψ. Suidas. 12. ἄμεινον ἐχόντων] ἀμεινόνων ὄντων Ds. 15. Ψυχὴ μὲν γὰρ Stobaeus. μοχθηρίην Mullachius. 17. ἐστιν] ἀνθρώποις Menander. Dele Βίαντος. 19. Βίαντος] ἐκ τῶν Ἰαμβλίχου Stobaeus. 23. τοῦ μυῤῥίνου Aristophanes.

54. Aesch. Pers. 841: Arsen. LV, 20.

54a. Arsen. LV, 21: Stob. Flor. 1, 39. Democr. Sent. 2. Democr. fr. 128 Mull.

54b. Arsen. LV, 22: Men. Monost. 549.

54c. Arsen. LV, 23: Stob. Flor. 1, 58.

54d. Arsen. LV, 24: Stob. Flor. 119, 10. Men. Monost. 552. Eur. Alcest. 301.

55. Suidas: Arsen. LV, 18. Greg. Cypr. L III, 40.

55a. Arsen. LV, 19: Stob. Flor. 40, 7. Democr. fr. 227 Mull. Cf. Apost. II, 84c.

56. Arsen. LV, 25. Cf. Diog. V, 81, ubi quem attuli Synesii locum, is legitur etiam apud inc. auct. in Cram. Anecdd. Pariss. IV, p. 254 et in Mant. Provv. I, 88.

56a. Arsen. LV, 26: Arist. Equitt. 973. App. Provv. V, 41.

56b. Ars. LV, 41. G 36: Theogn. 1.

Ἀρχὴ τοῦ ω̃ στοιχείου.

Τὸ ω̃ μετὰ τοῦ δ.

57 Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: ὅταν ἐλπίσας τις μεγάλα, μικροῖς ἐντύχῃ, ταύτην φαμέν.

ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μευ κλῦθι καὶ ἐσθλὰ δίδου:. Θεόγνιδος.

56c Ὦ βασιλεῦ καὶ τάδε ἐς θυμὸν βάλλε, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίγνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί:. Ἡροδότου.

56d Ὦ γάμοι, γάμοι: ἐπὶ τῶν δυστυχούντων.

56e Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις
καὶ πᾶς τις εἴς σε βούλετ' ἀνθρώπων μολεῖν·
λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει:. Εὐριπίδου.

56f Ὦ γῆρας ὡς ἅπασιν ἀνθρώποισιν εἶ
ποθεινόν, ὡς εὐδαίμον· εἶθ' ὅταν παρῇς
ἀχθηρὸν ὡς μοχθηρόν· εὖ λέγει τέ σε
οὐδείς· κακῶς πᾶς τις, ὃς σοφὸς λέγει:. Ἀντιφάνους.

56g Ὦ γῆρας ὡς ἅπασι τοῖς ζητοῦσί σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

57a Ὦ δαιμόνι' ἀνδρῶν μὴ μεγάλα λίαν λέγε.

57b Ὦ δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς
οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς:. Εὐριπίδου.

57c Ὦ ζαθέης γεγαῶτες ἐριχθόνιοι γενέθλης,
ἔτλητ' ἐλθέμεναι καὶ ἐμὴν ἐρεεινέμεν ὀμφήν,
ὀππόθι δηωθῇ περικαλλέος ἕδρα σηκοῦ.

---

3. εἶτα μ. ἀπέτεκεν] καὶ ἔτεκε μῦν: ἐπὶ τῶν μεγάλα λεγόντων, εἶτ' ἀποτελούντων μικρά. φαμὲν δὲ ταύτην τὴν παροιμίαν, ὅταν τις ἐπίβας μεγάλα ἐτύχῃ [sic] μικροῖς G. 5. πρῶτόν σε Theognis. 6. δέ μοι idem. 7. βάλεο Stobaeus, βωλεῦ Herodotus. 8. γίνεσθαι Herodotus. 10. δυστυχῶν GE. Εὐριπίδου E in fine addit. 13. Stobaeus versum quartum addit: ὡς οὐδέν ἐστι χεῖρον ἐν θνητῷ γένει. 17. δὲ πᾶς Stobaeus. σοφῶς idem. Ἀντ. ἐξ Ἐπικλήρου idem. 18. σε] γε Ab. 19. Ἀντιφάνους Ab Stobaeus praemittunt. 22. Εὐριπίδου] ἐκ Χρυσίππου Ab et Stobaeus addunt. 23. Ἐριχθονίοιο Eusebius.

56c. Arsen. LV, 42. G. 37: Stob. Flor. 62, 51. Herod. VIII, 68.

56d. Arsen. LV, 43. G 38. Eur. Androm. 1186.

56e. Arsen. LV, 44. G 39: Stob. Flor. 116, 6. Eur. fr. inc. trag. 78 Matth.

56f. Arsen. LV, 45. G 40: Stob. Flor. 116, 23. Antiph. Epicl. fr. I Mein.

56g. Arsen. LV, 46. XVI, 76: Stob. Flor. 116, 16. Antiph. fr. fab. inc. 70 Mein.

57. Greg. Cypr. L III, 43: Arsen. LV, 47. G 41.

57a. Ars. LV, 48: Arist. Ran. 835.

57b. Arsen. LV, 49. XXVI, 14. G 42: Stob. Flor. 105, 13. Eur. Chrys. fr. IV Matth.

57c. Arsen. LV, 50: Porphyrius

Τὸ ω̃ μετὰ τοῦ ϑ̃.

58 Ὦ ϑνητῶν ἀνδρῶν καὶ ταλαίπωρον γένος,

κλῦτε δαφνηρεφέων μυχάτων ἄπο θέσκελον ὀμφήν.
εὖτ' ἂν ἄνω πνείοντες ὑπ' ἠέριοι κελάδοντες
τρίβωνται πατάγοισιν ἐναντία δηριόωντες,
κρυμὸς δ' αὖ περὶ κόσμον ἀπείρονα νήμεμος ἔσται,
μηδὲ δὴ ἐξερύγησεν ἔχῃ κεκακωμένος αἰθήρ·
αἰθαλόεις περὶ γαῖαν, ὅπῃ τύχεν, ἔκπεσε πυρσός·
τὸν μὲν δὴ θῆρές τε κατ' οὔρεα δειμαίνοντες
φεύγουσι πυμάτοις ὑπὸ κεύθεσιν· οὐδὲ μένουσιν
εἰςιδέειν ὅσσοισι καταιβάσιον Διὸς ἔγχος.
τοῦ μὲν καὶ νηοὶ μακάρων, καὶ δένδρεα μακρά,
ἠλιβάτων δ' ὀρέων κορυφαί, νῆές τ' ἐνὶ πόντῳ,
δάμνονται ζωοπύροις ποτήμασιν ἐμπελάσαντες·
καὶ δ' αὐτὴ πληγεῖσα Ποσειδάωνος ἑταίρη,
πολλάκις ἠχήεσσ' ἀναχάζεται Ἀμφιτρίτη.
ὑμεῖς οὖν καὶ ἄτλητον ἐνὶ φρεσὶν ἄλγος ἔχοντες,
τέτλατε Μοιράων ἀμετάτροπα δήνεα θυμῷ·
ταῖσιν Οὐρανίδαο Διὸς κατένευσε κάρηνον,
ὅττι κε δινήσωσι μένειν ἀσάλευτον ἀτράκτοις.
αἴσια γὰρ ἦν δολιχοῖσι χρόνος περικαλλέα σηκὸν
πυρσῶν αἰωρήσεσι διιπετέεσσι δαμῆναι. Χρησμὸς Ἀπόλλωνος.

57d Ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾶν;
ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην,
ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν.

57e Ὦ Ζεῦ πολυτίμηθ' οἷόν ἐστιν ἐλπὶς κακόν.

57f Ὦ Ἡράκλεις, τί μαίνῃ: ἐπὶ τῶν θυμουμένων.

57g Ὦ Ἡράκλεις, ἀπόλωλε ἀνδρὸς ἀρετά: Ἀρχίδαμος ὁ Ἀγησι-

---

2. ταλαιπώρων A. 7. διεξερύγησεν Eusebius. 10. φεύγουσιν idem. 14. ζαπύροις πωτήμασιν idem. 18. τέτλαθι Theodoretus Graec. Affect. Curat. 141, 43, ubi quinque ultimi huius oraculi versus citantur. 19. ταῖσιν] ταῖσι γὰρ Eusebius et Theodoretus. 21. αἶσα iidem. χρόνοις iidem. 22. αἰώραισι Eusebius, αἰωρῆσι Theodoretus. διιπετέεσσι Eusebius et Theodoretus. 27. οἷόν ἐστ' Stobaeus. Μενάνδρου Ναύκληρος praeponit Stobaeus. 28. Suidas explicat: τοῦτο λεχθῆναι ὑπὸ τῶν Ἀργοναυτῶν φασίν, ἀνακαλούντων τὸν Ἡρακλέα ἀπολειφθέντα αὐτῶν κατὰ βούλησιν τῆς Ἥρας.

apud Euseb. Praep. Evang. VI, 3, p. 238 Viger.
57d. Arsen. LV, 51: Eur. Hecub. 488.
57e. Arsen. LV, 52. G. 46: Stob. Flor. 110, 8. Men. Naucl. fr. V Mein.
57f. Arsen. LV, 53. G 47: Suidas.
57g. Arsen. LV, 54. G 48: Plut. Apophth. Regg. cett. 191 E: add. id. Apophth. Lac. 219 A, Stob. Flor. 50, 12.
58. Stob. Flor. 98, 1: Arsen. LV, 56. G 50. Soph. fr. 682 Dind.

ὡς οὐδὲν ἐσμέν, πλὴν σκιαῖς ἐοικότες
βάρος περισσὸν γῆς ἀναστρεφόμενον.

Τὸ ω μετὰ τοῦ μ.

59 Ὠμηστὴς Διόνυσος: ἐπὶ τῶν ὠμότατα καὶ ἀπανθρωπότατα πραττόντων· τούτῳ γὰρ ζῶντας ἀνθρώπους ἔθυον οἱ πάλαι.

λάον, ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν ἐς Λακεδαίμονα ἀναβοήσας ἔφη τοῦτο. Τί δ' ἂν φαίη, εἰ τὴν νῦν βολίδα ἑώρα;

57b Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες,
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα:. Εὐριπίδου.

58a Ὦ ἱκανὸν οὐδέν, τούτῳ γε αἰσχρὸν οὐδέν: Τιμόθεος ὁ Κόνωνος εἶπε τοῦτο πρὸς Ἀριστοφῶντα τὸν Ἀζηνιέα πάντων ἄριστα ἔχοντα λόγον, πλήν γε ἄσωτον ὄντα.

58b Ὦ χρονικαῖς λήμαις λημῶντε τὰς φρένας ἄμφω.

58c Ὤικτειρ' ἀκούσας· οἰκτρὰ γὰρ τὰ δυστυχῆ.

59a Ὦ μεγίστη τῶν θεῶν νῦν οὖσ' ἀναίδεια
εἰ θεὸν καλεῖν σε δεῖ· δεῖ δέ· τὸ κρατοῦν
γὰρ νῦν νομίζεται θεός· ἐφ' ὅσον
βαδίζεις; ἐφ' ὅσον ἥξειν μοι δοκεῖς:. Μενάνδρου.

59b Ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ ξύμφορος:. Σοφοκλέους.

59c Ὤμοσεν ἀλλὰ λέγουσιν ἀλαθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων:· Καλλιμάχου.

---

2. ἀναστρεφόμενοι A, ἀναστρωφώμενοι Stobaeus. Σοφοκλέους G Stobaeus addunt. 4. ὠμηστὴς ZW. 7. καταπελτικὸν ἰδὼν Plutarchus. ἐς Λακεδαίμονα Plutarchus om. 8. τί κτλ.] Plutarchus om. 9. ἑώραται Z. 14. πλὴν κτλ.] ἐπεὶ γὰρ ἄσωτος ἦν ὁ Ἀριστοφῶν, πικρότατα αὐτοῦ καθίκετο ὁ Τιμόθεος εἰπών, ὦ ἱκανὸν κτλ. Stobaeus. 15. ἀλλ' ὦ Aristophanes. ὄντως λημῶντες idem. 16. ἀκούσασ' Euripides. 17. ἀναιδεῖ' Stobaeus. Versus vv. θεῶν, σε δεῖ, θεός et δοκεῖς terminandi sunt. 22. λέγουσι θεὰ Ab.

57b. Arsen. LV, 55. G 49: Stob. Flor. 73, 25. Eur. Inus fr. IX Matth.

58a. Arsen. LV, 57. G 51: Stob. Flor. 13,38: add. Aelian. V. Hist. XIV, 3. Vim dicterii Schaeferus in Schneidew. Philol. I, 208 enucleavit.

58b. Arsen. LV, 58: Arist. Plut. 581.

58c. Arsen. LV, 59: Stob. Flor. 99, 13. Eur. Androm. 421.

59. Arsen. LV, 60. G 54: Hesych. ὠμηστής: ὁ ὠμὰ κρέα ἐσθίων: Baccho homines immolatos esse vivos notum est tum ex aliis tum ex Plut. Themist. 13, ubi v. Sintenis: add. O. Iahnius de Penth. et Maen. disp. 11.

59a. Arsen. LV, 61. VII, 43; Stob. Flor. 32, 7. Men. Carines fr. II, Mein.

59b. Arsen. LV, 62; Stob. Flor. 20, 27. Soph. Oed. Col. 592.

59c. Arsen. LV, 63. XLII, 62. G 56: Stob. 28, 3. Call. Epig. 26, 3. De sententia cf. Apost. IV, 56.

Τὸ ω̃ μετὰ τοῦ ο̃ μικροῦ.

60 *Ὦ οἵα κεφαλή, καὶ ἐγκέφαλον οὐκ ἔχει: ἐπ' ἀνδρῶν μεγαλοπρεπῶν μὲν τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλογίστων.*

59d *Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν*
τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται:. Ποσειδίππου.

59e *Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα,*
ᾧ μὴ τυχόντι, θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει·
τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

59f *Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει.*

59g *Ὧν πρόχειρος ὁ πορισμός, τούτων ἡ κτῆσις εὐκαταφρόνητος.*

50h *Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων· καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι ἀσκουμένῳ τοὺς θεοὺς παρακάλει γενέσθαι σοι συλλήπτορας:. Πυθαγόρου.*

59i *Ὧν γάρ τις γλίχεται τυχεῖν, ἐκεῖνα καὶ δοξάζει·*
καὶ ταῦτα πᾶσι κατὰ νοῦν, ὅσα καὶ κατὰ γνώμην.
ἀλλ' ἄρα δυςποτμότερον οὐδέν ἐστιν ἀνθρώπου
ἔχοντος τοὺς ἐχθραίνοντας οἰκείους ταυτοστέγους.
ἂν ἔνδον ἔχῃς τοὺς ἐχθρούς, ἂν ἐφεστίους τρέφῃς,
οὐ ῥύσονται κινδύνων σε τὰ Βαβυλῶνος τείχη,
οὐ πύργοι Σεμιράμιδος, οὐ πυραμίδων πάχος.
ἂν τὴν προδότριαν ψυχὴν σύνοικον δυςτυχήσῃς,
ἂν συνοικοίης μετ' αὐτῶν ἐν ἀῤῥαγεῖ φρουρίῳ,
ἁλώσιμον τὸ φρούριον, ἀφύλακτος ἡ πόλις.

---

2. *ὦ οἷα* scribit Boissonadus ad Nicet. Eugen. I, 60, II, 437. *καὶ* Aesopus om. 3. *ἀλλογίστων* G. 5. *εὐθανασίας* Stobaeus. *Ποσιδίππου* Ab, *ἐκ Μύρμηκος* Stobaeus addit. 6. *τὸ γῆρας* Ab. 7. *οὐ μὴ* Gesnerus. Versum ultimum a celeris recte separavit Grotius; est enim Sophoclis ex Acrisio: v. Stob. Flor. 119, 7. Ab et Stobaeus in fine addunt *Κράτητος ἐξ Ἀντιφάνους*, quae in *Κράτητος ἢ Ἀντιφάνους* mutanda esse coniicit Meinekius Com. Gr. Fr. I, 62. 11. *τούτων χάριν* Orellius om. 13. *Πυθαγόρου* G in fine adiicit. 16. *Πυθαγόρου*] *τοῦ αὐτοῦ* G: apud Stobaeum auctoris nomen deest. 26. *αὐτῆς* Constantinus.

59d. Arsen. LV, 64. XXX, 39: Stob. Flor. 118, 17. Posid. Myrm. fr. I Mein.

59e. Arsen. LV, 65. XVII, 14: Stob. Flor. 115, 9. Cratet. fab. incert. fr. I Mein.

59f. Arsen. LV, 66. G 61: sunt Porphyrii verba ex epistola ad Marcellam c. 34, p. 312 Orell., Opusc. Sent. T. I.

59g. Arsen. LV, 67. G 59: Georg. in Boiss. Anecd. I, 88. 107. Est Basil. Hom. mor. de doctr. 32.

59h. Arsen. LV, 68. G 60: Stob. Flor. 5, 30.

59i. Arsen. LV, 69: Constant. Man. 6550. *Βαβυλῶνος κτλ.*] cf. ann. ad Apost. XVI, 43.

60. Aesop. Fabb. 11 Fur., 27 Schneid.: Arsen. LV, 70. G 62.

61 Ὦ οὗτος, κἂν φύλαξ γένῃ οὐ προσελεύσομαί σοι: ἐπὶ τῶν ἅπαξ πειραθέντων μοχθηρίας ἐνίων, οὐκέτι δὲ ἐξαπατωμένων τῇ πείρᾳ ταῖς αὐτῶν ὑποκρίσεσιν.

62 Ὠοῦ ἐξῆλθεν: ἐπὶ τῶν ὡραιοτάτων. Ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς κύκνῳ ἐμίγη τῇ Λήδᾳ καὶ ἐγέννησε δύο ᾠά· ἐκ μὲν τοῦ ἑνὸς ᾠοῦ οἱ Διόσκουροι ἐγεννήθησαν, Κάστωρ καὶ Πολυδεύκης, ἐκ δὲ τοῦ ἑτέρου ἡ Ἑλένη ἡ πάγκαλος· ὅθεν τό, Ἐξ ᾠοῦ ἐγεννήθη.

62a Ὦ παῖ, σιώπα, πόλλ' ἔχει σιωπὴ καλά:. Μενάνδρου ἡ παραίνεσις.

62b Ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
ψευδῶν ἄνακτες μηχανοῤῥάφοι κακῶν
ἑλικτὰ κοὐδὲν ὑγιές.

62c Ὦ πάλαι ποτ' ὄντες ἄλκιμοι μὲν ἐν χοροῖς, ἄλκιμοι δ' ἐν μάχαισιν
καὶ κατ' αὐτὸ δὴ τοῦτο μόνον ἄνδρες μαχιμώτατοι,
πρίν ποτ' ἦν, πρὶν ταῦτα. νῦν δ' οἴχεταί γε κύκνου πολιώτεροι δή:. Ἀριστοφάνους Σφιγξί.

62d Ὦ παῖ Τισάνδρου, ἀπωρχήσαό γε μὴν τὸν γάμον.

62e Ὦ πόλις, πόλις, ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς:. Εὐπόλιδος.

62f Ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα·
κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

---

2. ὁ λόγος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν τοῖς ὑποκρίσεσιν οὗτος [sic] ἐξαπατῶνται Aesopus Schneideri. 9. σιωπή] σιγή Stobaeus. Μενάνδρου κτλ.] Σοφοκλέους Ἀλέαις Stobaeus: scilicet Menandri est, qui apud Stobaeum praecedit versus. 15. ὄντες ὑμεῖς Aristophanes. 17. μόνον τοῦτ' ἄ. ἀνδρικώτατοι idem. 18. γε κύκνου] κύκνου τ' ἔτι idem. 19. Corrige Σφηξί. 22. Εὔπολις ἐν ταῖς Πόλεσιν Athenaeus.

61. Aesop. Fabb. 80 Schneid., 67 Fur.: Arsen. LV, 71. G 63.
62. Arsen. LV, 72. G 64. Videntur haec e Scholl. ad Eur. Orest. 453 sumpta: similia in Scholl. et Tzetzae comm. ad Lycoph. 88 comparent. De fabula recte Scholl. ad Hom. Od. Λ, 298: ἡ δὲ ἱστορία παρὰ τοῖς νεωτέροις: v. Heynius ad Apollod. T. II, 285. Henrichsenius de Carm. Cypr. Comm. p. 43 sq.
62a. Arsen. LV, 73. G 65: Stob. Flor. 33, 3. Soph. fr. 102 Dind.
62b. Arsen. LV, 74: Eur. Androm. 445.
62c. Arsen. LV, 75: Arist. Vesp. 1060.
62d. Arsen. LV, 76: Herod. VI, 129. Cf. Apost. XIII, 70.
62e. Arsen. LV, 77: Athen. X, 425 A. Eup. Πόλ. fr. VII Mein. Cf. infr. 66b.
62f. Arsen. LV, 78. G 66: Stob. Flor. 90, 2. 4. Ὦ — πατρός] Eur. Alcmaeon. fr. VII, Matth. ὅταν κτλ.] Eur. Herc. fur. 1261.

Τὸ ω̄ μετὰ τοῦ ρ̄.

63 *Ὡραιότερος Ὑακίνθου*: οὗτος Ἀμυκλαῖον ἦν μειράκιον καὶ καλόν. εἰς τοῦτον εἶδε μὲν ὁ Ἀπόλλων, εἶδε δὲ ὁ Ζέφυρος, καὶ ἄμφω κατείχοντο τῇ μορφῇ καὶ φιλότιμος ἦν ἀφ' ὧν εἶχεν ἑκάτερος· ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος. μέλη μὲν ἦν τὰ παρ' ἐκείνου καὶ ἡδονή· φόβος δὲ τὰ παρ' ἐκείνου καὶ ταραχή· ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον, καὶ Ζέφυρον ὑπὸ ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον. μετὰ ταῦτα ἦν γυμνασία τῷ μειρακίῳ καὶ τιμωρία παρὰ Ζεφύρου. Δίσκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας, ὑπὸ τούτου μὲν ἀφεθείς, ὑπ' ἐκείνου δὲ ἐνεχθείς· καὶ ὁ μὲν ἐτεθνήκει· τὴν γῆν δὲ οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται καὶ τοὔνομα δέχεται. λέγουσι δ' ὅτι καὶ ἡ προςηγορία ἐν φύλλοις ἐπιγέγραπται.

64 *Ὡραιότερος πορφυρίωνος*: ὁ πορφυρίων ὡραιότατός τε ἅμα καὶ φερωνυμώτατός ἐστι ζώων, καὶ χαίρει κονιώμενος· καὶ πρότερον δὲ ἑαυτὸν ἐπιδίδωσι κονίστραις καὶ λουτροῖς, πρὶν ἂν βαδίσαι ἀριθμὸν βαδίσεως ἀρκοῦντά οἱ·

ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους:. Εὐριπίδου.

63a *Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν*:. Εὐριπίδου.

63b *Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,*
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος,
ἡ δὲ γυνὴ τέτορ' ἡβώῃ, πέμπτῳ δὲ γαμοῖτο:. Ἡσιόδου.

63c *Ὤργος ἀρχηγὸς ναυπηγίας.*

---

2. οὗτος] Ὑάκινθος Ps: μειράκιον ὡραῖον καὶ Ps. 3. καὶ εἰς τοῦτο G. δὲ καὶ Ps. 7. φόβος δὲ τὰ παρὰ τούτου Ps. 11. ἐκείνου] αὐτοῦ Ps. 15. τῆς προςηγορίας ἐν φύλλοις ἐπιγέγραπται τὸ προοίμιον Ps. 16. ὡραιότερος G. 17. κονιώμενος] addit As: ἤδη καὶ λούεται τὸ τῶν περιστερῶν λουτρόν. 18. καὶ] οὐ As. ταῖς κον. καὶ τοῖς As. 19. βαδίσαι τινά As. 22. Εὐρ. Τηλέφου Stobaeus. 26. ἡβώοι idem. 27. Scribe Ἄργος.

63. Arsen. LV, 80. G 67. Liban. Oratt. T. III, p. 365 R.: οἶδα ἔγωγέ τινας ὥρᾳ μὲν ὑπὲρ τὸν Ὑάκινθον, γονέων δὲ ἀπηρτημένους κτλ.: id. Epist. 1522: νέοι τε γὰρ οἱ πολλοὶ καὶ καλοὶ καὶ μόνον Ὑάκινθοι καὶ τοὺς ἄλλους ἡγοῦνται Θερσίτας. οὗτος κτλ.] Palaeph. π. ἀπίστ. 47.
63a. Arsen. LV, 81. G 69: Stob. Flor. 20, 37. Eur. Teleph. fr. XXIV Matth.
63b. Arsen. LV, 82: Stob. Flor. 71, 6. Hes. Ἔργ. 695.
63c. Arsen. LV, 83: G 70. Cf. Apost. III, 60c et v. de Argo Apoll. I, 9, 16.
64. G 68. ὁ πορφυρίων κτλ.] Aelian. N. An. III, 42.

σιτούμενος δὲ ἐπὶ μαρτύρων ἄχθεται, καὶ διὰ ταῦτα ἀναχωρεῖ καὶ ὑπολανθάνων ἐσθίει. ζηλοτυπώτατος δέ ἐστιν ἰσχυρῶς, καὶ τὰς ἀνάνδρους τῶν γυναικῶν παραφυλάττει· τὸν ταὼν μὲν οὖν ὡραῖον ὄντα καὶ καταθύουσι καὶ σιτοῦνται οἱ ἄσωτοι· τοῦ γὰρ ὄρνιθος τὰ μὲν πτερὰ κόσμος ἐστί, τὸ δὲ σῶμα ἦν τι οὐδέν· πορφυρίωνα δὲ οὐκ οἶδα καταθύσαντα οὐδένα ἐπὶ δεῖπνον, οὐ Καλλίαν, οὐχ Ὁρτήσιον τὸν Ῥωμαῖον.

Τὸ ω μετὰ τοῦ σ.

65 *Ὥσπερ ἥρως ἐν ἀσπίδι ξενίσαι βούλομαι:* λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων.

66 *Ὡς παῖδα φιλοῦσιν ἐρασταί:* ἐπὶ τῶν ἐρωτικῶς διακειμένων.

66a *Ὥσπερ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν, ἔφη*
οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

66b *Ὡς ἀγαθὸν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν.*

66c *Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος ἠδὲ τοκήων.*

66d *Ὡς οὐδὲν ἀτεχνῶς ἐστὶν ὑγιὲς οὐδενός,*
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.

66e *Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά.*

66f *Ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα:.* Εὐριπίδου.

66g *Ὡς μέγα τὸ μικρὸν ἐστιν ἐν καιρῷ δοθέν.*

66h *Ὡς εὐτυχεῖν γε μᾶλλον ἢ καλῶς φρονεῖν.*

66i *Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ*
στρατηλάτας χρή, τῶν θεῶν δὲ μὴ βίᾳ:. Εὐριπίδου.

---

2. *ζηλότυπος* As. 3. *παραφυλάττει*] plura hic de avis natura omissa sunt ab epitomatore. 4. *θύουσι* G. 6. *ἦν τι*] *ἤ τι ἢ* As. 7. *ἐπὶ δείπνῳ* As. *οὐ Κ., οὐ Κτήσιππον τοὺς Ἀθηναίους,* [*οὐ Λεύκουλλον*] *οὐχ Ὀρτήσιον τοὺς Ῥωμαίους* As. 10. *ὥσπερ*] *ὡς* M. 12. *ὡς*] *ὥσπερ* Ds. 14. *ὥσπερ δὲ* Ab Stobaeus. *ἔφῆ* [sic] A, *ἔφυ* Ab Stobaeus. 16. *Εὐριπίδου Φιλοκτήτου* iidem. 18. *ἠδὲ*] *οὐδὲ* Homerus. 19. *ὑγιές ἐστιν* Aristophanes. 22. *Εὐριπίδου*] *Ἀγάθωνος* Stobaeus. 26. *Εὐρ. Ἐρεχθέως* idem.

65. Greg. Cypr. M V, 23: Arsen. LV, 84. G 72.
66. Diog. VIII, 76: Arsen. LV, 85. G 73.
66a. Arsen. LV, 86. XLII, 32: Stob. Flor. 20, 17. Eur. Philoct. fr. X Matth.
66b. Arsen. LV, 87: Arist. Plut. 1164.
66c. Arsen. LV, 88. XLIV, 49: Stob. Flor. 39, 21. Hom. Od. *I*, 34.
66d. Arsen. LV, 89: Arist. Plut. 362.
66e. Arsen. LV, 90: Hom. Il. *X*, 262.
66f. Arsen. LV, 91: Stob. Flor. 79, 12. Attigit Kayserus Hist. crit. tragg. Gr. 168.
66g. Arsen. LV, 92: Menand. Monost. 752 Mein.
66h. Arsen. LV, 93. Est versus Eupolidis corruptus: cf. supr. 62e et Mant. Provv. I, 3.
66i. Arsen. LV, 94: Stob. Flor. 54, 12. Eur. Erechth. fr. VI Matth.

67 Ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται: ἐπὶ τῶν ἰσχνῶν καὶ ξηρῶν καὶ φθειρομένων ταχέως. Ἡ δὲ νέα εἰρεσιώνη θαλλὸς ἦν ἐλαίας, ἐστεμμένος ἐρίοις, καὶ προςκρεμαμένους ἔχων παντοδαποὺς τῶν ἐκ γῆς καρπῶν. τοῦ-

66k Ὡς πᾶς τις αὐτὸν τοῦ πέλας μᾶλλον φιλεῖ.

66l Ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος
τῷ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε.
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.

66m Ὥς ἐστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

66n Ὡς τὴν ἐν Ἄγρει ἀσπίδα καθελὼν σεμνύνεται.

66o Ὡς χρὴ Μεγαρέας μήτ' ἐν γῇ μήτ' ἐν ἀγορῇ
μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ μένειν:. Ἀριστοφάνους Ἀχαρνέων.

66p Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν:. Σοφοκλέους.

66q Ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις, μὴ ὄντων νόμων, οὐχ ἵσταται:. Δημοσθένους.

66r Ὡς οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν
νόθοισι παισίν, ὧν φυλάξομαι ψόγον.

66s Ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους, ὅταν ᾖ ταυτὸν βλαβερὸν ἀμφοῖν:. Ἀριστοτέλης ἐν ῥητορικῇ.

66t Ὥστε ὁ λόγος ἡμῖν ὀρθός, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί:. Πλάτων Νόμοις.

66u Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν,
καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις:. Εὐριπίδου.

---

1. καίεται Z. 2. ἡ — ἦν] εἰρεσιώνη, θ. ἐλαίας Eustathius, Suidas. 3. ἐρίῳ Eustathius. 4. ἔχων διαφόρους ἐκ γ. καρποὺς idem. 6. γ' ἔτραφ' Homerus. 7. τῷ κ' idem. ἐξενάριξεν idem. 9. Ἀντιφάνους Ab Stobaeus addunt. 11. μήτ' ἐν γῇ] μήτε γῇ Aristophanes. 14. κακῶς. 15. Σοφ. Μυσῶν Ab Stobaeus. 16. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν. Δημοσθένης ὁ ῥήτωρ ἔφη, πόλεως εἶναι τὴν ψυχὴν τοὺς νόμους. ὥσπερ Ab, Stobaeus: vv. ἐκ — χρειῶν Ab om. τὸ σῶμα] articulum Ab recte om. 17. Δημοσθένους] Ab Stobaeus om. 20. ταὐτὸ Aristoteles.

66k. Arsen. LV, 95: Eur. Med. 86.
66l. Arsen. LV, 96: Hom. Il. Φ, 279.
66m. Arsen. LV, 97. XV, 84: Stob. Flor. 68, 27. Antiph. fab. inc. fr. 52 Mein.
66n. Arsen. LV, 98: Zenob. VI, 52. Cf. Apost. III, 27.
66o. Ars. LV, 99: Arist. Ach. 533.
66p. Arsen. LV, 100. XXXIV, 38: Stob. Flor. 26, 4. Soph. fr. 358 Dindorf.
66q. Arsen. LVI, 1. XXXVII, 66: Stob. Flor. 43, 140.
66r. Arsen. LVI, 2: Stob. Flor. 73, 35. Eur. Phrix. fr. V Matth.
66s. Arsen. LVI, 3: Aristot. Rhet. I, 6.
66t. Arsen. LVI, 4: Plat. Legg. V, 743 C.
66u. Arsen. LVI, 5: Stob. Flor. 62, 3. Eur. Meleagr. fr. XVIII Matth.
67. Arsen. LVI, 6: G 71. Ὥσπερ — καύσεται] Arist. Plut. 1054, ubi v. Scholia. ἡ δὲ νέα κτλ.] Suid. s. εἰρεσιώνη, qui hausit e Pausaniae lexico rhetorico: v. Eustath. ad Hom.

τον δὲ ἐκφέρει παῖς ἀμφιθαλὴς καὶ τίθησι πρὸ τῆς θύρας τοῦ Ἀπόλλωνος ἱεροῦ τοῖς Πιανεψίοις. λέγεται γὰρ Θησέα καθ᾽ ὃν καιρὸν εἰς Κρήτην ἔπλει, προσχόντα Δήλῳ διὰ χειμῶνα, εὔξασθαι τῷ Ἀπόλλωνι, καταστέψασθαι κλάδοις ἐλαίας, ὅταν σωθῇ τὸν Μινώταυρον ἀποκτείνας, καὶ θυσιάσειν, καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψας ἑψῆσαι χύτρας αἰθάλης καὶ ἔτνος καὶ βωμὸν ἱδρύσασθαι· διὸ καὶ Πυανέψια δοκεῖ λέγεσθαι, οἷον κυαμέψια· τὸ γὰρ πρότερον τοὺς κυάμους πυάμους ἐκάλουν. ἦγον δὲ καθ᾽ ὅτε ἐπὶ ἀπατροπῇ λοιμοῦ· ᾖδον δὲ παῖδες οὕτως·

Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους·
καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ἀποθήσασθαι,
καὶ κύλικ᾽ εὔζωρον· ὅπως μεθύουσα καθεύδῃς.

Μετὰ δὲ τὴν ἑορτὴν ἔξω τῶν ἀγρῶν τιθέασι παρ᾽ αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ περὶ Ἀθήνησι θυσιῶν, ἀφορίας ποτὲ κατασχούσης τὴν πόλιν θαλλὸν καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι τῷ Ἀπόλλωνι.

67a Ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.

---

1. δὲ Eustathius om. πρὸ θυρῶν Eustathius. 2. Πυανεψίοις G cum reliquis. γάρ, φησί Eustathius. 3. καθ᾽ ὃν καιρὸν] ὅτε idem. Δήλῳ τῇ νήσῳ idem. 4. τῷ in Eustathio deest. 5. ὅταν — ἀποκτείνας] εἰ τὸν Μ. κτείνας σωθῇ Eustathius. 6. καὶ τὴν] τὴν G om. 7. αἰθάλης] ἀθάρης G, ἀθάρας Eustathius. 8. κυανέψια G. δοκεῖ in Eustathio deest. τὸ γὰρ — ἐκάλουν] διὰ τὸ πυάμους πρότερον τοὺς κυάμους καλεῖσθαι Eustathius. 9. πυάνους Suidas. ὅτε ταῦτα καὶ Eustathius. ἐπὶ τῇ Suidas. 10. λοιμῶν A Suidas, λιμοῦ Eustathius. 11. φέρεις cod. Venetus Scholl. ad Ar. Plut. l. c., φέρειν Plut. Thes. 22. 12. μέτρον κοτύλη Venetus, μέλιτος κοτύλην Eustathius et Etym. M. 303, 26. ἀποψήσασθαι Z Suidas, Etym. M., Venetus, ἀναψήσασθαι Clem. Alex. Stromm. IV, 2, 7, p. 204 Sylb., Plutarch. l. c., Scholl. ad Arist. Equitt. 725: ἐπιχρήσασθαι Eustathius, ἅμ᾽ ὀψήσασθαι I. Vossius Observv. in Pomp. Melam I, 15, ἐποψήσασθαι Coraes ad Plut. l. c., ἐπιχρίσασθαι Kusterus not. ad Aristoph. p. 16. 13. κύλικα Eustathius. εὐζώροιο Etymologicum. ὅπως] ὡς ἂν Z Plutarchus, Scholl. Aristoph., ἵνα Eustathius, ἵνα καὶ Etymologicum. καθεύδῃ Plutarchus, Scholl. Arist., Etymologicum, Eustathius. Totum versum G. Hermannus apud Sintenin ad Plut. l. c. sic scribendum esse coniecit: καὶ κύλικ᾽ εὐζώρου οἴνου μεθύουσι καθεύδειν. 14. τῶν Eustathius om. 15. Κράτης — θυσιῶν] Κράτης δέ φησιν Eustathius. 16. τὴν πόλιν] Ἀθήνας idem. θαλλοὺς Eustathius, θαλὸν A, θαλλόν φησι probabiliter Aldus. 17. Ἀπόλλωνι] Suidas pergit: καὶ παροιμία· Ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ Ὥσπερ — καύσεται, subiungens εἰρεσιώνης explicationem ab Scholl. ad Arist. Plut. l. c. traditam.

Il. X, p. 1283, 5. Etym. M. 303, 17. De re v. intt. ad Κράτης] cf. Nitzschius de Hist. Hom. Melet. II, 72. 67a. Ars. LVI, 7: Theocr. Id. VI, 39.

68 Ὡς τοῦ Φινέως τὸν βίον: ἐπὶ τῶν κακῶς ἀποβαλλομένων τὰ ὄντα. ἱστοροῦσι περὶ Φινέως, ὡς διεφόρουν Ἄρπυιαι τὸν βίον αὐτοῦ· δοκοῦσι δὲ ἔνιοι θηρία καὶ πετεινὰ εἶναι ταῦτα, ἁρπάζοντα ἀπὸ τῆς τραπέζης τοῦ Φινέως τὸ δεῖπνον. ἡ δὲ ἀλήθεια ἔχει οὕτως. Φινεὺς ἦν Παιονίας βασιλεύς, ὃν γέροντα γεγονότα ἡ ὄψις ἀπέλειψεν, οἵ τε ἄῤῥενες παῖδες ἀπέθανον· θυγατέρες δὲ ἦσαν αὐτῷ Πυρία καὶ Ἐρευσία, αἵτινες τὸν τοῦ πατρὸς βίον διέφθειρον. ἔλεγον οὖν οἱ πολῖται, δύστηνος ὁ Φινεύς, ὅτι αἱ Ἄρπυιαι τὸν βίον αὐτοῦ διαφθείρουσιν. οἰκτείραντες δὲ

67b Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας ἵνα ἀνατείλῃ, ἀλλ' εὐθὺς λάμπει καὶ πρὸς ἁπάντων ἀσπάζεται· οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους, ἵν' εὖ ποιήσῃς, ἀλλ' ἑκοντὴς εὐεργέτει, καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ:. Ἐπικτήτου.

67c Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους ἐρημία:. Μενάνδρου.

67d Ὡς ἂν ἔνδοθεν τὸ δὴ λεγόμενον ἐξ ὀνύχων ἀγαπῶσα τὰ τέκνα:. Πλουτάρχου.

67e Ὡς οὐδὲν ἐν τῷ παρόντι δεῖ προτιμᾶν βραχυλογίαν μᾶλλον ἢ μῆκος· οὐδεὶς γὰρ ἡμᾶς, τὸ λεγόμενον, ἐπείγων διώκει:. Πλάτων ἐν Νόμοις.

67f Ὥσπερ γὰρ ἀνθρώπῳ νοσοῦντι τὴν ψυχήν, γέμοντί γε πονηρῶν ἐπιθυμιῶν, κρεῖττον ἀπελθεῖν ἢ ζῆν τυραννουμένου τοῦ ἐν τῇ ψυχῇ βελτίονος ὑπὸ τοῦ φαυλοτέρου, οὕτω καὶ τῇ γῇ μᾶλλον ἂν ἐλυσιτέλει, κρυφῆναι συνεχέσιν ὄβροις ἢ πεπολίσθαι τε καὶ τρέφειν γένος ἀνθρώπων, ἐν ᾧ κακία τίμιον, ἀρετὴ δὲ ἄτιμον.

67g Ὥσπερ εἴ τις ἐς ὅλμον ὕδωρ ἐγχέας ὑπέρῳ σιδηρῷ πλήττοι:. Λουκιανός.

67h Ὡς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις.

---

2. διεφθόρουν EZ. 3. αἱ Ἄρπυιαι Ps. 5. οὕτω Ps. 6. ὃν — ἡ] γέροντα δὲ αὐτὸν ὄντα ἡ Ps. ἀπέλιπεν A Ps. 7. αὐτοῦ παῖδες Ps. 8. Ἐρασία AGEZ: Ἐρασία καὶ Ἁρπυρία Westermannus. 9. δύστηνος] δύσκυρος G. 16. φαύλους τρόπους Ἐρημία Stobaeus. Μεν. Ὑδρία idem. 25. κρυφῆναι (θ) A. Scribe ὄμβροις.

67b. Arsen. LVI, 8. G 74: Stob. Flor. 46, 88. Epict. fr. 89 Schweigh.
67c. Arsen. LVI. 9. XVII, 71: Stob. Flor. 56, 11. Men. Hydr. fr. 1 Mein.
67d. Arsen. LVI, 10: Plut. de Educ. lib. 5, p. 3 C. Apost. VII, 57. Diog. V, 15.
67e. Arsen. LVI, 11: Plat. Legg. X, 887 B.
67f. Arsen. LVI, 12.
67g. Arsen. LVI, 13: Lucian. Hermot. §. 79. Cf. Apost. XVII, 66a.
67h. Arsen. LVI, 14: Hom. Il. N, 821.
68. Arsen. LVI, 15. 575. ἱστο-

αὐτοὺς Ζῆθος καὶ Τάλαϊς, ἀστυγείτονες αὐτῶν, Βορείου παῖδες ἀνδρὸς οὐκ ἀσήμου, βοηθήσαντες αὐτῷ τὰς θυγατέρας ἐξήλασαν ἐκ τῆς πόλεως, καὶ τὰ χρήματα συναθροίσαντες ἐπίτροπόν τινα κατέστησαν τῶν Θρᾳκῶν.

69 *Ὡς πολλῷ κάλλιον, ὦ φίλαι, ἐστὶν ἐν παρατάξει νικῶντα τελευτᾶν ἢ τὰ Ὀλύμπια περιγινόμενον ζῆν: Λάκαινα πομπὴν τελοῦσα πάνδημον ἤκουσεν ἐπὶ τῆς παρατάξεως νικᾶν τὸν υἱόν, ἐκ δὲ τῶν τραυμάτων πολλῶν λεγομένων θνήσκειν· οὐ περιελομένη οὖν τὸν στέφανον, ἀλλὰ σεμνυνθεῖσα, πρὸς τὰς πλησίον τοῦτ' εἶπεν.*

70 *Ὥσπερ ἑωλοκρασίαν μου καταχέεις: τάττεται ἐπὶ ὕβρεως. οἱ γὰρ νέοι ἑωλοκρασίαν κατεσκεύασαν ἀνδρῶν φιλοσόφων, ἡνίκα συνέπινον ἀλλήλοις παρ' Ἀθηναίοις, ἐπὶ ἑκάστου κρατῆρος οἶνος ἐτίθετο, καὶ εἴ τις ἐκάθευδε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωῒ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξεχέετο, καὶ ἐκαλεῖτο τοῦτο ἑωλοκρασία, κυρίως δὲ τὸ χθιζὸν βρῶμα.*

---

1. *αὐτὸν* G Ps, *αὐτοῦ* E. *Καλαῒς* AEGZ Ps. *αὐτῷ* EPs, *αὐτοῦ* G. *Βορέου* Ps. 4. *ἐπίσκοπον* EZ. *Θρᾳκῶν τινά* Ps. 5. *πολὺ* AG. 6. *περιγενόμενον* G. 8. *λεγομένων*] *γενομένων* AG Plutarchus. 10. *τοῦτ'*] Plutarchus om. 11. *μου* G om. 12. *ἑωλοκρασίαν — φιλοσόφων*] sunt verba Luciani male Scholiastae orationi intrusa. Similiter a librariis in Diog. VIII, 71. 72 peccatum est: v. Greg. Cypr. L III, 41. Apost. XVIII, 51. Ceterum *γὰρ* om. et *οἱ νέοι* post *Ἀθηναίοις* collocat Scholiasta. 14. *κρατὴρ οἴνου* Scholiasta. *ἐκαθεύδησε* idem. 15. *αὐτοῦ* idem.

ροῦσι κτλ.] Palaeph. *π. ἀπίστ.* 23. Eudoc. 416.

69. Plut. Apophth. Lacaen. 20, p. 242 A: Arsen. LVI, 16. G 76.

70. Arsen. LVI, 17. G 77. *ὥσπερ — καταχέεις*] haec sumpta videntur ex Hermog. *περὶ μεθ. δεινότ.* c. 6, ubi locus Demosthenis p. Coron. 50, p. 242 R. in parte codicum teste Scholiasta in Walzii Rh. Graec. VII, 2, p. 1161 etiam sic scriptus extitit: *ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς ἑαυτοῦ πονηρίας καταχέας. τάττ. ἐπὶ ὕβρεως*] Scholl. ad Lucian. Conviv. 3 p. 252 Jacob.: *εἴρηται οὖν ἐνταῦθα μεταφορικῶς ἀντὶ τοῦ ὕβριν. οἱ γὰρ — ἑωλοκρασία*] Scholl. ad Luc. l. c.: Etym. M. 352, 33. De voce *ἑωλοκρασία* uberrime egit Gregorius Corinthius in Rh. Gr. VII, 2, p. 1161 Walz., secutus ut videtur Suetonii Tranquilli librum *περὶ παιδιῶν*: cf. Tzetz. Chil. VI, 873: Didymi vero sententiam Harpocr. 91, 3 Bekk. proposuit: ex alio denique auctore sua derivaverunt Phot. Suid. Etym. M. 352, 24. Etym. Gud. 228, 2. Scholl. ad Demosth. l. c. p. 78 Turic., Zonar. I, 945. Bekk. Anecdd. I, 258, 12. Cum Demosthenis loco conferri potest Plut. Sept. Sap. Conviv. 2, p. 148 A: *ἀλλ' ἐνίοις εἰς ἅπαντα τὸν βίον ἐμμένει τὸ πρὸς ἀλλήλους δυσάρεστον, ὥσπερ ἑωλοκρασία τις ὕβρεως ἢ ὀργῆς ἐν οἴνῳ γενομένης*: Lucian. Conviv. 3. *κυρίως κτλ.*] Suidas: hoc sensu vocem saepe apud patres inveniri docent Usserus et Cotellerius ad PP. Apost. T. II, p. 56 sq.

Τὸ ω μετὰ τοῦ τ.

71 Ὠτίων πιστότεροι ὀφθαλμοί: ἐπὶ τῶν ἀλόγως τὰ μείω τοῖς κρείττοσι παραβαλλομένων:. Ἰστέον δ' ἂν σοι εἴη, ὡς τὸ ἀκούω οὐ μόνον γενικῇ ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται, ὡς καὶ τὰ ἄλλα πάντα κατηγορήματα τῶν αἰσθήσεων πλὴν τῆς ὁράσεως· ἐκείνη γὰρ μόνη αἰτιατικῇ ἅτε βασιλικωτέρα τῶν ἄλλων οὖσα καὶ ἐφ' ἑνὸς ἱδρύεσθαι μόνον προσήκουσα, ἀλλ' οὐκ ἄνω καὶ κάτω φέρεσθαι.

71a Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον:. Εὐριπίδου.

---

2. ὠτίων] forma posita ex usu recentiorum: v. Lobeckius ad Phrynich. 211. 3. τὰ κρείττω τοῖς μείοσι AEGWZ. ἰστέον κτλ.] Z om. 8. φέρεσθαι] ὡς τὰς ἄλλας A addit.

71. Arsen. LVI, 18. ὠτίων — παραβαλλομένων] G 78. Auctor proverbii Candaules est apud Herod. I, 8: ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν: hinc Polybius dixit XII, 27, 1: δυοῖν γὰρ ὄντων κατὰ φύσιν ὡσανεί τινων ὀργάνων ἡμῖν, οἷς πάντα πυνθανόμεθα καὶ πολυπραγμονοῦμεν, ἀκοῆς καὶ ὁράσεως, ἀληθινωτέρας δ' οὔσης οὐ μικρῷ τῆς ὁράσεως κατὰ τὸν Ἡράκλειτον [recte Ἡρόδοτον scribi iussit C. F. Hermannus ad Luc. quom. hist. conscr. oport. p. 184]· ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες· τούτων Τίμαιος κτλ.: add. Lucian. de Saltat. 78: Ἡροδότῳ μὲν οὖν τὰ δι' ὀμμάτων φαινόμενα πιστότερα εἶναι τῶν ὤτων δοκεῖ: id. quom. hist. conscr. op. 29: ὦτα ὀφθαλμῶν ἀπιστότερα: Julian. Oratt. 145 C: ἐπεὶ δὲ ὄμματα, φασίν, ἀκοῆς ἐστι πιστότερα: Theophyl. Simoc. Dial. c. 10, p. 18 Boiss.: ὦτα γάρ μοι ὀφθαλμῶν ἀπληστότερα: Schol. Ven. ad Hom. Il. Τ, 292: ὄψις γὰρ ὤτων κριτικωτέρα πᾶσιν, quo de recte statuit G. Hermannus ad Soph. Oed. Tyrann. 1237. Quorum exemplorum numerum augere licet ex Philonis operibus, qui saepe respexit hanc sententiam: de special. legg. T. II, 345 Mang.: ὦτα δ', ὥς ἔφη τις οὐκ ἀπὸ σκοποῦ τῶν προτέρων, ὀφθαλμῶν ἀπιστότερα, ubi alios locos Mangeius laudat: add. id. ad Philon. de confus. ling. T. I, 426, de Mose T. II, 123: quae si cui non satisfaciunt, is adeat Wyttenbachium ad Julian. Orat. 209 Schaef., Haasium ad Leon. Diacon. 2 B, Heylerum ad Julian. Epist. 22, p. 253. Sed quamquam plurimi fuere, qui visum aurium verborumque fide firmiorem esse contenderent, contrariae tamen opinionis defensor extitit Callimachus, ut Etym. Gud. s. εἰδυλίς tradit, ubi affertur versus: ὄκκοσον ὀφθαλμοὶ γὰρ ἀπευθέες, ὅσσον ἀκουὴ Εἰδυλίς: in eandem sententiam postea disputavit Strabo II, 5. p. 117: alia laudat Naekius Opusc. T. I, 70 sqq.

71a. Stob. Flor. 67, 7: Arsen. LVI, 19. Eurip. Orest. 1204, ubi v. Scholia.

Mantissa Proverbiorum.

1 *Ἀδύνατα θηρᾷς:* ἐπὶ τῶν ἐγχειρούντων μείζοσιν ἢ καθ' ἑαυτούς.

2 *Ἀετὸν κάνθαρος μαιεύσομαι:* ἐπὶ τῶν τιμωρουμένων τοὺς μείζονας προκατάρξαντας κακοῦ. λέγεται γὰρ τὰ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζειν ὁ κάνθαρος.

3 *Ἀθηναίων δυςβουλία:* ἐπὶ τῶν παρ' ἐλπίδας καὶ ἀναξίως εὐτυχούντων· τὸ γὰρ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο. ** *εὐτυχῇ μᾶλλον ἢ καλῶς φρονεῖν.*

4 *Αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν,*
ὅταν τις ἴδῃ τἀγαθόν, χρῆται δὲ μή.
Ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον,
Δήμητρος ἀκτῆς πόματος ὑδρηχόου;
Εἱμαρμένων δὲ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβάς ἐστι καρποῦσθαι βροτοῖς.

---

8. ἤσκητο] Suidas pergit: τὴν δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. καὶ Εὔπολις· ὡς εὐτυχεῖς μᾶλλον ἢ καλῶς φρονεῖς [cf. Apost. XVIII, 62e. 66b.]· καὶ Ἀριστοφάνης ἐν Νεφέλαις [v. 587: cf. Apost. XVII, 80a]·

φασὶ γὰρ δυςβουλίαν
τῇδε τῇ πόλει προςεῖναι· ταῦτα μέντοι τοὺς θεοὺς
ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ τὸ βέλτιον τρέπειν.

Ex eadem fabula de Atheniensium *δυςβουλία* fluxit, quod legitur in Arist. Equitt. 1055: *Κεκροπίδη κακόβουλε.* Respexit Archidamus Thucydid. I, 84. Ex oratoribus eandem illustrat Fr. A. Wolfius ad Demosth. Lept. p. 219. 9. Ab praemittit Stob. Flor. V, 3. 4. 5. αἰαῖ [sic] E, αἶ αἶ AZ. τόδ' ἤδη A, Ab, τὸ ἡδὺ Z. 10. εἴδη Z, εἰδῇ Gaisfordus. 11. δεῖ] δὴ A. 12. πόματος θ' A, Ab, πώματός θ' Gaisfordus. 13. εἱμαρμένον idem. 14. βροτοῖς] Μενάνδρου Ab addit.

1. u I, 36: Suidas. Macar. I, 26. 2. u I, 50: Suidas. DV I, 65. 3: u I, 57: Suidas. 4. Z II, 4. E: Arsen. XXX, 68. αἰαῖ — βροτοῖς] Stob. Flor. 5, 6. 7. 8: Arsen. LII, 75. αἰαῖ—μή] Eurip. Chrysipp. fr. 2 Matth. ἐπεὶ — ὑδρηχόου] Eur. fabb. incert. fr. 14 Matth. εἱμαρμένον — βροτοῖς] Eur. fr. dubior. 4 Matth. πολ-

Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς κρείττονες πεφυκότες:. *Μενάνδρου.*

5 *Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ.*

6 *Αἰεί τοι τὸν ὅμοιον ἄγει θεὸς εἰς τὸν ὅμοιον καὶ ποιεῖ γνώριμον.*

7 *Αἱ Χάρητος ὑποσχέσεις*: ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων ποιῆσαι τόδε ἢ τόδε τι.

8 *Αἱ Χάριτες γυμναί*: ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι.

9 *Ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔποτε τρόπαιον ἐστήσαντο*: ἐπὶ τῶν διὰ ῥαθυμίαν μηδὲν γενναῖον πράττειν δυναμένων.

10 *Ἄλλοτ' ἀλλοῖαι πνοαὶ ὑψιπετᾶν ἀνέμων.*

11 *Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ.*

12 *Ἀλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη*: ἐπὶ τῶν καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσι καὶ μηδενὶ μεταδιδόντων.

13 *Ἄμμον μετρεῖν*: ἐπὶ τῶν ἀνήνυτα ποιούντων.

14 *Ἄμφω τὼ χεῖρε*: ἐπὶ τῶν ἀφθόνως καὶ δαψιλῶς μεταδιδόντων τοῖς πᾶσιν.

15 *Ἀνὰ ῥοῦν χωρεῖν*: ἐπὶ τῶν ἐξ εὐτυχίας μεταβληθέντων εἰς τὸ ἀνάπαλιν, ὥσπερ *κατὰ ῥοῦν φέρεσθαι* ἐπὶ τῶν κατὰ τὸν βίον εὐπλοούντων. Ὀδυσσείας ξ'·
ὠσεί τε κατὰ ῥόον·

---

2. κρείσσονες Ab. 4. τοι] τι u. εἰς] ὡς Plato. 10. *οὔπω* idem. 11. *ἔστησαν* idem. ἡ παροιμία ἐπὶ Suidas. ῥαθυμίαν] *ἀθυμίαν* idem. 13. *ἄλλοτε δ'* Pindarus. *ὑψιπετᾶν* novum incipit versum. 19. χεῖρε] Suidas addit: ἀμφοτέρας τὰς χεῖρας, δυϊκῶς. καὶ ἀμφοῖν, ἀμφοτέραις ταῖς χερσίν. *Οὐ μιᾷ χειρὶ δωρούμενος, ἀλλ' ἀμφοῖν* [«dictio Damascii, cuius integrum locum servat Suidas v. Θεαγένης»: **Bernhardius**]· ἐπὶ κτλ. 20. πάσι [sic] u. 21. ἀναῤῥοῦν Aa. 22. καταῤῥοῦν Aa. 23. Ὀδυσσείας — ῥόον] οΔξ. ὡς ὅτε καταρρουν [sic] Aa.

λαῖσι κτλ.] Stob. Flor. 3, 3. Eur. fr. inc. fabb. 115.

5. Z I, 89: Stob. Flor. 13, 9. Soph. fr. 667 Dind.

6. u XVII, 85: Plat. Lysid. 214 A. Greg. Cypr. L I, 7. Apost. XII, 68. 74[a].

7. Z I, 78. DV I, 60. Apost. XVIII, 13.

8. u XVIII, 11: Suidas. Greg. Cypr. M I, 33.

9. u II, 12: Suidas. Macar. I, 74.

10. Aa II, 94, W p. 43: Pind. Pyth. III, 104 sq.

11. Aa III, 1: Hom. Il. Ω, 530.

12. u II, 9: Suidas. Greg. Cypr. M I, 81: cf. C in nott. critt. ad Zenob. II, 20.

13. Aa III, 47, W p. 52. DV I, 38.

14. u II, 75: Suidas. Macar. I, 98.

15. Aa III, 62. Est Scholium ad Hom. Od. Ξ, 254, ut docet Eu-

ἤγουν ὡς ἐν ὕδατι κάτω ῥέοντι καὶ οὐ σταθῷ κατὰ ἰσότητα ἐπιφανείας. ἐντεῦθεν ἡ παροιμία τὸ κατὰ ῥοῦν φέρεσθαι.

16 **Ἀνδρὶ πεινῶντι κλέπτειν ἔστ' ἀναγκαίως ἔχον**: ἐπὶ τῶν ἐξ ἀνάγκης τι ποιούντων.

17 **Ἀνέμους γεωργεῖν**: ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μετεχόντων. καὶ γὰρ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, οὐδὲν δὲ ἕτερον ἢ μόνον ἄχνην ἀποφέρεται, ὥστε οὐδενὸς μεταλαμβάνει.

18 **Ἂν πολλὰ βάλλῃς ἄλλοτ' ἀλλοῖον βαλεῖς**: πολλῶν γὰρ προβαλλομένων τινὰ τούτων δὴ τῶν πολλῶν ἐπιτυχεῖν γίνεται ὡς συμπτώματα.

19 **Ἀντλεῖν ἀμφοτέραις**: λείπει χερσί· ἐπὶ τῶν σπουδῇ τι ποιούντων.

20 **Ἄνω ποταμῶν χωροῦσι πηγαί**: ἐπὶ τῶν ἐναντίως λεγομένων ἢ γινομένων· οἷον ὁ πόρνος τὸν σώφρονα εἰ λέγει πόρνον. ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσι.

21 **Ἀπαγέ με εἰς τὰς λατομίας**: ἐπὶ τῶν μὴ ὑποφερόντων τὰ ἀνάξια.

22 **Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ**: πύνδαξ γὰρ ὁ πυθμήν. ἡ δὲ παροιμία παρὰ Σωκράτει.

---

2. καταῤῥοῦν Aa. 3. πεινόντι u. ἐστι u. 4. ἔχωνος u. 12. ἀμφωτέραις u. σπουδὶ u. 14. ὑπεναντίως Zenobius. 15. ὁ] εἰ ὁ idem. εἰ λέγει] ἔλεγε idem. 16. ῥέουσι] οὐ κάτωθεν ἄνω Zenobius addit. 18. Suidas addit: φασὶ γὰρ ὅτι Φιλόξενος ὁ διθυραμβοποιὸς Διονυσίῳ τῷ τυράννῳ συνῆν. ἕωλα δὲ αὐτοῦ ποιήματα ἀναγινώσκοντος οὐκ ἐπῄνει. ἐφ' οἷς ὀργισθεὶς ἐκέλευσεν αὐτὸν ἀπαχθῆναι εἰς τὰς λατομίας. εἶτα πάλιν μετεκαλέσατο αὐτόν, ἐλπίζων ἐπαινέσαι αὐτοῦ τὰ ποιήματα· ὁ δὲ μὴ θέλων ἐπαινεῖν ἔλεγε τὸ προκείμενον. 19. ἀπινδάκωτος et πίνδαξ Aa. 20. Σωκράτει] corrige **Σοφοκλεῖ**.

stath. ad Hom. l. c., p. 1759, 57. *ὡς ἐν ὕδατι κτλ.*] v. de his verbis Dammius Lex. Hom. s. ῥόος. Respexit nostrum Greg. Naz. Epist. 63 [57], p. 819 D: *τὸ δὲ μὴ βιάζεσθαι ῥοῦν ποταμοῦ καὶ ἡ παροιμία παιδεύει*: add. Ovid. Rem. Amor. 121: *stultus, ab obliquo qui cum descendere possit, Pugnat in adversas ire natator aquas*: Iuven. Sat. IV, 89.

16. u. II, 98: Suidas. Macar. II, 14.

17. u III, 20: Suidas. DV I, 51. *καὶ γὰρ κτλ.*] absurda haec esse Finckhius Annott. in Zenob. Provv. p. 5 contendit: causam non video: v. Senec. Nat. Q. II, 6, Niclas ad Geopon. IX, 3, p. 572.

18. u XIV, 53. Apost. II, 87.

19. u III, 24. DV I, 50.

20. u III, 3: Zenob. II, 56. Greg. Cypr. M I, 28.

21. u III, 30: Suidas. Cf. Apost. VI, 68. Mant. Prov. III, 18.

22. Aa IV, 80. Eustath. ad Hom. Il. Λ, 634, p. 870, 27: *ὁ δὲ πυθμὴν καὶ πύνδαξ ἐλέγετο παρὰ τοῖς μεθ' Ὅμηρον, ὅθεν παροιμία τό, Ἀπυνδ. οὐ τρ. κ.*: unde sumpta sunt quae exhibent codices Suidae deteriores apud Bernhardium ad

23 *Ἀργυρέαις λόγχαις μάχου καὶ πάντα νικήσεις*: ἐπὶ τῶν δώροις πείθειν πρὸς τὰ δυσκατόρθωτα παραινούντων· τοῦτον γὰρ τὸν χρησμὸν ἔχρησεν ἡ Πυθία Φιλίππῳ, αἰνιττομένη διὰ προδοσίας περιέσεσθαι τῆς Ἑλλάδος.

24 *Ἀρετὰ ἐντὶ ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω.*

25 *Ἀρετὰ συναρμογά τις ἐντὶ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον.*

26 *Ἄρτον οὐκ εἶχεν ὁ πτωχὸς καὶ τυρὸν ἠγόραζεν.*

27 *Ἄρης τὰ αὑτοῦ ὅπλα οὐ σαλεύει.*

28 *Ἀσφαλέστερον τοῦ λέγειν τὸ σιγᾶν*: Ἐπικτήτου ἡ γνώμη.

29 *Ἀτεχνῶς εἰμὶ στάθμη λευκή*: ἐπὶ τῶν ἀληθινὴν ὁμολογούντων φιλίαν.

30 *Αὐτόκλητοι κωμάζουσι φίλοι παρὰ τοῖς φίλοις*: παρῆκται ἀπὸ τοῦ, Αὐτόματος δ' ἦλθε βοὴν ἀγαθὸς Μενέλαος.

31 *Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας*: ἐπὶ τῶν ἀληθευόντων· οἷον ἐπ' αὐτὴν ἐλήλυθας τὴν ἀλήθειαν.

32 *Αὐτός τι νῦν δρῶν, εἶτα τοὺς θεοὺς κάλει:*

---

1. Scribe *λόγχαισι* et v. vv. ll. ad Suidam ab editoribus enotatas. *νικήσεις*] *κρατήσεις* Suidas. 9. *οὐ* Plutarchus non agnoscit. 10. *γὰρ τοῦ* Stobaeus. 19. *δρᾶ χοὕτω δαίμονας* Schol. Ven. ad Hom. Il. *Δ*, 249. *τοὺς θεοὺς*] *δαίμονας* Porso ad Eur. Hecub. praef. XXXVIII.

Suid. II, p. 563. Auctorem esse Sophoclem docet Poll. On. X, 79: *τὴν δὲ ἀπύθμενον κύλικα ἐν Τριπτολέμῳ* [fr. 541 Dind.] *Σοφοκλῆς ἀπυνδάκωτον ὠνόμασεν Ἀπ. . . κύλιξ*: add. Hesych. s. *ἀπυνδάκωτος* c. intt. et Phavor. s. *πύνδαξ*. Adhibuit versum Theophrastus: Demet. de elocut. 114: *ὁρίζεται δὲ τὸ ψυχρὸν Θεόφραστος οὕτω· "ψυχρόν ἐστι τὸ ὑπερβάλλον τὴν οἰκείαν ἀπαγγελίαν, οἷον Ἀπ. οὐ τρ. κύλιξ, ἀντὶ τοῦ· ἀπύθμενος ἐπὶ τραπέζης κύλιξ οὐ τίθεται." τὸ γὰρ πρᾶγμα μικρὸν ὂν οὐ δέχεται ὄγκον τοσοῦτον λέξεως*: contra quae Welckerus Trag. Gr. I. 308 poetam studet defendere.

23. u III, 75: Suidas. Greg. Cypr. M I, 64.

24. u III, 62: Metopus apud Stob. Flor. I, 64. Arsen. VIII, 66.

25. u III, 62: Theages apud Stob. Flor. I, 69.

26. Aa V, 50.

27. u III, 98. Cf. Plut. V. Fab. Max. 2, Liv. XXII, 1 ibiq. v. Drakenborchium.

28. Z IV, 63: Stob. Flor. 35, 10. Epict. fr. 67, ubi v. Schweighaeuser.

29. Aa V, 95. Plut. de Garrul. 22, p. 513 F: *ἔστι μὲν οὖν ἀτεχνῶς ἡ λευκὴ στ. πρὸς τοὺς λόγους ὁ ἀδόλεσχος.* Cf. Apost. X, 64 et Max. Tyr. Diss. XXIV, 4, p. 459 R.: *ὅτι ἐστι* [Socrates] *θεράπων τοῦ ἔρωτος καὶ λευκὴ στάθμη πρὸς τοὺς καλοὺς καὶ τὴν τέχνην δεινός.*

30. Aa VI 30. Greg. Cypr. M I, 78. *Αὐτόματος κτλ.*] Hom. Il. *B*, 408, ubi v. Eustath., cuius verba in ann. ad Zenob. II, 46 recepimus.

31. u IV 40: Suidas. Apost. IV, 31.

32. u IV, 44: Suidas. *αὐτὸς— κάλει*] Eurip. Temen. fr. III Matth.

ὁμοία τῇ· *Σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει.* ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν.

33 *Βαλανεὺς εἶ:* ἐπὶ τοῦ πολυπράγμονος· οὗτοι γὰρ σχολὴν ἄγοντες πολυπράγμονές εἰσι.

34 *Βασιλεὺς ἢ ὄνος:* ἤγουν νικῶν ἢ ἡττώμενος. ὁμοία τῇ· *Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι.* Πλάτων ἐν Θεαιτήτῳ· ὁ δὲ ἁμαρτὼν καθεδεῖται, ὥσπερ φασὶν οἱ σφαιρίζοντες, ὄνος· ὃς δ' ἂν περιγίνηται ἀναμάρτητος, βασιλεὺς ἡμῶν.

35 *Βίον ἀληλεσμένον:* ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων.

36 *Βοῦν ἐν γνάθοις φέρει:* ἐπὶ τῶν πολυφάγων.

37 *Βούτης μὴν ἔλεγεν, νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας:* ἐπὶ τῶν ἡσύχων μὲν πρῶτον καὶ ἡμέρων, ἔπειτα δὲ ἀγρίων· οἱ γὰρ βόες ἥμεροι εἰσί.

38 *Βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην.*

39 *Γέραιρε σαυτόν:* ἐν πλήθει.

---

1. *χεῖρας* Suidas. 2. *καθειμένους* u. *τίθεται δὲ ἐπὶ γυναικῶν καὶ μάλιστα ὀφειλουσῶν ἐργάζεσθαι* Suidas in fine addit. 7. *ἁμαρτὼν καὶ ὃς ἂν ἀεὶ ἁμαρτάνῃ καθεδεῖται* Plato. *οἱ*] *οἱ παῖδες οἱ* idem. 8. *περιγένηται* idem. *βασιλεὺς ἡμῶν*] *βασιλεύσει ἡμῶν καὶ ἐπιτάξει ὅ τι ἂν βούληται ἀποκρίνεσθαι* idem. 9. *ἀλϊλεσμένων* u. 12. *Βοῶτας* E, *Βούτας* codd. Theocriti: *βώτας* Valckenaerius. *μὲν* E, *μὰν* Theocritus. *ἔλεγεν* idem. 13. *ἐπὶ*] *παροιμία τοῦτο ἐπὶ* Scholiasta. 14. *εἰσίν*] pergit Scholiasta: *ἀπὸ γοῦν τῶν βοσκομένων καὶ οἱ βόσκοντες αὐτοὺς τοιοῦτοι λέγονται. αἱ δὲ αἶγες ἄγριαι, παρόσον καὶ εἰς τὰ ὕψη τῶν ὀρῶν καὶ εἰς κρημνώδεις τόπους βόσκονται. ἀπὸ τούτων δὲ καὶ οἱ αἰπόλοι τοιοῦτοι λέγονται.* 15. *μίσει· βραχεῖα* Stobaeus Flor. 115, 3, 3 scribit et *τίκτει* omittit. Recte. *Εὐριπίδου Ἐρεχθεῖ* Stobaeus l. c. addit. 16. *ἐν ἤθει* recte B. Suidas explicat: *ἀντὶ τοῦ, εὔφραινε σαυτὸν μεγαλοῤῥημονῶν.*

σὺν — κίνει] Macar. VII, 84. Similia v. in annott. ad Apost. VI, 59c. XV, 79. 92.

33. E: Greg. Cypr. L I, 73. Apost. IV, 71a.

34. Aa XII, 78. De ludo, cui *οὐρανία* nomen, explicans Poll. On. IX, 106 dicit: *καὶ ὁ μὲν ἡττώμενος, ὄνος ἐκαλεῖτο καὶ πᾶν ἐποίει τὸ προςταχθέν· ὁ δὲ νικῶν βασιλεύς τε ἦν καὶ ἐπέταττεν:* similia Eustath. ad Hom. Od. Θ, p. 1601, 45 praebet, de quibus v. ann. ad Apost. XII, 83b. *Ἢ τρὶς — κύβοι*] Apost. VIII, 72. *Θεαιτήτῳ*] 146 A.

35. u IV, 97: Suid. s. *βίος*. Apost. II, 15. Greg. Cypr. M I, 21.

36. u V, 11: Suidas. »Erasmus [II, 3, 10] natum proverbium scribit vel a Theagene athleta Thasio vel a Milone Crotoniata, quorum nota voracitas.« Schottus.

37. Z V, 71. E: Scholl. ad Theocr. I, 86.

38. Z V, 84. E: Stob. Flor. 3, 18, 23. Eurip. Erechth. fr. 20 Matth.

39. Z VI, 3. W 158: Append. Provv. I, 69: Suidas s. *γεραίρειν*.

40 *Γῆ θάλασσαν συναναμίγνυσιν:* ἐπὶ τῶν σφόδρα ὀργιζομένων.

41 *Γῆ πιστή, ἄπιστος θάλασσα.*

42 *Γλυκὺς ἀγκών:* παροιμιωδῶς μοχθηρίαν τόπου ὑποδηλοῖ.

43 [*Γνῶθι σαυτόν:*] τὸ μὲν ἀπόφθεγμα Βίαντος, ὡς παροιμία δὲ λαμβάνεται, μαρτυρεῖ Θεόφραστος ἐν τῷ περὶ παροιμιῶν. οἱ πολλοὶ δὲ Χίλωνος εἶναι τὸ ἀπόφθεγμα.

---

1. *θάλατταν* Suidas. 3. *ἀπιστὸν γῆ, ἄπιστον θ., ἄπληστον κέρδος* Stobaeus. 6. *Γνῶθι σ.*] *γλώσσῃ ματαίᾳ ζημία προστρίβεται. Αἰσχύλου* Z: cf. Apost. V, 55ª: *γν. σ.: ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων* A. [*γνῶθι σαυτόν*] E Ab om. *γνῶθι — Βίαντος*] *παροιμία· γν. σαυτόν* Stobaeus, *γνῶθι σαυτόν* A. *ὡς — λαμβάνεται*] *ἡ μαρτυρία παραλαμβάνεται* A. 7. *δὲ* Stobaeus ignorat. *ὡς μαρτυρεῖ* Z.

40. u V, 40: Suidas. DV II, 14. Apost. V, 40ª.

41. u VII, 27: Thales Stob. Flor. III, 79. E.

42. Aa XIV, 99: Eustath. ad Hom. Il. K, 80, p. 791, 15. Apost. V, 50. Eustath. ad Hom. Il. *Π*, 702, p. 1082, 27: *τὸν δὲ τοιοῦτον ἀγκῶνα ἀλλαχοῦ σαφέστερον φράζει ἐν τῷ* [X, 97], *πύργῳ ἐπὶ προὔχοντι τουτέστιν ἐξέχοντι κατά τι γωνίωμα, ὁποῖον ὁ ἀγκὼν καμφθεὶς ἀποτελεῖ, οὗ δὴ τὸ ἐντὸς παροιμίαν ποιεῖ τὴν Γλυκὺς ἀγκών, περὶ οὗ μὲν λόγος φέρεται, ὡς Ὀμφάλη τυραννήσασα Λυδῶν ὥρισε τόπον, ἐν ᾧ προϋβρίσθη αὐτὴ καὶ εἰς αὐτὸν ἀθροίσασα βίᾳ συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποίνας. καὶ οἱ Λυδοὶ τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι, τουτέστιν εὐφήμως ἀντιφράζοντες, ἐκάλουν τὸν τόπον γυναικῶν ἀγκῶνα ἢ ἀγῶνα, ἔτι δὲ καὶ γλυκὺν ἀγκῶνα, ὅπερ δοκεῖ κερτομηθῆναι παρὰ τὸ* [*Ξ*, 346], *ἀγκὰς ἔμαρπτε Ζεύς, δηλαδὴ τὴν Ἥραν. καὶ εἷς μὲν ὡς ἐῤῥέθη οὗτος λόγος, ἕτερος δὲ τοιοῦτος. Λυδοὶ πόῤῥω προάγοντες ὕβρεως τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τόπον συνάγοντες, ὃν αὐτοὶ ἁγνεῶνα ἐκάλουν, ὕβριζον εἰς αὐτάς. καὶ ἦν ἡ μὲν φαυλότης τοῦ ἔργου ἴση τοῖς ἐπὶ τῇ Ὀμφάλῃ, ἡ δὲ τοῦ τόπου κλῆσις διέφερεν. οὐ γὰρ ἀγὼν ἢ ἀγκών, ἀλλὰ ἁγνεὼν ἐκαλεῖτο, παικτικὸς καὶ αὐτὸς ἀντιφραζόμενος, ἀληθῶς γὰρ ἄναγνος ἦν. αἱ δὲ ἱστορίαι αὗται Ξάνθου εἰσὶ τοῦ Λυδοῦ, ὥς φησιν Ἀθήναιος* [XII, 515 E, ex quo Clearchum hic nominare debebat Eustathius], *ἱστορῶν καὶ τὸν Σάμιον Πολυκράτην ἄδικον ἐφ' ὁμοίοις, ὅς, φησί, τὴν παρὰ Σαμίοις λαύραν* [cf. ann. ad Plut. Provv. I, 61] *ἀντεσκεύασε τῷ τῶν Σάρδεων ἀγκῶνι γλυκεῖ προσαγορευομένῳ, ζηλώσας τὰ Λυδῶν μαλακά*: eadem fere leguntur in Schol. Ven. ad Hom. Il. *Π*, 702: add. Hesych. s. *γλυκὺς ἀγκών: παροιμία, ἥν φησιν* [sc. Lucillius Tarrhaeus] *εἰρῆσθαι ἀπὸ τοῦ λεγομένου μακροῦ ἀγκῶνος ἐν τῷ Νείλῳ, κατ' ἀντίφρασιν· εἶναι γὰρ δυσκόμιστον διὰ τὸ ῥεῦμα καὶ ἀηδῆ· ὅθεν λέγεσθαι τὴν παροιμίαν ἐπὶ τῶν αἰσχρόν τι δοκιμαζόντων, ἐπαινούντων δὲ ὡς καλόν, ἢ τοῦ ἐναντίου σπουδαῖον μὲν ἡγουμένων, χλευαζόντων δὲ ὡς φαῦλον. Κλέαρχος δέ φησι, τοὺς Αἰγυπτίους* [recte *Λυδοὺς* C. Muellerus ad Hist. Gr. Fr. T. II, p. 306] *ἐξυβρίζειν εἰς τὰς τῶν καταδεεστέρων γυναῖκας καὶ παρθένους καὶ τὸ χωρίον, ἐν ᾧ ταῦτα ἔδρων, ὀνομάσαι Γλυκὺν ἀγκῶνα*: v. Greg. Cypr. L I, 86, Zenob. II, 92 c. annott., Mant. Prov. III, 30.

43. E. Z VI, 36: Ars. XV, 15. XVII, 29: Stob. Flor. 21, 12. DV II, 10. *Θεόφραστος*] cf. Paroem. T. I, praef. p. III.

Κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χίλωνι Δαμαγήτου Λακεδαιμονίῳ.

44 *Γράμματα Βελλεροφόντης διεκόμισεν: ἐπὶ τῶν προξενούντων ἑαυτοῖς τι κακόν. Βελλεροφόντης πρότερον Ἱππόνους ἐκαλεῖτο· ἀνελὼν δὲ Βέλλερον τῶν Κορινθίων δυναστὴν Βελλεροφόντης ἐκλήθη. ἦν δὲ φύσει μὲν παῖς Ποσειδῶνος, ἐπίκλησιν δὲ Γλαύκου· λαβὼν οὖν παρὰ Ποσειδῶνος τῆς Μεδούσης Γοργόνος Πήγασον πτερωτὸν ἵππον, διὰ γὰρ τοῦτο ἔσχε τὴν προσηγορίαν, ὅτι ἐκπεπηδήκει ἐκ τοῦ Γοργόνος τραχήλου· δράσας δὲ ἐμφύλιον φόνον, Βέλλερον γάρ τινα, ὥς ἔφην, τῶν πολιτῶν ἀποκτείνας φεύγει εἰς Ἄργος· τυχὼν δὲ παρὰ Προίτου καθαρσίων τοῦ βασιλέως μετ' αὐτοῦ διέτριβεν. Ἄντεια δὲ ἡ Προίτου γυνή, ἐρασθεῖσα τοῦ Βελλεροφόντου, ἐδέετο ὅπως αὐτοῦ συνευνασθῇ· ὁ δὲ δεξιούμενος τὸ ὅσιον ἀντέλεγεν. ἡ δὲ Ἄντεια δείσασα μὴ τῷ Προίτῳ προλαβὼν ἐξείποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τὸν Βελλεροφόντην κατειποῦσα ὡς ἄρα εἴη βεβιασμένη παρ' αὐτοῦ. ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἠβουλήθη τὸν Βελλεροφόντην ἀποκτεῖναι, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. ὁ δὲ πολλοῖς ἐγγεγυμνασμένον ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε τὴν κατ' αὐτοῦ στρατηγηθεῖσαν δεινὴν καταβουλήν· τοσούτων γὰρ κακῶν ἄθλων καὶ ὄχλων τῇ δυνάμει κατηγωνίσατο· ἔδωκε δὲ αὐτῷ εἰς γάμον τὴν ἰδίαν θυγατέρα Κασάνδραν καὶ τῆς βασιλείας μοῖραν τινά. λέγεται δὲ αὐτὸν ἐπαρθέντα ἐφ' οἷς ἔπραξε θελῆσαι μετὰ τοῦ Πηγάσου τὸν οὐρανὸν κατ-*

---

1. *Δαμ. Λακ.* Stobaeus Ab om. 3. *Βελλεροφόντης τὰ γράμματα διεκόμισεν* E: integram proverbii formam Eustathius servavit: v. nott. critt. ad Diog. V, 45. *ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπιφερόντων* Suid. s. *καθ' αὑτοῦ* explicat. 5. *βελερον* [sic] E. 7. *οὖν*] *δὲ* Scholiasta. 8. *τὸν Μεδ. τῆς* idem. 9. *ἔχει* Z. *ἐκπεπηδήκοι* Scholiasta. 10. *τοῦ τῆς* idem. *τούτῳ ἐπωχεῖτο· δράσας* idem. *δρασους* (α superscr.) E. 12. *καθαρσίων παρὰ Προίτου τοῦ βασιλέως* Scholiasta. 14. *ἐδεῖτο* idem. *αὐτῇ* (η superscr.) idem. 16. *αὐτοὺς* E. 18. *παρ'*] *πρὸς* Scholiasta. 21. *αὐτὸν ἐγγυμνάσας* idem. 22. *ὑπετόπασε* ZE. 23. *καταβολὴν* ZE. 24. *κακῶν ὄχλον τῇ* Scholiasta. *οὔλων* Z. 25. *εἰς*] *πρὸς* Scholiasta. 26. *ὑπερθέντα* Z.

44. Z VI, 46. E. Apost. IX, 34. *Βελλεροφόντης κτλ.*] Scholl. Ven. ad Hom. Il. *Z*, 155. Cf. Apost. XIV, 28, ubi v. annott., quibus add. Eustath. ad Hom. Od. *Γ*, fin.: *εἰ δὲ οὕτω παραβολικῶς πέτεσθαι λέγονται, οὐκ ἂν οὐδὲ ὁ τοῦ Βελλεροφόντου Πήγησος ἄλλως πέτοιτο.* De

οπτεῦσαι· τὰ γὰρ νῶτα, ὡς ἔφαμεν, πτερωτὰ εἶχεν ὁ ἵππος· τὸν δὲ Δία μηνίσαντα οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ, ὅθεν ἐκπεσεῖν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον ἀλήϊον πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα, τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ δεηθεῖσαν τοῦ Διὸς δῶρον πρὸς τὸ ἀκόπως περιιέναι τὰς τοῦ κόσμου περιόδους· ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν Τραγῳδουμένοις.

45 *Δουλότερος Μεσσηνίων: ἐπὶ τῶν ἐσχάτῃ καὶ πικρᾷ δουλείᾳ ἐνεχομένων.*

46 *Εἰ δὴ καὶ ἡ παροιμία σοφόν· πῶς γὰρ οὐχὶ σοφόν, περὶ ὧν Ἀριστοτέλης φησίν, ὅτι παλαιᾶς εἰσὶ φιλοσοφίας ἐν ταῖς μεγίσταις ἀνθρώπων φθοραῖς ἀπολομένης ἐγκαταλείμματα, περισωθέντα διὰ συντομίαν καὶ δεξιότητα. παροιμία δήπου καὶ τοῦτο καὶ λόγος ἔχων ἀξίωμα τῆς ὅθεν κατηνέχθη φιλοσοφίας τὴν ἀρχαιότητα, ὥστε βόειον ἐπιβλέπειν αὐτῇ· πάμπολυ γὰρ οἱ πάλαι τῶν νῦν εἰς ἀλήθειαν εὐστοχώτεροι.*

47 *Εἰς κενὸν κρούειν τὰς χορδάς: ἐπὶ τῶν ἀσίτως καὶ ἀδώρως κιθαριζόντων.*

48 *Εἰς τετρυπημένον πίθον ἀντλεῖν: ἐπὶ τῶν εἰς κενὸν πονούντων.*

49 *Ἐκ πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον: ἐπὶ τῶν πολλὰ μὲν πονούντων, ὀλίγα δὲ καρπουμένων.*

50 *Ἐκ τετρημμένης κύλικος πιεῖν: ἐπὶ τῶν διημαρτημένων ἐν πίστει.*

---

2. *μηνίσαντα* EZ. *ὅθεν*] *ὥστε* Scholiasta. 3. *ἐμπεσεῖν* E. *μὲν τὸν* Scholiasta. 10. *ἀνεχομένων* EZ. 11. *δὴ*] *δὲ* u. *γὰρ*] *δ'* Synesius. 13. *ἐγκαταλήμματα* u. 15. *δήπου*] *δὴ* Synesius. 22. *ποιούντων* u. 25. *τετριμένης* u.

Asclepiade v. nott. critt. ad Apost. X, 66 et Vossius de Hist. Gr. 158 Westerm.

45. Z VII, 33. E: Macar. III, 35.

46. u XIII, 84: Synes. Encom. Calvit. 85 B. Attigit Schneidewinus in Paroem. Gr. T. I, praef. p. I.

47. Z VII, 73. E. Greg. Naz. Epist. 223, p. 186 D: *ὁ κόπος ἡμῶν οὐκ εἰς κενὸν ἐγένετο*: alia formulae *εἰς κενὸν* exempla indicat Wesselingius ad Diod. XIX, 9.

48. u VIII, 3: Scholl. ad Eur. Hecub. 869: *φασὶ δὲ οἱ ποιηταὶ ταύτας* [Danaides] *ἐν ᾅδου κολάζεσθαι διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ. ὅθεν καὶ παροιμίαν ἐπὶ τῶν ἀνήνυτα μοχθούντων εἰς τετρυπημένον πίθον ἀντλεῖν λέγομεν.* Plut. Boiss. 4. Macar. III, 16. 57.

49. u VI, 93: Suidas. Greg. Cypr. M IV, 88. Apost. XIV, 40. Cf. Diog. III, 13. Apost. IV, 28.

50. u IV, 92: Suidas. Greg. Cypr. M III, 9.

51 *Ἐκτὸς πηλοῦ πόδας ἔχειν:* ἐπὶ τῶν ἔξω κινδύνου καθεστώτων. ὅμοιον καὶ τὸ *ἐπὶ ξυροῦ.*

52 *Ἐκ τοῦ γεύματος γινώσκω:* ἐπὶ τῶν ἐκ μικροῦ πολλά τινα καταλαμβανόντων.

53 *Ἐπαινῶ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.*

54 *Ἐπὶ θύραις τὴν ὑδρίαν:* δηλονότι θείς. ἐπὶ τῶν ψυχαγωγούντων. αἱ ὑδρίαι παρῆσαν ταῖς θύραις τοῦ πίνειν τοὺς εἰσιόντας καὶ ἐξιόντας ἕνεκα.

55 *Ἐπὶ λεπτοῦ μίτου τὸ ζῆν ἤρτηται:* ὁμοία τῇ προτέρᾳ.

56 *Ἐπὶ ξυροῦ ἀκμῆς ἵσταται:* ἐπὶ τῶν ἐν μεγίστῳ κινδύνῳ ὄντων. Ὅμηρος.

Νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
Ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς, ἠὲ βιῶναι.

57 *Ἐπίτρεπε ὧδε τὸν Ἥφαιστον προμολεῖν:* λέγεται ἐπὶ τῶν ἀξίων πυρὸς εἴτε προςώπων εἴτε πραγμάτων.

58 *Ἐπὶ χοίνικος μὴ καθίζειν:* τουτέστι, μὴ ἐπαναπαύεσθαι τῇ ἐφημέρῳ τροφῇ, ἀλλὰ προειςφέρειν.

59 *Ἔρις ἔριν ἀντιφυτεύει.*

---

2. ξηροῦ u. Verba *ὅμοιον κτλ.* ad proverbium: *ἐκ τριχὸς κρέμαται* referenda esse vidit Bernhardius ad Suid. l. c. 5. *εἶναι* Z om. 10. *ἐπὶ*] *ἀπὸ* Apostolius. 15. *Ἀνδροκύδου* Anonymus praemittit: v. Mant. Provv. II, 81 ibiq. annott. *καθίζου* Anonymus: *μηδὲ καθῆσθαι ἐπὶ χοίνικα* Demetrius, *μηδὲ ἐπὶ χοίνικα καθίσαι* Plutarchus.

51. u VI, 94: Suidas. DV II, 62.
52. u VI, 94: Suid. Apost. VI, 90.
53. E. Z VIII, 93. Sunt verba Basilii: v. Epist. 19, p. 798 A.
54. E. Z VIII, 90: cf. Apost. VII, 64b. Usurpat Aristot. Rhet. I, 6, ex quo aliter quam Apostolii auctor proverbii sensum definit Stephanus in Cram. Anecdd. Pariss. I, 259.
55. E. Z VIII, 92. Cf. Apost. III, 50. *προτέρᾳ*] innuit pr. 56.
56. E. Z VIII, 91: cf. DV II, 63. *Ὅμηρος*] Il. *K*, 173: quem locum imitatus est Simonides apud Plut. de Herod. malign. c. 39 p. 870 B, fr. 158 Schneidew.: *ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν Ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.*
57. E. Z VIII, 100. Fluxit ex Homero: Il. *Σ*, 392: *Ἥφαιστε, πρόμολ' ὧδε· Θέτις νύ τι σεῖο χατίζει,* quem locum ex Aeliani V. H. II, 30 Eustathius p. 1149, 3 illustrat: Plato enim audito Socrate poemata sua igni combussit, dicens: *Ἥφαιστε, πρόμολ' ὧδε, Πλάτων νύ τι σεῖο χατίζει*: Diog. Laert. III, 5. Similem sententiam v. apud Apost. VIII, 23.
58. E. Z VIII, 89: Anon. in Boiss. Anecdd. I, 113. Eustath. ad Hom. Od. *T*, 28, p. 1854, 3: *ἰστέον δὲ ὅτι τε τὸ ἐπὶ χοίνικος μὴ καθῆσθαι τὸ Πυθαγόρειον, ἤγουν μὴ τρέφεσθαι ἀργόν, ἐκ τοῦ ῥηθέντος Ὁμηρικοῦ χωρίου ὥρμηται· … καὶ ὅτι κατὰ τὸν Βυζάντιον Δημήτριον τὸ ῥηθὲν Πυθαγόρειον αἴνιγμα, ὥς φησιν ὁ αὐτὸς ῥήτωρ* [Athen. X, 452 E], *δήλωσίς ἐστι τοῦ χρῆναι μὴ σκοπεῖν τὰ ἐφήμερα, ἀλλὰ τὴν ἐπιοῦσαν* [lacuna hic cum Schweighaeusero statuenda] *προςδέχεσθαι*: add. Iamb. Adhort. ad Philos. 19 locosque a me in ann. ad Apost. XI, 5a indicatos.
59. u VII, 85: Ps. Phocyl. 78: *πειθὼ μὲν γὰρ ὀφέλλει, ἔρις δ' ἔριν ἀντιφυτεύει.*

60 *Ἔρις ἔριν τίκτουσα προσμνᾶται λόγον*: ἐπὶ τῶν ἐκ φιλίας ἀδολεσχούντων. προσμνᾶται, προξενεῖ καὶ προμηθεύεται. μνᾶται, μνηστεύεται. καὶ ἀδολεσχῶ τὸ φιλοσοφῶ.

61 *Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.*
ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

62 *Ἐς ὕδωρ γράφειν*: ἐπὶ τῶν μάτην πονούντων.

63 *Ζωάγρια τίνειν*: τὰ τῆς ζωῆς χαριστήρια ἀποδοῦναι. χαριστήρια τοῦ εἰς τὸ ζῆν ἦχθαι δι' αὐτῆς·
τῷ με μάλα χρεώ,
πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.

64 *Ἢ δόλῳ ἠὲ βίῃ· ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν*: Ἀντίγονος ἐρωτηθείς, πῶς ἂν τις ἐπιθοῖτο τοῖς πολεμίοις, εἶπε τοῦτο τὸ ἔπος.

65 *Ἡδονὴν φεῦγε τίκτουσα λυπήν.*

66 *Ἡ συκάμινος συκαμίνῳ ῥύπτεται*: πρὸς τοὺς ἑαυτοῖς τὰ ὠφέλιμα λαμβάνοντας ἐξ ἑαυτῶν.

---

1. ἔρις δ' ἔριν Bernhardius. προμνᾶται G. Dindorfius. 2. ἐκ φιλίας] ἐπὶ φιλοσοφίᾳ Arsenius. ἀδολεσχούντων] φιλοσοφούντων u. 6. ἐὰν δὲ — βρόχος] ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος Diog. Laert. VI, 86, εἰ δὲ μὴ βρόχος Suid. s. Κράτης. τὴν] τῇ [sic] E. σβέσῃ θεραπεία σοι E om. 7. ἠρτείσθω codex Palatinus Anthologiae. 14. ἐπιθεῖτο Stobaeus. 16. τίκτουσα λύπην] αὕτη γὰρ λύπην τίκτει A Stobaeus, ἥ τις ὕστερον λύπην τίκτει Stob. Flor. VI, 10. 17. ῥίπτεται E. 18. ἐξ ἑαυτῶν Z om.

60. u VII, 85: cf. Apost. VII, 94[a]. »Auctor pro suo consilio videtur Sophocleum Ai. 522 inflexisse, χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί:« Bernhardius ad Suid. s. ἔρις.

61. E. Z IX, 7: Anth. Palat. IX, 497. Menand. Monost. 156: ἔρωτα παύει λιμὸς ἢ χαλκοῦ σπάνις: Iulian. Or. VI, 198 D: οἱ Διογένους νόμοι καὶ Κράτητος ὑπὲρ τούτων οὐκ ἀτιμαστέοι· ἔρωτα λύει λιμός· ἂν δὲ τούτῳ χρῆσθαι μὴ δύνασαι βρόχος: Clem. Alex. Stromm. II, 20, 121, p. 177 Sylb.: οὗτος [Crates] ἐν ἄλλοις εὐθυῤῥημόνως γράφει τῆς εἰς τὰ ἀφροδίσια ἀκατασχέτου ὁρμῆς κατάπλασμα εἶναι λιμόν, εἰ δὲ μὴ βρόχον: Theodoret. Gr. Affect. Curat. 12, p. 173, 1 Sylb.: οὗτος [Crates] εἰώθει λέγειν, τῆς εἰς τὰ ἀφροδίσια ὁρμῆς κατάπαυμα λιμὸν εἶναι, εἰ δὲ μὴ βρόχον. Similia collegit Iacobsius ad Anth. Ann. I, 1, p. 378: add. Apost. VII, 86. De Cratete cf. Apost. X, 5 ibiq. annott.

62. u VIII, 3: Suid. s. ἐς ὕδωρ. Cf. Plutarch. Provv. 5 Boiss. et DV II, 59.

63. W 264. Est Scholion ad Hom. Il. Σ, 407: v. Scholl. Ven. ad Hom. l. c. et intt. ad Hesych. v. ζωάγρια. Apposuit Walzius Callim. fr. 162: τῶν ἔτι σευ δεκάφυια φάτο ζωάγρια τίσειν.

64. E. Z IX, 67: Stob. Flor. 54, 46. Cf. Zenob. I, 93.

65. u XI, 40: Stob. Flor. 3, 79, s. Arsen. XLVII, 97.

66. E. Z X, 1: DV II, 86.

67 *Ἦ χρὴ τραγῳδεῖν πάντας ἢ μελαγχολᾶν*: ἐπὶ τῶν μήτε λυπεῖσθαι μήτε χαίρειν δυναμένων.

68 *Θαρσεῖν χρή, φίλε Βάττε, τάχ' αὔριον ἔσσετ' ἄμεινον.*
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες·
χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει:.

Θεοκρίτου.

69 *Θεοῦ παρόντος ἅπαν ἄπορον πόριμον.*

70 *Θετταλικὸν σόφισμα*: ἐπὶ τῶν μηχανοποιῶν· Θετταλὸς γάρ τις εὑρὼν ἐν μάχῃ μηχανὴν ἐθαυμάσθη.

71 *Ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς*: Στασίμου ἡ γνώμη τοῦ ποιητοῦ, ὃς οὕτω φησί·

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν
Οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

Πλάτων δὲ διαφέρεται τούτῳ τῷ ποιητῇ, λέγων· οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, Ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. Μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν. ὥστε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν· ἵνα δὲ καὶ περιττόν, ἔνθα καὶ ἀριθμός.

72 *Ἵππους εἰς λεῖον πεδίον*: ἐπὶ τῶν ἐπί τι προχείρως ἐχόντων.

73 *Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις*:. Πυθαγόρου τἀπόφθεγμα.

---

1. *μελαγχολῶν* u. 2. *τοῦ* u. 10. *γὰρ* Ds om. *Στασίμου — φησί*] Ds om. Corrige *Στασίνου*. 12. *ῥέξαντα*] *θ' ἔρξαντα* Plato. 13. *γὰρ*] *περ* codex in Crameri Anecdd. Pariss. I, 399. 14. *Πλάτων — λέγων*] in Platone sic non leguntur. *ἄρ'* Plato. 15. *αἰδώς· ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος, οὐ μέντοι ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ* idem. 22. *Πυθαγόρου τἀπ.* A Stobaeus om.

67. u VIII, 77: Diog. V, 18.
68. E. Z X, 15: Stob. Flor. 110, 15. *Θεοκρίτου*] IV, 41.
69. u VIII, 88: Synes. Epist. 139.
70. E. Z X, 17. Cf. Macar. IV, 66. Singulari modo proverbium a Scholl. ad Eur. Phoen. 1416 explicatur: *λέγεται ὅταν ποιῇ τις ἑαυτὸν εἶναι ἀσθενῆ ὄντα ἰσχυρόν, ἢ ὄντα πλούσιον καὶ ποιῇ ἑαυτὸν πτωχόν.* §. *παροιμία, τὸ Θεσσαλὸν σόφισμα· τάττεται δὲ ἐπὶ τοῦ παραλογίζεσθαι καὶ ἀπατᾶν, ποικίλοι γὰρ τὰ ἤθη οἱ Θεσσαλοὶ καὶ οὐκ ὀρθοὶ τὴν γνώμην. διαδοθῆναι δὲ τὴν παροιμίαν ἐντεῦθεν. Διοτίμῳ τῷ Θεσσαλῷ κατιέναι μέλλοντι λόγιον ἐξέπεσεν, ἐπιτηρεῖν μὴ λάθωσιν αὐτὸν οἱ ἐναντίοι μεῖζον εὐξάμενοι. σπεύδων οὖν ἐκείνους ὑπερβαλέσθαι καθ' ἑκατόμβης ηὔξατο καταιβασίῳ Ἀπόλλωνι· κατελθὼν δ' εἰς θυσίαν ἀνθρώπους ἐλογίσατο μὴ πρέπειν θεῷ, μὴ δ' ἄλλως εὐαγὲς εἶναι καὶ ὑπερέθετο. τοῦτο δὲ ἑκάστου ἔτους δρᾶν τοὺς Θεσσαλούς φασί, τὴν θυσίαν ὑπισχνουμένους*: Zenob. IV, 29.
71. E. Z X, 50. *ἵνα — φησί*] Diog. V, 30: cf. Apost. IX, 6. *Ζῆνα κτλ.*] Plat. Euthyph. 12 B. De versibus Stasini v. Welckerus de Cyclo epic. II, 518. Sententia utitur Archidamus Thucyd. I, 84.
72. E. Z X, 53. Apost. IX, 11. notl. critt. ad Diog. I, 65. DV II, 96.
73. E. Z X, 61: Arsen. LII, 76: Stob. Flor. 3, 24.

74 *Καθ' ὕδατος γράφεις*: ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

75 *Καὶ ἅμμα λύεις*: ἐπὶ τῶν δυςλύτων. ἀπὸ τῆς ἁμάξης ἡ ἱστορία.

76 *Καὶ σφάκελοι ποιοῦσιν ἀτέλειαν*: Πεισίστρατόν φασι τὸν τύραννον, τὴν τῶν Ὑμηττῶν χώραν διεξιόντα καὶ ἰδόντα πρεσβύτην πέτρας καὶ λιθώδεις τόπους ἐργαζόμενον, πέμψαντα τὸν οἰκέτην πυνθάνεσθαι αὐτοῦ, τίνας καρποὺς ἀναιρούμενος τοιαῦτα γεωργοίη χωρία· τοῦ δὲ φήσαντος, ὀδύνας καὶ σφακέλους, καὶ τούτων τὴν δωδεκάτην τῷ Πεισιστράτῳ τελεῖν· ἀγασθέντα τὸν τρόπον αὐτοῦ καὶ τὴν παῤῥησίαν, ἀτέλειαν αὐτῷ τοῦ χωρίου δοῦναι.

77 *Καὶ φιλεῖν δεῖ ὡς καὶ μισήσοντας*, καὶ μισεῖν ὡς καὶ φιλήσοντας:. Κάτωνος.

78 *Κακὰ κέρδεα ζημίαν ἀρετῆς φέρει*:. ἀπόφθεγμα.

79 *Κακὴ γὰρ αἰδὼς ἔνθα γ' ἀναιδὲς κρατεῖ*:. Διφίλου ἡ γνώμη.

80 *Κακοὶ κόρου οὐκ ἀνέχονται*: ἐπὶ τῶν ἀναξίως εὖ πραττόντων καὶ διὰ τοῦτο ἐξυβριζόντων.

81 *Κακοὶ πίνουσι τῆς τιμωρίας τὴν ὀμίχλην*: ἐπὶ τῶν κατ' ἀξίαν τιμωρουμένων. ὡς τό· *Αὐτὸς ἐφεῦρε τοῦ κακοῦ τὴν πιτύαν.*

---

3. καὶ ἅμα E: scribe *κάθαμμα* cum Suida. Suidae explicatio haec est: ἐπὶ τῶν δύςλυτόν τι λύειν ἐπιχειρούντων. ἀπὸ τῆς ἁμάξης *Μίδου*. λόγιον γὰρ τοῖς Φρυξὶν ἐκπεπτώκει, τῆς κομισάσης τὸν Μίδαν ἁμάξης εἴ τις ἐπιλύσειε τὸν δεσμόν, τοῦτον τῆς Ἀσίας ἄρξειν. Ἀλέξανδρος δὲ ἔλυσε: v. Zenob. IV, 47. 6. Fortasse παρὰ τὸν Ὑμηττόν. 10. δωδεκάτην] *δεκάτην* scribendum esse Menagius ad Diog. Laert. I, 53 monuit. 14. Κάτωνος] Μενάνδρου Maxim. Conf. Serm. 6, p. 549 Comb.: scribe *Βίαντος*. 15. *ζημίην* Stobaeus. ἀπόφθεγμα] *Δημοκρίτου* idem. 16. ἔνθ' ἀναιδεῖ Z: *ἔνθα τἀναιδὲς* Valckenaerius ad Eur. Hippol. 385. 18. κόρων E. ἀναξίων E. 19. ὑβριζόντων Z. 20. τῆς τιμωρίας] *τῆς πονηρίας* L. 21. καταξίως EZ. *αὐτὸς γὰρ εὗρε* Ds. 22. Corrige *πυτίαν*.

74. E. Z X, 83. DV II, 59. Apost. VI, 80.
75. E. Z XI, 9: Diog. V, 47.
76. E. Z X 80. Cf. Zenob. IV, 76 ibiq. v. annot.
77. E. Z X, 100: Anton. Serm. 135, p. 214 Fabr. Apost. V, 90 m. XVI, 96.
78. E. Z X, 72: Stob. Flor. 10, 45. Democr. fr. 64 Mull. Menand. Monost. 301: κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει: add. ibid. 496. 586.
79. E. Z X, 96: Stob. Flor. 32, 3, 2. Diph. fr. inc. 29 Mein.
80. E. Z X, 65. Theogn. 109: ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον.
81. E. Z X, 68: Diog. V, 99. Greg. Cypr. L II, 42. αὐτός κτλ.] Apost. IV, 35.

82 *Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον*: ἐπὶ τῶν φιλοκερδῶν.

83 *Κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.*

84 *Κακὸν Τενέδιον*: ἐπὶ τῶν πάνυ σκληρῶν καὶ ἀπαραιτήτων.

85 *Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς*. Κλεάνθους.

86 *Καλαμαραδινὸς γάδαρος*: ἐπὶ τῶν μεγάλων· τοιοῦτοι γὰρ οἱ ἐκεῖ ὄνοι.

87 *Κάλλιππος τρέχει*: ἐπὶ τῶν πολλὰ μελετώντων ποιῆσαι, ὀλίγα δὲ δρώντων· τοιοῦτος γὰρ ἦν ὁ Κάλλιππος.

88 *Κάμηλος ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία*: ἐπὶ τῶν ἐν γήρᾳ μὲν ὄντων ἢ δυστυχίαις, πολλῶν δὲ ἀμεινόνων ὄντων.

89 *Κἂν εἰς μάχαιραν κυβιστήσειεν*: ἐπὶ τῶν θρασέων καὶ παραβόλων.

90 *Καρικὴ Μοῦσα*: ἐπὶ τῶν ἀλλογενῶν, ἤτοι Σκυθῶν.

---

1. Stobaeus et A praemittunt: Εὐριπίδου Ὑψιπύλῃ. ἐπὶ κτλ.] A Stobaeus ignorant. 4. Τενίδειον EZ. 6. Κλεάνθους] Κλεάνθω E: θεολόγου Maximus: v. Greg. Nazianz. Carm. p. 157 D. 10. Scribe Καλλιππίδης. 12. καὶ ψωριῶσα Ds. 15. κἂν] καὶ Z. 17. Σκυθῶν] καὶ γραμμάτων Ds addit.

82. E. Z XI, 5: Stob. Flor. 10, 26. Arsen. VII, 68. Eurip. Hyps. fr. 7 Matth.

83. E. Z X, 94: Stob. Flor. 46, 3, 4. Arsen. IX, 3, 4. Eur. fr. fabb. inc. XLII Matth.

84. E. Z X, 81: Macar. IV, 89. Cf. Apost. XVI, 25. 26.

85. E. Z XI, 1: Maxim. Conf. Serm. 10, p. 562 Comb.

86. E. Z XI, 15. Cf. nott. critt. ad Diog. V, 36b.

87. E. Z X, 99. Cic. Epist. ad Attic. XIII, 12, 3: *biennium praeteriit, quum ille Καλλιππίδης assiduo cursu cubitum nullum processerit:* Sueton. Tiber. 38: *biennio continuo post adeptum imperium* [Tiberius] *pedem porta non extulit: . . quamvis provincias quoque et exercitus revisurum se saepius pronunciasset, ... ut vulgo iam per iocum Callippides vocaretur: quem cursitare ac ne cubiti quidem mensura progredi proverbio Graeco notatum est.* Schuetzium ad Cic. l. c. hunc Callippidem a Callippide tragoediarum actore [cf. Apost. XIII, 66] contra Manutium aliosque recte segregasse, proverbii explicatio abunde docet.

88. E. Z X, 75: Diog. V, 81. Apost. XVIII, 56: add. Cram. Anecdd. Pariss. IV, 254, 26: ἀνατίθεμαι τὸ διαβαστάζω, ὡς παρὰ Συντοίῳ [Ep. 113] οἷον, ἡ κάμηλος καὶ ψ. κτλ.

89. E. Z X, 66. Lemma ex Xenoph. Mem. Socr. I, 3, 9 sumptum est: καὶ τοίνυν νόμιζε αὐτὸν [Critobulum] θερμουργότατόν τε εἶναι καὶ λεωργότατον· οὗτος κἂν εἰς μαχαίρας κυβιστήσειε, κἂν εἰς πῦρ ἅλλοιτο. Cf. Plut. Boiss. 49. De explicatione v. nott. critt. ad Apost. VI, 2.

90. E. Z X, 85: Diog. V, 86. Phot., Scholl. ad Plat. 452 Bekk.: Καρικῇ Μούσῃ: τῇ θρηνώδει. δο-

91 *Καρπάθιος τὸν λαγωόν:* ἐπὶ τῶν ἑαυτοὺς ἐφελκομένων εἰς κακά· νησιῶται γὰρ ὄντες οἱ Καρπάθιοι, ἐπήγαγον τὸν λαγωὸν ὡς σπάνιον· οἱ δὲ πολλοὶ γενόμενοι τοὺς καρποὺς αὐτῶν διέφθειρον.

92 *Κενὰ κροταλίζεις ὄχη:* ἐπὶ τῶν ἄνευ κυβερνητῶν ἀτάκτως κινουμένων. Ὅμηρος·

πολλοὶ δ' ἐριαύχενες ἵπποι
κείν' ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας,
ἡνιόχους ποθέοντες ἀμύμονας· οἱ δ' ἐπὶ γαίῃ
κείατο, γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν.

93 *Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον:*. Περιάνδρου τἀπόφθεγμα.

94 *Κινεῖς τὸν ἀνάγυρον:* ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ τὸ φυτὸν ὁ ἀνάγυρος ἀλεξίκακον καὶ δυσῶδες.

95 *Κνωδάλου χοῖνιξ:* ἐπὶ τῶν μεγάλοις μέτροις κεχρημένων.

96 *Κρητίζει ὁ κριτής:* ἐπὶ τῶν ἐν τῷ κρίνειν ψευδομένων καὶ τὸ δίκαιον παραβαινόντων.

97 *Λέοντα ξηρᾷς:* ἐπὶ τῶν τὰ ἀδύνατα ἐπιχειρούντων.

98 *Λήθης πεδίον:* ἐπὶ τῶν ἀδυνάτων.

---

12. τἀπόφθεγμα Stobaeus om. 13. ἐπισπομένων u. 15. Suidas in fine addit: οἱ δὲ ὀνόγυρον αὐτὸ φασίν. 20. ξυρᾷς Suidas, ubi v. vv. lectt. ἐπὶ] παροιμία λεγομένη ἐπὶ Suidas.

κοῦσι γὰρ οἱ Κᾶρες θρηνῳδοί τινες εἶναι καὶ ἀλλοτρίους νεκροὺς ἐπὶ μισθῷ θρηνεῖν. τινὲς δὲ ἐξήκουσαν τῇ βαρβάρῳ καὶ ἀσαφεῖ· ἐπειδὴ οἱ Κᾶρες βαρβαρόφωνοι: adiicit Suidas: καὶ παροιμία, Καρικὸς αἶνος, de quo v. Diogen. praef. T. I, p. 179. Cf. Apost. XI, 28 et Scholl. ad Aristoph. Ran. 1337.

91. E. Z XI, 18. Macar. IV, 94. Apost. XII, 59: similiter Suid. s. λαγῶς περὶ τῶν κρεῶν, s. Οἰνόη τὴν χαράδραν, s. ὁ Καρπάθιος explicat.

92. E. Z XI, 31. Ὅμηρος] Il. Λ, 160.

93. E. Z XI, 30: Stob. Flor. 10, 49. Cf. Macar. VI, 98. Apost. IX, 58. Mant. Provv. I, 78. Chilo ap. Apost. VIII, 34b c. Addend.

94. u II, 98: Suid. s. ἀνάγυρος. Apost. IX, 70.

95. E. Z XI, 48. Apost. XVIII, 30.

96. u X, 5. Macar. V, 30.

97. u X, 54: Suidas. DV II, 61. Apost. X, 54.

98. u X, 66. Scholl. ad Arist. Ran. 188: τὸ δὲ Λήθης π., Δίδυμος φησί, χωρίον ἐν Ἅιδου διατετύπωκεν οὕτω λεγόμενον, ὡς καὶ τὸν Αὐαίνου λίθον ἔπλασεν [Aristophanes] ἀπὸ τοῦ τοὺς νεκροὺς αὐαίνεσθαι. Post comicum adhibuit Dionys. Hal. Archaeol. Rom. VIII, 52: οὐχ ὁ καταχθόνιος [sc. τόπος] καὶ ἀφεγγὴς ὑποδέξεταί τὴν ἐμήν, . . . οὐδὲ τὸ λεγόμενον τῆς Λήθης πεδίον, ἀλλ' ὁ κτλ.: add. Leo Diacon. V, fin., p. 56 B: ὡς ἂν μὴ Λήθης βυθοῖς παραδῤυῇ ἔργα βιωφελῆ καὶ μνήμης ἐπάξια.

99 *Λίθοις τὸν Ἥλιον βάλλει: ἐπὶ τῶν διακενῶς κοπιώντων.*

100 *Λύπης δὲ πάσης γίνετ' ἰατρὸς χρόνος:. Διφίλου.*

1 *Μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι: ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου.*

2 *Μάταια τἄλλα παρὰ Κρότωνα τἄστεα: ὅτι διέφερε ὁ Κρότων τῶν ἐπὶ Ἰταλίᾳ πόλεων ἐν ἀνδρίᾳ καὶ τῇ λοιπῇ εὐδαιμονίᾳ.*

3 *Μέγα τὸ ἐν συμφοραῖσι φρονεῖν ἃ δεῖ:. Δημοκρίτου.*

4 *Μεγαλοψυχίη τὸ φέρειν πρᾴως πλημμέλειαν:. τοῦ αὐτοῦ.*

5 *Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥίπτειν ἀνελόντα ἐσθίειν:. Ἡσιόδου.*

6 *Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς:. Δημοκρίτου ἡ ὑποθήκη.*

---

3. *δὲ* Z om. *γίγνετ'* Stobaeus. 6. *παρὰ*] *πρὸς* Toupius coniecit. 7. *ἐν ἀνδρίᾳ*] *εὐανδρίᾳ* Toupius. 9. *συμφορῇσι* Stobaeus, *ξυμφορῇσι* Mullachius. *φρονέειν* Mullachius. *δέει* idem. 10. *πρηέως πλημμελείην* idem. 12. *ἀνεπηρέκτων* E, *ἀνεπιῤῥέκτων* Hesiodus. *ἀνελόντα κτλ.*] E om. 13. *ἐσθίειν μηδὲ λόεσθαι* Hesiodus. 14. *μὴ* E. *πρὶν ἂν* Scholl. ad Arist. Vesp. 725. Pseudoph. l. c. *ἄμφω* Lucianus, Pseudophocylides.

99. Z XII, 1.

100. E. Z XII, 39: Stob. Flor. 124, 25. Diph. fr. fab. inc. 36 Mein. Cf. annott. ad Apost. X, 76b. Similia collegit Stobaeus Flor. l. c.: add. Terent. Heaut. III, 1, 13: *volgo audio Dici, diem adimere aegritudinem hominibus:* Cic. Epist. ad Famil. IV, 5, 6: *nullus dolor est, quem non longinquitas temporis minuat ac molliat:* id. ib. V, 16, 5. VI, 4, 3. VII, 28, 3. Ep. ad Attic. III, 15, 2. XII, 10.

1. Z XIII, 54: Stob. Flor. 115, 18, quem locum ex Arsenio in Apost. XI, 98f posuimus, ubi v. annot.

2. E. Z XII, 65: Scholl. ad Theocr. IV, 33. Attigit Cluverus Ital. antiq. IV, 1311, 29.

3. E. Z XII, 63: Stob. Flor. 108, 68. Democr. Sent. 8 Orell. Democr. fr. 73 Mull.

4. E. Z XII, 64: Stob. Flor. 108, 69. Democr. Sent. 12 Orell. Democr. fr. 149 Mull.

5. E. Z XII, 88: Hesiod. Ἔργ. κ. Ἡμ. 746, ubi de symboli sensu pluribus Goettlingius disputat.

6. E. Z XII, 89. Versum afferunt Plat. Demod. 383 A, Plutarch. de Stoic. Repugn. 8, p. 1034 E. Lucian. calumn. non tem. credend. 8. Schol. ad Thucyd. I, 44. De sententiae auctore diserte monet Cic. Epist. ad Attic. VII, 18, 4: *ego autem, etsi illud ψευδησιόδειον — ita enim putatur — observo, μηδὲ δίκην, praesertim in te, a quo nihil unquam vidi temere fieri:* exstabat enim in Hesiodi carmine νοθευομένῳ, ut docuit Schneidewinus de Pittheo Troez. disput. 13: alii Pittheo tribuerunt, ut narrat Schol. ad Eur. Hipp. 263, cuius locum in annot. ad Greg. Cypr. L II, 78 recepi: alii denique Phocylidi: v. Pseudophocyl. Sent. 87. Scholl. ad Luc. l. c. T. IV, 232 Iacob. A Democrito plane alienum est: similem errorem v. in Apost. XIV, 3. Respexit versum Arist. Vesp. 725:

7 *Μηδὲν κατὰ βοὸς εὔξῃ:* μὴ πάντα ἐπιτρέπειν ταῖς εὐχαῖς.

8 *Μηδὲν ἔξωθεν πολυπραγμονεῖν,* μηδὲ τὸ λεγόμενον ἀντικατηγορεῖν.

9 *Μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας:* τοῦτ᾽ ἔστι, μέλλοντας ἀποθνήσκειν καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας φορεῖν εὐκόλως καὶ μὴ ἀθυμεῖν.

10 *Μὴ ἐσθίειν καρδίαν:* ἤτοι μὴ βλάπτειν τὴν ψυχὴν ταῖς φροντίσιν αὐτὴν κατατρίβοντα.

11 *Μὴ κρύπτε τὸ κάλλος ὥσπερ τὸ ποηφάγον:* ἐπὶ τῶν διὰ δειλίαν κρυπτόντων καὶ ἣν ἔχουσιν ἀρετήν. ὁ δὲ ποηφάγος ζῶόν ἐστιν ἐν Ἰνδοῖς.

12 *Μήλῳ βάλλειν:* ἐπὶ τῶν εἰς ἔρωτα ἐπαγομένων τινάς.

13 *Μὴ παντὶ ἐμβάλλειν δεξιάν:* ἀντὶ τοῦ, προχείρως οὐ δεῖν συναλλάσσειν.

14 *Μὴ πρὸς ἐμὲ τὰ ποικίλα:* τοῦτ᾽ ἐστί, μὴ τὰς τέχνας κατὰ τῶν φιλῶν.

15 *Μὴ πῦρ ἐπὶ πῦρ:* ἀνθρακεὺς ἐκπεπρ(ά)μενος ἐν τῇ καμίνῳ τοῦτο λέγει. ἐπὶ τῶν κακοῖς συνεχέστερον περιπιπτόντων.

---

7. φέρειν Plutarchus. 8. ἤτοι Plutarchus om. 9. κατατρύχοντα Plutarchi editt.: v. vv. ll. ad Plut. l. c. 10. κρύπτε] κρίπτει u. 11. κριπτόντων u. 15. οὐ δεῖ] *οὐδενὶ* Plutarchus. 18. *ἐμπιπράμενος* Ds.

ἤ που σοφὸς ἦν ὃς ἔφασκεν, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς, Οὐκ ἂν δικάσαις: add. Eurip. Heracl. 179. Androm. 958. Menand. Monost. 17. Greg. Nazianz. Epist. 218 [236], p. 180 C ed. Caill.: οὐ μέντοι τοσοῦτον ἀμαθῶς ἔχω καὶ προπετῶς, ὥστε δίκην δικάζειν πρὶν ἀμφοτέρων ἀκοῦσαι.

7. E. Z XII, 80. DV III, 24.

8. u XII, 87. Pherecr. apud Athen. III, 122 E: ἐγὼ δ᾽ ἂν ἀντείποιμι, μὴ πολυπραγμόνει: Menand. Sent. Mon. 583: πολυπραγμονεῖν ἀλλότρια μὴ βούλου κακά. Aristid. ὑπὲρ τ. τεττ. 143 Iebb., 192 Dind.: ἔπειτ᾽ αὐτοὶ δόξωμεν ἀνδρειότεροι τοῦ δέοντος εἶναι τοῖς βουλομένοις ἀντικατηγορεῖν καὶ φανῇ τι καὶ δειλίας.

9. E. Z XII, 87: Plutarch. de liber. educ. 17, p. 12 E. Cf. Menagius ad Diog. Laert. VIII, 18 et v. annott. ad Apost. XI, 5a.

10. E. Z XII, 86: Plut. de liber. educ. 17, p. 12 E. Aliter hoc symbolum Pythagoricum explicant Iamblichus Adhort. ad Philos. 30 aliique, quos Wyttenbachius ad Plut. l. c. et Orellius Opusc. Sent. I, 476 indicant.

11. u XIII, 8. Fluxit ex Aeliani Hist. An. XVI, 11, de quo v. Apost. XIV, 71.

12. E. Z XII, 91. DV III, 27.

13. E. Z XII, 84: Plutarch. de lib. educ. 17, p. 12 E, ubi v. Wyttenbachius.

14. E. Z XII, 93: Diog. VI, 70a. Macar. V, 96.

15. E. Z XII, 97: Diog. VI, 71. Greg. Cypr. L II, 74.

16 *Μὴ τιμωμένης ἀρετῆς ἡ κακία παῤῥησιάζεται:* Προκοπίου.

17 *Μὴ φορεῖν στενὸν δακτύλιον:* ὅτι δεῖ τὸν βίον ἐπιτηδεύειν καὶ μὴ δεῖ δεσμῷ προςάπτειν αὐτόν.

18 *Μία πρᾶξις ἀρετῆς οὐ ποιεῖ εὐδαίμονα.*

19 *Μία τῶν εἰς φαρέτραν:* ἐπὶ τῶν ἀγαθήν τινα διαγόντων ἡμέραν. ἔθος γὰρ τοῖς Ἀθηναίοις μετὰ τὸ δεῖπνον ἀεὶ λαμβάνειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως διαγένοιτο λευκὸν καθιέναι ψῆφον εἰς αὐτήν, εἰ δὲ ὀχληρῶς, μέλαιναν. ἀποθανόντος οὖν τὰς ψήφους ἐκ τῆς φαρέτρας ἐκχεῖν καὶ ἀριθμεῖν· καὶ ἐὰν μὲν αἱ μέλαιναι πλείους εὕροιντο, ἄχθεσθαι ὡς ἐπιπόνως βεβιωκότος· εἰ δὲ λευκαί, εὐδαιμονίζειν. Ἀριστείδης δέ φησι λευκὴν ἡμέραν λέγεσθαι, ἀπὸ τῶν δικαστικῶν ψήφων· ὧν αἱ μὲν λευκαὶ νίκην, αἱ δὲ μέλαιναι τὴν καταδίκην φέρουσι.

20 *Μικρὰ ἐλαττούμενος τὸν φίλον κακῶς μὴ λέγε:* ἐκ τῶν ἀποφθεγμάτων Θάλεω τοῦ Μιλησίου.

21 *Μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος:.* Σοφοκλέους ἡ γνώμη.

22 *Μισῶ μνάμονα συμπόταν:* ἐπὶ τῶν ἀκριβῶς πειρωμένων μνημονεύειν· παρόσον οἱ πίνοντες ἐπιλανθάνεσθαι μᾶλλον ὀφείλουσι.

---

3. *βίον ἐλεύθερον* Plutarchus. 4. *μὴ δεῖ* Z, *μηδενὶ* Plutarchus. 8. *καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες* Suidas. 9. Corrige *λευκήν*. 10. *τὰς ψήφους*] *τοὺς φίλους* E: scribe *τοὺς φίλους τὰς ψήφους*. *καὶ*] *κἂν* E. 16. Coniunxit Apostolius verba, quae coniungi non debebant: v. Valckenaerius apud Gaisfordum ad Stob. l. c. 18. *δὲ* EZ. *μέγα* E. 20. E: *μισῶ μνημοσύναν ποτᾶν: διὰ τὰ ἀπ' αὐτῶν γινόμενα· ὁ δ' Εὐριπίδης* [Orest. 213] *τῶν ἀτόπων τὴν λήθην σοφὴν εὕρηκε*: quae ducta sunt e Stob. Flor. 18, 28.

16. E. Z XII, 83: Max. Conf. Serm. 68, p. 685 Combef.

17. E. Z XII, 85: Plutarch. de lib. educ. 17, p. 12 E.

18. u XI, 63. Est alia proverbii ibi memorati explicatio.

19. E. Z XIII, 12. Usurpat Aristaen. Epist. 1, 12: *διὰ ταύτην ἡμέρα μοι πᾶσα λευκή, καὶ τῶν ἐν φαρέτρᾳ λογιζομένων εἰς εὐτυχίαν οὐχ ἧττον.* De Scythis e Phylarcho similia tradiderunt Zenob. VI, 13 et Suid. s. *λευκὴ ἡμέρα* et s. *τῶν εἰς τήν*: add. ann. ad Macar. V, 57. *Ἀριστείδης*] hunc locum non neglexit Schneidewinus T. 1. praef. p. XII.

20. E. Z XIII, 11: Stob. Flor. 3, 79, *ε*.

21. E. Z XIII, 13: Stob. Flor. 45, 11, 2. Soph. fr. 675 Dind.

22. E. Z XIII, 10. Scholl. ad Hom. Od. Γ, 332: *διατί τοῖς θεοῖς ἀπένεμον τὰς γλώσσας; . . . οἱ δέ, ὅτι δεῖ τὰ ἐν συμποσίοις λεχθέντα τηρεῖν· ὅθεν καὶ παροιμία, μισῶ μνήμονα συμπόταν*: alia in ann. ad Apost. XI, 71d allata sunt.

23 *Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός:* ἐπὶ τῶν διὰ μισθὸν ἢ δι' ἄλλο τι διδασκόντων.

24 *Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος:* Σοφοκλέους ἡ γνώμη.

25 *Μυόλεθρος:* διὰ τὸ ἀποῤῥεόντων τῶν μυῶν τῶν μελῶν θνήσκειν αὐτούς. εἴρηται δὲ ἐπὶ τῶν ἡσύχων.

26 *Μύσιος ὄνος κατεαγὼς τὸν νῶτον:* παροιμία ἐπὶ τῶν κυρτῶν· ὅτι οἱ Μυσοὶ ἤτοι οἱ Βουλγαροὶ εἶχον ὄνους κυρτούς. τούτων ἦρχεν Εὔνομος καὶ Χρόμιος οἰωνιστής.

27 *Μυσκέλλου ψῆφος:* ἐπὶ τῶν καλῶς προκρινόντων· οὗτος χρησμοῦ δοθέντος τὴν ὑγείαν τοῦ πλούτου προέκρινεν.

28 *Μυσῶν λείαν:* ἐπὶ τῶν κακῶς διαρπαζομένων· οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τοὺς Μυσοὺς ἐληΐζοντο μετὰ τὴν τοῦ Τηλέφου ἀποδημίαν. ἐγὼ δὲ οὕτως εὗρον. οἱ Ἕλληνες ταῖς ὁλκάσι τῇ Μυσίᾳ χώρᾳ προσέβαλον, καὶ ταύτην πορθοῦντες ἐδόκουν τὴν Τροίαν πορθεῖν. Τήλεφος δὲ τῆς Μυσίας χώρας ἀνάσσων καὶ ὑπὸ τοῦ Ἀχιλλέως τρωθεὶς ἀφίκετο πρὸς Ἀπόλλω ζητῆσαι τὴν ἴασιν. ὁ δὲ πρὸς τοῦ-

---

5. *μυὸς ὄλεθρος* Ds. *ἀποῤῥοούντων* E. 6. *ἡσύχων*] *ἀπράκτως ἀποθανόντων* Ds. 9. *Ἔννομος* E: v. Hom. Il. *B*, 858. 11. *ὑγείαν*] *ὑγίαν* E. *προκρίνει* Suidas. 12. *ἐπὶ — διαρπαζομένων*] Scholl. b ad Demosth. l. c.: *τάττεται δὲ ἐπὶ τῶν μάτην καὶ ἀναιτίως ἀπολλυμένων*: ib. a: *εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς πασχόντων. τινὲς δὲ ἐπὶ τῶν ἀδίκως ἀπολλυμένων*: add. Macar. VI, 5.

23. E. Z XIII, 20. Cf. annott. ad Apost. XI, 71[d].

24. E. Z XIII, 31: Stob. Flor. 29, 37. Soph. fr. 343 Dind.

25. E. Z XIII, 39: Diog. VI, 66. Cf. Apost. IX, 28.

26. E. Z XIII, 43. Rectius Eustath. ad Hom. Il. *B*, 858, p. 364, 16: *ἰστέον δὲ ὅτι παροιμία ἐκ τοῦ τοιούτου ἔθνους φέρεται αὕτη· ὀσφὺν κατεγώς* [scribe *κατηγώς*], *ἤγουν κατεαγώς, ὥστε Μύσιος ὄνος· ἐν Μυσίᾳ γάρ φασι σπανιώτατον εὑρεῖν ὄνον ὀρθὴν ἔχοντα τὴν ὀσφύν.*

27. E. Z XIII, 45. *οὗτος κτλ.*] Suid. s. *Μύσκελλος*. Cf. annott. ad Zenob. III, 42.

28. E. Z XIII, 36. *Μυσῶν — ἀποδημίαν*] Harpocr. 130, 3 Bekk.: cf. annott. ad Apost. XI, 83. *Οἱ Ἕλληνες κτλ.*] ex Scholl. ad Greg. Nazianz. descripta videntur: v. ann. ad Greg. Cypr. M V, 16: alium auctorem sequitur Eustath. ad Hom. Il. *A*, 59, p. 46, 36: *οἱ μὲν .. φασί, χρώμενοι τῇ τῶν νεωτέρων* [v Welckerus de Cycl. epic. T. II, p. 139.] *ἱστορίᾳ τῇ λεγούσῃ ὅτι τὰ πρῶτα ἐπιστρατεύσαντες τῇ Τροίᾳ οἱ Ἕλληνες ἥμαρτον τῆς ὁδοῦ καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληΐζοντο· ἡ δὲ ἦν ἡ ὑπὸ τῷ Τηλέφῳ Μυσία. ὁ δὴ Τήλεφος ἀντικαταστὰς ἐποίησέ τι κακὸν καὶ ἔπαθε. πέπονθε μὲν τραῦμα δεινὸν ὑπὸ Ἀχιλλέως, ἀμπέλου ἕλικι συμποδισθέντος αὐτῷ τοῦ ἵππου κατὰ Διονύσου πρόνοιαν καὶ πεσόντος εἰς γῆν· ἐποίησε δὲ τὸ ἀπράκτους ὑποχωρῆσαι τοὺς Ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον χρᾶται καὶ ὁ χρησμὸς ἀνεῖλε*

τον ἐφοίβασεν· Ὁ τρώσας ἰάσεται. λοιπὸν πρῶτα μὲν ὁ αἰτησάμενος ἀπορίᾳ συνείχετο, πῶς ἄρα τὸν Ἀχιλλέα ἐχθρὸν ὄντα τούτων ζητῆσαι τὴν ἴασιν. ἀλλ' ἑπόμενος τῷ φοιβάσματι τοῦ Ἀπόλλωνος καὶ τῇ ἀνάγκῃ τῆς τρώσεως, εἰς τὸν Ἀχιλλέα κατὰ δευτέραν λογισμοῦ προσβολὴν παραγέγονεν, ὑποσχόμενος τούτῳ τῆς ἰάσεως λύτρα δοῦναι τὰ τῶν χρημάτων τούτου ἥμισυ. ὁ δ' Ἀχιλλεὺς μόνως ἐκ τοῦ τρωθέντος ζητῆσαι μαθεῖν τὴν πρὸς Τροίαν ὁδόν, καὶ ταύτην μαθὼν ἐξ αὐτοῦ ἠρκέσθη ταύτῃ τῇ χάριτι, καὶ τὸν τρωθέντα Τήλεφον ἐθεράπευσεν· ὅθεν καὶ ἑτέρα παροιμία· Ὁ τρώσας ἰάσεται.

29 Μύωπι τὸν δράκοντα ἤγειρας: ἐπὶ τῶν ἄγαν προ-

---

1. ὁ τρώσας καὶ ἰάσεται Claudius imperator apud Suet. Claud. 43, ubi cf. Casaubonus: σὺ τρώσας, σὺ καὶ ἰάσαιο Tzetz. Chil. VI, hist. 70: add. Schol. ad Plat. Gorg. in annot. exscriptus et Schol. ad Demosth. l. c.: ἀνεῖλεν ὁ θεός, ὡς οὐκ ἄλλως θεραπευθήσεται, εἰ μὴ ὁ τρώσας καὶ ἰάσεται. 3. τούτω [sic] E. 7. τούτου] scribe αὐτοῦ. 12. δράκοντα] scribe τρέχοντα.

τὸ θρυλλούμενον· ὡς ἄρα ὁ τρώσας ἰάσεται· πλέει γοῦν τὴν ταχίστην ἐπ' Ἀχιλλέα καὶ συμβαίνει τὸν μὲν ἰάσασθαι τὴν ὠτειλήν, τὸν δὲ δοῦναι μισθὸν τῆς ὑγείας τὴν εἰς Τροίαν ὁδηγίαν: quocum fere concinunt Philostr. Heroic. 687 Ol., Scholl. Ven. ad Hom. Il. Α, 59, Scholl. ad Arist. Nub. 919, Tzetz. ad Lycoph. 211, Scholl. ad Demosth. pro Coron. §. 72, p. 79 Saupp. aliique, quos indicant intt. ad Dict. Cretens. II, 2 et Dissenius ad Pind. Isthm. IV, 46, p. 518 Boeckh. ἐθεράπευσεν] de cura vulneris dixit Welckerus in Heckeri Annal. art. med. T. XXIII, 3, p. 271 sq. Usurpavit Plat. Gorg. 447 B: οὐδὲν πρᾶγμα, ὦ Σώκρατες· ἐγὼ γὰρ καὶ ἰάσομαι: ad quem locum scholiastes p. 338 Bekk.: παροιμιακὸν τοῦτο, ἀπὸ Τηλέφου καὶ τοῦ τρώσαντος Ἀχιλλέως καὶ τοῦ χρηστηρίου ἀνελόντος ὅτι ὁ τρώσας καὶ ἰάσεται: eadem fere Olympiodorus adscripsit. Paulo liberius adhibuit Plutarch. de audit. 9, p. 46 F: οὐ γὰρ μόνον, ὡς Εὐριπίδης φησί, τὸ Τηλέφου τραῦμα Πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν [de quo versu v. Welckerus Trag. Graec. II, 490], ἀλλὰ καὶ τὸν ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις δηγμὸν αὐτὸς ὁ τρώσας λόγος ἰᾶται, ad quem locum v. Wyttenbachium: add. Lucian. Nigrin. §. 38: ἐπὶ τὸν τρώσαντα ἐλθόντας ἰᾶσθαι παρακαλεῖν, ibiq. v. Hemsterhusius: Aelian. H. An. I, 56: οὔτε γὰρ ἄλλος ἰάσεται τὸ τραῦμα, οὔτε ἡ τρώσασα· μόνῃ γάρ, ὡς τὸ εἰκός, τῇ Πηλιάδι βολῇ τοῦτο ἐδέδοτο: Charit. Aphrod. VI, 3: φάρμακον γὰρ ἕτερον Ἔρωτος οὐδέν ἐστι πλὴν αὐτὸς ὁ ἐρώμενος· τοῦτο δὲ ἄρα καὶ τὸ ᾀδόμενον λόγιον ἦν· ὅτι ὁ τρώσας αὐτὸς ἰάσεται: Paul. Silentiar. in Anth. Palat. V, 291, 5: Τήλεφον ὁ τρώσας καὶ ἀκέσσατο· μὴ σύ γε κούρη Εἰς ἐμὲ δυσμενέων γίνεο πικροτέρη: quibus adiungantur auctores, quos citant Passeratius ad Propert. II, 1, 63. Iacobsius Annot. ad Anthol. III, 1, p. 135. Boissonadus ad Nicet. Eugen. III, 251. O. Iahnius de Telepho et Troilo disp. 23. Fuchsius de variet. fab. Troicar. quaest. 101 sq.

29. E. Z XIII, 44. Plat. Apol. Socr. 30 E: ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος, quo respicit Socrat.

θύμων· μύωψ δέ ἐστι μυῖά τις ἐρεθίζουσα τοὺς βοῦς· καὶ τὸ σίδηρον, ὃ φοροῦσιν οἱ ἱππεῖς εἰς τοὺς πόδας, μύωψ λέγεται. Ξενοφῶν δ' ἐν πρώτῳ Κύρου παιδείας ἐγκεντρίδα τοῦτο ὠνόμασεν.

30 *Νεβρῷ ἱππεύεις: ἐπὶ τῶν βραδέως γινομένων.*

31 *Νόμος καὶ χώρα: διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι.*

32 *Νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλλεον, αὐτίκα δ' ἄλλοι,*
ὧν ἄμμες γενεὴν οὐκέτ' ἐποψόμεθα.

γενναῖον τὸ Λακωνικόν.

33 *Νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα: ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων.*

34 *Ὀβολοῦ τάριχος, δύ' ὀβολῶν ἀρτύματα: ἐπὶ τῶν μικροῖς κατορθώμασι πλείονα δαπανώντων.*

35 *Ὁ γὰρ φίλου τρόπος ὥσπερ ὁ τῆς ἀληθείας μῦθος ἁπλοῦς ἐστι κατ' Εὐριπίδην καὶ ἀφελὴς καὶ ἄπλαστος· ὁ δὲ τοῦ κόλακος ὄντως νοσῶν ἐν ἑαυτῷ, φαρμάκων δεῖται σοφῶν καὶ πολλῶν νὴ Δία καὶ περιττῶν.*

---

1. *δέ ἐστι* Suidas ignorat. *μῦα* E. *καὶ — λέγεται*] *λέγεται παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ* [v. Naekius Opusc. II, 60.]· *Βουσόος μύωψ, ὁ τοὺς βοῦς σοβῶν καὶ διώκων μύωψ. καὶ ἡ μάστιξ τοῦ ἵππου· τὸ σιδήριον, ὃ ἐπὶ τοῦ ποδὸς φοροῦσι κεντοῦντες τοὺς ἵππους*, quod exemplis additis Suidas probat. 3. *Ξενοφῶν κτλ.*] Suidas non agnoscit. *ἐν πρώτῳ Κυρ.*] ibi vox non legitur. *Κυροπαιδείας* Z. 8. Scribe *ἀμὲς*. *ἐθάλλεον* Plutarchus. 9. Scribe *ἁμὲς*. *γενεὰν* Plutarchus. 12. Suidas addit: *Ζήνων γὰρ ὁ Κιττιεὺς καταλιπὼν τοὺς πρὶν διδασκάλους καὶ Κράτητος τοῦ φιλοσόφου φοιτητὴς γενόμενος τοῦτο εἴρηκε, ναυαγίῳ περιπεσὼν καὶ εἰπών, εὖγε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ· [ἔνιοι δὲ διαθέμενον Ἀθήνησι τὰ φορτία], οὕτω τραπῆναι πρὸς φιλοσοφίαν.*

Epist. 1, p. 5 Orell.: add. Achill. Tat. VII, 3: *τῷ δὲ λόγῳ τὴν ψυχὴν ὥσπερ ὑπὸ μύωπος παταχθεὶς ἐγείρω*, ubi de translato v. *μύωψ* usu Iacobsius egit. Eadem metaphora etiam Latini gaudent: Ovid. Art. Am. II, 731: *totis incumbere remis Utile, et admisso subdere calcar equo:* id. Rem. Amor. 788: *nunc opus est celeri subdere calcar equo*: Epist. ex Ponto II, 6, 38: *nil nocet admisso subdere calcar equo:* add. Publ. Syr. Sent. 212: *equo currenti non opus calcaribus*, et cf. annott. ad Apost. XVII, 100. *μύωψ δὲ κτλ.*] Suid. s. *μύωψ*. *Ξενοφῶν*] *περὶ ἱππικῆς* 8, 5: v. Hemsterhusius ad Poll. Onom. X, 53. 54: add. Lucian. Toxar. §. 55: *προσβαλὼν τοὺς μύωπας τῷ ἵππῳ.*

30. E. Z XIII, 69: Diog. VI, 81. DV III, 33.

31. u XII, 14: Suidas. Apost. XII, 14[a].

32. u II, 75: Plutarch. Consol. ad Apoll. 15, p. 110 B. Cf. Apost. II, 72. XII, 20.

33. u XII, 17: Suidas. Est Zenonis Cittiei dictum, de quo v. Menagius ad Diog. Laert. VII, 4: add. Apost. XII, 18[b].

34. E. Z XIV, 9. Macar. VI, 19.

35. u III, 65: Plutarch. de adul. et am. discrim. 30, p. 62 C. *Εὐριπίδην*] Phoen. 472: v. Apostol. III, 62.

36 *Ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει. Σοφοκλέους.*

37 *Ὁ κόσμος ἀλλοίωσις, ὁ βίος ὑπόληψις.*

38 *Ὄνος ἐν πιθήκοις: τὸ λεγόμενον.*

39 *Ὁ ὅμοιος τῷ ὁμοίῳ καθ' ὅσον ὅμοιος φίλος, ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ φίλος.*

40 *Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσι. Ἰσαίου.*

41 *Οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς: καθ' ὑπερβολὴν λέγει· κἂν πείσῃς, οὐχ ἕξῃς ἡμᾶς πειθομένους.*

42 *Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,*
οὐδὲ πῦρ οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πάρδαλις.

43 *Οὐ σχολὴ δούλοις.*

44 *Οὐχ ὁ βωμὸς πρὸς τὸ ἱερόν: ἐπὶ τῶν μὴ ἐξισουμένων τισίν.*

45 *Οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.*

46 *Πάλιν ἡ ὗς παρορίνει: ἐπὶ τῶν παρακινούντων τινὰ εἰπεῖν καὶ ἄκοντα, ἃ οὐ βούλεται. Ἀλκαίου ἡ παροιμία.*

---

